47. ὁ γὰρ Ἀ. Δ. ἦν. ἱερεὺς Δήμητρος καὶ Τριπτολέμου ὁ Ἀμφίθεος. (?) πέπαικται κωμικῶς ταῦτα· Κελεοῦ γὰρ καὶ Τριπτολέμου. (imo: Κελ. γὰρ παῖς Τριπτόλεμος: vide Apollod. 1, 5., Paus. 1, 14. simili menda ap. Euripidem Hel. 1015. καὶν ὑστάτοις legitur pro πανυστάτοις.) ταῦτα δὲ λέγει ἐν παιδιᾷ, σκώπτων τὸν Εὐριπίδην, ἀεὶ ἡδέως ἀπαγγέλλοντα τὰ γένη ἐν ἄλλοις τε καὶ καταρχὰς τῆς ἐν Ταύροις Ἰφιγενείας, Πέλοψ ὁ Ταντάλειος εἰς Πίσαν μολὼν Θοαῖσιν ἵπποις Οἰνομάου γαμεῖ κόρην, Ἐξ ἧς Ἀτρεὺς ἔβλαστεν· Ἀτρέως δὲ παῖς Μενέλαος Ἀγαμέμνων τε· τοῦ δ' ἔφυν ἐγώ. τοῦ δὲ Κελεοῦ μέμνηται Βακχυλίδης διὰ τῶν Τμνων. ἄλλως. τὸν πρόπαππον αὐτοῦ λέγει, (?) ὃς Ἀμφίθεος ὁμωνύμως ἐκαλεῖτο. S.

49. τήθας ἐκάλουν τὰς μάμμας, καὶ τηθελὰς (sic) τὰς μαμμοθρέπτους. (τοὺς μαμμ.: vid. Schneideri lex. v. τηθέλης.) S.

ἐξ ἧς Λυκῖνος ἐγένετ᾽· ἐκ τούτου δ᾽ ἐγὼ
ἀθάνατός εἰμ᾽· ἐμοὶ δ᾽ ἐπέτρεψαν οἱ θεοὶ
σπονδὰς ποιεῖσθαι πρὸς Λακεδαιμονίους μόνῳ.
ἀλλ᾽ ἀθάνατος ὤν, ὦνδρες, ἐφόδι᾽ οὐκ ἔχω·
οὐ γὰρ διδόασιν οἱ Πρυτάνεις.

ΠΡΥΤ. οἱ τοξόται!

ΔΙ. ὦ Τριπτόλεμε καὶ Κελεὲ, περιόψεσθέ με;

ΔΙ. ὦνδρες Πρυτάνεις, ἀδικεῖτε τὴν ἐκκλησίαν,
τὸν ἄνδρ᾽ ἀπάγοντες, ὅστις ἡμῖν ἤθελε
σπονδὰς ποιῆσαι, καὶ κρεμιάσαι τὰς ἀσπίδας.

ΠΡΥΤ. κάθησο σῖγα.

ΔΙ. μὰ τὸν Ἀπόλλω γὼ μὲν οὔκ,
ἢν μὴ περὶ εἰρήνης γε πρυτανεύσητέ μοι.

ΚΗ. οἱ πρέσβεις οἱ παρὰ βασιλέως.

ΔΙ. ποίου βασιλέως; ἄχθομαι γὼ πρέσβεσι, i. tr.
καὶ τοῖς ταῶσι, τοῖς τ᾽ ἀλαζονεύμασι.

52, 3. οὗτος γὰρ ὁ σκοπὸς τοῦ δράματος, ὥστε σπονδὰς ποιεῖσθαι πρὸς Λακεδαιμονίους. ἐφόδι᾽ οὐκ ἔχω. ὅτι ἐκ τοῦ πολέμου πένης εἰμί. — S. ἐφόδια intelligit victum quotidianum, legatis virisque de rep. bene meritis praeberi solitum Athenis in prytaneo, jussu τῶν Πρυτάνεων. (cf. 125.) legatum enim se deorum esse ait Amphitheus.

54. οἱ τοξ. τοῦτό φησιν εἰς τῶν πρυτάνεων, κελεύων ἐκβαλεῖν τὸν Ἀμφίθεον, ὡς ὑβριστήν. — εἰσὶ δὲ οἱ τοξόται δημόσιοι ὑπηρέται, φύλακες τοῦ ἄστεως, τὸν ἀριθμὸν χίλιοι, οἵτινες πρότερον μὲν ἔσωσαν τὴν ἀγορὰν μέσην σκηνοποιούμενοι, ὕστερον δὲ μετέβησαν εἰς Ἄρειον πάγον. ἐκαλοῦντο οὗτοι καὶ Σκύθαι καὶ Πευσίνιοι, Πευσῖνός τινος τῶν πάλαι πολιτευομένων συντάξαντος τὰ περὶ αὐτούς. S. laudat Elmsl. Platonem Protagora c. 27., ubi haec leguntur: καταγελῶσι καὶ θορυβοῦσιν, ἕως ἂν ἡ αὐτὸς ἀποστῇ ὁ ἐπιχειρῶν λέγειν, καταθορυβηθείς. ἢ οἱ τοξόται αὐτὸν ἀφελκύσωσιν ἢ ἐξάρωνται, κελευόντων τῶν πρυτάνεων.

58. Rav. et Dind. ποιεῖσθαι, ut 51, 131. sed utroque modo dicitur: vide, laudante Elmslejo, Pac. 212., 1127. (εἰρήνην ποιήσας), Thuc. 2, 29. — καὶ κρεμ. ἐν γὰρ τῇ εἰρήνῃ κρέμανται αἱ ἀσπίδες. S.

59. ita Br. et alii, uti et 388, codd. οὖ.

60. πρυτ. ἀντὶ τοῦ χρηματίσητε, πράξητε. πάντα γὰρ ὑπὸ τῶν πρυτάνεων διεπράττετο. ἐχρήσατο δὲ τῇ λέξει καὶ Δημοσθένης. S.

61. procedunt legati Atheniensium cum Pseudartaba, Persarum legato, et duobus eunuchis. et sic quidem Rav., Elmsl., Dind. vulgo οἱ παρὰ βασ. πρέσβεις. sunt haec ἄμετρα. S.: οἱ πρέσβεις. (sic, quasi et ipse in suis exemplaribus habuisset scripturam libri Rav.; quod animadvertit Elmsl.) οὕτως (βασιλεὺς) ὁ Περσῶν βασιλεὺς κατ᾽ ἐξοχήν: ut etiam infra 613. cf. 92. seqq., Xenoph. Cyr. 8, 8, 2. βασιλέα μέγαν idem vocat regem Persarum Anab. 1, 2, 8.; 4, 11., sicut hic noster 65., 113. ceterum cf. annot. ad 835.

63. καὶ τοῖς ταῶσι, *et pavonibus*, qui singulis noviluniis spectandi exhibentur, quorum me jam cepit satietas. vide Petiti Leg. att. p. 277. et not. ad Av. 102. in Addendis. Br. B. ad Av. l. l.: — „pavones rari

* ἢ περὶ ἄκραν κάμπτων νεώσυικον σκοπεῖς;
ἄσκωμ' ἔχεις που περὶ τὸν ὀφθαλμὸν κάτω.
ΠΡ. ἄγε δὴ σὺ βασιλεὺς ἅττα σ' ἀπέπεμψεν φράσον
λέξοντ' Ἀθηναίοισιν, ὦ Ψευδαρτάβα.
100 ΨΕ. ἰαρταμὰν ἴξαρξ'. ἀναπισσόναι σάτρα.

φησι πότερον ἐν ὀφθαλμοῖς τὸ ναυτικὸν ἔχων οὕτω βαδίξεις, ἢ ναῦν ἀκρωτήριον κάμπτουσαν; ἐπειδὴ δεδοικότες οἱ ἐμπλέοντες, ὅταν ὠσὶ πλησίον τῆς γῆς, ἠρέμα καὶ ἐπιστημόνως ἰθύνουσι, μὴ προσπταίσωσι τῇ γῇ. ἐσκευασμένος δὲ ἦν ὁ Πέρσης (Pseudartabas), δέρμα ἔχων καθειμένον εἰς τόπον τοῦ τε πώγωνος καὶ τοῦ στόματος, ὡς ἂν προσωπεῖον. — S. Haec Dicaeop. ad Pseudartabam dicit. quoniam autem hic *Regis oculus* appellatur, ridiculi causa larva ornatus erat cum ingenti oculo, quem Dicaeop. comparat cum foramine navis, per quod remus exeritur. (ita S.) hinc dicit eum prospicere tanquam navigantem, quo cursum flectere debeat et dirigere. E notis Bergleri. *Br.* Male Hesych.: ναύφραικτος· ναύσταθμος, λιμήν. ναύφρ. βλέπων dictum videtur pro εἰς ναυμαχίαν παρεσκευασμένος. immensum oculum in media fronte depictum habebat Pseudart., quem cum oculo navis comparat Dicaeopolis. Pollux 1, 86.: ὑπὲρ δὲ τὸ προῦχον ἀκροστόλιον (in prora: vid. Köpkei liber germ. de re bellica Graecorum aevo heroïco p. 162.) ἡ πτυχὶς καὶ ὀφθαλμός, ὅπου καὶ τοὔνομα τῆς νεὼς γράφουσι. *Elmsl.* Imo recte, mea quidem sententia, S. et Hesych. ναύφραικτον interpretantur ναύσταθμον, λιμένα: nam hoc dicit Dicaeop., Pseudartabae adspectum similem esse portus, h. e. navium, vel scholiastae verbis τοῦ ναυτικοῦ, quemadmodum βλέπειν κάρδαμα, νάπυ, ὀπόν, σκύτη, et ejusmodi alia leguntur ap. hunc nostrum Vesp. 441., Equ. 582., Pac. 1113., Vesp. 614. navi igitur, quae portum intravit, hominem comparat Dicaeop., et quidem propter lentum incessum navi male affectae, cui opus sit refici in navalibus. ita haec cohaerent. sed scribendum est: — ναύφραικτον βλέπεις. ἦ (num) περὶ ἄ. κ. ν. σκοπεῖς; cf. 100. — Haec scripseram 1. editione; nunc pejus affectum arbitror hunc locum, cum poëta dixisset Πρὸς τ. θ., ἀνθρωπονάυφραικτον βλέπος, ἢ περὶ — σκοπεῖς; adspectum ἀνθρωπονάυφραικτον, i. e. simul homini et portui navium pleno similem, Dicaeop. vocat Pseudartaban propter oculum pictum in fronte ejus media, quemadmodum in navium proris erat locus, quem dicebant oculum, navis nomine ibi scripto insignis.

97. ἄσκωμ' ἔχεις. ὡς τοῦ δέρματος ἐξηρτημένου τοῦ μύστακος αὐτοῦ καὶ τῆς ὀινὸς, καὶ οὕτως γελοίως ἐσκευασμένου. ἄσκωμα δὲ ὁ ἰμὰς ὁ συνέχων τὴν κώπην πρὸς τῷ σκαλμῷ. — S. Voss.: *Wohl einen Schwungriem hast du am Aug' hier unterwärts?*

100. παίζει, ὡς τῇ περσικῇ διαλέκτῳ χρώμενος. S. recte: nam revera non magis haec persica sunt quam ea, quae 104. loquitur Pseudartabas; quemadmodum punice se loqui videri vult servus Plautinus Poen. 860., et Turcarum lingua Turca ille personatus ap. Molierium in fabula francogallica, quae inscripta est *Le bourgeois gentilhomme.* qui persica esse putat, annotante Wolfio, Steph. Westonus in libro anglico (Lond. 1802. 8. praef. p. 17.) *Specimen of the conformity of the European languages, particularly the English, with the Oriental, especially the Persian* etc., ita haec scripsit *Awurdé am men dechezer na fizun az dara,* h. e. Wolfii verbis *Ich, der Gesandte, habe kein Geld von dem König mitgebracht.* verum et frigent haec, et immane quantum discrepant a scriptura codicum, etsi longe verisimiliora sunt ridiculis quibusdam nescio cujus Francogalli ineptiis (*Origine des premières sociétés,* Amst. et Paris. 1769. 8. pagg. 198. seqq.), qui, Persas pro

ΠΡ. ξυνήκαθ', ὃ λέγει;
ΔΙ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
ΠΡ. πέμψειν βασιλέα φησὶν ὑμῖν χρυσίον. —
λέγε δὴ σὺ μεῖζον καὶ σαφῶς τὸ χρυσίον.
ΨΕ. * οὐ λῆψι χρῦσο, χαυνόπρωκτ' Ἰαοναῦ.
ΔΙ. οἴμοι κακοδαίμων, ὡς σαφῶς!
ΠΡ. τί δαὶ λέγει;
ΔΙ. ὃ τι; χαυνοπρώκτους τοὺς Ἰάονας λέγει,
εἰ προσδοκῶσι χρυσίον ἐκ τῶν βαρβάρων.
ΠΡ. οὔκ, ἀλλ' ἀχάνας ὅδε γε χρυσίου λέγει.
ΔΙ. ποίας ἀχάνας; σὺ μὲν ἀλαζὼν εἶ μέγας.
ἀλλ' ἄπιθ'· ἐγὼ δὲ βασανιῶ τοῦτον μόνος.

Celtarum colonia habens, sic ista interpretatur, *très naturellement*, ut ait: „*Une chARTe est eMANée dES ARchives du SATRApe de la province dont lSsus étoit la capitale.*“ mirum sane est, ipso verborum sono monitus graeca hic non agnovisse viros doctos, et ea, quae apertam aptissimamque habent sententiam, *ἐγὼ ἄρτι μὲν ἔξηρξ' ἀναπισσοῦν αὐ σαθρά*: *ego vero* (rex Persarum) *nuper coepi pice denuo inducere putria seu labefactata.* imago itidem haec navis, quae reficitur. cf. 96., 190. reflorescere ait res Persarum, concussas olim clade Marathonia, Plataeensi, Salaminia; quo dicto patriae amans Comicus instantis admonet periculi, barbarosque prius quam cives debellandos esse significat. graecam litteram θ non melius pronunciare calvidus quam Scytha Thesm. 1007., 1115., 1117., 1126., σάτρα pro σαθρά dixit Pseudopersa.

101. μὰ — οὔ. fingit ista se non intellexisse Dicaeopolis, ne sibi ipsi, τῷ εἰρηναίῳ, suadendum sit bellum, seriisque rebus occupentur spectatorum animi. legatus autem placitura dicit Athenienſibus. — ceterum sic etiam Pac. 16.

103. Pseudartabam alloquitur. — *μεῖζον, majore voce.* Be. Voss.: *Du mag' es stärker und vernehmlich, baares Gold.*

104. Ἰαοναῦ. S. ad 106.: ὅτι πάντας τοὺς Ἕλληνας Ἰάονας οἱ βάρβαροι ἐκάλουν, προείρηται. καὶ Ὅμηρος Ἰάονας ἑλκεχίτωνας. τὸ δὲ αὖ ἀντὶ τοῦ οὐ βαρβαρίζων ἔφη. S. at modo dixit οὐ (non αὖ) λῆψι, h. e. οὐ λήψει. imo refectis opibus barbarorum (100.) non aurum *rursus* (αὖ) ab illis expectandum esse ait, velut post victorias Graecorum ad Mycalen et Eurymedontem Ol. 75, 1., Ol. 77, 2., sed clades atque interitum. igitur scribendum est: οὐ λ. χρῦσο, χ. Ἰᾶον, αὖ.

105. ita Elmsl. et Dind. vulgo: τί δ' αὖ λέγει: sed αὖ non minus quam γὲ suspectum esse ait, et recte quidem, Elmsl., ubicunque nihil addit sententiae. praeterea haec sub praeconis persona leguntur in codd.; sed vere Br., cui obtemperaverunt recentiores: „Contra morem est,“ inquit, „concionum, in quibus praeconem verba facere non decet, nisi si quid proclamandum sit. ironica est percontatio, quae in legati partes transferri debet —. Dicaeop. indignabunde dixerat: *hei mihi misero, quam clare!* legatus [qui interpretem agit], aegre ferens aliquem sibi obstare quin populum decipiat, eum rogat: *quid ergo dicit*, quandoquidem ejus verba tam probe intelligis?“

106. χαυνοπρώκτους, χαύνους, h. e. vanos seu stolidos, oblitterata significatione verbi πρωκτός. Pindarus Nem. 8, 45. ed. Thiersch.: κενεᾶν δ' ἐλπίδων χαῦνον τέλος.

108. ὅδε pro ὁδὶ Bentl. Elmsl.

ἄγε δὴ σὺ φράσον ἐμοὶ σαφῶς πρὸς τουτονί,
ἵνα μή σε βάψω βάμμα σαρδιανικόν!
βασιλεὺς ὁ μέγας ἡμῖν ἀποπέμψει χρυσίον;
(ἀνανεύει ὁ Ψευδαρτάβας.)
ἄλλως ἄρ' ἐξαπατώμεθ' ὑπὸ τῶν πρέσβεων;
(ἐπινεύουσιν ἄλλοι τινές.)
Ἑλληνικόν γ' ἐπένευσαν ἄνδρες οὗτοιΐ,
κοὐκ ἔσθ' ὅπως οὐκ εἰσὶν ἐνθένδ' αὐτόθεν.
καὶ τοῖν μὲν εὐνούχοιν τὸν ἕτερον τουτονὶ
ἐγῷδ', ὅς ἐστι, Κλεισθένης ὁ Σιβυρτίου.
ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε,
τοιόνδε δ', ᾧ πίθηκε, τὸν πώγων' ἔχων,
εὐνοῦχος ἡμῖν ἦλθες ἐσκευασμένος;
ὁδὶ δὲ τίς ποτ' ἐστίν; οὐ δήπου Στράτων;

Dind., cum ex sequ. versu intelligatur, ἀχάνας esse pedem bacchium. S.: ἀχάνη μέτρον ἐστὶ περσικόν, ὥσπερ ἡ ἀρτάβη παρ' Αἰγυπτίοις. (cf. 91.) ἐχώρει δὲ μεδίμνους ἀττικοὺς μέ', ὡς μαρτυρεῖ Ἀριστοτέλης. ἄλλοι δέ φασιν, ὅτι κίστη ἐστίν, εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι. similiter Hesych. v. ἀχάνας et Pollux 10, 164., quos auctores citat Elmsl.

111. πρὸς τουτ., *apud hunc, coram hoc*, legato, ut idem interpretatur. vid. Viger. 9, 8, 12.

112. σαρδ. ἀντὶ τοῦ ἐρυθρὸν, φοινικοῦν. — βούλεται οὖν δηλοῦν, ὅτι, εἰ μὴ εἴποις τἀληθὲς, μαστίζων σε ἐρυθρὸν ποιήσω τοῖς αἵμασι. — S. Hesych.: βάμμα σαρδανικόν (sic)· τὸ φοινικοῦν. διάφορα γὰρ ἦν τὰ ἐν Σάρδεσι βάμματα. ita Vesp. 1139. κού θαῦμά γ'· εἰς Σάρδεις γὰρ οὐκ ἐλήλυθας. — *Ex Elmsl.* cf. annot. ad Pac. 1103. praeterea Palmerius annotavit, purpurae tingendae artificium Sardianis tribui a Plinio H. N. 7, 56., Lydosque mercaturam purpurae exercuisse in graecis urbibus, velut illam Lydiam Thyatiris natam ap. Philippenses, de qua Lucas in Actis Apost. c. 16.

114. ἄλλως. ἠλιθίως καὶ ματαίως. S.

118. Κλ. ὁ Σιβ. cf. annot. ad Ran. 48. etc. S.: — οὗτος δὲ ὁ Κλ. ἀεὶ τὸ γένειον ἐξυρᾶτο πρὸς τὸ [ἀεὶ] φαίνεσθαι νέος. διὰ τοῦτο εὐνούχῳ αὐτὸν εἰκάζει. Be. conferri jussit Nub. 349., Thesm. 234., Equ. 1274. Sibyrtii palaestra a Plutarcho in vita Alcibiadis c. 3. commemoratur, ut Elmsl. notavit.

119. ita Suid. vv. Κλεισθένην ὁρῶ et Στράτων, merito plaudentibus viris doctis. inepte codd. Aristophanei ἐξευρημένε. S.: παροιδία χρῆται. ἔστι γὰρ ἐν τῇ Μηδείᾳ Εὐριπίδου (priorem quandam Medeae recensionem intelligit H. Voss.; sed vid. Elmsl. ad Med. 74., cui memoria lapsus videtur grammaticus.) ὦ θερμόβουλον σπλάγχνον. —

120. καὶ τοῦτο παρῴδηκεν ἐκ τῶν Ἀρχιλόχου ἐπῶν τοιήνδε δ', ᾧ πίθηκε, τὴν πυγὴν ἔχων. S. τοιόνδε δή, πίθηκε, Suid. v. Κλεισθένην ὁρῶ, quod placuit Elmsl.; sed ἐμφατικὸν est δὲ h. l., ut ap. Soph. El. 27. etc. „Cf. Huschke de Archilocho in Matthiaei Miscell. philol. I. p. 24., sive ante Furiae Aesopum p. CCXXV." *Dind.* ᾧ πίθηκε. de hoc convicio vid. annot. ad Ran. 664.

122. S.: καὶ οὗτος κωμῳδεῖται ὡς λωβώμενος τὸ γένειον καὶ λειαίνων τὸ σῶμα, ὡς Κλεισθένης (cf. Equ. l. l. ad 118.). ὥς φησιν αὐτὸς Ἀριστοφ. ἐν Ὀλκάσι παῖδες ἀγένειοι, Στράτων.

ΠΡ. ξυνήκαθ', ὃ λέγει;
ΔΙ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
ΠΡ. πέμψειν βασιλέα φησὶν ὑμῖν χρυσίον. —
λέγε δὴ σὺ μεῖζον καὶ σαφῶς τὸ χρυσίον.
ΨΕ. * οὐ λῆψι χρῦσο, χαννόπρωκτ' Ἴαοναῦ.
ΔΙ. οἴμοι κακοδαίμων, ὡς σαφῶς!
ΠΡ. τί δαὶ λέγει;
ΔΙ. ὃ τι; χαννοπρώκτους τοὺς Ἴάονας λέγει,
εἰ προσδοκῶσι χρυσίον ἐκ τῶν βαρβάρων.
ΠΡ. οὔκ, ἀλλ' ἀχάνας ὅδε γε χρυσίου λέγει.
ΔΙ. ποίας ἀχάνας; σὺ μὲν ἀλαζὼν εἶ μέγας.
ἀλλ' ἄπιθ'· ἐγὼ δὲ βασανιῶ τοῦτον μόνος.

Celtarum colonia habens, sic ista interpretatur, *très naturellement*, ut ait: „*Une chARTe est eMANée dES ARchives du SATRApe de la province dont lSaus étoit la capitale.*“ mirum sane est, ipso verborum sono monitos graeca hic non agnovisse viros doctos, et ea, quae apertam aptissimamque habent sententiam, „ἐγὼ ἄρτι μὲν ἐξηρξ' ἀναπισσοῦν αὐ σαθρά: ego vero (rex Persarum) *super coepi pice denuo inducere patria seu labefactata.* imago itidem haec navis, quae reficitur. cf. 96., 190. reflorescere ait res Persarum, concussas olim clade Marathonia, Plataeensi, Salaminia; quo dicto patriae amans Comicus instantis admonet periculi, barbarosque prius quam cives debellandos esse significat. graecam litteram θ non melius pronunciare callidus quam Scytha Thesm. 1007., 1115., 1117., 1126., σάτρα pro σαθρά dixit Pseudopersa.

101. μὰ — οὔ. fingit ista se non intellexisse Dicaeopolis, ne sibi ipsi, τῷ εἰρηναίῳ, suadendum sit bellum, seriisque rebus occupentur spectatorum animi. legatus autem placitura dicit Atheniensibus. — ceterum sic etiam Pac. 16.

103. Pseudartabam alloquitur. — μεῖζον, *majore voce.* Be. Vos.: *Du sag' es stärker und vernehmlich, baares Gold.*

104. Ἴαοναῦ. S. ad 106.: ὅτι πάντας τοὺς Ἕλληνας Ἴάονας οἱ βάρβαροι ἐκάλουν, προείρηται. καὶ Ὅμηρος Ἰάονας ἑλκεχίτωνας. τὸ δὲ αὖ ἀντὶ τοῦ οὐ βαρβαρίζων ἔφη. S. at modo dixit οὐ (non αὖ) λῆψει, h. e. *οὐ λήψει.* imo refectis opibus barbarorum (100.) non aurum *rursus* (αὖ) ab illis expectandum esse ait, velut post victorias Graecorum ad Mycalen et Eurymedontem Ol. 75, 1., Ol. 77, 2., sed clades atque interitum. igitur scribendum est: *οὐ λ. χρῦσο, χ. Ἴαον, αὖ.*

105. ita Elmsl. et Dind. vulgo: τί δ' αὖ λέγει: sed αὖ non minus quam γὲ suspectum esse ait, et recte quidem, Elmsl., ubicunque nihil addit sententiae. praeterea haec sub praeconis persona leguntur in codd.; sed vere Br., cui obtemperaverunt recentiores: „Contra morem est,“ inquit, „concionum, in quibus praeconem verba facere non decet, nisi si quid proclamandum sit. ironica est percontatio, quae in legati partes transferri debet —. Dicaeop. indignabunde dixerat: *hei mihi misero, quam clare!* legatus [qui interpretem agit], aegre ferens aliquem sibi obstare quin populum decipiat, eum rogat: *quid ergo dicit*, quandoquidem ejus verba tam probe intelligis?“

106. χαννοπρώκτους, γαύνους, h. e. vanos seu stolidos, oblitterata significatione verbi πρωκτός. Pindarus Nem. 8, 45. ed. Thiersch.: πενταν δ' ἐλπίδων γαῦνον τέλος.

108. ὅδε pro ὁδί Bentl. Elmsl.

ΔΙ. ἕτερος ἀλαζὼν οὗτος εἰσκηρύττεται.
ΘΕ. χρόνον μὲν οὐκ ἂν ἦμεν ἐν Θρᾴκῃ πολὺν...
ΔΙ. μὰ Δί' οὐκ ἄν, εἰ μισθόν γε μὴ 'φερες πολύν.
ΘΕ. εἰ μὴ κατένιψε χιόνι τὴν Θρᾴκην ὅλην,
καὶ τοὺς ποταμοὺς ἔπηξ' ὑπ' αὐτὸν τὸν χρόνον,
ὅτ' ἐνθαδὶ Θέογνις ἠγωνίζετο.
τοῦτον μετὰ Σιτάλκους ἔπινον τὸν χρόνον·
καὶ δῆτα φιλαθήναιος ἦν ὑπερφυῶς,
ὑμῶν τ' ἐραστὴς ἦν ἀληθῶς, ὥστε καὶ
ἐν τοῖσι τοίχοις ἔγραφ' ΑΘΗΝΑΙΟΙ ΚΑΛΟΙ.
ὁ δ' υἱὸς, ὃν Ἀθηναῖον ἐπεποιήμεθα,
ἦρα φαγεῖν ἀλλᾶντας ἐξ Ἀπατουρίων,
καὶ τὸν πατέρ' ἠντιβόλει βοηθεῖν τῇ πάτρᾳ·

edd. ante Br., quae in fine versus Θέωρ' addunt praeconi tributum, versu quidem pessumdato. ὀδὶ Comicorum est et vulgaris dialecti atticae. vide 122. etc.

137. seqq. de mercede legatorum cf. 66, de Theognide isto 11. S.: — κωμῳδῶν οὖν αὐτὸν παρίστησιν ἡμῖν τὴν πολλὴν χιόνα διὰ τὴν τούτου περὶ τὰ ποιήματα ψυχρότητα. — Thesm. 176. ὁ δ' αὖ Θέογνις ψυχρὸς ὢν ψυχρῶς ποιεῖ. annotavit Be.

143. φιλεῖν et ἐρᾶν eodem modo conjungit noster in Equ. 681. ὁτιὴ φιλῶ σ', ὦ Δῆμ', ἐραστής τ' εἰμὶ σός. 1241. ὦ Δῆμ', ἐραστὴς εἰμὶ σός, φιλῶ τέ σε. Elmsl.

144. ἴδιον ἐραστῶν ἦν τὰ τῶν ἐρωμένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις, ἢ δένδροις, ἢ φύλλοις, οὕτως ὁ δεῖνα καλός. καὶ παρὰ Καλλιμάχῳ· ἀλλ' ἐνὶ δὴ φύλλοισι κεκομμένα τόσσα φέροιτε Γράμματα, Κυδίππην ὡς ἐρέουσι καλήν. καὶ ἐν τοῖς Σφηξίν (99.)· ἴων παρέγραψε (πλησίον) „Κημὸς καλός." καὶ Λιβάνιος φιλοῦσι γὰρ οἱ σφόδρα περί τι ἐρωτικῶς ἔχοντες ἡδέως συνεῖναι καὶ τοῖς ὀνόμασι. S. praeterea de hoc more amantium interpp. conferri jubent schol. ad Vesparum l. l., Lucianum Amor. c. 47., Suidam vv. ὁ δεῖνα καλὸς et Ῥαμνουσία, Mercerum ad Aristaenet. Ep. 1, 10., Creuzerum praef. Plotini p. XXV.

145. Sadocus vocatur ap. Thuc. l. 2., ubi refertur, cur Athenn. cum Sitalce societatem inierint, eiusque filium civem fecerint. hunc dicit Comicus intercessisse pro Atheniensibus ap. patrem de auxilio mittendo. Be. De Sitalce et filio Sadoco consulendus Thuc. 2, 29., 67., 95. — 101.; 4, 101. Elmsl.

146. (ἐξ Ἀπατ.) χαριέντως, ὡς ἐξαπατωμένων τῶν Ἀθηναίων. λέγει δὲ νῦν περὶ Ἀπατουρίων, ἑορτῆς ἐπισήμου δημοτελοῦς, ἀγομένης παρὰ τοῖς Ἀθηναίοις κατὰ τὸν Πυανεψιῶνα μῆνα ἐπὶ τρεῖς ἡμέρας. καλοῦσι δὲ τὴν μὲν πρώτην δόρπειαν, ἐπειδὴ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο· τὴν δὲ δευτέραν ἀναῤῥύσιν ἀπὸ τοῦ θύειν (ἔθυον δὲ Διὶ φρατρίῳ καὶ Ἀθηνᾷ)· τὴν δὲ τρίτην κουρεῶτιν ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας· ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκους. — S. omisi quae parum certa tradidit schol. de notatione nominis Ἀπατουρίων. cf. scriptores antiquitatum gr. h. v. — ἀλλᾶντος Br. ex membranis Paris., ut, notante Elmsl., Equ. 1081. φαγεῖν ἐλατῆρος. sed facit pluralis ad edacitatem barbari. cf. 77. sequ.

147. τὸν πατέρα, τῇ πάτρᾳ. lusus verborum, et quidem ambiguus: nam πάτρα et Attica intelligi potest,

ὁ δ' ὤμοσε σπένδων βοηθήσειν, ἔχων
στρατιὰν τοσαύτην ὥστ' Ἀθηναίους ἐρεῖν
Ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται! —
ΔΙ. κάκιστ' ἀπολοίμην, εἴ τι τούτων πείθομαι,
ὧν εἶπας ἐνταυθὶ σὺ, πλὴν τῶν παρνόπων.
ΘΕ. καὶ νῦν ὅπερ μαχιμώτατον Θρᾳκῶν ἔθνος
ἔπεμψεν ὑμῖν.
ΔΙ. τοῦτο μέν γ' ἤδη σαφές.
ΚΗ. οἱ Θρᾷκες, ἴτε δεῦρ', οὓς Θέωρος ἦγαγε.
ΔΙ. τουτὶ τί ἐστι τὸ κακόν;
ΘΕ. Ὀδομάντων στρατός.
ΔΙ. ποίων Ὀδομάντων; εἰπέ μοι. — τουτὶ τί ἦν;
τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακε;

quam intelligi vult Theorus, et Thracia, quam revera juvaturus erat Sitalces exercitu mittendo in Graeciam, terram longe opulentiorem amoeniorem-que.

150. ὡς πολλῶν ὄντων παρνόπων ἐν τῇ Ἀττικῇ. βούλεται δὲ πολὺ πλῆθος σημᾶναι. εἶδος δὲ ἀκρίδων οἱ πάρνοπες. εἰσὶ δὲ οὗτοι ἀττέλαβοι. Ἀττικοὶ πάρνοπες. S. at alis carere dicuntur ἀττέλαβοι (vide Schneideri lex. h. v.), itaque non facile in longinquas regiones deferri possunt. quare malim intelligi locustam, seu gryllum migratorium Linn. (*den Wanderer*), de quo animali videndi sunt Plin. 11, 29., et scriptores historiae naturalis.

151. κακ. ἀπολ. cf. 443.

152. ἐνταυθοῖ vulgo, quae ionica forma est. ἐνταῦθα Rav. atticum est ἐνταυθὶ, ut ἐνθαδὶ, ἐνθενδὶ, ἐντευθενί. ἐνταυθὶ habet Rav. in Lys. 570. et fortasse alibi. in Thesm. 611. omnes ἔν γε ταυθὶ etc. *Elmsl.* πλὴν τῶν παρνόπων. eorum et numero, et voracitate, similes fore significat Thracas, qui duce Sitalce venturi sint in Graeciam.

153. ἔθνος. sic membr. vulgo γένος. *Bc.* (hoc videtur suffectum ab aliquo, qui metro timeret imperite.)

154. τοῦτο — σαφές. τοῦτο φενδεται, ὡς ἀσθενῶν ἢ ὀλίγων ὄντων. S.

156. non Odomantorum, sed Odrysarum rex est Sitalces ap. Thucydidem 2, 101.: — καθημένου δ' αὐτοῦ (τοῦ Σιτάλκους) περὶ τοὺς χώρους τούτους, οἳ πρὸς νότον οἰκοῦντες Θεσσαλοὶ, καὶ Μάγνητες, καὶ οἱ ἄλλοι ὑπήκοοι Θεσσαλῶν, καὶ οἱ μέχρι Θερμοπυλῶν Ἕλληνες ἐφοβήθησαν, μὴ καὶ ἐπὶ σφᾶς ὁ στρατὸς χωρήσῃ, καὶ ἐν παρασκευῇ ἦσαν. ἐφοβήθησαν δὲ καὶ οἱ πέραν Στρυμόνος πρὸς βορέαν Θρᾷκες, ὅσοι πεδία εἶχον, Παναῖοι, καὶ Ὀδόμαντοι, καὶ Δρῶοι, καὶ Δερσαῖοι· αὐτόνομοι δ' εἰσὶ πάντες. cf. annot. ad 158.

157. τουτὶ τί ἦν; *hoc quid erat?* i.e. *quid hoc rei est?* quo sensu dici solet ἦν. τουτὶ τί ἐστι; idem dixit 264.

158. ita Suid. vv. ἀποτεθρίακεν, Ὀδόμαντες, πέος, schol. ad Equ. 932., Elmsl., Dind., nisi quod dedit ἀποτεθρίακεν. conferendi etiam alii lexicographi, quos laudant editores. vulgo codd.: — ἀποτέθρακεν ἄν; voce nihili, C Paris. ἀποτέθρακε; τίς; Annotavit Elmsl., saepenumero librariis fraudi fuisse productam priorem syllabam in θρῖον, velut infra 1035. et Vesp. 1269. eam syllabam corripientes h. l. alii ἄν, alii addidere τίς, quo deficere visos versiculi numeros explerent. Hesych. a K. emendatus: ἀποτεθρίακεν· ἀποπεφύλλικεν, (ab ἀποφυλλίζειν, folia destringere,) ἀπεκάθηρεν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν συκοφύλλων (συκῆς φύλλων).

ΘΕ. τούτοις ἐάν τις δύο δραχμὰς μισθὸν διδῷ,
καταπελτάσονται τὴν Βοιωτίαν ὅλην.
ΔΙ. τοισδὶ δύο δραχμὰς τοῖς ἀπεψωλημένοις;
ὑποστένοι μὲν τἄν ὁ Θρανίτης λεώς,
ὁ σωσίπολις. οἴμοι τάλας, ἀπόλλυμαι,

S.: ἀποτέθρακεν. ἀνέτιλε. κυρίως δὲ ἀπεφύλλησε (ἀπεφύλλισε) συκᾶς. θρῖα γὰρ τὰ φύλλα τῆς συκῆς· ἐλειαίνοντο δὲ καὶ ἀπετίλλοντο οἱ Θρᾷκες τὰ αἰδοῖα, καὶ ἀποσεσυρμένα εἶχον αὐτά. hoc quid intelligat S., ex ejus annotatione ad praegressum versum colligas hac: Ὀδομάντων. ἔθνος Θρᾳκικόν. φασὶ δὲ αὐτοὺς Ἰουδαίους εἶναι. idemque significare videtur τὸ ἀπεψωλημένοις 161., quam vocem K. interdum (velut Plut. 267.) significare ait *recutitum* seu *circumcisum*, quales hodieque sunt Judaei, et olim fuerunt Phoenices atque Aegyptii. accedit, quod inepta est Küsteri interpretatio, Odomantos vel ex more, vel libidine, identidem destrinxisse veretrum, sive glandem ejus nudasse; qui sensus vereor ut vel ex verbis effici possit Aristophanis. verum est tamen, quod idem opponit, ab alio nemine circumcisionem tradi Odomantorum. quanquam omnino parum scimus de minoribus semiferisque gentibus illis Thraciae.

159. δύο δραχμάς. vid. annot. ad 65. seqq.

160. καταπελτ. κατακοντίσουσι, καταπολεμήσουσι. πέλτη γὰρ εἶδος μηχανῆς, ἀφ' ἧς ἀκόντια καὶ ἄλλα τινὰ πέμπουσιν. (?) ἢ καταδραμοῦνται. πέλτη γὰρ ἀσπὶς μικρὰ μὴ ἔχουσα ἱμάντα. (imo ἴτυν, umbonem, quo pariter carebant clipei Phoenicum, teste Herodoto 7, 89. schol. Plat. ad Amat. 4.: πέλτη δὲ ἀσπὶς ἴτυν οὐκ ἔχουσα, ἢ τετράγωνος etc.) ἐχθροὶ δὲ ἦσαν καὶ οἱ Βοιωτοὶ τοῖς Ἀθηναίοις. S. Apparet, peltastas sive parmularios fuisse hos Thracas. Thuc. 2. (29.) πείσειν γὰρ (ὑπεδέχετο) Σιτάλκην πέμπειν στρατιὰν Θρᾳκίαν Ἀθηναίοις ἱππέων τε καὶ πελταστῶν. vide Lys. 529. (ἕτερος δ' αὖ Θρᾷξ πέλτην σείων κἀκόντιον, ὥσπερ ὁ Τηρεύς.) Be. Hesych.: καταπελτάσονται· καταδραμοῦνται· ἀπὸ τῶν πελταστῶν. Thuc. 2, 29. πείσειν etc. adde Lys. l. l. Xenophont. Memor. Socr. 3, 9, 2. δῆλον μὲν γὰρ, ὅτι Σκύθαι καὶ Θρᾷκες οὐκ ἂν τολμήσειαν ἀσπίδας καὶ δόρατα λαβόντες Λακεδαιμονίοις διαμάχεσθαι (μάχεσθαι alii.)· φανερὸν δὲ, ὅτι καὶ Λακεδαιμόνιοι οὔτ' ἂν Θρᾷξιν ἐν πέλταις, οὔτε Σκύθαις ἐν τόξοις ἐθέλοιεν ἂν διαγωνίζεσθαι. Elmsl.

161. τοῖς ἀπ. vid. annot. ad 158.

162. ὁ θρᾶν. λεώς. ἀντὶ τοῦ ὁ ναυτικός. ἐκ μέρους δὲ τὸ πᾶν εἶπε· τῶν γὰρ ἐρεττόντων οἱ μὲν ἄνω ἐρέττοντες θρανῖται λέγονται, οἱ δὲ μέσοι ζευγῖται, οἱ δὲ κάτω θαλάμιοι. ὁ δὲ λόγος, εἰ οἱ Ὀδόμαντες τοσαῦτα λαμβάνουσι, πᾶν τὸ παρ' ἡμῶν ναυτικὸν πλῆθος ἀγανακτήσει, πολλὰ μὲν ἐν ταῖς τριήρεσι καμόντες, ὀλίγα δὲ λαμβάνοντες. S. cf. Ran. 1013. Voss.: „Der tapfern Seemacht verdankt Athen Freiheit und bürgerliche Verfassung; auf dem Meere beruht seine Heldenkraft. Darum war der Rednerstein auf der Pnyx so gestellt, dass der Redner nach dem Meer schaute. Als Athen sich unter Lakedämons Joch beugen musste (Olymp. 94, 1.), liessen ihn die 30 Tyrannen, die das Meer als die Quelle der Demokratie ansahn, umstellen."

163. οἶμοι τάλας. δεῖ νοεῖν, ὅτι ἐκ τῶν ἀγρῶν ἔρχεται ὁ Δικαιόπολις, ἔχων φορτίον σκορόδων, καὶ ἠπηρεάζετο ὑπὸ τῶν ξένων, ὡς ἐκείνων λιμωττόντων καὶ ἁρπαζόντων τὰ σκόροδα. τοῦτο δὲ εἶπε πορθούμενος, παρόσον καὶ οἱ πορθούμενοι ἀπόλλυνται. ἁρέσκονται δὲ τοῖς σκορόδοις οἱ Θρᾷκες· θερμὰ γὰρ τὰ σκόροδα φυσικῶς, οἱ δὲ Θρᾷκες ψυχρὰν χώραν νέμονται. S. allia cibus vulgaris, praesertim pauperum, Athenis: vide Plut. 814. etc. Elmsl.: Cibaria secum in

ὑπὸ τῶν Ὀδομάντων τὰ σκόροδα πορθούμενος!
οὐ καταβαλεῖτε τὰ σκόροδ'; —

ΘΕ. ὦ μόχθηρε σὺ,
οὐ μὴ πρόσει τούτοισιν ἐσκοροδισμένοις;

ΔΙ. ταυτὶ περιείδεθ', οἱ Πρυτάνεις, πάσχοντά με
ἐν τῇ πατρίδι, καὶ ταῦθ' ὑπ' ἀνδρῶν βαρβάρων;
ἀλλ' ἀπαγορεύω μὴ ποιεῖν ἐκκλησίαν
τοῖς Θρᾳξὶ περὶ μισθοῦ· λέγω δ' ὑμῖν, ὅτι
διοσημία 'στὶ, καὶ ῥανὶς βέβληκέ με.

ΚΗ. τοὺς Θρᾷκας ἀπιέναι, παρεῖναι δ' εἰς ἔνην·
οἱ γὰρ Πρυτάνεις λύουσι τὴν ἐκκλησίαν.

ΔΙ. οἴμοι τάλας, μυττωτὸν ὅσον ἀπώλεσα!
ἀλλ' ἐκ Λακεδαίμονος γὰρ Ἀμφίθεος ὁδί.

concionem attulerat Dic., de quo more noster Eccl. 306. seqq.

165. haec dicens Dic. Thracas invadit, alliaque recipere conatur sua; sed pugnis accipitur. quem cavere jubet Theorus, ne rursus aggrediatur barbaros iratos.

165. *ὦ μόχθ. σί. o miser*, qui sic deverberatus sis a Thracibus.

166. *ἐσκορ. ἀντὶ τοῦ σφοδροῖς καὶ πικροῖς γενομένοις, μετειληφόσι τῶν σκορόδων, ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων. τούτοις γὰρ, ὅτε μέλλουσι μάχεσθαι, σκόροδα δίδονται ἐσθίειν, ἵνα θερμανθέντες ὀξύτεροι γένωνται. ὡς καὶ ἐν Ἱππεῦσί φησιν* (461.)· *ἵν' ἄμεινον, ὦ 'τᾶν, ἐσκορoδισμένος μάχῃ.* S. Hesych.: *ἐσκορoδισμένος· σκόροδα βεβρωκώς. Ἀριστοφ. ἐν Ἀχαρνεῦσι παίζει* etc. vide Equ. l. l. [ubi plura Casaub. et interpp. de hisce pugnis gallorum gallinaceorum, quibus pugnis mire delectabantur Athenn.] activum *ἐσκορόδισας* est in ejusdem fabulae v. 877. *Elmsl.* cf. 491.

167. *περιείδετε, περιορᾶτε, περιόπτεσθε*, ut 55. Frischlin.: *haeccine pati me sinitis, urbis praesides*—?

171. *παρεφυλάττοντο γὰρ οἱ Ἀθηναῖοι τὰς τοῦ Διὸς ἡμέρας, καὶ διέλυον τὰς ἐκκλησίας διοσημίας γενομένης, ἢ ἄλλο τι μέλλοντες ἀνύειν. διοσημία δέ ἐστιν ὁ παρὰ καιρὸν χειμών.* S. Congregato in concione populo, si tempestas subita ingrueret, vel omen aliquod inauspicatum se offerret, solvebatur illico concio, et in alium diem indicebatur. *Br.* Cf. Schoemann. de comitiis p. 148. *Dind.* — *ῥανίς. σταλαγμὸς, σταγών.* gl. Victor. gutta pluviae.

172. *παρ. δ' εἰς ἔνην. (ἔνην.) οἷον εἰς τρίτην.* S. — Hesych. quoque, ut annotant interpp.: *εἰς ἔνην· εἰς τρίτην.* et similiter Harpocration v. ἔνην. praeterea evolvi jubent Schoemanni librum laudatum p. 46., cui adjungendus Ideleri germ. *über die astron. Beobachtungen der Alten* p. 178. sequ. Hesiodus Op. et D. 410. (380.) *μηδ' ἀναβάλλεσθαι ἕς τ' αὔριον, ἕς τ' ἔννηφιν*, quo loco fortasse scribendum est metri gratia *ἕς τε ἔνηφιν*, non geminata *ν* littera, cum ex hoc ipso Aristophanis versu intelligatur, brevem esse priorem syllabam in *ἔνη*.

173. *λύουσι.* verbum proprium. Elmsl.: Meminerint tirones, *λύεσθαι μὲν τὴν ἐκκλησίαν, ἀφίεσθαι δὲ τὴν βουλὴν καὶ τὰ δικαστήρια.* vide Vesp. 570., Eccl. 376. etc.

174. *μυττωτόν. ἀντὶ τοῦ σκόροδα* (quae Thraces diripuerant), *ἐξ ὧν ὁ μυττωτὸς γίνεται. κατασκευάζεται δὲ ἀπὸ τυροῦ, καὶ σκορόδου, καὶ ᾠοῦ.* (—allioram praecipuus usus in moreti confectione, ut ostendit Virgilii [Virgilio tributum] carmen. *Br.*) *ἀπὸ τοῦ παντὸς οὖν κατασκευάσματος τὸ μέ-*

χαῖρ', Ἀμφίθεε!

ΑΜ. μήπω γε, πρὶν ἂν ἔσω τρέχω·
δεῖ γάρ με φεύγοντ' ἐκφυγεῖν Ἀχαρνέας.

ΔΙ. τί δ' ἐστίν;

ΑΜ. ἐγὼ μὲν δεῦρό σοι σπονδὰς φέρων
ἔσπευδον· οἱ δ' ὥσφροντο πρεσβῦταί τινες
Ἀχαρνικοὶ, στιπτοὶ γέροντες, πρίνινοι,
ἀτεράμονες, Μαραθωνομάχαι, σφενδάμνινοι·
ἔπειτ' ἀνέκραγον πάντες „Ὦ μιαρώτατε,
σπονδὰς φέρεις τῶν ἀμπέλων τετμημένων;“
κἀς τοὺς τρίβωνας ξυνελέγοντο τῶν λίθων·

ρος ἐδήλωσε, τουτέστι τὰ σκόροδα. S.

176. libri mira corruptione — πρὶν ἂν στῶ τρέχων. μήπω γε. scil. εἰπὲ Χαῖρε. frustra Br. et ab eo editores πρ. ἄν γε στῶ τρέχων. (!) cf. 202, 203.

177. Ἀχαρνέας. isti persequuntur Amphitheum, quod senserunt eum pacem ferre; adversantur autem paci prae ceteris Athenienſibus, quia eorum pagus Acharnae erat maximus et praecipue augebat militiam Athenienſium, teste Thuc. l. 2. (c. 19.) hinc sperabant fore, ut adhuc ulciscerentur Lacedaemonios, qui ipsorum agros vastaverant. Be. verbo simplici additum compositum ejusdem stirpis, ut Eurip. Phoen. 1145., ubi vidd. Schaeferus et interpp.

179. ἀντὶ τοῦ ἤσθοντο εἶπε τὸ ὤσφροντο. — S. Terent. Ad. 3, 3, 42. *sinerem illum, aut non sex totis mensibus Prius* olfecissem *quam ille quidquam coeperet?* ὤσφροντο ab ὀσφρεσθαι, ut ὀσφρήσεται Pac. 152., ὀσφρόμενος Thesm. 495. vid. Elmsl.

180. sequ. στιπτοί. ἀντὶ τοῦ πυκνοί. εἴρηται δὲ ἀπὸ τῶν ἐσθήτων, αἵτινες ὑφανθεῖσαι εἰς πυκνότητα συνάπτονται. ἢ ἀντὶ τοῦ στερεοὶ καὶ πεπιλημένοι, ἀπὸ τοῦ στείβειν, ὃ ἐστι πατεῖν. S. annotavit Elmsl., στεριφνοὶ pro στέριφοι vel στρυφνοὶ (Vesp. 846. στρυφνὸν καὶ πρίνινον ἦθος) legi apud Erotianum v. στεριφνούς: quae videtur esse διττογραφία. „Receptam,“ inquit, „tuetur Hesych.: στιπτός· πυκνός, ἢ στερεὸς καὶ πεπιλημένος, ἀπὸ τοῦ στείβειν, τὸ πατεῖν. Hesychii simillima habet schol., cui pro συνάπτονται restituendum συμπατοῦνται ex Polluce 7, 38. scholiasten describit Suid. in στιπτοί. plura dabit Ruhnken. ad Tim. p. 156., 238.“ — πρίνινοι. στερεοὶ καὶ σκληροί· ἰσχυρὸν γὰρ τὸ τῆς πρίνου ξύλον. (ilex. vid. Ran. 812.) καὶ Ἡσίοδος (Op. et D. 436.)· πρίνου δὲ γύην. καὶ πάλιν (ibid. 429.)· πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστιν. (Be.: Vesp. 882. [877.] πρίνινον ἦθος. ibid. 370. τὸν πρινώδη θυμόν.) ἀτεράμονες δὲ σκληροί, μὴ τειρόμενοι, ἀνένδοτοι. κυρίως δὲ τὰ μὴ ἐψόμενα τῶν ὀσπρίων ἀτεράμονα λέγεται, οἷον οὐχ ἁπαλά. (Vesp. 700. μηδ' ἀτενὴς ἄγαν ἀτεράμων τ' ἀνήρ. Ex Be.) σφενδάμνινοι. ἰσχυροί. τοιοῦτον γὰρ τὸ τῆς σφενδάμνου ξύλον. (*acer*, sive campestre, sive, quod malim, *acer pseudoplatanus* Linn., *Massholder*. vide Billerbeck. Flor. class. p. 246. et quos laudat scriptores, inprimis Theophrast. H. pl. 3, 4. et 11., Plin. H. N. 16, 16. et 43.) — S. Voss.: *Da witterten mich graubärtige Acharnergreise, derbe, wie Steineichenholz, Kernfest, marathonischer Kämpferstamm, Ahorngewächs.*

183. τῶν ἀμπ. τετμ. οἱ γὰρ Πελοποννήσιοι εἰσβάλλοντες εἰς τὴν Ἀττικὴν ἔτεμνον τὴν γῆν τῶν Ἀχαρνέων. S. vid. Thuc. 2, 19. seqq. Be. contulit infra 477.

184. τρίβωνας, *vestes tritas*. cf. 316., Plut. 709., F. A. Wolf. ad Plat. Sympos. 34, 7.

ἐγὼ δ' ἔφευγον· οἱ δ' ἐδίωκον, κἀβόων.
ΔΙ. οἱ δ' οὖν βοώντων. ἀλλὰ τὰς σπονδὰς φέρεις;
ΑΜ. ἔγωγέ φημι, τρία γε ταυτὶ γεύματα.
αὗται μέν εἰσι πεντέτεις. γεῦσαι λαβών.
ΔΙ. αἰβοῖ!
ΑΜ. τί ἔστιν;
ΔΙ. οὐκ ἀρέσκουσίν μ', ὅτι
ὄζουσι πίττης καὶ παρασκευῆς νεῶν.
ΑΜ. σὺ δ' ἀλλὰ τασδὶ τὰς δεκέτεις γεῦσαι λαβών.
ΔΙ. ὄζουσι χαὗται πρέσβεων ἐς τὰς πόλεις
ὀξύτατον, ὥσπερ διατριβῆς τῶν ξυμμάχων.
ΑΜ. * ἀλλ' αὗταί σοι σπονδαὶ τριακοντούτιδες
κατὰ γῆν τε καὶ θάλατταν.
ΔΙ. ὦ Διονύσια!
αὗται μὲν ὄζουσ' ἀμβροσίας καὶ νέκταρος,
καὶ μὴ 'πιτηρεῖν σιτί' ἡμερῶν τριῶν,

186. βοώντων· pro βοάτωσαν, attice. vide Be. ad h. l., Matth. gr. §. 193. etc.

187. τρία — γεύματα. (*gustum triplicem*, h. e. tres lagenas vini, quas attulit.) ἔπαιξε παρὰ τὰς σπονδάς, ἐπεὶ οἴνῳ γίνονται αἱ δι' ὅρκων συνθῆκαι. ἀντὶ δὲ τοῦ εἰπεῖν ἀφάγνωθι εἶπε γεῦσαι. S.

190. ὄζ. πίττης. κοινὸν ἐπὶ οἴνου καὶ νεὼς τὸ πίσσης ὄζειν· ἔστι γὰρ πισσίζων οἶνος. ὁ δὲ λόγος, ὄζουσιν αἱ σπονδαὶ αὗται κατασκευῆς τριήρων διὰ τὸ ὀλιγοχρόνιον αὐτῶν. εἰς τὰς πόλεις δὲ, τὰς τῶν συμμάχων. S.

191. ἀλλὰ, *saltem*. cf. 970.

193. ὀξύτατον, ὥσπερ etc. potest hoc videri asyndeton sermonis familiaris. nec tamen male, opinor, scripseris ὡς τε διατρ. τ. ξ., *et uti mora sociorum*. misceri nonnunquam has voculas novimus ex Porsoni annotatis ad Euripidis Hecubam et Medeam.

194. ita Rav., corrupto quidem metro, sed eleganter usurpato pronomine *soi*, quod desideratur in vulgatis libris, quare olim scribendum esse existimavi, deleto verbo σπονδαὶ, tanquam interpretatione, ἀλλ' αὗταί *soi toi τριακ.*, quemadmodum σέ τοι Plut. 1095. et similia alibi leguntur; necdum poenitet conjecturae. quodsi quis tamen est, qui malit ἀλλ' α. τοί σοι τρ., ut Av. 356. in Rav. ἀλλ' ἐγώ τοί σοι λέγω, non refragabor; sed alterutrum horum hic ponendum esse arbitror potius quam illa, quae Elmsl. suasit, itidem expuncto σπονδαὶ, nec commemorata emendatione nostra, ἀλλ' α. δή σοι τρ., vel ἀλλ' α. γάρ σοι τρ.: idque propterea quod difficile dictu est, cur δὴ vel γὰρ omissum fuerit ab oscitantibus librariis; perfacile, cur τοι, quippe simillimum τῷ σοι, ita ut simile simili offecisse videatur, ut passim factum. ceterum eadem ellipsis est 188., 191., 192., 196.

195. ὦ Διον. θαυμάζων ταῦτα λέγει, — προσδοκῶν, εἰρήνης οὔσης τὴν τῶν Διονυσίων πανήγυριν ἔσεσθαι. — S. descripsit haec suo more Suidas v. Διονύσια.

197. καὶ μὴ ἐπιτηρεῖν. εἴ ποτε γὰρ ἔξοδος ἐπὶ στρατὸν (στρατείαν) ἐγένετο, εἰώθεσαν οἱ στρατηγοὶ προλέγειν τοῖς στρατιώταις, ὡστε τριῶν ἡμερῶν παρασκευάζεσθαι σιτία. σκώπτει οὖν τοῦτο τὸ στρατηγικὸν παράγγελμα, ὡς ἀηδὲς καὶ βαρὺ τοῖς εἰρήνης ἐπιθυμοῦσι. S. cf. jubente Br., Pac. 312. et καθ' ὑπόνοιαν

κἀν τῷ στόματι λέγουσι· „Βαῖν', ὅποι θέλεις.“
ταύτας δέχομαι, καὶ σπένδυμαι, κἀκπίομαι,
χαίρειν κελεύων πολλὰ τοὺς Ἀχαρνέας·
ἐγὼ δὲ πολέμου καὶ κακῶν ἀπαλλαγεὶς
ἄξω τὰ κατ' ἀγροὺς εἰσιὼν Διονύσια.

ΑΜ. ἐγὼ δὲ φευξοῦμαί γε τοὺς Ἀχαρνέας.

ΧΟ. τῇδε πᾶς ἕπου, δίωκε, καὶ τὸν ἄνδρα πυνθάνου t. t. c. στ.
τῶν ὁδοιπόρων ἁπάντων· τῇ πόλει γὰρ ἄξιον
ξυλλαβεῖν τὸν ἄνδρα τοῦτον. ἀλλά μοι μηνύσατε,
εἴ τις οἶδ', ὅποι τέτραπται γῆς ὁ τὰς σπονδὰς φέρων. —

dictum illud Vesp. 243. ἔχοντες ἡμερῶν ὀργὴν τριῶν. Plautus Cas. 3, 1, 10. *Cum cibatu quiqui facito ut veniant, quasi eant Sutrium*, ubi vidd. interpp. — ἐπιτηρεῖν, *observare*, ut parata sint, cum opus fuerit.

198. κἀν τῷ στ. ὡς γυναῖκας εἰδωλοποιεῖ τὰς σπονδάς· στόμα γοῦν αὐταῖς προστίθησιν. ἢ ἐν τῷ ἡμετέρῳ στόματι, γευσαμένων ἡμῶν, μονονουχὶ φωνὴν ἀφιᾶσιν. (hoc recte.) ἄλλως. λέγουσι, φησίν, αἱ σπονδαὶ Ἄπιθι ὅπου θέλεις. εἰκότως· ἐν γὰρ πολέμῳ διὰ τὰς ἐπιδρομὰς τῶν πολεμίων καὶ τῆς πολιορκίας οὐκ ἔστιν ἀπελθεῖν ὅπου τις βούλεται. S. Rav. Elmsl. Dind. ὅπῃ θέλεις.

202. τὰ κατ' ἀγροὺς Διονύσια. τὰ Λήναια λεγόμενα. (ἄλλως.) ἔνθεν τὰ Λήναια καὶ ὁ ἐπιλήναιος ἀγὼν τελεῖται τῷ Διονύσῳ. Λήναιον γάρ ἐστιν ἐν ἀγροῖς ἱερὸν τοῦ Διονύσου —. S. idem infra ad 469.: αὐτοὶ γάρ ἐσμεν. οἷον μόνοι Ἀθηναῖοι χάριν (imo χωρὶς) τῶν συμμάχων καὶ ξένων· χειμῶνος γὰρ λοιπὸν ὄντος εἰς τὰ Λήναια καθῆκε τὸ δρᾶμα. εἰς δὲ τὰ Διονύσια (τὰ μεγάλα) ἐτέτακτο Ἀθήναζε κομίζειν τὰς πόλεις τοὺς φόρους, ὡς Εὔπολίς φησιν ἐν Πόλεσιν. ὀψὲ Ληναίῳ τ' ἀγῶν. ὁ τῶν Διονυσίων ἀγὼν ἐτελεῖτο δὶς τοῦ ἔτους· τὸ μὲν πρῶτον ἔαρος ἐν ἄστει, ὅτε οἱ φόροι Ἀθήνησιν ἐφέροντο· τὸ δὲ δεύτερον ἐν ἀγροῖς, ὁ ἐπὶ Ληναίῳ λεγόμενος, ὅτε ξένοι οὐ παρῆσαν Ἀθήνῃσι· χειμὼν γὰρ λοιπὸν ἦν. cf. argum. fabulae annot. 7. — εἰσιών. εἰς τοὺς ἀγροὺς. his dictis domum abit Dicaeopolis.

203. ita Rav. Elmsl. Dind. vulgo φεύξομαί γε.

204. ἐντεῦθεν παρῳδία (imo πάροδος) γίνεται τοῦ Χοροῦ, ὃν συμπληροῦσιν οἱ Ἀχαρνεῖς. παράγονται δὲ συντόνως [μετὰ σπουδῆς] διώκοντες τὸν Ἀμφίθεον, σπονδὰς ποιησάμενον πρὸς τοὺς Λακεδαιμονίους. γέγραπται δὲ τὸ μέτρον τροχαϊκὸν, πρόσφορον τῇ τῶν διωκόντων γερόντων σπουδῇ. τὸ δὲ τῇδε τοπικόν ἐστιν ἐπίῤῥημα, καὶ κεῖται ἐν ἴσῳ τῷ ἐνταῦθα. — S.

205. τῇ — ἄξιον. supra 8. ἄξιον γὰρ Ἑλλάδι. *Be.*

206. ita Rav. ceteri codd. μηνύετε, quae alterius scripturae videtur esse interpretatio. nam parum probabiliter Elmsl.: „Scilicet nesciebat,“ inquit, „librarius, secundam in μηνύω longam esse. eadem de causa invectum est ἴσχυσε pro ἴσχυε in Av. 488.“ vel aurium judicio praeferendum est μηνύσατε. cf. 270., 278. sequ., 314. etc. — alloquitur autem Chorus spectatores; quibus significare visis, aufugisse Amphitheum, serio quaerit: ἐκπέφευγ'; οἴχεται φροῦδος; (nam interrogatio haec est, secus ac vulgo arbitrantur;) idque nutu vel gestu affirmantibus spectatoribus exclamat οἴμοι etc. ita senex Plautinus Aul. 4, 5, 4.: *Obsecro vos ego, mi auxilio (oro, obtestor!) sitis et hominem Demonstretis, qui eam abstulerit!— Quid ais tu? tibi credere certum est: nam esse bonum e voltu cognosco. Hem, nemo habet horum?*

ἐκπέφευγ'; οἴχεται φροῦδος; οἴμοι τάλας τῶν ἐτῶν τῶν ἐμῶν! cr. hex.
οὐκ ἄν ἐπ' ἐμῆς γε νεότητος, ὅτ' ἐγὼ φέρων ἀνθράκων φορτίον
* ἠκολούθουν Φαύλλῳ τρέχων, ὧδε φαύλως ἄν ὁ σπονδοφόρος cr. pent.

Occidisti! Dic igitur, quis (, quis) habet! Nescis? Heu me miserum! etc.

208. Elmsl.: „Haec (208.—222.), quae una serie Choro tribui, diversis ejus partibus alii aliter distribuunt. nullus hic hemichorio locus est." *ἐκπέφ., o. φρ.;* similiter de Catilina Tullius Catil. 2, 1.: *excessit, evasit, erupit.* — *τῶν ἐτῶν τ. ἐ.* genitivus causae, ut 217. etc. vid. Matth. gr. §. 348.

209. malim meliore sententia, numeroque integriore: — *φορτίον ἄν ἠκολ., quando ego secutus essem, sequi valuissem.* Be.: *ἀνθράκων φορτίον.* de Acharnensibus passim in hac comoedia tanquam de carbonariis loquitur, quia illi praecipue coquerent et venderent carbones. (Ein grosser Theil der acharnischen Landleute, deren Eigenthum in ansehnlichen Waldungen bestand, waren Kohlenbrenner, und im Besitz, Athen mit diesem Bedürfniss zu versehen. *Wieland.*) nimis autem jactanter dicit senex, se juniorem cum onere secutum esse currendo Phayllum cursorem praestantissimum: nempe ut Milo cum bove in humeris cucurrit stadium.

210. delendum est *φαύλως*, cum sequatur *ἐλαφρῶς*, quod item significat *εὐχερῶς*, *μετὰ ῥαστώνης*, ut ait S. animadvertit hoc Hermannus in libro de metris Gr. et Rom. p. 191. praeterea sequente versu in vulgatis libris post *διωκόμενος* legitur *ἐξέφυγεν* et in Rav. *ἐξέφυγεν ἄν*, quae sunt merae interpretationes vocis exquisitae *ἀπεπλίξατο:* id quod et nos pridem intelleximus, cum ederemus Lectiones Aristophaneas, et postea compertum est idem sensisse Bentlejum, Elmslejo aliisque probantibus. legitur etiam *οὐδ' ἄν ἐλαφρῶς*, sed *ουκ ἄν ἐλ.*, quod item conjectura assecuti eramus, sp. Suidam v. *ἀπεπλίξατο*, idque recte, *ἐμφατικῶς* repetita negatione, ut Terentius Phorm. 2, 3. extrema *non, non sic futurum est*, Persius 3, 23. *nunc, nunc properandus* etc. dein videndum de antistropha, an ibi quoque deprehendi possit verbum, quod irrepsisse ex margine videatur. atqui sponte quaerentibus se offert 219. vox *ὀδυνηρός*, qua explicarunt *τὸ ὀξύς:* velut S.: *ὁ δὲ λόγος, πρὶν αὐτοὺς τρώσω, ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρὸς*, quemadmodum *τῷ καὶ* interpretationes significari solent scholiastarum et grammaticorum. igitur hoc quidem in loco sic scribendum est:

ἠκολούθουν Φαύλλῳ τρέχων, ὧδ' ἄν ὁ σπονδοφόρος cr. pent.
οὗτος etc.,

versu autem 219.:

ὀξὺς ἐπίκωπος, ἵνα — ἀμπέλους: qua ratione neque articulo, ut vulgo, terminabitur versus 210., quod invenustum, sed ipso nomine paeonico *σπονδοφόρος*, et supersedebimus insuitatis creticis septenariis, quibus alioqui finiendae essent hae strophae. ceterum priore horum locorum *ὧδε* jam pertinet ad *διωκόμενος*. — S.: *ὁ Φαύλλος ἄριστος δρομεὺς Ὀλυμπιονίκης, ὁπλιτοδρόμος περιώνυμος, ὃν ἐκάλουν ὁδόμετρον. ἦν δὲ καὶ πεντάθλος. ἐφ' οὗ καὶ ἐπίγραμμα τοιόνδε* (Anthol. Palat. 2. p. 851., 3. p. 949.)· *Πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος, Δίσκευσεν δ' ἑκατὸν πέντ' ἀπολειπομένων. ἐγένετο δὲ καὶ ἕτερος ἀθλητὴς ὀγδόην ὀλυμπιάδα νικήσας, καὶ τρίτος λωποδύτης.* de Phayllo cursore viri docti conferri jubent Vesp. 1169., Herodot. 8, 47., Pausan. 10, 9., ubi quidem haec leguntur: *Φαύλλῳ δὲ Κροτωνιάτῃ (Ὀλυμπίασι μὲν οὐκ ἔστιν αὐτῷ νίκη· τὰς δὲ Πυθοῖ πεντάθλου δύο ἀνείλετο καὶ σταδίου τὴν τρί-*

οὗτος, ὑπ' ἐμοῦ τότε διωκόμενος, οὐκ ἂν ἐλαφρῶς ἂν ἀπεπλίξατο· cr. hex.
νῦν δ' ἐπειδὴ στερρὸν ἤδη τοὐμὸν ἀντικνήμιον, ἀντ.
καὶ παλαιῷ Λακρατείδῃ τὸ σκέλος βαρύνεται,
οἴχεται. διωκτέος δέ· μὴ γὰρ ἐγχάνοι ποτὲ,
μηδὲ περ γέροντας ὄντας, ἐκφυγὼν Ἀχαρνέας,
ὅστις, ὦ Ζεῦ πάτερ καὶ θεοὶ, τοῖσιν ἐχθροῖσιν ἐσπείσατο,
οἷσι παρ' ἐμοῦ πόλεμος ἐχθοδοπὸς αὔξεται τῶν ἐμῶν χωρίων·
κοὐκ ἀνήσω, πρὶν ἂν σχοῖνος αὐτοῖσιν ἀντεμπαγῶ
* ὀξὺς, ὀδυνηρὸς, ἐπίκωπος, ἵνα μήποτε πατῶσιν ἔτι τὰς ἐμὰς ἀμπέλους.
ἀλλὰ δεῖ ζητεῖν τὸν ἄνδρα, καὶ βλέπειν Παλληναδε, t. t. c. ἐπ.

την· ἐναυμάχησε δὲ καὶ ἐναντία τοῦ Μήδου, ναῦν τε παρασκευασάμενος οἰκείαν, καὶ Κροτωνιατῶν ὁπόσοι ἐπεδήμουν τῇ Ἑλλάδι ἐνεβίβασεν·) ἔστιν ἀνδριὰς ἐν Δελφοῖς.

211. ἀπεπλίξατο. ἀπεσείσατο, ἀπέφυγε. πλίξ γὰρ τὸ βῆμα, καὶ πλίγματα τὰ πηδήματα. ἔνθεν καὶ τὸ περιβάδην ἀμφιπλίξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος (Odyss. ξ', 318.)· αἳδ' (αἱ δ') εὖ μὲν τρώχων, αἳδ' ἐπλίσσοντο (εὖ δὲ πλίσσοντο) πόδεσσιν. ἔλεγον δὲ πλίξ καὶ τὸ ἀπὸ τῆς χειρὸς εἰς τὸν λιχανὸν δάκτυλον διάστημα, καὶ τὸ μεταξὺ τῶν μηρῶν ὀστοῦν. S. — de hac voce consulendus inprimis Foesius ad Hippocratem in πλιχαί. Aristophaneum ἀπεπλίξατο melius quam Latini reddunt nostrates, quippe quibus in usu est *to step off*. Elmsl.

212. στερρόν. σκληρόν. ἀντὶ τοῦ γεγηρακὸς καὶ αὖον, ὥσπερ κατ' ἀντίθεσιν ἐπὶ τῶν ἀκμαζόντων χλωρόν. Θεόκριτος· ποιηταὶ δὲ λόγων χλωρῶν ἀντὶ τοῦ ἀκμαίων, νέων, ἀπὸ μεταφορᾶς τῶν καλάμων etc. S.

213. Λακρατείδῃ Bentl. metri gratia, ut Ἀτρείδῃ, Ἡρακλείδῃ. libri Λακρατίδῃ, quod alii aliter sustentant. S.: Λακρατίδης ἀρχαῖος ἄρχων Ἀθήνησιν, ὡς καὶ Φιλόχορος· ἦρξε δὲ ἐπὶ τῶν χρόνων Δαρείου. ἐφ' οὗ πλείστη χιὼν ἐγένετο καὶ ἀπέπηξε πάντα, ὡς μὴ δύνασθαί τινα προϊέναι. διόπερ τὰ ψυχρὰ πάντα Λακρατίδου ἐκάλουν. — λέγει οὖν, ὅτι διὰ τὸ γῆρας οὐχ οἷός τέ εἰμι θᾶττον βαδίζειν.

214. μὴ — ποτὲ, nunquam irrideat. ita Be., quem recte Br. aliique secuti sunt. codd. ἐγχάνῃ.

216. καὶ θεοὶ, καὶ οἱ ἄλλοι θεοί. cf. Plut. 894.

217. αὔξεται, invalescit. τῶν ἐμῶν χ. cf. 208.

218. ἀντεμπ. pro ἂτ' ἐμπαγῶ scribendum esse intellexerunt Bentl. et Br., neque aliter Suidas vv. σκόλοψ et σχοῖνος. S.: σχοῖνος. εἶδος φυτοῦ κατὰ τὸ ἄκρον ὀξέος καὶ πληκτικοῦ, προσεοικότος βελόνῃ. — juncus acutus Linn., nisi fallor, *Simse*. vide Billerbeckii Floram class. pagg. 16., 95., annot. ad 210. Voss.: *Nie sei Rast, eh' ich Stechbinsen gleich Jenen mich eingebohrt* etc.

219. ἐπίκωπος, ἐπὶ κώπην: κώπη γὰρ τοῦ ξίφους ἡ λαβὴ, inquit acutior scholiastarum. vid. Schneider. in lex. h. v.

220. Παλλ. sic MSS. praeter B Paris., qui a manu altera habet editionum vett. scripturam Βαλλήναδε. S. vetustior: οἱ Παλληνεῖς δῆμός ἐστι τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ βουλομένῳ τυραννεῖν καὶ Ἀθηναίοις ἀμυνομένοις αὐτὸν πόλεμος συνέστη. συγκέκοπται δὲ ἡ λέξις· τὸ γὰρ ὁλόκληρόν ἐστι Παλληναίαδε. (imo dictum Παλλήναδε pro εἰς Παλλήνην ut φύγαδε pro εἰς φυγὴν etc.) ὑπήλλακται δὲ ἡ κυριότης τῆς διανοίας· δέον γὰρ εἰπεῖν ζητεῖν τὸν ἄνδρα καὶ βλέπειν Παλληνικὸν, τουτέστι

καὶ διώκειν γῆν πρὸ γῆς, ἕως ἂν εὑρεθῇ ποτε,
ὡς ἐγὼ βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλήμην λίθοις.

γενναῖον, εἶπε Παλλήνασε. ὃ δὲ εἰπεῖν βούλεται, τοῦτό ἐστιν, ὁμοίως διακεῖσθαι καὶ τραχέως ἔχειν πρὸς τὸν σπεισάμενον Λακεδαιμονίοις, ὡς πάλαι πρὸς Πεισίστρατον τὸν τύραννον, ἡνίκα συνεστήσαμεν ἐν Παλλήνῃ τὴν μάχην. μέμνηται δὲ τούτου καὶ Ἀνδροτίων καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. longe repetitum est, quod placet Berglero, intelligi Macedoniae urbem Pallenen, ubi fusi esse dicuntur Gigantes.

221. γῆν πρὸ γῆς, ex loco in locum. K. sic, notante Be., Aeschylus Prom. 703. μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι, ubi vid. Blomfield. in glossario.

222. ἐμπλείμην. (recte Rav., Dawes. Misc. crit. p. 330., Br. etc. ἐμπλήμην.) κορεσθείην. — S.

ΔΙΚΑΙΟΠΟΛΙΣ. ΧΟΡΟΣ. ΓΥΝΗ. ΘΥΓΑΤΗΡ. ΚΗΦΙΣΟΦΩΝ. ΕΥΡΙΠΙΔΗΣ. ΛΑΜΑΧΟΣ.

ΔΙ. Εὐφημεῖτε, εὐφημεῖτε! ant. d.
ΧΟ. σῖγα πᾶς! ἠκούσατ', ἄνδρες, ἆρα τῆς εὐφημίας; t. t. c.
οὗτος αὐτός ἐστιν, ὃν ζητοῦμεν. ἀλλὰ δεῦρο πᾶς
ἐκποδών· θύσων γὰρ ἀνὴρ, ὡς ἔοικ', ἐξέρχεται.
ΔΙ. εὐφημεῖτε, εὐφημεῖτε! ant. d.
προΐτω 'ς τὸ πρόσθεν ὀλίγον ἡ κανηφόρος· i. tr.
ὁ Ξανθίας τὸν φαλλὸν ὀρθὸν στησάτω.
κατάθου τὸ κανοῦν, ὦ θύγατερ, ἵν' ἀπαρξώμεθα.
ΘΥ. ὦ μῆτερ, ἀνάδος δεῦρο τὴν ἑτνήρυσιν,

223. scena mutata ab altera parte conspicitur Dicaeopolidis habitatio ruralis, ab altera domus Lamachi ducis et exadversum paulo longius remota Euripidis. *Wieland.* εὐφ. τοῦτο ὁ Δικαιόπολις μέλλων ποιεῖν θυσίαν φησί. τοῦτο γὰρ ἦν ἔθος. S. εὐφημεῖτε. vide Ran. 340.

225. ἀλλὰ δεῦρο πᾶς. πρὸς ὀλίγον χρόνον ὑποστείλασθαι βούλονται, ἵνα μὴ προϊδόμενος ὁ σπονδοφόρος φύγῃ, ἀλλὰ δυνηθῶσιν αὐτὸν χειρώσασθαι. τοιαῦται ἦσαν καὶ αἱ Ὀδυσσέως πρὸς Διομήδη παρακελεύσεις (Iliad. κ', 344.)· ἀλλ' ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο Τυδεΐδην· ἔπειτα δέ κ' αὐτὸν ἐπαΐξαντες ἕλοιμεν. S.

227. pompa haec Bacchanalium, quae se domi celebraturum esse dixit Dicaeopolis 202. de quo festo conferas Herodotum 2, 48., Creuzeri Commentatt. Herodot. 1. p. 146. sequ., Plutarchum libro περὶ φιλοπλουτίας p. 527., D., Erasmi Adag. 3, 3, 63. etc. ejus pompae ridicula imitatio est Eccles. 759. seqq.

228. ita D. codd., vett. edd., schol., πρόϊθ' ὡς τὸ πρ., quod parum usitatum. Br., Elmsl., alii, πρόϊθ' ἐς τὸ πρ. S.: πρ. ὡς τὸ πρ. κατὰ τὴν τῶν Διονυσίων ἑορτὴν παρὰ τοῖς Ἀθηναίοις αἱ εὐγενεῖς (Thuc. 6, 56.) παρθένοι ἐκανηφόρουν. ἦν δὲ ἐκ χρυσοῦ (?) πεποιημένα τὰ κανᾶ, ἐφ' ὧν τὰς ἀπαρχὰς ἀπάντων ἐτίθεσαν. B. ad Av. 1558.: „κανηφόροι erant puellae ingenuae, quae in pompis Panathenaïcis, aliisque, gestabant canistra. v. Phot. p. 97. sequ., Spanh. ad Callim. Cer. 127. p. 824."

229. φαλλὸς ξύλον ἐπίμηκες, ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον. ἵστατο δὲ ὁ φαλλὸς τῷ Διονύσῳ κατά τι μυστήριον. — παίζει δὲ (?) πρὸς τὸν οἰκέτην· Ξανθίας γὰρ οἰκετικὸν ὄνομα. κέχρηται δὲ αὐτῷ καὶ ἐν Βατράχοις (264.), ὁ Ξανθίας, ποῦ Ξανθίας; etc. S. cf. annot. ad Ran. 1.

230. vid. annot. ad 239.

231. τὴν ἑτν. τὴν (τὸ) ζωμάρυστρον, ἐν ᾗ (ᾧ) τὸ ἕτνος ἀρύονται. — ἕτνος δὲ ἔλεγον τὴν ἀθάραν καὶ τὸ πίσσινον ἀφέψημα, ὡς καὶ ἐν Βατράχοις (62.) ἤδη πότ' ἐπεθύ-

ἵν' ἔτνος καταχέω τοῦ 'λατῆρος τουτουΐ.
ΔΙ. καὶ μὴν καλόν γ' ἔστ'. ὦ Διόνυσε δέσποτα,
κεχαρισμένως σοι τήνδε τὴν πομπὴν ἐμὲ
πέμψαντα, καὶ θύσαντα μετὰ τῶν οἰκετῶν,
ἀγαγεῖν τυχηρῶς τὰ κατ' ἀγροὺς Διονύσια,
στρατιᾶς ἀπαλλαχθέντα· τὰς σπονδὰς δέ μοι
καλῶς ξυνενεγκεῖν τὰς τριακοντούτιδας.
ἄγ', ὦ θύγατερ, ὅπως τὸ κανοῦν καλὴ καλῶς
οἴσεις, βλέπουσα θυμβροφάγον. ὡς μακάριος,
ὅστις σ' ὀπύσει, κἀκποιήσεται, γαλᾶς
σοῦ μηδὲν ἧττον βδεῖν, ἐπειδὰν ὄρθρος ᾖ.
πρόβαινε, κἀν τῷχλῳ φυλάττεσθαι σφόδρα,
μή τις λαθών σου περιτράγῃ τὰ χρυσία.

βησας ἔτνους; S. vide ibi annotata et infra 1000. — ἀναβος. cf. 688.

232. ἐλατήρ ἐστι πλακουντῶδες πέμμα πλατύ· ἔνθεν καὶ ἡ ἐπωνυμία, παρὰ τὸ ταῖς χερσὶν ἐλαύνεσθαι εἰς πλάτος. (ἄλλως.) — ἔστι δὲ ἄρτος πλατὺς, ἐν ᾧ τὸ ἔτνος ἐτίθεσαν καὶ προσῆγον τῷ βωμῷ. — S.

236. ἀγαγεῖν εὔχομαι, de qua ellipsi cf. 772., Ran. 838. et a Dobraeo laudatum Jac. Gronovium ad Herodot. 5, 105. idem Dobr. conferri jubet Thesm. 293. et 441. (429.); verum Pacis quidem in loco isto proprie nulla est ellipsis, sed repetenda tantum vox εὐχώμεσθα ex superioribus.

239. hic versus et 5 sequentes matri vulgo tribuuntur, cujus personam ut prorsus inutilem delevi. *Elmsl.* etiam 230. vulgo sub persona mulieris legitur, sed in tribus a Brunckio usurpatis libris sub Dicaeopolidis, quos secuti sumus.

240. θυμβροφάγον. ἤτοι ἀγροικικὸν καὶ ἐλευθέριον, παρόσον οἱ ἐν ἀγρῷ διατρίβοντες ἀφελέστεροι καὶ ἁπλουστέροι. τὸ δὲ θύμβρον ἐν ἀγρῷ γίνεται. ἔστι δὲ καὶ τοῦτο ἄγριον φυτόν. (θύμβρον seu θύμβρα, *satureja thymbra* Linn., *die ächte Thymbra.* Virg. Georg. 4, 31. *et gravior spirantis copia thymbrae Florent* etc. Plin. H. N. 19, 8.: *thymbra, quae* cunila *et* satureja *dicta, in condimentario genere.* vid. Billerbeck. Florae class. p. 148. sequ.) ἢ πικρὸν καὶ θριμὺ κατὰ τῶν ἐχθρῶν. θριμὺ γὰρ τὸ φυτόν. (Hesych.: θυμβροφάγος· ἀντὶ τοῦ θριμυφάγος. ἡ γὰρ θύμβρα θριμύ ἐστι βρῶμα.) οἱ δὲ ἀντὶ τοῦ θριμὺ καὶ ἁλρόν. (id Germani dicunt *schalkhaft*, quae significatio facit ad h. l.) τινὲς δὲ τῷ θύμῳ παραπλήσιον. ἢ ἁπαλόν, ἡδύ. („*satureja hortensis* Linn., *das gemeine Pfefferkraut.* Als Würze der Speisen. Hat einen angenehmen Geruch. Es ist des Dioscor. thymbra sativa, satureja, a saturando, quod cibis loco condimenti additur; vel a Satyris, quod coïtus marcescentes stimulat. Martial. 3, 74.: *improba nec prosunt jam satureja tibi*" etc. Billerbeck. l. l.) κωμικῶς δὲ ἔπαιξεν. S.

241. κἀκποιήσεται, *et efficiet* (sibi, ut voluit). γαλᾶς etc. ὥστε γαλᾶς σοῦ μηδὲν ἧττον βδεῖν etc., *ita ut ne mustelae minus quam tu visiant sub ortum.* ridicule hoc dictum est pro contrario *ut ne tu visias minus quam mustelae sub ortum*, quod tempus est ἀφροδίσιον: vide Lysistr. 966., 1092. Plut. 688., annotante Be., ὑπὸ τοῦ δέους βδέουσα θριμύτερον γαλῆς.

243. φυλ. infinitivus pro imperativo, ut saepe alias. *Be.*

244. A furibus periculum fuisse in scena, patet etiam ex Pace 706. ὡς εἰώθασι μάλιστα περὶ τὰς σκηνὰς πλεῖστοι κλέπται κυπτάζειν καὶ κα-

ὦ Ξανθία, σφῷν δ' ἐστὶν ὀρθὸς ἑκτέος
ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου·
ἐγὼ δ' ἀκολουθῶν ᾄσομαι τὸ φαλλικόν·
σὺ δ', ὦ γύναι, θεῶ μ' ἀπὸ τοῦ τέγους. πρόβα.
Φαλῆς, ἑταῖρε Βακχίου, i. d. μέλος.
ξύγκωμε νυκτοπεριπλάνητε, μοιχὲ, παιδεραστὰ, i. t. c.
ἕκτῳ σ' ἔτει προσεῖπον ἐς τὸν δῆμον ἐλθὼν ἄσμενος, i. t.
σπονδὰς ποιησάμενος ἐμαυτῷ, πραγμάτων τε καὶ μαχῶν
καὶ Λαμάχων ἀπαλλαγείς! i. d.
πολλῷ γὰρ ἔσθ' ἥδιον, ὦ Φαλῆς, Φαλῆς, i. tr.
κλέπτουσαν εὐρόνθ' ὡρικὴν ὑληφόρον,
τὴν Στρυμοδώρου Θρᾷτταν, ἐκ τοῦ Φελλέως,

κοποιεῖν. *Bo.* λαθών. μαθὼν Suidas in περιτράγη. de aureis virginum ornamentis consulendus Porsonus ad Hecub. 150. (φοινισσομέναν *Αἵματι παρθένον ἐκ χρυσοφόρου Δειρῆς νασμῷ μελανευγεῖ.*) — *Elmsl.*

247. ᾄσ. τὸ φαλλικόν. ᾄσματα λέγονται φαλλικὰ τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα μέλη. — S.

248. θεῶ μ' ἀπὸ τοῦ τέγους. nempe quia pompam non comitabatur mulier. mos autem erat e superioribus aedium partibus spectare, ne via, qua pompam ducentes procedebant, spectatorum multitudine oppleretur impedireturque, vide, si tanti est, uberem animadversorem Sp. ad initium Callimachei hymni in Cererem. *Br.* πρόβα filiae dicit.

249. Φαλῆς. velut deus quidam τοῦ φαλλοῦ. — S.: περισπωμένως δὲ τὸ Φαλῆς (φαλῆς) ἀναγνωστέον, ὡς Ἑρμῆς. οὕτως δὲ Ἀττικοί· παρὰ Δωριεῦσι δὲ βαρυτόνως. ὁ δ' αὖ Φάλης (φάλης) καταπυπτάξει. οὕτω Σώφρων ἐχρήσατο. (etiam Theocritus Epigr. 4, 3. φάληται Παιδογόνῳ.) ὥσπερ δὲ Ὅμηρος (Il. ι', 2.) ἥρμοσε κατάπληξιν τῇ φυγῇ καὶ ἑταίραν αὐτῆς ἔφησεν εἶναι, θεσπεσίη ἔχε φύζα εἰπών, φόβον κρυόεντος ἑταίρη, οὕτω καὶ ὁ Κωμικὸς, ἐκεῖθεν λαβὼν τὰς ἀφορμὰς, Διονύσῳ τὸν φαλλὸν ἑταῖρον εἶναί φησιν. ἀκόλουθα γὰρ Διονυσιακῷ ποτῷ τὰ ἀφροδίσια. μαρτυρεῖ δὲ ἡμῖν καὶ Εὐριπίδης (Phoen. 21.), ὁ δ' ἡδονῇ δοὺς, εἷς τε βακχεῖον πεσών. S.

251. Ἕκτον γὰρ ἦν λοιπὸν ἔτος, ἀφ' οὗ ὁ πόλεμος Ἀθηναίοις πρὸς Πελοποννησίους συνέστη. (cf. argum. fabulae annot. 6.) δῆμον δὲ ἔφη τὴν κώμην etc. S.

252. μαχῶν καὶ Λαμάχων. paronomasia.

253. ὁ Λάμαχος οὗτος Ἀθηναίων στρατηγὸς, υἱὸς Ξενοφάνους, ὅν, ὅτε εἰς Σικελίαν ἔπλεον οἱ Ἀθηναῖοι, ἐχειροτόνησαν. ἦν δὲ μετὰ Ἀλκιβιάδου καὶ Νικίου, ὡς ἱστορεῖ Θουκυδίδης ς'. ἦν δὲ φιλοπόλεμος οὗτος. S. cf. 1064., Ran. 978., Pac. 304.

255. ὡρικήν. ἀντὶ τοῦ ὡραίαν καὶ ἀκμαίαν. ὥρα γὰρ ἡ ἀκμή. — S. κλέπτ. ἐκ τοῦ Φελλέως. haec jungenda.

256. τὴν Στρυμ. Θρᾷτταν. ἤτοι κοινῶς δούλην, ἢ οὕτως καλουμένην, τὴν ἐκ Θρᾴκης, ὡς τὴν ἀπὸ Φρυγίας καὶ Παφλαγονίας. (recte Pac. 1074. τὴν Θρᾷτταν κυνῶν. ann. Be. simile nomen Σύρα Pac. 1081., Lydus ap. Plautum, Davus, Geta ap. Terentium etc. Schol. Theocriti ad Id. 5, 2.: εἰώθασι δὲ οἱ παλαιοὶ τοῖς δούλοις ὀνόματα τιθέναι ἀπὸ τῶν ἐθνῶν, Σύρον, Καρίωνα. cf. Hemsterhus. ad Pluti argum. illud, cujus initium est Πρεσβύτης τις, Aristoph. Beck. vol. 3. p. 8.) φελλεῖς δὲ ἔλεγον Ἀττικοὶ τοὺς [πετρώδεις] τόπους, οἵτινες κάτωθεν μὲν εἰσὶ πετρώδεις, ἐπικοιλῆς δὲ ὀλίγην ἔχουσι γῆν. μέμνηται καὶ ἐν Νεφέλαις (71.)

μέσην λαβόντ', ἄράντα, καταβαλόντα καταγιγαρτίσαι. i. t.
Φαλῆς, Φαλῆς, ἐὰν μεθ' ἡμῶν ξυμπίῃς, i. tr.
ἐκ κραιπάλης ἔωθεν εἰρήνης ῥοφήσεις τρυβλίον· i. t.
ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται. i. tr.

ΧΟ. οὗτος αὐτός ἐστιν, οὗτος! t. d. προῳδός.
βάλλε, βάλλε, βάλλε, βάλλε, παῖε, παῖε as., 2 ith.
τὸν μιαρόν! οὐ βαλεῖς; οὐ βαλεῖς; cr. tr.

ΔΙ. Ἡράκλεις, τουτὶ τί ἐστι; τὴν χύτραν ξυντρίψετε. t. t. c. στ. ά.

ΧΟ. σὲ μὲν οὖν καταλεύσομεν, ὦ μιαρὰ κεφαλή! a. pent.

ΔΙ. ἀντὶ ποίας αἰτίας, ὦ 'χαρνέων γεραίτατοι; t. t. c.

ΧΟ. τοῦτ' ἐρωτᾷς; ἀναίσχυντος εἶ cr. tr.
καὶ βδελυρὸς, ὦ προδότα τῆς πατρίδος, ὅστις, ἡμῶν μόνος cr. pent.

τοῦ Φελλέως. οἱ δὲ, ὅτι ὄρος Φελλεὺς οὕτω καλούμενον. S. fuse de hoc monte Atticae disserit Ruhnken. ad Tim. p. 269., ut Elmsl. annotavit.

257. καταγ. ἀντὶ τοῦ κατὰ τῶν [γεωργικῶν] γιγάρτων βαλεῖν, καὶ διαμηρίσαι. γεωργικῶς δὲ παίζει. — γιγαρτα δὲ τὰ ἐντὸς τῆς σταφυλῆς ὀστώδη. (ita Suid. v. καταγιγαρτίσαι. male Schol. ὀσπριώδη.) — ἢ καταθλῖψαι, ἀπὸ μεταφορᾶς τῶν γιγάρτων. S. perperam libri: καταγιγαρτίσαι, Φαλῆς, Φαλῆς. ἐὰν etc.

259. Elmsl. ῥοφήσει, quemadmodum ῥοφήσομαι legitur Vesp. 814. et ὑφαρπάσει in plerisque omnibus libris Nub. 490. τρυβλίον εἰρήνης, *catinum pacis*, *einen Friedenstrunk* (Voss.: *ein Friedensnäpflein*), dicit potionem aliquam, quae tandem in pace sumitur post longum bellum. intelligas licet *ptisanarium oryzae* (Horat. S. 2, 3, 155.) vel ejusmodi aliquod jus aptum ei, qui crapulam edormivit.

260. ἡ δ' ἀσπὶς — κρεμήσεται. S.: — διὰ τὸ μὴ δεῖσθαι ἀσπίδος εἰρήνης γενομένης, — παρὰ τὸ Ἡσιόδειον (Op. et D. 45.)· ἔνθα (αἰψά) κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ κατάθεῖο. (cf. ibid. 629.) καὶ τί δεῖ περὶ ἀσπίδος καὶ πηδαλίου λέγειν, ὅπου γε καὶ περὶ ἀχρήστων βουλευμάτων ταύτην ἐξήνεγκε τὴν γνώμην ὁ ποιητὴς εἰπὼν ἐν πυρὶ δὲ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν. περὶ δὲ ὅπλων ἐπιμελείας ἀξιουμένων τοὐναντίον ἔθηκεν, ἐκ καπνοῦ κατέθηκ', ἐπεὶ οὐκέτι τοῖσιν ἐφῆκεν. S. *l. c. et clipeus in fuligine suspendetur*, ut recte locum interpretatus est Adr. Jun. Adag. 8. 59. — K. „φέψαλος inferius 632., Vesp. 227., pro *scintilla* usurpatur, qui sensus huic loco parum convenit. Schol. ἐν τῷ καπήλῳ interpretatur, quod in καμίνῳ mutandum videtur. neque aliter noster Av. 434. ἄγε δὴ σὺ καὶ σὺ τὴν πανοπλίαν μέν (hoc Elmsl. de suo addidit.) πάλιν Ταύτην λαβόντε κρεμάσατον τύχῃ γαθῇ Εἰς τὸν ἱπνὸν εἴσω, πλησίον τοὐπιστάτου. scil. ne aeruginem capiat." *Elmsl.* similiter Guyet. ad Hesiod. Op. et D. 45.

262. comparatur Rhes. 642., videturque sane haec esse παῤῥῳδία.

264. βαλλόμενος λίθοις ὑπὸ τοῦ Χοροῦ ὁ Δικ. ὡς ἀλεξίκακον τὸν Ἡρακλέα καλεῖ. πάνυ δὲ κινεῖ γέλωτα τῆς μὲν κεφαλῆς αὐτοῦ ἀφρονεστάτων, τῆς δὲ χύτρας προνοούμενος, ἐν ᾗ τὸ ἔντος ἦν. — S.

265. ὦ μ. κεφ. ἐκ τοῦ ἡγεμονικοῦ μέρους τοῦ σώματος δηλοῖ τὸν ἄνδρα, παραπλησίως Ὁμήρῳ (Odyss. 1, 343.), τοίην γὰρ κεφαλήν. καὶ παρὰ Δημοσθένει ταῦτ' ἔλεγες, μιαρὰ κεφαλή. S. similiter Terentius Andr. 2, 2, 34. *ridiculum caput* etc.

σπεισάμενος, εἶτα δύνασαι πρὸς ἐμὲ ἀποβλέπειν. cr. t.
ΔΙ. ἀντὶ δ' ὧν ἐσπεισάμην, οὐκ ἴστε γ'· ἀλλ' ἀκούσατε. t. t. c.
ΧΟ. σοῦ γ' ἀκούσωμεν; ἀπολεῖ! κατά σε χώσομεν τοῖς λίθοις!
cr. pent.
ΔΙ. μηδαμῶς, πρὶν ἄν γ' ἀκούσητ'. ἀλλ' ἀνάσχεσθ', ὦ 'γαθοί!
t. t. c.
ΧΟ. οὐκ ἀνασχήσομαι, μηδὲ λέγε μοι σὺ λόγον, cr. t.
ὡς μεμίσηκά σε Κλέωνος ἔτι μᾶλλον, ὃν
κατατεμῶ τοῖσιν ἱππεῦσι καττύματα.
σοῦ δ' ἐγὼ λόγους λέγοντος οὐκ ἀκούσομαι μακρούς, t. t. c.
ὅστις ἐσπείσω Λάκωσιν, ἀλλὰ τιμωρήσομαι.
ΔΙ. ὦ 'γαθοί, τοὺς μὲν Λάκωνας ἐκποδὼν ἐάσατε,
τῶν δ' ἐμῶν σπονδῶν ἀκούσατ', εἰ καλῶς ἐσπεισάμην.
ΧΟ. πῶς δέ γ' ἂν καλῶς λέγοις ἄν, εἴπερ ἐσπείσω γ' ἅπαξ,
οἷσιν οὔτε βωμὸς, οὔτε πίστις, οὔθ' ὅρκος μένει;

271. ακούσωμεν Elmsl. aliique. Rav. ἀκούσομεν, ceteri codd. ἀκούσομ'. „κατά σε χώσομεν pro καταχώσομέν σε per tmesin.“ *Ex Be.*

272. ita Elmsl., D. libri fere, corrupto numero: μηδ., πρὶν ἂν ἀκούσητέ γ'. ἀλλ' etc. — ἀλλ' ἀ., ὦ 'γαθοί. formula loquendi, ut Lys. 765. ann. Elmsl.

273. Rav. σύ μοι, quod correxit Herm. de M. p. 191. vulgo libri: μ. λέγε δὴ σὺ λόγον.

274. de Cleone cf. 6., Ran. 531., Pac. 47. etc.

275. vulgo libri:
— μᾶλλον, ὃν ἐ-
γὼ κατατεμῶ τοῖσιν ἱππεῦσί ποτε
ἐς καττ.
Rav. ἱππεῦσίν ποτ' ἐς. senarium efficiunt verba ὃν — ἱππεῦσίν ποτε vel ποτ' ἐς, idque metri genus notissimum sectatus est, more librariorum, quicunque ita interpolavit Comicum. recte ap. Suidam vv. κατατεμῶ et κάττυμα omissum est ποτὲ, neque ἐς habetur in B codice Parisiensi. sed ἐγὼ quoque a mala versificatoris manu est, quo pronomine deleto apparet metrum creticum versus ἀντιστοίχου, qui est 319. Elmsl.: — „Recte abest praepositio, ut in Equ. 768. κατατμηθείην τε λέπαδνα. satis notus est hic Atticismus. — Ephippus ap. Athen. p. 286, E. πότερον ἐγὼ Τὴν βατίδα τεμάχη κατατεμὼν ἕψω; τί φῄς; ἢ Σικελικῶς ὀπτὴν ποιήσω (malim ποιῶ σοι); — Σικελικῶς. Alexis p. 324, C. τὸ δ' ἄλλο σῶμα κατατεμὼν πολλοὺς κύβους“ etc. S.: — καττύματα δέ ἐστι δέρματά τινα ἰσχυρὰ καὶ σκληρὰ, ἅπερ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν ὑποβάλλεται. οἰκεία δὲ ἡ ἀπειλὴ κατὰ τοῦ Κλέωνος· βυρσοδέψης γὰρ οὗτος. ὅτι δὲ τοῖς ἱππεῦσιν ἦν τις ἔχθρα πρὸς Κλέωνα, διὰ τῆς ἀρχῆς δεδήλωκε· καὶ φιλῶ τοὺς ἱππέας. Διὰ τοῦτο τοῦργον. — „In Equ. 225.: ἀλλ' εἰσὶν Ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι, Μισοῦντες αὐτόν.“ *Ex Be.* cf. annot. ad 7.

281. ἐπὶ ἀκμῆς γὰρ διεβάλλοντο οἱ Λακεδαιμόνιοι etc. S. cf. Pac. 1007. et Lys. 630., quem locum indicavit K. Legati Atheniensium ap. Thuc. 5, 105.: Λακεδαιμόνιοι γὰρ πρὸς σφᾶς μὲν αὐτοὺς καὶ τὰ ἐγχώρια νόμιμα κλεῖστα ἀρετῇ χρῶνται· πρὸς δὲ τοὺς ἄλλους, πολλὰ ἄν τις ἔχων εἰκεῖν, ὡς προσφέρονται, ξυνελὼν μάλιστ' ἂν δηλώσειεν, ὅτι ἐπιφανέστατα ὧν ἴσμεν τὰ μὲν ἡδέα καλὰ νομίζουσι, τὰ δὲ ξυμφέροντα δίκαια.

281. μένει, βέβαιός ἐστι, manet,

ΔΙ. οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας, οἷς ἄγαν ἐγκείμεθα,
οὐχ ἁπάντων ὄντας ἡμῖν αἰτίους τῶν πραγμάτων.
ΧΟ. οὐχ ἁπάντων, ὦ πανοῦργε; ταῦτα δὴ τολμᾷς λέγειν
ἐμφανῶς ἤδη πρὸς ἡμᾶς; εἶτ' ἐγώ σου φείσομαι;
ΔΙ. οὐχ ἁπάντων, οὐχ ἁπάντων, ἀλλ' ἐγὼ λέγων ὀδὶ
πόλλ' ἂν ἀποφήναιμ' ἐκείνους ἔσθ' ἃ κἀδικουμένους.
ΧΟ. τοῦτο τοὔπος δεινὸν ἤδη καὶ παραξικάρδιον,
εἰ σὺ τολμήσεις ὑπὲρ τῶν πολεμίων ἡμῖν λέγειν.
ΔΙ. κἄν γε μὴ λέξω δίκαια, μηδὲ τῷ πλήθει δοκῶ,
ὑπὲρ ἐπιξήνου θελήσω τὸν Κέφαλον ἔχων λέγειν.
ΧΟ. εἰπέ μοι, τί φειδόμεσθα τῶν λίθων, ᾧ δημόται,
μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα;

282. *οἷς ἄ. ἐγκ.*, *quos nimis urgemus*, nimis odimus. „Thuc. 1, 69. *γνόντες δὲ εἰδότας περιορᾷν ἰσχυρῶς ἐγκείσονται.*“ *Ex Be.*

287. h. e. *ἀλλ' ἐστὶ πολλὰ, ἃ ἐγὼ* etc. hyperbaton.

288. *ἤδη.* — Vesp. 426. *τοῦτο μέντοι δεινὸν ἤδη, νὴ Δί', εἰ μαχούμεθα.* Eccl. 645. *τοῦτ' ἤδη δεινὸν ἀκοῦσαι.* *Elmsl.*

289. *εἰ* causale.

290. *δοκῶ λέγειν δίκαια*, quod intelligendum ex praegressis. cf. Ran. 39.

291. ita Porsonus ap. Dobr., quam medicinam et ille et Elmsl. in annot. ad 552. hujus comoediae etiam Platoni Comico adhibuere, cujus versiculus, a Plut. (de Rep. ger. p. 801, B.) laudatus, *βόσκει δυσώδη κεφαλὴν, αἰσχίστην νόσον*, pariter claudicat. joco inexpectato dictum *τὸν Κέφαλον* pro *τὴν κεφαλήν*. temere Br., cum hic quoque invenisset in codd. *τὴν κεφαλὴν*, Aristophani obtrusit *τὴν δέρην*, immemor ille Cephali oratoris, de quo Elmsl. consuli jubet Taylorum ad Lysiae vitam p. 103. cf. interpp. ad Eccles. 249., ubi S.: *Κέφαλός σοι. δημαγωγὸς οὗτος ἕτερος, οὐχ ὃν λέγει Δημοσθένης, ἀλλὰ λοίδορος.* — („Philetaeri comoediam *Κέφαλον* memorat Suidas.“ *Dobr.*) *ὑπὲρ ἐπ. ἐπίξηνος (ἐπίξηνον) καλεῖται ὁ μαγειρικὸς κορμός, ᾧ οὐ τὰ κρέα ἀνακόπτουσιν.* S. „similiter Hesych. v. *ἐπίξηνον* et Pollux 6, 90., 10, 101.“ — *Elmsl.**) cf. Blomfield. ad Aeschyl. Ag. 1248. in gloss. Be.: In Vespis 520. *καὶ ξίφος γέ μοι δότε· Ἦν γὰρ ἡττηθῶ λέγων σου, περιπεσοῦμαι τῷ ξίφει.* vide hic in Acharn. 328. ceterum in hac parte comoediae imitatur Camicus Telephum Euripidis, ut in sequentibus magia patebit. etiam illud, quod Dic. caput sibi praecidi jubet, nisi justa dicat, inde petitum est: nam ibi aliquis, sine dubio Telephus —: (fragm. Telephi 9. nostrae ed., quod servavit Stob. tit. 13.) *Ἀγάμεμνον, οὐδ' εἰ πέλεκυν ἐν χεροῖν ἔχων Μέλλοι τις εἰς τράχηλον ἐμβαλεῖν ἐμὸν, Σιγήσομαι δίκαιά γ' ἀντειπεῖν ἔχων.*

292. *εἰπέ μοι, — ᾧ δημόται.* cf. annot. ad 301. *τί φ. τῶν λίθων; quid abstinemus a lapidibus?*

293. *μὴ οὐ κατ. μὴ οὐχὶ λίθοις αὐτὸν αἰμάσσειν, ὥστε φοινικοῦν αὐτῷ ποιῆσαι τὸ σῶμα. τὸ δὲ καταξαίνειν ὡς ἐπὶ ξύλων ἔθηκε· διὸ καὶ φοινικίδα εἶπεν, ὡς ἐπὶ ἱματίου.* — S. usitata Graecis metaphora, cujus praeterea Be. exempla protulit ex Sophocle Aj. 674., ubi vide annotata, et Euripide Phoen. 1075., Suppl. 489. simile Latinorum *pectere pugnis.*

*) hoc modo delaceps significabo excerpta ex notis virorum doctorum brevitatis causa.

ΔΙ. οἷον αὖ τις μέλας ἐφ' ὑμῖν θυμάλωψ ἐπέζεσεν!
ΧΟ. οὐκ ἀκούσεσθ', οὐκ ἀκούσεσθ' ἑτέον, ὦ 'χαρνῆδαι;
ΔΙ. δεινά τἄρα πείσομαι.
ΧΟ. ἐξολοίμην, ἢν ἀκούσω.
ΔΙ. μηδαμῶς, ὦ 'χαρνικοί!
ΧΟ. ὡς τεθνήξων ἴσθι νυνί.
ΔΙ. δήξομ' ἄρ' ὑμᾶς ἐγώ·
ἀνταποκτενῶ γὰρ ὑμῶν τῶν φίλων τοὺς φιλτάτους
ὡς ἔχω γ' ὑμῶν ὁμήρους, οὓς ἀποσφάξω λαβών.
ΧΟ. εἰπέ μοι, τί τοῦτ' ἀπειλεῖ τοὔπος, ἄνδρες δημόται,
τοῖς Ἀχαρνικοῖσιν; ὑμῶν μῶν ἔχει του παιδίον
τῶν παρόντων ἔνδον εἴρξας, ἢ 'πὶ τῷ θρασύνεται;
ΔΙ. βάλλετ', εἰ βούλεσθ'· ἐγὼ γὰρ τουτονὶ διαφθερῶ.
εἴσομαι δ' ὑμῶν τάχ' ὅστις ἀνθράκων τι κήδεται.

294. ita Rav., nisi quod τὶς forte omissum est. vulgo: οἷος αὖ μέλας τις ὑμῖν θ. ἐ. S.: θυμάλωψ. ὁ ἀπολελειμμένος τῆς θύψεως ἄνθραξ ὁ ἡμίκαυτος, ξύλον καὶν, σπινθὴρ, ἢ διακεκαυμένος ἄνθραξ. χαριέντως δὲ εἶπεν, ἐπεὶ ἀνθρακεῖς εἰσιν οἱ Ἀχαρνεῖς· ἀντὶ γὰρ τοῦ εἰπεῖν οἷος ἐξεκαύθητε (εἶπε) θυμάλωψ ἐπέζεσεν. — „θυμάλωψ est, ut Hesych. exponit, ἡ λιγνώδης τοῦ πυρὸς ἀναφορά, *quod de igne fuliginosum surgit.*“ Be. Θαυμάλωψ edd. 1515., 1538., 1600. et Suid. in φοινικίδα, sed θυμάλωψ in καταξαίνειν, ut Thesm. 785. utramque formam agnoscunt grammatici. Pollux 7, 110. οἱ δὲ ἡμίκαυτοι ἄνθρακες θυμάλωπες. annotavit Elmsl.

295. ἑτέον, *revera, wirklich.* vide 575., Viger. 3, 4, 13. ὦ Ἀχαρνῆδαι, ὦ Ἀχαρνεῖδαι, ὦ Ἀχαρνέων παῖδες, (quemadmodum, notante S., Homerus dixit ὦ υἷες Ἀχαιῶν,) h. e. ὦ Ἀχαρνῆς. forma Ionica non tam Homerum imitari videtur quam irridere Tragicos ejusmodi quaedam usurpantes. vid. annot. ad Soph. Oed. R. 1152.

296. vulgo δεινά γ' ἄρα πείσομαι. in hac loquendi formula solenne est τοι. noster Av. 1225. δεινότατα γάρ τοι πεισόμεσθ'. Eccl. 650. δεινὸν μὲν τἄν ἐπεπόνθην. Thuc. 3, 13. πάθοιμέν τἄν δεινότερα. Plato Gorgia p. 315, C. δεινὰ μέν τἄν πάθοις etc. *Elmsl.*

298. ita Dawes. Misc. crit. p. 94., Br., alii, cum in Rav. δήξ. ὑμ. ἄρ', in ceteris autem libris legatur δήξομαι γάρ, vel δήξομαί γ' ἄρ', ὑμᾶς ἐγώ. — δήξομαι. cf. 1.

299. ταῦτα λέγει τινὸς τῶν Ἀχαρνέων ἁρπάσας κόφινον [γερόντων], ἐν ᾧ τοὺς ἄνθρακας φέρουσιν, ὃν βούλεται ξίφει διαχρήσασθαι. (cophinum carbonum, quem in promtu habet, arripit stricto gladio, velut percussurus.) σκώπτει δὲ τοὺς Ἀχαρνέας ὡς ἀνθρακοκαύστας. S.

300. ὅμηρα ἐκάλουν τὰ ἐπὶ συνθήκαις διδόμενα ἐνέχυρα. S.

301. εἰπέ μοι ad plures dicitur superius 292., Vesp. 403., Pac. 377., Av. 366. *Elmsl.*

304. τουτονί. τὸν κόφινον.

305. εἴσομαι δὲ τάχα, ὅστις etc. hyperbaton. S.: ψιάθων ἀνθράκων προενήνοχεν, ὃν φησι παῖδα εἶναι τῶν Ἀχαρνέων πάνυ κωμικώτατα. τὰ δὲ μεγάλα πάθη ὑποπαίζει τῆς τραγῳδίας, ἐπεὶ καὶ ὁ Τήλεφος κατὰ τὸν τραγῳδοποιὸν Αἰσχύλον, ἵνα τύχῃ παρὰ τοῖς Ἕλλησι σωτηρίας, τὸν Ὀρέστην εἶχε συλλαβών. (ut Hermionen Orestes in Euripidis fabula

ΧΟ. ὡς ἀπωλόμεσθ' ὁ λάρκος δημότης δ' ἔστ' ἐμός.
ἀλλὰ μὴ δράσῃς, ὃ μέλλεις! μηδαμῶς, ὦ μηδαμῶς!
ΔΙ. ὡς ἀποκτενῶ. κέκραχθ' ἐγὼ γὰρ οὐκ ἀκούσομαι. ἀντ. ά.
ΧΟ. ἀπολεῖς ἄρα γ' ἥλικα τόνδε φιλανθρακέα!
ΔΙ. οὐδ' ἐμοῦ λέγοντος ὑμεῖς ἀρτίως ἠκούσατε.
ΧΟ. ἀλλὰ νυνὶ λέγ', εἴ σοι δοκεῖ,
τόν τε Λακεδαιμόνιον αὐτὸν, ὅτι τῷ τρόπῳ σοὐστὶ φίλον,
ὡς τόδε τὸ λαρκίδιον οὐ προδώσω ποτέ.
ΔΙ. τοὺς λίθους νύν μοι χαμᾶζε πρῶτον ἐξερύσατε.
ΧΟ. οὑτοιί σοι χαμαὶ, καὶ σὺ κατάθου πάλιν τὸ ξίφος.
ΔΙ. ἀλλ' ὅπως μὴ 'ν τοῖς τρίβωσιν ἐγκάθηνταί που λίθοι.
ΧΟ. ἐκσέσεισται χαμᾶζε. οὐχ ὁρᾷς σειόμενον;
ἀλλὰ μή μοι πρόφασιν, ἀλλὰ κατάθου τὸ βέλος,

cognomini, 1531. seqq.) παραπλήσιον δέ τι καὶ ἐν ταῖς Θεσμοφοριαζούσαις (650 seqq.) ἐποίησεν. ὁ γὰρ Εὐριπίδου κηδεστὴς Μνησίλοχος, ἐπιβουλευόμενος παρὰ τῶν γυναικῶν, ἕσκὸν ἁρπάσας παρά τινος γυναικὸς ὡς ἂν παιδίον ἀποκτεῖναι βούλεται. — S.

306. ὁ λάρκος. πλέγμα τι κοφινῶδες ἢ ψιαθῶδες, ἐν ᾧ φέρουσι τοὺς ἄνθρακας. S.

308. *omnino occidam. clamate quantum libet: non enim audiam.* K. — Particula ὡς eodem sensu usurpatur Nub. 209., Lys. 32., 499. auget et confirmat quae prius dicta sunt. Elmsl. Thesm. 702., monstrante Be.: κέκραχθι· τοῦτο δ' οὐδέποτε σὺ ψωμιεῖς.

309. vulgo nullis numeris ἀπολεῖς ἄ. τὸν ἥλ.

311. ita D. vulgo codd. hiante versu ἀλλὰ νῦν λέγ', εἴ σοι δοκεῖ: Rav. ἀλλὰ νῦν λέγ', εἴ τοι σοὶ δοκεῖ.

312. τῷ τρόπῳ, τινὶ τρόπῳ, *quodammodo. ὅ τι — φίλον, quidquid tibi utcunque libet.* vulgo τῷ τρ. Rav., ut Br., ὅ τι. — φίλον, φίλον τι, quemadmodum Eurip. Oreste, 218.: δυσάρεστον οἱ νοσοῦντες, *triste lupus stabulis*, etc. „Attica crasis est σοὐστί pro σοι ἐστί.“ Elmsl. S.: ὅτι (ἔτι) τῷ τρ. σοῦ 'στιν. ἀντὶ τοῦ (?) εἰπὲ καὶ ὅτῳ τρόπῳ ὁ Λακεδαιμόνιός ἐστι σοι φίλος. — τὸ δὲ ἐνικὸν ἀντὶ τοῦ πληθυντικοῦ προηνέγκατο, ἀντὶ τοῦ περὶ Λακεδαιμονίων. τὸ ὅμοιον καὶ παρὰ τῷ ῥήτορι ἐν τῷ πρώτῳ τῶν Φιλιππικῶν ἀλλὰ μὴν τόν γε Παίονα καὶ Ἰλλυριόν. similiter Latini aliaeque gentes. vide, si tanti est, Matth. gr. §. 292.

314. ita primus Br. codd. verbis forte transpositis τοὺς νῦν μοι λίθους χαμᾶζε πρ. ἐξ. S.: ἐξερ. ἀντὶ τοῦ ἐκνεύσατε, ἐκβάλλετε, ἀποῤῥίψατε. πεποίηται δὲ ἡ λέξις ἀπὸ τῆς ἔρας, τουτέστι τῆς γῆς. de hoc vide Schneideri lex. gr. v. ἐξεράω.

316. μὴ τοῖς, sine praepositione, Suid. v. ἐγκάθετος, ut Vesp. 1114. ἀλλὰ γὰρ κηφῆνες ἡμῖν εἰσιν ἐγκαθήμενοι. dicitur utroque modo: vid. Elmsl. S.: ἐγκάθ. ἐγκεκρυμμένοι εἰσίν· οἱ γὰρ κρυπτόμενοι ὑποκάθηνται.

317. ἐκσέσ. ἢ ὁ κόλπος, ἢ ὁ τρίβων. S.

318. ἀλλὰ μή μοι πρ. Alexis ap. Athen. 4. p. 170. καὶ μὴ προφάσεις ἐνταῦθά μοι, μήθ' Οὐκ ἔχω, Ἀλλά γε (Ἀλλ' ἄγε) λέγ', οὐ δεῖ. Soph. in Antigona 583. (547.) μὴ τριβὰς ἔτ', ἀλλά νιν Κομίζετ' εἴσω. Be. Intelligendum ποίει vel quiddam simile. cf. Br. ad Sophoclis l. l. S.: σημειωτέον, ὅτι ἐπὶ ξίφους τὸ βέλος τέθεικε. καὶ Ὅμηρος πᾶν τὸ βαλλόμενον. simili καταχρήσει Clytaemnestrae securis, qua maritum interfecit, appellatur βέλος ap. Euripidem El. 1092.

οὐδὲν βλέπουσιν ἄλλο πλὴν ψηφηδακεῖν·
αὐτός τ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἀ'παθον,
ἐπίσταμαι διὰ τὴν πέρυσι κωμῳδίαν·
εἰσελκύσας γάρ μ' εἰς τὸ βουλευτήριον
διέβαλλε, καὶ ψευδῆ κατεγλώττιζέ μου,
κἀκνκλοβόρει, κἄπλυνεν, ὥστ' ὀλίγου πάνυ

velut Heliastae; ne Ἐφέτας commemorem, quos non minores 50 esse oportebat teste Suida in Ἐφέται. vide Köpkei librum laudatum ad 328. pag 574., 598., 612., 632.

346. ita B Paris. „Vera videtur codicis scriptura - ψηφηδακεῖν (plane κωμικῶς, cum expectes ψηφηφορεῖν). cf. Equ. 41. sequ." *Schäfer.* in Schleusneri Curis noviss. in Photii lex. p. 153. id monstrat etiam codicum A et C vox ψηφοδακεῖν. metricorum est, quod vulgo legitur, ψήφῳ δακεῖν. βλέπουσιν, *vident*, h. e. student, cupiunt: nam sic Latini quoque. „Vesp. 843. ὡς ἐγὼ τιμᾷν βλέπω. — Alexis ap. Athenaeum 4. p. 134. ἀπὸ συμβολῶν ἔπινον, ὀρχεῖσθαι μόνον Βλέποντες, ἄλλο δ' οὐδέν. Epicrates ap eundem 13. p. 570. αὕτη δὲ Λαῖς ἀργός ἐστι καὶ πότις, Τὸ καθ' ἡμέραν ὀρῶσα πίνειν κἀσθίειν Μόνον." *Be.* S.: ψήφῳ δακεῖν. οἷον καταδικάζειν. πανταχοῦ (et ex professo quidem in Vespis) ὡς φιλοδίκους καὶ πρὸς τὸ καταδικάζειν ἑτοίμους τοὺς Ἀθηναίους κωμῳδεῖ. Be.: ψήφῳ, *calculum contra al. ferendo, condemnando.* verbum δακεῖν metaphorice dictum est, ut saepe alias. cf. 1.

347. ὡς ἀπὸ τοῦ προσώπου τοῦ ποιητοῦ ὁ λόγος οὗτος. S. vid. Elmsl. ad sequ. versum. de Cleone cf. 6, 274. etc.

348. διὰ τὴν π. κωμ. τοὺς Βαβυλωνίους. τούτους γὰρ πρὸ τῶν Ἀχαρνέων Δ. (i. e. Ἀριστοφάνης) ἐδίδαξεν, ἐν οἷς πολλοὺς κακῶς εἶπεν. ἐκωμῴδησε γὰρ τάς τε κληρωτὰς καὶ χειροτονητὰς ἀρχάς, καὶ Κλέωνα, παρόντων τῶν ξένων. εἶπε γὰρ δρᾶμα τοὺς Βαβυλωνίους τῇ τῶν Διονυσίων ἑορτῇ, ἥτις ἐν τῷ ἔαρι ἐπιτελεῖται, ἐν ᾧ ἔφερον τοὺς φόρους οἱ σύμμαχοι, καὶ διὰ τοῦτο ὀργισθεὶς ὁ Κλέων ἐγράψατο αὐτὸν ἀδικίας εἰς τοὺς πολίτας, ὡς εἰς ὕβριν τοῦ δήμου ταῦτα πεποιηκότα. καὶ ξενίας δὲ αὐτὸν ἐγράψατο, καὶ εἰς ἀγῶνα ἐνέβαλε. τὰ δὲ Λήναια ἐν τῷ μετοπώρῳ ἤγετο, ἐν οἷς οὐ παρῆσαν οἱ ξένοι, ὅτε τὸ δρᾶμα τοῦτο οἱ Ἀχαρνεῖς ἐδιδάσκετο. S. cf. argum. fabulae annot. 6. Elmsl.: „Meminerit lector, haec sub persona Callistrati dici, qui proximo anno Aristophanis Babylonios, superiori Δαιταλέας docuerat. Suid. in Σαμίων ὁ δῆμος· τοὺς δὲ Βαβυλωνίους ἐδίδαξε διὰ Καλλιστράτου Δ. ἔτεσι πρὸ τοῦ Εὐκλείδου καὶ (πδ' corrigunt) ἐπὶ Εὐκλέους. Eucles, a Diodoro male Euclides dictus, magistratum gessit Olympiadis 88. anno 2. consentit in nomine fabulae S., qui ex v. 469. colligit, eam Dionysiis vernis actam fuisse" etc. cf. Aristophanis fragm. p. 26.

350. Hesych.: κατεγλώττιζε: διέβαλλε, κατηγόρει. *Elmsl.* Suidas, laudante Biseto: καταγλωττίζειν, τὸ βλασφημεῖν.

351. — τὸ κυκλοβορεῖν καὶ καταγλωττίζειν χαριεντίσματά ἐστι κωμῳδίας. Κυκλοβόρος δὲ ποταμὸς ἐν Ἀθήναις χειμαῤῥους, ἄγαν ἡῳῶν, ὡς ἐν τοῖς εἰς τοὺς Ἱππεῖς εἴρηται. S. ad Equ. 137. haec inter alia leguntur in scholiis: Κυκλοβόρος ποταμὸς τῶν Ἀθηναίων, οὐκ ἀεὶ οὐδὲ διὰ παντὸς ῥέων, ἀλλὰ χειμάῤῥους. — ἄλλως. ποταμὸς τῆς Ἀττικῆς χειμάῤῥους ὁ Κυκλοβόρος, ὑπὸ Ἀθηναίων χωσθείς. laudant etiam Hesychium (Κυκλοβόρος· ποταμός. τινὲς δὲ χαράδραν μετὰ ψόφου ῥέουσαν.) et Coraem ad Isocratem t. 2. p. 75. — κἄπλυνεν. καὶ ἐλοιδόρει. vide K. et, quos testes citat, Suidam v. πλύνεται, Artemidorum Oneirocrit. 2, 4., Pollucem 7, 38., Adr. Jun. Adag. centur. 4, 100. etc. Pollux l. l.: καὶ πλυνέας τοὺς πλυντὰς ἐρεῖς, καὶ τὸν τόπον πλυνούς· ἀφ' οὗ καὶ

ἀπωλόμην μολυνοπραγμονούμενος.
νῦν οὖν γε πρῶτον πρὶν λέγειν ἐάσατε
ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.
355 *ΧΟ. τί ταῦτα στρέφει, τεχνάζεις τε, καὶ πορίζεις τριβάς;*
ἀντ. β'.
λαβὲ δ' ἐμοῦ γ' ἕνεκα παρ' Ἱερωνύμου
σκοτοδασυπυκνότριχά τιν' Ἄϊδος κυνῆν,

τὸ λοιδορεῖν πλύνειν, καὶ πλυνόν με ποιεῖς ἡ κωμῳδία (Plut. 1057.) φησὶν, ἤγουν ἐξονειδίζεις, ἢ αἰσχύνεις. simili sensu interdum νίπτειν dici ait K. secundum schol. Nicandri p. 19, B. „Galli dicunt *laver la tête à quelqu' un* (Germani *einem den Kopf waschen*), i. e. *lui faire des réprimandes sévères.*" Elmsl. — ὀλίγον. cf. 321.

352. μοὶ. αἰσχρῶς καὶ ὑβριστικῶς μεταχειρισθείς. *Ex Biseto.*

353. vulgo ν. οὐν με. sic etiam 438. et apud Aeschylum Sisyph. fr. β, 2, erratum est. — male hic versus denuo immissus est a librariis post 402., quo quidem loco probans eum (quod mireris) Valck. ad Eurip. Hip. 1029., hic deletum ibat, ubi prorsus necessarius est orationi. S.: ἐνσκευάσασθαί με. ἀντὶ τοῦ πτωχικὴν ἀναλαβεῖν ἐσθῆτα, ὡς ἀπὸ τοῦ σχήματος ἐλεεινότατον καὶ ἀθλιώτατον εἶναί με δοκεῖν. τὰ γὰρ σεμνὰ τῶν σχημάτων καὶ φθόνον ἐπάγει.

355. ita primus Br. secundum 3 libros. olim legebatur τεχνάζει. „Activam formam usurpat noster etiam in Thesm. 94., Ran. 957. Hesych. τεχνάζω· τεχνάζομαι." Elmsl. S.: τί ταῦτα στρέφει. ἀντὶ τοῦ [τεχνάζῃ.] μεταβάλλῃ καὶ μετὰ τέχνης καὶ ποικιλίας προσέρχῃ. — ταῦτα, κατὰ ταῦτα, sic. Soph. Ajac. 622. τοῦτο μὲν νιφοστιβεῖς Χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει, ubi vid. Musgrav. — τριβὰς, διατριβὰς, ἀναβολὰς, ut fere interpretatur Sophoclis schol. ad Oed. R. 1101. interpp. latini: *moras nectis.* cf. Be. quod ad metrum attinet, ejusmodi versus asynartetus legitur etiam ap. Sophoclem Antig. 1047., neque ita rari sunt versus τρίκωλοι ap. Tragicos, quos hic noster παρῳδεῖ.

356. ἐμοῦ γ' ἕνεκα, *per me*, germ. *meinetwegen.* S.: οὗτος ὁ Ἱερώνυμος μελῶν ἐστι ποιητὴς καὶ τραγῳδοποιὸς ἀνώμαλος καὶ ἀνοικονόμητος διὰ τὸ ἄγαν ἐμπαθεῖς γράφειν ὑποθέσεις, καὶ φορτικοῖς προσωπείοις χρῆσθαι. ἐδόκει δὲ κροτεῖσθαι. ἐκωμῳδεῖτο δὲ ὡς πάνυ κομῶν. — idem ad Nub. 347. Ἱερώνυμον δὲ λέγει τὸν διθυραμβοποιὸν, ὃς Ξενοφάντου μὲν ἦν παῖς, περὶ παίδας δὲ ἄγαν ἐπτόητο. λάσιον δὲ εἶχε τὸ σῶμα. ipse Comicus eo loco: ἄγριόν τινα τῶν λασίων τούτων, οἷόνπερ τὸν Ξενοφάντου.

357. Ἄϊδος κυνῆ παροιμία πρὸς τοὺς ἐπικρύπτοντας ἑαυτοὺς διά τινων μηχανημάτων. τοιαύτη γὰρ ἡ τοῦ Ἅϊδου κυνῆ, ᾗ Περσεὺς χρησάμενος τὴν Γοργόνα ἐδειροτόμησεν. gl. Victor. ἀορασίαν hoc proverbio significari notavit etiam Be. secundum schol. Pindari ad Nem. 10, 6. et Euripidis Or. 450., qui quidem schol sic: τίνα σκότον λάβω προσώπῳ; ποίαν Ἄϊδος κυνέην καὶ ποῖον νέφος προβάλωμαι, ἵνα μὴ ὁρῶμαι ὑπὸ τοῦ γέροντος; sententiam hanc esse dicit Be.: *per me licet ita te involvas pannis, ut nec videri possis, ut Hieronymi facies prae pilis videri non potest.* „De hoc proverbio consulendus Schottus ad Zenob. 1, 41. Hesychii cod. Venetus: Ἄϊδος κυνέη· τῆς ὰΐς ἀθάνατόν τι νέφος, et reliqua. scribendum: Ἄ. κ.· (ἀπὸ) τῆς ὁ. (ὁρθῆς scil.) Ἄϊς· ἀόρατον [imo ἀθέατον. *Both.*] τι νέφος." Elmsl. cf. Apollodori interpp. ad 1, 2, 1. similia etiam aliae gentes finxerunt; cujus generis est *die tarnkappe* sive *nebelkappe*, in Germanorum antiquis carminibus,

εἶτ' ἐξάνοιγε μηχανὰς τὰς Σισύφου, i. tr.
ὡς σκῆψιν ἀγὼν οὗτος οὐκ εἰσδέξεται.
ΔΙ. * ὥρα 'στὶν ἤδη καρτερὰν ψυχὴν λαβεῖν,
καί μοι βαδιστέ' ἐστὶν ὡς Εὐριπίδην.
παῖ, παῖ!
ΚΗ. τίς οὗτος;
ΔΙ. ἔνδον ἐστ' Εὐριπίδης;
ΚΗ. κοὐκ ἔνδον, ἔνδον τ' ἐστίν, εἰ γνώμην ἔχεις.

velut Nibelung. 399., Heldenb. Th. 2. Bl. 38, a. (vide *Der Nibelungen Lied, herausgegeben durch F. H. von der Hagen*, Berlin 1807., p. 581. sequ.), et galerus ille, seu mitra, cujus mentio fit in Mongolorum fabulis; de qua mitra haec refert Benjamin. Bergmann. (*Nomadische Streifereien unter den Kalmüken in den Jahren* 1802. et 3., 1. Th. S. 267.): „Diese Mütze hat die Eigenschaft, dass, wer sie aufsetzt, weder von *Tängări* (guten Geistern), noch Menschen, noch *Tschädkurrn* (bösen Geistern), gesehen werden kann."

358. δριμύν τινα καὶ πανοῦργον παραδεδάκασιν οἱ ποιηταὶ τὸν Σίσυφον, διὰ μιᾶς λέξεως παρ' Ὁμήρου δεδιδαγμένοι, Σίσυφος, ὃς κέρδιστος ἐπιχθονίων γένετ' ἀνδρῶν. S. memoriter haec S.: nam Homerus Il. ζ 153. ἔνθα δὲ Σίσυφος ἔσκεν, ὁ κέρδιστος γένετ' ἀνδρῶν.

359. ita Suid. in *Σίσυφος*, nisi quod habet *ἀγὼν*, Porson. in censura editionis Br. p. 65., Bentl. aliique. perperam codd. Aristophanei ὡς σκ. ἂν ἀγών. — σκῆψιν. ἤγουν πρόφασιν. gl. Victor. laudat de hoc proverbio K. Leopardum Emend. 13, 7. Elmsl.: — „σκῆψις est praetextus sive excusatio, qua utebantur in jus citati, quo minus ad diem se sisterent. Noster Eccl. 1027. (1022.) ἀλλ' ἔμπορας εἶναι σκήψομαι. β. Κλάων γε σύ. Plut. 904. (900.) ἀλλ' ἔμπορος; β. Ναὶ, σκήπτομαί γ', ὅταν τύχω. scil. mercaturae causa sibi navigandum esse simulabant hujusmodi homines. Pollux 8, 81. οἱ γὰρ φυγοδικοῦντες ἐσκήπτοντο εἰς Σκῦρον ἢ εἰς Λῆμνον ἀποδημεῖν. plura dabunt Hesych. in *Ἴμβριος* et ejus interpp." *Elmsl.*

360. Rav. *ὦ 'στὶν ἄρα μοι κ. φ. λ.* Elmsl. in Mus. crit. Cantabr. 6. p. 303. sequ., duplici *μοι* offensus, ut videtur: *ὦ. 'στὶν ἄρα κ. φ. λ.* sed ante in ed. hujus fabulae recepta scriptura, quam habet etiam Suidas v. *Σίσυφος*, τραγικωτέρα ei visa erat, cogitanti fortasse cum Be. de versu illo ex Euripidis Telepho *ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν.* cui assentior. sed displicet bis allatum *ἐστίν*, ut malim *ὥρα τίν'* (τινὰ, i. e. ἐμέ: v. Plut. 514, 516.) *ἤδη* etc.

361. *μεταβολὴ γέγονεν ὡς ἐπὶ τὴν οἰκίαν Εὐριπίδου. βαδιστέα δὲ ἀντὶ τοῦ βαδιστέον* etc. S. de hoc cf. Soph. Antig. 633., Eurip. Iphig. T. 599., Herc. fur. 547., Matth. gr. §. 443, 1.

362. *τίς οὗτος; τοῦ Δικαιοπόλιδος κρούσαντος τὴν θύραν Κηφισοφῶν ὑπακούει.* S. ridicule servi partes Ctesiphonti tribuit Arist. in hac fabula, sicut Aeaco in Ranis; non quo revera servus fuerit vir ille, quem tanquam *ἑταῖρον καὶ ἐπιτήδειον* alloquitur personatus Euripides Epistola 5., cujusque ipsum nomen *ἀττικώτατον* ab ea conditione abhorret, ut observavit Elmsl. quare non erat, quod persona Cephisophontis deleta *Θεράποντος* his et sequentibus ejus verbis praescriberet vir doctus. — *ἔνδον.* fort. *ἤνδον*, i. e. *ἢ ἔνδον*—;

363. ita D. secundum Reisig. Conject. p. VI. praefat., idque cujusvis erat videre, cum in Rav. legeretur *κοὐκ ἔνδον, ἔνδον ἐστὶν*, non *οὐκ ἔνδον* etc., ut vulgo. S.: *οὐκ ἔνδον. οἰκείως ἐξομοιοῖ τὸν οἰκέτην*

ΔΙ. πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον;
ΚΗ. ὀρθῶς, ὦ γέρον.
365 ὁ νοῦς μὲν, ἔξω ξυλλέγων ἐπύλλια,
οὐκ ἔνδον· αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ
τραγῳδίαν.
ΔΙ. ὦ τρισμακάρι' Εὐριπίδη,
ὅθ' ὁ δοῦλος οὑτωσὶ σαφῶς ὑποκρίνεται!
ἐκκάλεσον αὐτόν.
ΚΗ. ἀλλ' ἀδύνατον.
ΔΙ. ἀλλ' ὅμως·
370 οὐ γὰρ ἂν ἀπέλθοιμ', ἀλλὰ κόψω τὴν θύραν.

τῷ δεσπότῃ, διὰ δὲ τοῦ δοκοῦντος ἐκείνου (in oratione Dicaeopolidis 367. sequ.) διαβάλλει τὸν Εὐριπίδην, ὅτι δεινοὺς ἐπιδείκνυσι τοὺς δούλους καὶ ἐν ταῖς τραγῳδίαις. (cf. annot. ad 365.) τὸ δὲ εἰ γνώμην ἔχεις ἀντὶ τοῦ εἰ φρόνιμος εἶ καὶ συνετός.

365. sequ. σκώπτει πάλιν τὸν Εὐριπίδην διὰ τὸ ἐν τοῖς λόγοις εἶναι συλλογιστικὸν, καὶ οὗ ἂν λέγῃ τὸ ἐναντίον πάλιν κατασκευάζοντα, οἷον, ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος (Eurip. Hippol. 576.). οἷον, αὐτὸς μὲν ἔνδον ἐστὶν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τῶν ἔξω τι καὶ μετεωρίζεται. — ἐπύλλια δὲ ἰαμβεῖα. (cf. Ran. 893, Pac. 521.)— τὸ δὲ ἀναβάδην ἐπὶ ὑψηλοῦ τόπου καθήμενος. (Toup. ad Suidam 1. p. 41.: ἀναβάδην ἀναπαύεσθαι [Plut. 1119.] est *in superiori parte aedium requiescere*, ubi pauperculi atque infimae sortis homines ut plurimum degebant. nostrates *Up-stairs*. Elmsl.) — cf. 377. Be. ad 363.: Est ὀξύμωρον. — ridet autem Euripidem, quia saepe illa figura utitur; ut v. gr. in Hipp. 988. ἐσωφρόνησεν, οὐκ ἔχουσα σωφρονεῖν, in Phoen. 247. πέποιθα μέντοι μητρὶ, καὶ πέποιθ' ἅμα, in Iphig. T. 463. φεύγω τρόπον γε δή τιν' οὐχ ἑκών, ἑκών in Hel. 137. τεθνᾶσι, κοὐ τεθνᾶσι, in Alcest. 501. ἔστιν τε, κοὐκ ἔτ' ἔστιν, ibidem 135. καὶ ζῶσαν εἶπεῖν καὶ θανοῦσαν ἔστι σοι." hoc loco idem profert Eurip. Ion. 213. οἵτοι δὲ τὸν νοῦν ἔσχον, ἔνθὰδ' οὖσα που. cf. Ran. 1370. sequ.

367. τρυγῳδίαν edd. et S. diserte, probante Bentl. ad Phalar. p. 297. (317. ed. Lips.) τραγῳδίας Suid. in ἀναβάδην et αὐτός. τραγῳδίαν A., B., C., Suid. in ἀναβάδην et οὐκ ἔνδον, Br. (Elmsl. D.) *Elmsl.* Recte Br.: „Nullum hic cum Bentlejo, aliquin vere statuente, tragoediam nunquam τρυγῳδίαν appellatam fuisse, quaerendum acumen est, tanquam si Comicus innuere vellet, Euripidis dramata nihil tragicae majestatis habere et pro comoediis habenda esse. hic jocus personae, cui tribuitur, Cephisophonti, Euripidis famulo (familiari), minime convenit." — τρισμ. Εὐρ. Hom. Od. ε', 306., notante S.: τρισμάκαρες Δαναοί. contra Plut. 846.: οἷμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος, Καὶ τρισκακοδαίμων, etc.

368. σαφῶς, *plane*, *dilucide*. ita sane orationem suam explicavit Cephisophon; nec tamen ironia caret τὸ σαφῶς, sed est irridentis putidam interdum atque inelegantem perspicaĭtatem Euripidis. Ran. 1370. ΕΤ. ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα, Τὰ δ' ὄντα πίστ' ἄπιστα. ΔΙ. πῶς; οὐ μανθάνω. ἅμαθ' ἑστερόν πως εἰπὲ καὶ σαφέστερον. ibi S.: παρὰ τὴν παροιμίαν σαφέστερόν μοι κἀμαθέστερον φράσον. haec reputanti mihi inutilis visa est a Marklando in annotatis ad Suppl. Eurip. 639. proposita et vulgo probata emendatio σοφῶς, etsi apparet has voces facile permutari inter se potuisse a librariis, ut notavit Br. ad Equ. 169. — „—ἀπεκρίνατο vulgo.

Εὐριπίδη, i.
Εὐριπίδιον, ὑπάκουσον, εἴπερ πώποτ' ἀνθρώπων τινί· i. t.
Δικαιόπολις καλεῖ σε Χολλίδης ἐγώ. i. t.
ΕΥ. ἀλλ' οὐ σχολή. i.
ΔΙ. ἀλλ' ἐκκυκλήθητ'.
ΕΥ. ἀλλ' ἀδύνατον.
ΔΙ. ἀλλ' ὅμως. i. t.
ΕΥ. ἀλλ' ἐκκυκλήσομαι· καταβαίνειν δ' οὐ σχολή.
ΔΙ. Εὐριπίδη...
ΕΥ. τί λέλακας;
ΔΙ. ἀναβάδην ποιεῖς,
ἐξὸν καταβάδην; οὐκ ἐτὸς χωλοὺς ποιεῖς.
ἀτὰρ τί τὰ ῥάκι' ἐκ τραγῳδίας ἔχεις,
ἐσθῆτ' ἐλεινήν; οὐκ ἐτὸς πτωχοὺς ποιεῖς.

ὑποκρίνεται Rav., quod verum videtur. ὑποκρίνεσθαι, *interpretari*, legitur in Vesp. 53." **Elmsl.**

371. ἐρωτικὰς μιμεῖται φωνάς· οἱ γὰρ ἐρῶντες εἰώθασι τοὺς ἐρωμένους [ἐρωτικῶς] δι' ὑποκοριστικῶν καλεῖν. S. „similiter Nub. 354. ὦ Σώκρατες, ὦ Σωκρατίδιον. cf. 442." **Ex Be.**

372. εἴπερ—τινί. vid. Matth. gr. §. 608, 4.

373. Χολλ. δῆμος τῆς Αἰγηΐδος φυλῆς. — S. cf. annot. ad 34. de utraque scriptura, Χολλεῖδαι et Χολλίδαι, D. conferri jubet Taylorum et Markl. ad Lysiam p. 481.

374. ἀλλ' ἐκ. εἰ μὴ σχολὴν ἔχεις κατελθεῖν, ἀλλ' ἐκκυλήθητι, τουτέστι συστράφητι. ἐκκύκλημα δὲ λέγεται μηχάνημα ξύλινον τροχοὺς ἔχον, ὅπερ περιστρεφόμενον τὰ δοκοῦντα ἔνδον ὡς ἐν οἰκίᾳ διαπράττεσθαι καὶ τοῖς ἔξω ἐδείκνυε, λέγω δὴ τοῖς θεαταῖς. βούλεται δὲ εἰπεῖν „ὅτι κἂν (saltem) φανερὸς γενοῦ." διὸ (Εὐρ.) ἐπήνεγκεν ἀλλ' ἐκκυκλήσομαι· καταβαίνειν δ' οὐ σχολή. S. laudat praeterea K. de hac machina theatrali Suid. vv. ἐγκυκλήθητι et ἐκκυκλ., Pollux 4, 128. et ab se annot. ad Thesm. 102. „— Hinc petita metaphora εἰσκεκύκληκεν εἰς τὴν οἰκίαν Vesp. 1423. in Thesm. 96. 264, ἐκκυκλεῖται et εἰ εἰσκυκλεῖται Agatho, ut annotavit K." **Elmsl.**

376. λέλακας. ἀντὶ τοῦ κέκραγας. — τραγικὴ δὲ ἡ λέξις. S. cf. Plut. 39. — ἀναβάδην. cf. 366. contrarium scil. significat καταβάδην sequente versu. — ποιεῖς, poëtaris. cf. Pac. 790., 1029.

377. ἐξόν. δυνατοῦ ὄντος gl. Victor. — „οὐκ ἐτὸς γ. π. Facete: quasi propterea multi sint claudi in Euripidis tragoediis, quia ex sublimi loco, ubi scribit, delapsi crus fregerint. In Pace 146. ad illum, qui super machina in coelum est volaturus, dicitur: ἐκεῖνο τήρει, μὴ σφαλεὶς καταῤῥύῃς Ἐντεῦθεν, εἶτα χωλὸς ὢν Εὐριπίδῃ λόγον παρασχῇς καὶ τραγῳδίαν γένῃ." Be. οὐκ ἐτὸς, non temere. cf. Plut. 1162. χωλούς, velut Philoctetam, Telephum, Bellerophontem. cf. Ran. 799.

378. οὕτως αὐτὸν ἐσκευοποίησεν ἐν ῥακίοις καθεζόμενον καὶ ποιοῦντα τὰς τραγῳδίας. κωμῳδεῖ οὖν αὐτὸν ὡς πτωχοὺς καὶ ταπεινοὺς εἰσάγοντα τοὺς ἥρωας. S. imo ut ipsum mendicum, qui non nisi pannis cooperire heroas tragoediarum suarum possit. — perperam libri etiam hoc versu χωλούς, quod falsum esse vel ex scholio intelligitur, nec fefellit

380 *ἀλλ' ἀντιβολῶ πρὸς τῶν γονάτων σ', Εὐριπίδη,
δός μοι ῥάκιόν τι τοῦ παλαιοῦ δράματος·
δεῖ γάρ με λέξαι τῷ Χορῷ ῥῆσιν μακράν·
αὕτη δὲ θάνατον, ἢν κακῶς λέξω, φέρει.
ΕΥ. τὰ ποια τρύχη; μεῖν ἐν οἷς Οἰνεὺς ὀδὶ
385 ὁ δύσποτμος γεραιὸς ἠγωνίζετο;
ΔΙ. οὐκ Οἰνέως ἦν, ἀλλ' ἔτ' ἀθλιωτέρου.
ΕΥ. τὰ τοῦ τυφλοῦ Φοίνικος;
ΔΙ. οὐ Φοίνικος, οὔκ,
ἀλλ' ἕτερος ἦν Φοίνικος ἀθλιώτερος.
ΕΥ. ποίας ποθ' ἁνὴρ λακίδας αἰτεῖται πέπλων;
390 ἀλλ' ἦ Φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγεις;
ΔΙ. οὔκ, ἀλλὰ τούτου πολὺ πολὺ πτωχιστέρου.
ΕΥ. ἀλλ' ἦ τὰ δυσπινῆ θέλεις πεπλώματα,
ἃ Βελλεροφόντης εἶχ' ὁ χωλὸς οὑτοσί;
ΔΙ. οὐ Βελλεροφόντης, ἀλλὰ κἀκεῖνος μὲν ἦν

Bentlejum aliosque viros doctos. de re cf. Ranarum l. l. ad 378.

380. hoc dederat puto, Arist.: *ἀλλ' ἀ. πρός σε γονάτων*, Εὐρ. vide Soph. Trach. 413., Matth. gr. §. 465, 3.

381. *τοῦ παλαιοῦ δρ.* Telephum Euripideam intelligit. — cf. Be. ad 388.

382. *ῥῆσιν μακράν. τὸ μακρὸν (μακρὰν) οὐκ ἀργῶς αὐτῷ λέλεκται, ἀλλ', ἐπειδὴ καὶ τοὺς ἀγγέλους καὶ τοὺς προλόγους μακρολογοῦντας εἰσάγει Εὐριπ., πρὸς αὐτὸν* (malim *αὐτό*, i. e. *τοῦτο*) *ὁ λόγος ἀποτείνεται.* S.

383. quia est peroraturus *ὑπὲρ ἐπιξήνου.* cf. 292. (336.) Be.

384. *γέγραπται τῷ Εὐριπίδῃ δρᾶμα Οἰνεύς. μετὰ δὲ τὸν θάνατον Τυδέως καὶ ἐπιστράτευσιν Διομήδους κατὰ Θηβαίων ἀφηρέθη τὴν βασιλείαν Οἰνεὺς ὑπὸ τῶν Ἀγρίου παίδων, καὶ περιῄει ταπεινὸς, ἄχρις οὗ ἐπανελθὼν Διομήδης Ἄγριον μὲν ἀνεῖλε, τὴν βασιλείαν δὲ Οἰνεῖ παρέδωκε.* (vide Apollodor. 1, 7. sequ. etc.) *τρύχη δὲ τὰ ῥάκη τραγικῶς.* S. *ὁδὶ δεικτικῶς*: monstrat enim ornatum Oenei. cf. 394. „Eurip. El. 455. *ἐγὼ δὲ τρύχει τῷδ' ἐμῶν πέπλων κόρας Δακρύοισι τέγξας ἐξομόρξασθαι θέλω. — Be.*

386. *ἀθλ.* vid. annot. ad 389.

387. *οὔκ* Br. etc. cf. 59. S.: *Φοίνικα λέγει τὸν Ἀμύντορος.* (vide Apollod. 3, 12., Hygin. fab. 157. etc.) *λακίδας δὲ* (390.) *τὰ διεῤῥωγότα ἱμάτια.* S. Be. ad 381.: Observa synonyma: 399. *ῥάκη*, 378. *ῥάκια*, 398. *ῥακώματα*, 389. *λακίδες πέπλων*, 392. *δυσπινῆ πεπλώματα*, 384. *τρύχη*, 397. *σπάργανα.*

388. *ἀθλιώτερος*, *miserior.* sed potest etiam esse *pejor.* eamque ambiguitatem quaesivisse videtur Comicus.

389. *λακ. πέπλων.* Aeschylus Cho. 26. *λινοφθόροι δ' ὑφασμάτων λακίδες*, Eurip. Troad. 485. *τρυχηρὰ πέπλων λακίσματα*, et ibidem 987. *πέπλων ἐρείπια.* Be.

390. *Φιλ. εἰσήγαγε γὰρ τὸν Φιλοκτήτην ἐν τῷ Λήμνῳ πενόμενον.* S. v. Eurip. fab. fragm. p. 243. ad 251. nostrae ed.

392. *τὰ δυσπινῆ. τὰ ἐῤῥυπωμένα, τὰ ῥυπαρά. πῖνος γὰρ ὁ ῥύπος. εἰσήγαγε γὰρ καὶ τοῦτον καταβληθέντα ἐκ Πηγάσου, καὶ ἐῤῥυπωμένα ἱμάτια ἔχοντα. — S.*

χωλὸς, προσαιτῶν, στωμύλος, δεινὸς λέγειν.
ΕΥ. οἶδ' ἄνδρα, Μυσὸν Τήλεφον.
ΔΙ. ναὶ, Τήλεφον.
τούτου δὸς, ἀντιβολῶ σε, μοὶ τὰ σπάργανα.
ΕΥ. ὦ παῖ, δὸς αὐτῷ Τηλέφου ῥακώματα·
κεῖται δ' ἄνωθεν τῶν Θυεστείων ῥακῶν,
μεταξὺ τῶν Ἰνοῦς.
ΚΗ. ἰδοὺ, τουτὶ λαβέ.
ΔΙ. ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῆ!
Εὐριπίδη, πειθήπερ ἐχαρίσω ταδὶ,
κἀκεῖνά μοι δὸς τἀκόλουθα τῶν ῥακῶν,
τὸ πιλίδιον περὶ τὴν κεφαλὴν, τὸ Μύσιον.
δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον,
εἶναι μὲν, ὅσπερ εἰμὶ, φαίνεσθαι δὲ μή·
τοὺς μὲν θεατὰς εἰδέναι μ', ὃς εἰμ' ἐγὼ,
τοὺς δ' αὖ χορευτὰς ἠλιθίους παρεστάναι,
ὅπως ἂν αὐτοὺς ῥηματίοις σκιμαλίσω.

397. σπάργανα improprie dicuntur pannuceae vestes Telephi.

399. τῶν Θυεστ. ς. ἤτοι τὰ τῶν Κρησσῶν, ἢ αὐτοῦ τοῦ Θυέστου. (in Cressis, fabula Eurip. fragm. p. 160. — 66.). S. Cressae intelligendae sunt chorus famularum Cressarum Aëropes, Atrei uxoris moechae.

400. Ἰνοῦς. nobilis fabula Euripidis, quam hic noster commemorat etiam Vesp. 1368.

401. ταῦτά φησιν, ἐπεὶ πολύτρητα ἦν τὰ ῥάκια, δι' ὧν ἦν πάντα ἐπισκοπῆσαι. S. Si ita ponas accentum, sunt vocativi a διόπτης et κατόπτης, et construuntur cum Ζεῦ. si autem ponatur in antepenultima accentus, sunt nominativi plurales neutrius generis a δίοπτον et κάτοπτον, et sic intelligitur vox ῥάκη, aut similis. est ergo duplex sensus etc. Be. male post haec repetitus in libris legitur versus 354., quem qui adscripsit, precantis esse putavit verba ὦ Ζεῦ — πανταχῆ, cum sint admirantis.

402. libri depravato numero ἐχαρ. μοι. certatim viri docti deleverunt pronomen, quod et facile intelligitur, et habetur sequente versu.

404. τὸ Μύσιον. nempe Telephi, qui erat Mysós (397.) Be. τὸ πιλ., pileum mendicorum.

405. sequ. οἱ δύο σείχοι οὗτοι ἐκ Τηλέφου Εὐριπίδου. S.

406. ὥσπερ vulgo. ὅσπερ Br. consentiente Suida in εἶναι et φαινόμενα. Elsml. cf. Dobr. — εἶναι μὲν etc. asyndeton ἐπεξηγητικὸν, de quo dictum ad Ran. 1364. cf. infra 496.

407. sequ. ἵν' εἴπῃ τῶν μὲν θεατῶν τὸ εὐπαίδευτον, τῶν δὲ χορευτῶν τὴν ἀμουσίαν. (Υ) τοὺς δ' αὖ χορ. καὶ διὰ τούτων τὸν Εὐριπίδην διασύρει. οὗτος γὰρ εἰσάγει τοὺς χοροὺς οὐ τὰ ἀκόλουθα φθεγγομένους τῇ ὑποθέσει, ἀλλ' ἱστορίας τινὰς ἀπαγγέλλοντας, ὡς ἐν ταῖς Φοινίσσαις, οὔτε ἐμπαθῶς ἀντιλαμβανομένους τῶν ἀδικηθέντων, ἀλλὰ μεταξὺ ἀντιπίπτοντας. S. — τοὺς μὲν —, ὥστε τοὺς μὲν etc.

409. σκιμ. ἐξουθενίσω. ἢ χλευάσω. — εἴρηται δὲ ἡ λέξις καὶ ἐν Εἰρήνῃ, (538.) ἐλέγετο δὲ σκιμαλίζειν τὸ τῷ μικρῷ δακτύλῳ τῶν ὀρνίθων ἀποπειρᾶσθαι, εἰ φωτοκοῦσιν. S. cf. annot. ad Pacis l. l. vult, χορευτὰς, h. e. Acharnenses, stupidos

ΕΥ. δώσω· πυκνῇ γὰρ λεπτὰ μηχανᾷ φρενί.
ΔΙ. εὐδαιμονοίης· Τηλέφῳ δ' ἃ 'γὼ φρονῶ.
εὖ γ', οἷον ἤδη ῥημάτιων ἐμπίμπλαμαι!
ἀτὰρ δέομαί γε πτωχικοῦ βακτηρίου.
ΕΥ. τουτὶ λαβὼν ἄπελθε λαΐνων σταθμῶν.
ΔΙ. ὦ θύμ', ὁρᾷς γὰρ ὡς ἀπωθοῦμαι δόμων,
πολλῶν δεόμενος σκευαρίων, νῦν δὴ γενοῦ
γλίσχρος, προσαιτῶν, λιπαρῶν τ'. Εὐριπίδη,
δός μοι σπυρίδιον διακεκαυμένην λύχνῳ.
ΕΥ. τί δ', ὦ τάλας, σὲ τοῦδ' ἔχει πλέκους χρέος;
ΔΙ. χρέος μὲν οὐδέν, βούλομαι δ' ὅμως λαβεῖν.
ΕΥ. λυπηρὸς ἴσθ' ὤν, κἀποχώρησον δόμων.
ΔΙ. φεῦ,
εὐδαιμονοίης, ὥσπερ ἡ μήτηρ ποτέ!
ΕΥ. ἄπελθέ νύν μοι.
ΔΙ. μὴ, ἀλλά μοι δὸς ἓν μόνον

adstare, nec scire, quis sit, aut quid rerum geratur, ut eos sermunculis suis, tanquam ipsis ignoti, obtundere ludibrioque habere possit, velut Euripides.

411. *παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου καλῶς ἔχοιμι· Τηλέφῳ δ' ἃ 'γὼ φρονῶ.* S. Athen. 5. (p. 186.: *εὖ σοι γένοιτο· Τηλέφῳ δ' ἃ 'γὼ νοῶ*, quod temere in ordinem recepit Br. ceterum hoc vel quiddam simile, *γένοιτο* sive *εἴη*, intelligendum in *Τηλέφῳ*, estque oratio ironica, quasi dicat „Telephus autem, tragoedia tua, pereat."

414. *λαΐνων σταθμῶν.* dictum tragicum, et quidem Euripidis, ni fallor, qui utramque vocem saepius usurpat.

417. *γλίσχρος*, tenax, instans, pertinax. Wieland.: *Nun mache dieser Aufzug Ehre, bettle, Sei dringend, hänge dich wie eine Klette an!*

418. *διακ. λύχνῳ.* ὅτι οἱ πρεσβῦται διὰ τὸ μόλις βαδίζειν ἐν σπυρίδι κρύπτουσι τὸν λύχνον, ὥστε σώζειν τὸ πῦρ. S.

419. ita Bentl., Elmsl. etc. libri *τάλας γε τοῦδ' —*. Scal. K. Br. *ἔχεις*. S.: *πλέκους*. *τοῦ σπυριδίου, τοῦ πλέγματος. καὶ τοῦτο δὲ παρὰ τὰ ἐκ Τηλέφου Εὐριπίδου τί δ', ὦ τάλας, σὺ τῷδε πείθεσθαι μέλλεις;* (v. Eurip. fragm. p. 247., ubi haec ita scripsimus *τί δ', ὦ τ., μέλλεις σὺ π. τόδε;*)

420. *βούλ. δ' ὅμως λαβεῖν. μιμεῖται τὸν Εὐριπίδου χαρακτῆρα τῷ λόγῳ.* S. quasi aliena a proposito immiscentis saepe suis fabulis.

423. *bene tibi sit, ut olim fuit matri tuae.* ironice, quia infimae conditionis fuisse dicebatur Euripidis mater. S.: *σκώπτει αὐτὸν, ὡς λαχανόπωλιν ἔχοντα μητέρα τὴν Κλειτώ.*

424. *μὴ, ἀλλά.* duae syllabae in unam coalescunt, ut Thesm. 287., 444. et passim. *Br.*

425. *κυλίσκιον* vulgo, consentiente Rav. *κυλίκιον* (sic) S. pro variante scriptura. (— *κυλίσκιον δὲ ποτήριον. γράφεται δὲ κυλίκειον.*) *κυλίκιον* Suidas in *ἀποκεκρουσμένον* et *κύλιξ*. *κοτυλίσκιον* Br. ex Athenaeo p. 479, B., quem describit Eustath. pag. 1282, 58. *ἀποκεκρουμένον* Athenaei cod. Venetus, unde primi editores fecerunt *ἀποκεκομμένον*. *ἀποκεκρουσμένον*, ut vulgo, Eustath. et cod. epitomes ap. Schweighaüserum.

κοτυλίσκιον, τὸ χεῖλος ἀποκεκρουμένον.
ΕΥ. φθείρου λαβὼν τόδ'! ἴσθ' ὀχληρὸς ὢν δόμοις.
ΔΙ. οὔπω μὰ Δί'. οἶσθ', οἷ' αὐτὸς ἐργάζει κακά.
ἀλλ', ὦ γλυκύτατ' Εὐριπίδη, τουτὶ μόνον
δός μοι χυτρίδιον σφογγίῳ βεβυσμένον.
ΕΥ. ἄνθρωπ', ἀφαιρήσει με τὴν τραγῳδίαν.
ἄπελθε ταυτηνὶ λαβών.
ΔΙ. ἀπέρχομαι.
καίτοι τί δράσω; δεῖ γὰρ ἑνός, οὗ μὴ τυχὼν
ἀπόλωλ'. ἄκουσον, ὦ γλυκύτατ' Εὐριπίδη·
τουτὶ λαβὼν ἄπειμι, κοὐ πρόσειμ' ἔτι.
ἐς τὸ σπυρίδιον ἰσχνά μοι φυλλεῖα δός.

Elmsl. S.: — *ἀποκεκρουσμένον δὲ ἀποκεκλασμένον.*

426. *φθείρου*, *abi in malam rem.* cf. Plut. 594. ita Rav., merito probantibus viris doctis. ceterum libri *φέρου*, Junt. prima etiam *φέρε*, quod ne versus quidem admittit. — *ἴσθ' ὅ. ὢν ὄ.*, *scito te molestum esse aedibus.* vide Plut. 958.

427. libri mala interpunctione: *οὔπω μὰ Δί' οἶσθ', οἷ' α. ἐ. κ.*, quod ita reddidit Frischlinus: *Nondum scis, per Jovem, quid tu ipse agas mali.* pejus etiam Be.: *Nondum scis tu profecto, quanto me damno afficias*, etc. jam *οὔπω* ad *φθείρου* relatum significat *οὔπω φθαρήσομαι*, *οὔπω ἄπειμι*, *nondum hercle* (abibo), sed praeterea te petam aliquid. familiariter autem subjicit *οἶσθ'*, *ἃ α. ἐ. κακὰ*, *scis*, *quantum tutemet mali facias*, quam tu ipse molestus esse soleas spectatoribus: quo magis te mihi aequum est ignoscere, si in eodem pecco. deinde pergit ollam aliaque poscere.

429. *ἢ ὅτι χύτραν φέρουσιν, ἐν ᾗ σπόγγος πεπληρωμένος μέλιτος, καὶ τιθέασι τῷ στόματι τῶν παιδίων, ὅπως σιωπήσωσι ζητοῦντες τροφὴν, ἢ ὅτι οἱ πένητες τὰ τρήματα τῆς χύτρας σφηνοῦσι τοῖς σπόγγοις. ἢ τετρημένον ἀπανταχοῦ ὥσπερ οἱ σπόγγοι. καὶ τοῦτο δὲ ὑπερβολὴ πενίας, τὸ κεχρῆσθαι τοῖς τετρημένοις. μιμεῖται δὲ Τήλεφον. βεβυσμένον δὲ κεκλεισμένον.* S. — Mirum profecto, si vel pauperrimi hominum nihil melius habuerint obturandis ollis. equidem crediderim, Dicaeopolidem ollam utendam petere, qua galeae vice [velut Mambrini], caput suum tegat. notum est autem, veteribus in usu fuisse galeae cavitatem vel lana vel spongia implere, ne graviter percussa galea caput laederet. *Br.* quasi olla fragilis pro galea aenea esse posset. nec probabilius est, quod conjicit H. Vossius, Telephum mendicantem secum gestasse in olla spongiam humidam, (?) qua sudorem pulveremque absterget, velut Vulcanus ap. Homerum Il. ε, 414.: *σπόγγῳ δ' ἀμφὶ πρόσωπα καὶ ἄμφω χεῖρ' ἀπομόργνυ, Δόχεια τε στιβαρὸν καὶ στήθεα λαχνήεντα.* mitto alios, praesertim scholiastas nugatores. poscit, opinor, Euripidem Dicaeopolis ollam ad coquendum cibum in reditu, more mendicorum et fortasse Telephi Euripidei. eo spectant olera et scandix 435. et 444. spongiis autem operuisse seu clausisse videntur ollas.

430. *τὴν τραγ. οἷον τὰ σκεύη τῆς τραγῳδίας. ταυτηνὶ δὲ, ἤγουν τὴν χύτραν.* S. „*ἀφαιρεῖσθαι* cum accus. personae legitur Vesp. 1334., Thesm. 892., Ran. 491. et alibi.“ — *Elmsl.*

435. *φυλλ. τὰ ἀπολεπίσματα τῶν λαχάνων. ἰσχνὰ δὲ, οἷον εὐτελῆ καὶ μεμαραμένα (μεμαρασμένα) τῶν λαχάνων φύλλα· τοιαῦτα γὰρ οἱ*

ΕΥ. ἀπολεῖς μ'. ἰδού σοι. φροῦδά μοι τὰ δράματα!
ΔΙ. ἀλλ' οὐκέτ'. ἀλλ' ἄπειμι· καὶ γὰρ εἴμ' ἄγαν
ὀχληρὸς, οὐ δοκῶν γε κοιράνους στυγεῖν.
οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'· ἐπελαθόμην,
ἐν ᾧπέρ ἐστι πάντα μοι τὰ πράγματα.
Εὐριπίδιον, ὦ, γλυκύτατον καὶ φίλτατον,
κάκιστ' ἀπολοίμην, εἴ τί σ' αἰτήσαιμ' ἔτι
πλὴν ἓν μόνον, τουτὶ μόνον, τουτὶ μόνον·
σκάνδικά μοι δὸς μητρόθεν δεδεγμένος.
ΕΥ. ἁνὴρ ὑβρίζει· κλεῖε πηκτὰ δωμάτων.
ΔΙ. ὦ θύμ', ἄνευ σκάνδικος ἐμπορευτέα!
ἆρ' οἶσθ', ὅσον τὸν ἀγῶν' ἀγωνιεῖ τάχα,
μέλλων ὑπὲρ Λακεδαιμονίων ἀνδρῶν λέγειν;
πρόβαινε νῦν, ὦ θυμέ· γραμμὴ δ' αὑτηΐ.

πτωχοὶ ἐσθίουσι. καὶ ἐν Πλούτῳ (540.) ἀντὶ δὲ μάζης φυλλεῖ' ἰσχνῶν ῥαφανίδων. καλεῖται δὲ φυλλεῖα καὶ τὰ θριδακίνης φύλλα. σκώπτει δὲ αὐτὸν ὡς λαχανοπώλιδος υἱόν. S.

438. perperam edd. usque ad Brunckii, cui ne ipsi quidem suboluit menda, οὐ δοκῶν με κ. στ., de quo v. 353. S.: τοῦτο πεπαρῴδηται ἀσήμως ἐξ Οἰνέως Εὐριπίδου. ὁ δὲ Σύμμαχος καὶ ἐκ Τηλέφου φησὶν αὐτό. v. Oenei Eurip. fragm. p. 197., ubi proposui εὐσήμως. loquitur ibi senex Oeneus, regno Calydonis expulsus et in rus ejectus ab Agrio fratre, negans, ut obnoxius et qui desperet de rebus suis, se novos reges odisse, quibus tamen se valde molestum esse.

440. *in quo res omnes meae vertuntur*, quod maximi facio, quo libentissime vescor. omnia haec ironice. Elmsl. et D. E. ὦ γλυκ. etc.

441. libri olim vulgati Εὐρ. γλυκ., ὦ φιλτάτιον. Rav.: Εὐρ. γλυκ. καὶ φιλτάτιον.

444. τουτὶ μόνον, τουτὶ μόνον. repetitio importune instantis, more puerorum. cf. Plut. 114., Pac. 828. etc.

445. σκάνδικα. καὶ ἐν τοῖς Ἱππεῦσι (19.) δεδήλωται, ὅτι ἡ μήτηρ Εὐριπίδου πωλεῖν ἐλέγετο σκάνδικας. θηλυκῶς δὲ ἡ σκάνδιξ [ἐλέγετο]. ἔστι δὲ λάχανον ἄγριον εὐτελές. S. *scandix pecten Veneris* Linn., *Kerbel*, vel *scandix cerefolium* (?) Linn., *der gemeine Kerbel*. Colum. 10. 110. *Jam breve chaerophylum* (?) *et torpenti grata palato Intuba* etc. cf. Billerbeckii Flor. class. p. 76. sequ.

445. „πακτὰ Br., jubente Scal. et Valck. ad Hippol. 808. ipsa Tragici verba λῦε πακτὰ δωμάτων ex Polluce 10, 27. allegavit Valck. ita sane locuti sunt Tragici, sed hanc ἀκρίβειαν in Tragicorum imitatione non semper servant Comici. πηκτὰ, ut vulgo, habent Rav. et Suid. in κλεῖε, quae forma bis Euripidi tribuitur in indice Beckiano.“ — *Elmsl.* S.: πηκτὰ δ. τὰς θύρας. Ὅμηρος· θύρας πυκινῶς ἀραρυίας. S. Hesych. πακτά· ἡρμοσμένα, πεπορπημένα. — *Br.*

449. γραμμή. ἀρχὴ, ἀφετηρία, ἡ λεγομένη βαλβίς. (Eurip. Med. 1187.) ἐκ μεταφορᾶς τῶν δρομέων. S. Vesp. 523. καὶ μὴν εὐθύς γ' ἀπὸ βαλβίδων περὶ τῆς ἀρχῆς ἀποδείξω. Synes. epist. 4. ἐκ πρώτης ἀφετηρίας οὐκ εὐτυχοῦς. — *Be.* Hesych.: γραμμή: ἡ ἐπὶ τοῦ δρόμου, ἧς ἐπέβαινον οἱ δρομεῖς. *Elmsl.*

450 ἔστηκας; οὐκ εἶ καταπιὼν Εὐριπίδην; —
ἐπήνεσ'. ἄγε νυν, ὦ τάλαινα καρδία,
ἄπελθ' ἐκεῖσε, κἀτα τὴν κεφαλὴν ἐκεῖ
παράσχες, εἰποῦσ' ἅττ' ἂν αὐτῇ σοι δοκῇ!
τόλμησον, ἴθι, χώρησον! — ἄγαμαι καρδίας.

455 ΧΟ. τί δράσεις; τί φήσεις; bacch. d.
ἴσθι νυν ἀναίσχυντος ὢν σιδηροῦς τ' ἀνὴρ, as., ithyph. et cr. d.
ὅστις παρασχὼν τῇ πόλει τὸν αὐχένα i. tr.
ἅπασι μέλλεις εἶς λέγειν τἀναντία.

ΗΜ. ἀνὴρ οὐ τρέμει τὸ πρᾶγμ'. εἰᾶ νυν, do.
460 ἐπειδήπερ αὐτὸς αἱρεῖ λέγειν!

ΔΙ. Μή μοι φθονήσητ', ἄνδρες οἱ θεώμενοι, i. tr.
εἰ πτωχὸς ὢν ἔπειτ' ἐν Ἀθηναίοις λέγειν
μέλλω περὶ τῆς πόλεως, τρυγῳδίαν ποιῶν.
τὸ γὰρ δίκαιον οἵδε καὶ τρυγῳδία·
465 ἐγὼ δὲ λέξω δεινὰ μὲν, δίκαια δέ.

450. ἔστ.; ἐπὶ συννοίᾳ μένεις; (imo stas? non procedis?) καὶ οὐκ εἶ ὥσπερ Εὐριπίδην ὅλον μετασχηματισάμενος καὶ ἀναλαβὼν ἐν σεαυτῷ; nostrates, metaphora ab edendo, hast du nicht Eurip. gefressen? ἐκεῖσε δὲ εἰς τὸ ἐπίξηνον. S. οὐκ εἶ, non ibis?

451. ἐπήνεσα, laudo. Eurip. Med. 670. οὐδὲ ταῦτ' ἐπήνεσα. Alcest. 1047. ἐπήνεσ', ἀλόχῳ πιστὸς οὕνεκ' εἶ φίλος, et solent ita usurpari aoristus et imperfectum: vid. Med. 257. ibidem 1184. ἀλλ' εἶ', ὁπλίζου, καρδία! τί μέλλομεν Τὰ δεινὰ κἀναγκαῖα μὴ οὐ πράσσειν κακά; Ἄγ', ὦ τάλαινα χεὶρ ἐμὴ, λαβὲ ξίφος etc.

453. ἅττ' ἂν α. σοι δοκῇ dixit ironice, jocoque inexpectato: *quaecunque tibi videntur*, non: *quae ad rem pertinent*. hic quoque tangi videtur Euripides.

454. ἄγαμαι καρδίας, miror animum meum. ridicule, quasi ignavus esse soleat. Moers: ἄγαμαι Τπερβόλου, ἀττικῶς· ἄγαμαι Τπέρβολον, ἑλληνικῶς. noster Av. 1617. ἄγαμαι δὲ λόγων. Rhes. 240. ἄγαμαι λήματος. cf. Br. et interpp.

456. σιδ. ἀνήρ. στερρὸς ἀνὴρ καὶ ἀτέραμνος. S. Aeschylus, laudante Br., Prom. 240. σιδηρόφρων τε κἀκ πέτρας εἰργασμένος. Eurip. Med. 1220. τάλαιν', ὡς ἆρ' ἦσθα πέτρος, ἢ σίδαρος. Tibullus, 1, 10, 2. *quam ferus et vere ferreus ille fuit.*

461. ἐκ Τηλέφου Εὐριπίδου, μή μοι φθονήσητ', ἄνδρες Ἑλλήνων ἄκροι, Εἰ πτωχὸς ὢν τέτληκ' ἐν ἐσθλοῖσιν λέγειν. S. versum Eurip. μή μοι — ἄκροι mutuatus est etiam Alexis ap. Athen. p. 691, F. *Elmsl.* Exorditur jam orationem Dicaeopolis (sub persona Callistrati actoris: vid. annot. ad 348.), qua rationem reddit, cur pacem fecerit. summa huc redit: ex Atheniensibus quosdam movisse bellum Pelop. levibus de causis; et concludendum relinquitur, aequum esse, ut primi amplectantur pacem. *Be.*

463. τρυγῳδίαν. κωμῳδίαν, ἤτοι διὰ τρύγα ἔπαθλον λαμβάνειν, τουτέστι νέον οἶνον, ἢ διὰ τὸ, μὴ ὄντων προσωπείων τὴν ἀρχὴν, τρυγὶ χρίεσθαι τὰς ὄψεις. S. similiter alii grammatici. apud Athen. 2. p. 40. tragoedia in Attica reperta esse dicitur κατ' αὐτὸν τῆς τρύγης καιρὸν, ἀφ' οὗ δὴ καὶ τρυγῳδία τὸ πρῶτον ἐκλήθη ἡ κωμῳδία. cf. Spanhem. et interpp. ad Nub. 296.

οὐ γάρ με καὶ νῦν διαβαλεῖ Κλέων, ὅτι
ξένων παρόντων τὴν πόλιν κακῶς λέγῳ·
αὐτοὶ γάρ ἐσμεν, οὐπὶ Ληναίῳ τ' ἀγών,
κοὔπω ξένοι πάρεισιν· οὔτε γὰρ φόροι
ἥκουσιν, οὔτ' ἐκ τῶν πόλεων οἱ ξύμμαχοι,
ἀλλ' ἐσμὲν αὐτοὶ νῦν γε περιεπτισμένοι·
τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν λέγω.
Ἐγὼ δὲ μισῶ μὲν Λακεδαιμονίους σφόδρα,
καὐτοῖς ὁ Ποσειδῶν οὐπὶ Ταινάρῳ θεὸς
σείσας ἅπασιν ἐμβάλοι τὰς οἰκίας·
κἀμοὶ γάρ ἐστιν ἀμπέλια κεκομμένα.
ἀτὰρ, φίλοι γὰρ οἱ παρόντες ἐν λόγῳ,

466. καὶ νῦν, etiam nunc, ut antea: cf. 348., 595. minus bene Rav. νῦν γε.

467. τὴν πόλιν. Xenoph. de Rep. Athen. 2, 18. (ubi vid. Schneider. p. 120., 470. sequ. *Dind.*) κωμῳδεῖν γ' αὖ καὶ κακῶς λέγειν τὸν μὲν δῆμον οὐκ ἐῶσιν, ἵνα μὴ αὐτοὶ ἀκούωσι κακῶς· ἰδίᾳ δὲ κελεύουσιν, εἴ τίς τινα βούλεται, εὖ εἰδότες, ὅτι οὐχὶ τοῦ δήμου ἐστὶν οὐδὲ τοῦ πλήθους ὁ κωμῳδούμενος ὡς ἐπὶ τὸ πολύ, ἀλλ' ἢ πλούσιος, ἢ γενναῖος, ἢ δυνάμενος. divites fuerunt Callias et Nicias, potentes Pericles Cleon et Hyperbolus, γενναῖοι Eurip. et Socrates cum toto philosophorum grege, inter quos et poëtas comicos flagrabat usque ἄσπονδος καὶ ἀκήρυκτος πόλεμος.

468. cf. annot. ad 202. et 1142. αὐτοί, soli. vide annot. ad Pac. 583.

471. περιεπτ. οἷον ξένων ἀπηλλαγμένοι καὶ καθαροὶ ἀστοί. κυρίως πτίσσειν ἐστὶ τὸ κριθὰς ἢ ἄλλο τι λεπίζειν καὶ καθαροποιεῖν. ἔνθεν καὶ πτισάνη. S.

474. sequ. Nub. 1426. ἕως ἂν αὐτοῖς ἐμβάλῃς τὴν οἰκίαν. *Elmsl.* οὐπὶ Ταιν. Θεός. ὁ αὐτῶν τῶν Λακεδαιμονίων. Ταίναρον γάρ ἐστι τῆς Λακωνικῆς ἀκρωτήριον, ἐν ᾧ στόμιον ἦν κατάγον εἰς ᾅδου· ἐνταῦθα δὲ ἦν καὶ Ποσειδῶνος ἱερὸν ἀσφαλείου. τοῦτο δὲ εἶπεν, ἐπειδὴ τοὺς Εἵλωτας οἰκέτας καθεσθέντας ἐν τῷ ἱερῷ τοῦ Ποσειδῶνος τοῦ Ταιναρίου οὐδὲν δείσαντες ἀνεῖλον Λακεδαιμόνιοι, καὶ διὰ τοῦτο ἐδόκουν ἐναγεῖς εἶναι. S. Respicit, ut S. videtur velle, ad magnum illum terrae motum, quo concussa est Sparta sub illud tempus, quo Lacedaemonii servos in templo Neptuni supplices violaverant; de quo Thuc. 1, 128. illius terrae motus meminit Comicus in Lys. 1142. (1070.) — *Bc.* Thuc. 1, 128. οἱ γὰρ Λακεδαιμόνιοι ἀναστήσαντές ποτε ἐκ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος ἀπὸ Ταινάρου τῶν Εἱλώτων ἱκέτας ἀπαγαγόντες διέφθειραν· δι' ὃ δὴ καὶ σφίσιν αὐτοῖς νομίζουσι τὸν μέγαν σεισμὸν γενέσθαι ἐν Σπάρτῃ. nimirum tanta vi concussa est tellus, ὥστε οἰκίαν μηδεμίαν ἐν Λακεδαίμονι ἀντίσχειν, auctore Pausania 7, 25. hunc terrae motum, cujus meminit noster Lys. 1142., Olymp. 77. a. 4. (ante Chr. nat. 468.) evenisse narrat Diodorus Sic. 11, 63. verum eo ipso tempore, quo acta est haec fabula, magno metu tenebantur Lacedaemonii, ne simili clade iterum opprimerentur: proxima enim aestate et superiori hieme frequentes terrae motus per universam fere Graeciam extitisse scimus ex Thuc. 3, 87., 89. eos in animo habuit poëta. *Elmsl.* — malim καὐτοῖς Ποσειδῶν, cf. Nub. 1137.

476. cf. 183.

477. *verum enimvero* (dicam enim libere, *quoniam amici sunt, qui orationi huic intersunt*) *cur in istis accusamus Lacedaemonios?* Bc. Av. 30. ὦνδρες οἱ παρόντες ἐν λόγῳ. Rhes.

τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα;
ἡμῶν γὰρ, ἄνδρες, οὐχὶ τὴν πόλιν λέγω,
(μέμνησθε τοῦθ', ὅτι οὐχὶ τὴν πόλιν λέγω,)
ἀλλ' ἀνδράρια μοχθηρὰ, παρακεκομμένα,
ἄτιμα, καὶ παράσημα, καὶ παράξενα,
ἐσυκοφάντει Μεγαρέων τὰ χλανίσκια·
κεἴ που σίκυον ἴδοιεν, ἢ λαγώδιον,
ἢ χοιρίδιον, ἢ σκόροδον, ἢ χόνδρους ἅλας,

147. τίς δῆτα Τρώων, οἳ πάρεισιν ἐν λόγῳ; — K.

479. τὴν πόλιν, τὸν δῆμον, quod fieri vetabant leges: cf. 467.

480. caute hoc spectatorum inculcat memoriae, ne rursus Cleon vel alius quispiam orator aut sycophanta sibi dicam impingat: vid. annot. ad 348.

481. μοχθ., improba, scelesta. S.: παρακ. μηδὲν ἐντελὲς ἔχοντα, ἀπὸ μεταφορᾶς τῶν ἀδοκίμων νομισμάτων, ἅπερ παράτυπα λέγεται καὶ παρακεκομμένα. καὶ νῦν δὲ εἰώθασι λέγειν παραχαράκτας τοὺς παρακόπτοντας, ὅθεν καὶ παρὰ Ἀθηναίοις παράσημος ῥήτωρ. comparant Ran. 671. seqq.

482. ἄτιμοι, *infames*, nihil amplius, opinor: neque enim necesse est intelligi capitis deminutionem, ut Ran. 648. — Elmsl.: παράξενα. Vix dici potest, quam saepe hominibus in civitate potentibus, vel alioqui sibi infestis, ξενίαν exprobrarint Comici. hac suspicione notatur Cephisodemus inferius 660., Execestides Av. 11., 730., 1424., Acestor 31., Spintharus 728., Lycurgus 1209., Archedemus Ran. 394., Cleopho 637., 1427., Diitrephes a Platone Comico ap. S. ad Av. 763. Cleophontem ab Euripide tangi in Or. 876. censet graecus ejus interpres, ubi in concione Argivorum inducitur orator Ἀργεῖος οὐκ Ἀργεῖος.

483. ἐσυκ. Ipse Comicus clare nobis ob oculos ponit, quae agere soliti fuerint sycophantae, infra 773. seqq., ubi sycophanta aliquis adoritur Megarensem hominem, qui porcellos videbatur venales tulisse Athenas, et 857. seqq., ubi alius Thebanum, qui alia mercimonia attulerat. Be. S.: Μεγ. τὰ χλαν. οἱονεὶ ἐξετίνασσον αὐτούς (excutiebant eos, *sic visitirten sie*) παραγενόμενοι. — Br.: Quia eos insimulabant sub palliis vel laenis aliquid mercis absconditum habere. — Elmsl.: „Haec male acceperunt interpp. lanificium lucelli causa exercebant Megarenses. (v. Xenoph. Memor. Socr. 2, 7, 6. *Diod.*) eos in animo habuit noster Pac. 942. καὶ τὴν ἀγορὰν ἡμῖν ἀγαθῶν Ἐμπλησθῆναι, μεγάλων σκορόδων, Σιλφίου πράσων, μήλων, ῥοιῶν, Δούλοισι χλανισκιδίων σμικρῶν." de tenuibus causis initiisque belli Pelop. vide annot. ad Pac. 246.

484. σίκυον. ἀπὸ εὐθείας τῆς ὁ σίκυος. (?) καὶ ἀλλαχοῦ σικύους ἐνταῦθά πη φυομένους ὀδδενὶ κόσμῳ περιϊόντες κατήσθιον. καὶ ἐν ἐπιγράμματι καὶ σίκυον χνοάοντα τὸν ἐν φύλλοις πεδοκοίτην. τουτέστι πέπονα. S. cf. Pac. 943.

485. ἢ χ. ἅλός. (ἅλας.) οὕτως οἱ Ἀττικοί. πολλοὶ δὲ ἦσαν παρὰ Μεγαρεῦσιν ἅλες. S. haec omnia Megarenses venditare solebant Athenis. Elmsl.: ἢ. χ. ἁλὸς vulgo, ubi ex Atticorum consuetudine saltem scribi debebat ἁλῶν. Hesych.: χόνδροι ἁλῶν· παχεῖς ἅλες. Suid. χόνδρος: τοῦ στομάχου τὸ ἔντερον. καὶ χόνδροι ἁλῶν, θρόμβοι, παχὺς ἅλς. sed vera scriptura debetur choliambo Phoenicis Colophonii ap. Athen. pag. 359, F. ὅτ', ὦ γαθοί τι τῶν ξ καστος ἐν χερσὶν Ἔχει κορώνη· χάλαλήψεται χόνδρον. nimirum χόνδρος pro adjectivo usurpatur. (vide Schneideri lex. h. v.) nec dubitari potest quin scripturam,

ταῦτ' ἦν Μεγαρικὰ, κἀπέπρατ' αὐθημερόν.
καὶ ταῦτα μὲν δὴ σμικρὰ κἀπιχώρια·
πόρνην δὲ Σιμαίθαν ἰόντες Μεγάραδε
νεανίαι κλέπτουσι μεθυσοκότταβοι,
κἄϑ' οἱ Μεγαρῆς ὀδύναις πεφυσιγγωμένοι
ἀντεξέκλεψαν Ἀσπασίας πόρνα δύο·

quam reposui, habuerit S. is enim ait: ἢ χ. — Ἀττικοί: atqui in vulgata scriptura nihil Atticorum proprium est. comparativum χονδρότερος in Hederici lex. manuali indicat Schweigh. ad Athen. ceterum χόνδρος ἅλσιν opponuntur λεπτοὶ ἅλες. noster ap. S. ad Vesp. 1270., Pollucem 6, 65. et Athen. p. 367, B. καὶ πῶς ἐγὼ Σθενέλου φάγοιμ' ἂν ῥήματα; Εἷς ὄξος ἐμβαπτόμενος ἢ λεπτοὺς ἅλας; (rectius, puto, verba εἷς — ἅλας alteri colloquenti tribueris, εἷς — ἅλας.)

486. ταῦτα λέγοντες εἶναι Μεγαρικὰ πάντα διήρπαζον etc. S.

488. Hesych.: Σιμαίθα· ἑταίρας Μεγαρικῆς ὄνομα. de scortis Megarensibus proverbium erat Μεγαρικαὶ σφίγγες, ab Hesychio et Suida memoratum. quod tradit S. hujus furti auctorem fuisse Alcibiadem, temere dictum videtur, nec bene cum temporis rationibus conciliari potest. Elmsl.

489. μεθ. ebrii κοτταβίζοντες. de cottabo, ludo conviviali, vide Pac. 341.

490. πεφυσ. φύσιγξ λέγεται τὸ ἐντὸς λίπισμα τῶν σκορόδων, ἡ φυάττη. ἔπαιξεν οὖν τοῦτο εἰς Μεγαρέας, ὅτι πολλὰ σκόροδα ἔχουσιν. — S. imo πεφυσ. idem est atque ἐσκοροδισμένοι 166., ut notavit Be. Elmsl. conferri jubet Piersonum ad Moer. 397. etc.

491. Ἀσπασίας. τῇ μιᾷ τούτων ἐχρήσατο ὁ Περικλῆς· ὃι' ἣν ὀργισθεὶς ἔγραψε τὸ κατὰ Μεγαρέων ψήφισμα, ἀπαγορεύων δέχεσθαι αὐτοὺς εἰς τὰς Ἀθήνας· ὅθεν ἐκεῖνοι εἰργόμενοι τῶν Ἀθηνῶν προσέφυγον τοῖς Λακεδαιμονίοις. (cf. annot. ad Pac. 246.) ἡ δὲ Ἀσπασία Περικλέους ἦν σοφίστρια καὶ διδάσκαλος λόγων ῥητορικῶν· (?!) ὕστερον δὲ καὶ γαμετὴ γέγονε. S. Athen. 13, 3. p. 569, sequ.: καὶ Ἀσπασία ἡ Σωκρατικὴ ἐνεκορεύετο πλήθη καλῶν γυναικῶν, καὶ ἐπλήθυνεν ἀπὸ τῶν ταύτης ἑταιρίδων ἡ Ἑλλὰς, ὡς καὶ ὁ χαρίεις Ἀριστ. παρασημαίνεται, λέγων τὸν Πελοποννησιακὸν πόλεμον (verba τὸν Πελ. πόλ. ab aliena manu esse videntur Jacobsio loco infra laudato p. 264.), ὅτι Περικλῆς διὰ τὸν Ἀσπασίας ἔρωτα καὶ τὰς ἀρπασθείσας ἀπ' αὐτῆς θεραπαίνας ὑπὸ Μεγαρέων ἀνεῤῥίπισε τὸ κατὰ Μεγαρέων ψήφισμα τὸ δεινόν· πόρνην δὲ etc. eundem locum Comici nostri citat etiam Plut. in vita Periclis p. 168. (c. 30.: Μεγαρεῖς δὲ τὸν Ἀνθεμοκρίτου φόνον ἀπαρνούμενοι τὰς αἰτίας εἰς Ἀσπασίαν καὶ Περικλέα τρέπουσι, κρώμενοι τοῖς περιβοήτοις καὶ δημώδεσι τούτοις ἐκ τῶν Ἀχαρνέων στιχιδίοις· Οὐ πόρνην etc.). K., qui praeterea de hac re laudat Harpocrat. et Suid. v. Ἀσπασία. recentiorum inprimis conferendus est F. Jacobsius in dissertatione germ. de conditione feminarum Atheniensium (*Beiträge zur Gesch. des weibl. Geschlechtes in Athen.*), quae dissert. inserta est Musei Att. vol. 3. particulae 2., pagg. 207. seqq. recte ibi vir illustris p. 210.: „Für den Dichter, welcher seine Mitbürger dem Kriege abgeneigt machen wollte, war es sehr zweckmässig, eine so verächtliche Ursache desselben zu erdichten, oder die Sage davon zu benutzen; aber eine ernsthafte Widerlegung dürfte sie schwerlich verdient haben." alius, non magis probabilis, rumor ejus rei commoratur Pac. 581 seqq., cum verae causae belli Pelop. („der herrschsüchtige Übermuth, womit die Athener sich ihres Glücks bedienten, auf der ei-

κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατεῤῥάγη
Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.
ἐντεῦθεν ὀργῇ Περικλέης οὐλύμπιος
ἤστραπτ', ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα,
ἐτίθει νόμους ὥσπερ σκολιὰ γεγραμμένους,
ὡς χρὴ Μεγαρέας μήτε γῇ, μήτ' ἐν ἀγορᾷ,
μήτ' ἐν θαλάττῃ, μήτ' ἐν ἠπείρῳ μένειν.
ἐντεῦθεν οἱ Μεγαρῆς, ὅτε δὴ 'πείνων βάδην,
Λακεδαιμονίων ἐδέοντο, τὸ ψήφισμ' ὅπως
μεταστραφείη τὸ διὰ τὰς λαικαστρίας·
κοὐκ ἠθέλομεν ἡμεῖς δεομένων πολλάκις·
κἀντεῦθεν ἤδη πάταγος ἦν τῶν ἀσπίδων.
ἐρεῖ τις „Οὐ χρῆν." ἀλλὰ, τί χρῆν, εἴπατε.
φέρ', εἰ Λακεδαιμονίων τις ἐκπλεύσας σκάφει
ἀπέδοτο φήνας κυνίδιον Σεριφίων,

nen, und die neidische Eifersucht der Spartaner, Korinther und Thebaner auf der andern Seite," ut ait Wieland.) minime sint obscurae.

492. — κατεῤῥάγη, *erupit.* usitata, nec modo Graecis, metaphora. v. Soph. Ant. 631., Oedip. R. 1022. sequ., 1214., Trach. 807. etc. Valck ad Eurip. Hipp. 1338. (1277.): Quaecunque magna cum vi eruperunt, sive quae vehementi cum impetu in obstantia quaevis feruntur illisa, ῥαγῆναι dicuntur, sive ἐῤῥωγέναι, ἐκραγῆναι, καταῤῥαγῆναι etc.

494. Olympius vocabatur Pericles propter eloquentiam potentiamque. v. Jacobs. l. l. p. 210. S.: — ὅτι ὁ Ζεὺς Ὀλύμπιος καλεῖται, ἐπήγαγε τὸ ἤστραπτεν, ἐβρόντα. Εὔπολις Δήμοις de Pericle κράτιστος οὗτος ἐγένετ' ἀνθρώπων λέγειν etc.

495. ita Plin. 1, 20., nos Lect. Aristoph. p. 93., Elmsl. libri vulgati ex schol. ἤστραπτεν, dure correpta prima verbi ἐβρ.

496. asyndeton ἐπεξηγητικὸν, de quo ad 406. S.: ἐτ. νόμους. μιμούμενος τὸν τῶν σκολιῶν ποιητήν. Τιμοκρέων δὲ (imo γάρ. menda frequens.) ὁ Ῥόδιος μελοποιὸς τοιοῦτον ἔγραψε σκολιὸν κατὰ τοῦ πλούτου, οὗ ἡ ἀρχὴ ὤφελες (ὤφελές γ' Br., ὄφελες Elmsl.), ὦ τυφλὲ Πλοῦτε, Μήτ' ἐν (μήτε Bentl. aliique) γῇ, μήτ' ἐν θαλάττῃ, Μήτ' ἐν ἠπείρῳ φανήμεναι (φανῆναι), Ἀλλὰ Τάρταρόν τε ναίειν Κἀχέροντα· διὰ σὲ γὰρ Πάντ' ἐν ἀνθρώποις κακά. τούτοις ἔοικε καὶ τὰ ὑπὸ Περικλέους εἰσηγηθέντα· ἐπεὶ ὁ Περικλῆς γράφων τὸ ψήφισμα εἶπε Μεγαρέας μήτε ἀγορᾶς, μήτε θαλάττης, μήτ' ἠπείρου μετέχειν etc.

499. βάδην, pedetentim, paulatim. S.: ἐπείνων. ἀντὶ τοῦ ἐλίμωττον. ὑπὸ λιμοῦ διεφθείροντο. βάδην δὲ ἀντὶ τοῦ καταβραχὺ αὐξανομένου τοῦ λιμοῦ, καὶ ἐπίδοσιν λαμβάνοντος. S.

504. καὶ τοῦτο ἀπὸ Τηλέφου Εὐριπίδου. ἐρεῖ τις, ὅτι οὐκ ἐχρῆν πόλεμον, κινῆσαι τοὺς Λακεδαιμονίους. τί οὖν ἐχρῆν αὐτοὺς ποιεῖν, εἴπατε. S. — τί χρῆν. positio debilis, de qua dictum ad Eurip. Med. 135. etc. Iphig. Aul. 1232., notante Dind.: δηλαδὴ ξανθῆς ἐθείρης. ΚΛ. ἐμὲ δὲ τί χρὴ δρᾷν τότε;

506. S.: φήνας, συκοφαντήσας, φενακίσας. (interpres Didot.: „Si quis Lacedaemoniorum profectus navi per calumniam Seriphiis ademtum vendidisset catellum, sedissetisne domi,

καθῆσθ' ἂν ἐν δόμοισιν; ἢ πολλοῦ γε δεῖ,
καὶ κάρτα μέν τἂν εὐθέως καθείλκετε
τριακοσίας ναῦς, ἦν δ' ἂν ἡ πόλις πλέα
θορύβου στρατιωτῶν, περὶ τριηράρχου βοῆς,
μισθοῦ διδομένου, Παλλαδίων χρυσουμένων,
στωᾶς στεναχούσης, σιτίων μετρουμένων,
ἀσκῶν, τροπωτήρων, κάδους ὠνουμένων,
σκορόδων, ἐλαῶν, κρομμύων ἐν δικτύοις,
στεφάνων, τριχίδων, αὐλητρίδων, ὑπωπίων·
τὸ νεώριον δ' αὖ κωπέων πλατουμένων,

neglectis Seriphiis?") — Idem: ἡ δὲ *Σέριφος* νῆσός ἐστιν εὐτελεστάτη πρὸς τῇ *Θρᾴκῃ*. una Cycladum, in ditionem Atheniensium redacta, de qua Strabo 2, 5., vol. 2. p. 391. ed. Tauchniz.: οὕτω δ' ἐστὶ πετρώδης ἡ νῆσος, ὥστε ὑπὸ τῆς *Γοργόνος* τοῦτο παθεῖν αὐτήν φασιν οἱ κωμῳδοῦντες. *saxum Seriphium* appellavit Tacitus Ann. 4, 21., *parvam Seriphon* Ovidius Met. 5, 242.

507. καθ. — δόμοισιν; *num domi sederetis*, h. e. pacem agitaretis? ἢ — δεῖ. ἀντὶ τοῦ οὐδὲ ὅλως. καὶ τοῦτο ἐκ Τηλέφου. S.

509. τριακ. ναῦς. numerus consuetus triremium, quas instructas habere solebant Athenn. vide Pac. 496.

510. περὶ τρ. βοῆς. τῶν βοώντων περὶ τοῦ δεῖν τριηράρχους εἶναι. (?) S.

511. μισθοῦ μὲν τοῦ διδομένου τοῖς ἐμβαίνουσιν εἰς τὰς ναῦς. *Παλλάδια* δὲ ἐν ταῖς πρῴραις τῶν τριήρων ἦν ἀγάλματά τινα ξύλινα τῆς Ἀθηνᾶς καθιδρυμένα, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν. S.

512. στωᾶς. hoc stabilitur nomine *Στωϊκοί*, nec probandum στοιά, quod hic et alibi habent libri veteres, in quibus Rav., ω et οι confusis, ut passim. vulgo στοᾶς, sed priorem syllabam produci ostendunt Eccles. 676., 684., 686. S.: στωᾶς στεν. τῆς λεγομένης ἀλφιτοπώλιδος, ἣν ᾠκοδόμησε Περικλῆς, ὅπου καὶ σῖτος ἀπέκειτο τῆς πόλεως· ἦν δὲ περὶ τὸν Πειραιᾶ. στεναχούσης δὲ διὰ τὸ πλῆθος τῶν συναγομένων ἐπισιτισμῶν. S. ea porticus etiam Eccles. 686. commemoratur. — Elmsl.

513. τροπ. τῶν ἱμάντων τῶν συνδεόντων τὸν πάτταλον. (?) λέγω δὲ τὸν σκαλμὸν, τὴν κώπην. Ὁμηρος (Od. δ, 782.) τροποῖς ἐν δερματίνοισιν. Be. *scalmorum loris*. Wieland. *Ruderriemen*.

514. σκορ., ἑλ. οἱ γὰρ ἐπὶ πόλεμον ἐξιόντες ταῦτα ὠνοῦντο, καὶ ἐν λίνοις ἔβαλλον. S. κρομμύων. vide Ran. 615.

515. στεφ., τριχ. ταῦτα μὲν πάντα ὡς εὐωχουμένων τῶν μελλόντων ἐμβαίνειν εἰς τὰς ναῦς. τριχίδες δὲ εἶδος ἰχθύων, καὶ ἴσως οὓς ἡμεῖς καλοῦμεν θρίσας (θρίσσας), ἐπεὶ θριξὶν ὅμοια ἔχουσιν ὀστᾶ. S. τριχίδες, τριχιάδες, θρίσσαι sunt pisciculi e sardarum sive sardinarum genere (*Sardellen*; Voss. dixit *Grätlinge*, h. e. *Grässlinge*, *Gründlinge*, qui piscis est *cyprinus gobio* Linn.), de quibus ad Equ. 613. — αὐλ., quae comessationibus intererant. cf. Ran. 478. seqq., Plaut. Aul. 286., Stich. 357. Plato Symp. 30, 1. ὡς κωμαστῶν καὶ αὐλητρίδος φωνὴν ἀκούειν, ubi vidd. interpp. — S.: ὑπωπίων. τῶν τύλων τῶν γινομένων ἐν ταῖς χερσὶν ἀπὸ τῆς τοῦ σιδήρου ἐργασίας. λέγεται δὲ καὶ ὑπώπια [καὶ] τὰ ἀφ' οἱασδηποτοῦν πληγῆς τραύματα. eo sensu hic usurpatur vox. a comessationibus, praesertim nautarum, non longe abesse solent plagae.

516. κωπέων. a recto κωπεύς. „— Sunt κωπέες (κωπεῖς) *ligna remis faciendis apta*. (v. Boeckh.

τύλων ψοφούντων, θαλαμιῶν τροπουμένων,
αὐλῶν, κελευστῶν, νιγλάρων, συριγμάτων.
ταῦτ' οἶδ' ὅτι ἂν ἔδρατε· τὸν δὲ Τήλεφον
οὐκ οἰόμεσθα. νοῦς ἄρ' ὑμῖν οὐκ ἔνι.

ΗΜ. ἆληθες, ὦ 'πίτριπτε καὶ μιαρώτατε;
ταυτὶ σὺ τολμᾷς πτωχὸς ὢν ἡμᾶς λέγειν
καὶ συκοφάντης, εἴ τις ἦν, ὀνειδίσας;

ΗΜ. νὴ τὸν Ποσειδῶ, καὶ λέγει γ', ἅπερ λέγει,
δίκαια πάντα, κοὐδὲν αὐτῶν ψεύδεται.

ΗΜ. εἶτ', εἰ δίκαια, τοῦτον εἰπεῖν αὖτ' ἐχρῆν;
ἀλλ' οὐδὲ καίρων ταῦτα τολμήσει λέγειν.

Staatshaush. d. Ath. t. 1. p. 75. *Dind.*) Hesych.: *κώπειις* (scr. *κωπείς*): *τὰ εἰς κώπας ἐνθετα ξύλα.* vide Valck. ad Herodot. (5, 23, 12.) p. 383. *πλατουμένων* valet *quae in palmulas exasciantur*, a *πλάτη*, *palmula remi*, unde *πλατόω*. conficiendorum remorum maximus labor est palmulae dedolatio; multo minor opera reliquae parti impenditur; praecipua est palmula. inde est, quod *πλάτη* per *συνεδοχὴν remum* significat; sed proprie est pars remi inferior. Hesych.: *κώπης τὸ ἄνω κώπαιον· τὸ δὲ κάτω πλάτη.*" *Br.*

517. *τύλων. τῶν ξυλίνων ἤλων.* S. *θαλ. τροπ. remorum, qui loro ad scalmum alligantur.* Hesych.: *θαλάμιαι κῶπαι αἱ κατωτάτω, καὶ οἱ ταύτην ἔχοντες τὴν χώραν θαλάμιοι λέγονται.* (cf. Ran. 1013.) idem: *τροπώσασθαι, τὸ τὴν κώπην πρὸς τὸν σκαλμὸν θῆσαι. E K.* cf. 514.

518. *αὐλῶν.* intelliguntur tibiae *τῶν τριηραυλῶν*, sive tibicinum in triremi, de quibus dixit Kuhn. ad Polluc. 1, 9. segm. 96. de *κελευσταῖς*, sive hortatoribus remigum, vide G. G. S. Köpkei librum germ. de re milit. Graecorum aevo heroico p. 167. annot. et scriptores antiquitatum gr. S.: *νιγλάρων, ὁ νίγλαρος τρῆμά ἐστι, καὶ μέλος μουσικὸν παρακελευστικόν.* Br.:— Est *νίγλαρος* modus quidam in tibiarum cantu. vide Pollucem 4, 83. — Hesych.: *νίγλαροι: τερετίσματα, περίεργα κρούσματα.* appellabatur etiam *νίγλαρος* peculiaris quaedam tibiae species. Pollux: *νίγλαρος δὲ μικρός τις αὐλίσκος αἰγύπτιος, μοναυλίᾳ πρόσφορος.* „fortasse non multum absimilis fuerit tibiae, cujus in militia nostra usus, quam *fifre* vocamus." Br.

519. hactenus hypotyposis eorum, quae fieri solent in expeditionibus, cum classis instruitur. *Be. S.*: *τὸν δὲ Τήλεφον. καὶ ταῦτα ἐκ Τηλέφου Εὐριπίδου.*

521. *ἆληθες; ain' vero?* vide Plut. 123. *ἐπίτριπτε.* convicium solenne comoediae, uti et *μιαρὲ*, vel *μιαρώτατε*: cf. Plut. 275., 989., Ran. 431. etc.

522. *πτωχὸν* pauperem pauper iratus vocat, quod ironice repetit Dicaeopolis 544. nam pauper, *πένης*, est senex, mendicus, *πτωχός*, non est. cf. 559. sqq., Plut. 544. seqq. S.: *ἐνταῦθα διαιρεῖται ὁ Χορὸς εἰς δύο μέρη· καὶ τὸ μὲν ὀργίζεται ἐφ' οἷς λέγει ὁ Δικαιόπολις, τὸ δὲ καὶ ἀποδέχεται.* —

523. libri *ὠνείδισας*, turbata constructione verborum. — *εἴ τις ἦν, si quisquam fuit.* cf. Plut. 650., Pac. 302. etc.

526. *εἰ δίκαια, quamvis justa.* vid. Matth. gr. §. 524, 1. — *τοῦτον, τὸν πτωχόν*, dictum per contemtum, ut saepius, vide Ran. 946. etc.

527. his dictis in Dicaeopolidem invadit; sed ab altero Semichorio retinetur: quare Lamachum ducesque et milites sibi advocat. — *οὐδὲ* pro *οὐ*, sive potius pro *οὐ δὲ* per pleonasmum. cf., monstrante Elmsl.,

ΗΜ. οὗτος σὺ, ποῖ θεῖς; οὐ μενεῖς; ὡς, εἰ θενεῖς
τὸν ἄνδρα τοῦτον, αὐτὸς ἀρθήσει τάχα.
ΗΜ.ἰὼ Λάμαχ', ὁ βλέπων ἀστραπὰς, do. περίοδος.
βοήθησον, ὦ γοργολόφα, φανείς!
ἰὼ Λάμαχ', ὦ φίλ', ὦ φυλέτα,
εἴτε τις ἔστι ταξίαρχος, chor. d. hyp.
ἢ στρατηγὸς, ἢ τειχομάχος ἀνὴρ, asyn., 2 t. h.
βοηθησάτω τις ἀνύσας· ἐγὼ γὰρ ἔχομαι μέσος. as., 3 dm.
ΛΑ. πόθεν βοῆς ἥκουσα πολεμιστηρίας; i. tr.
ποῖ χρὴ βοηθεῖν; ποῖ κυδοιμὸν ἐμβαλεῖν;
τίς Γοργόν' ἐξήγειρεν ἐκ τοῦ σάγματος;
ΔΙ. ὦ Λάμαχ' ἥρως, τῶν λόφων καὶ τῶν λόχων!
ΗΜ.ὦ Λάμαχ', οὐ γὰρ οὗτος ἄνθρωπος πάλαι
ἅπασαν ἡμῶν τὴν πόλιν κακορρόθει;
ΛΑ. οὗτος σὺ, τολμᾷς πτωχὸς ὢν λέγειν τάδε;
ΔΙ. ὦ Λάμαχ' ἥρως, ἀλλὰ συγγνώμην ἔχε,
εἰ πτωχὸς ὢν εἶπόν τι κἀστωμυλάμην.

infra 739., praetereaque Euripidem Herc. fur. 1229., El. 267., Sophoclem Oed. Col. 474., Trach. 1063. etc. — τολμήσει, ausus fuerit. | vide Herm. ad Viger. annot 164. vel ita explicandum est futurum, ut sententia sit haec: verum non is est, qui talia dicere impune possit.

528. θενεῖς. ἀντὶ τοῦ τύψεις. gl. Victor. S.: ἀρθήσει δὲ καταληφθήσῃ. Plautus Amph. 205. *Auferre, non abibis, si ego fustem sumsero.*

530. Vulgo Ἰὼ Λ., ἰὼ β. ἀ., putidius iterato ἰώ. similia ὁ et ἰώ: hinc puto, error. βλέπειν ἀστραπὰς, ut βλέπειν Ἄρη Plut. 324. et similia passim ap. hunc nostrum et alios scriptores.

531. γοργ., *terribili crista praedite.* Eurip. Phoen. 120. (117.) τίς οὗτος ὁ λευκολόφας, ubi similis formae vocabula quaedam recensuit Valck.

535. versus τρίκωλος, qualis 331. cf. Soph. Antig. 1047. — ἔχομαι μέσος. ἀντὶ τοῦ ἧττημαι, ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν τὰ μέσα ληφθέντων, καὶ μὴ ἐχόντων εὐκόλως ἐκφυγεῖν τοὺς ἀντιπαλαίοντας. S. conferunt Equ. 363., Ran. 434. — ἀνύσας, ut Plut. 345. etc.

537. κυδ. κυδοιμὸς πόλεμος, θόρυβος, ταραχή. gl. Victor. cf. Pac. 255.

538. ὡς τοῦ Λαμάχου ἔχοντος ἐντετυπωμένην ἐν τῇ ἀσπίδι Γοργόνα. S. cf. 1027. σάγματος. Hesych.: σάγμα: τὸ ἕλυτρον τῆς ἀσπίδος. cf. Pollux 7, 157.; de toto autem versiculo vide infra 1104.

539. mirantis hoc est, non sine indignatione Av. 61. Ἄπολλον ἀποτρόπαιε, τοῦ χασμήματος! cf. Matth. gr. §. 348. λόφων, λόχων. paronomasia. „similiter infra 1006. τοὺς λόχους καὶ τοὺς λόφους. — K.

540. πάλαι, *modo.* v. Soph. Trach. 1056., Eurip. Phoen. 1251., Hipp. 1039.

541. κακορρόθει. κακῶς ἀγορεύει. gl. Victor. Elmsl.: Hesych. κακορρόθει: κακολογεῖ, λοιδορεῖ, ὑβρίζει. vocab. Tragicis usitatissimum noster usurpat etiam Thesm. 854.

544. πτωχός. cf. 522. S.: κάστ. ἐφυλάρησα, περισσόν τι τοῦ δέοντος ἐλάλησα. —

ΛΑ. τί δ' εἶπας ἡμᾶς; οὐκ ἐρεῖς;
ΔΙ. οὐκ οἶδά πω·
ὑπὸ τοῦ δέους γὰρ τῶν ὅπλων ἱλιγγιῶ.
ἀλλ' ἀντιβολῶ σ', ἀπένεγκέ μου τὴν μορμόνα.
ΛΑ. ἰδού.
ΔΙ. παράθες νυν ὑπτίαν αὐτὴν ἐμοί.
ΛΑ. κεῖται.
ΔΙ. φέρε νυν ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν.
ΛΑ. τουτὶ πτίλον σοι.
ΔΙ. τῆς κεφαλῆς νύν μου λαβοῦ,
ἵν' ἐξεμέσω· βδελύττομαι γὰρ τοὺς λόφους.
ΛΑ. οὗτος, τί δράσεις; τῷ πτίλῳ μέλλεις ἐμεῖν;
πτίλον γάρ ἐστιν...
ΔΙ. εἰπέ μοι, τίνος ποτὲ
ὄρνιθός ἐστιν. ἆρα κομπολακύθου;

546. τῶν ὅπλων, clipei. ἱλιγγιῶ. σκοτοδινῶ, ὑπὸ τῆς γαστρὸς συνέχομαι (premor, crucior). τοῦτο δὲ καὶ Συρακοσίοι εἴρηκον λέγουσιν etc. S. cf. 1133. et Suid. v. εἰλιγγιῶ.

547. τὴν μορμ. ἀντὶ τοῦ τὰ φοβερά· φοβερὰ γὰρ ὑπῆρχεν ἡ μορμώ. ἐνταῦθα δὲ μορμόνος, ὡς τρυγόνος· ἀλλαχοῦ δὲ μορμοῦς, ὡς Σαπφοῦς. S. „Gorgonem in clipeo dicit.“ — Be.

549. τὸ πτερόν. totam cristam sibi dari jubet; sed unam tantum ex illa pennam ei porrigit Lamachus. S.: πτερὸν αἴτει, ἵνα ἐξεμέσῃ. εἰώθασι γὰρ οἱ δυσεμεῖς πτεροῖς χρῆσθαι. „Plut. ἐν πολιτικοῖς Παραγγ. p. 801. καὶ πάλιν αἰτοῦντα λεκάνην καὶ πτερὸν, ὅπως ἐμέσῃ.“ — K.

551. βδελ. — λόφους. i. e. nauseam mihi movent cristae. hanc enim significationem interdum habet τὸ βδελύττομαι: vide Jungermann. ad Pollux. 10, 76. K.

553. codd. inepta distinctione: ΔΙ. πτίλον γάρ ἐστιν εἰπέ μοι τίνος ποτέ; ΛΑ. Ὄρνιθός ἐστιν. ΔΙ. ἆρα κομπ.; paulo melius Elmsl., Bekker., ΔΙ. πτίλον γάρ ἐστιν; εἰπέ μοι, τίνος π. Ὄρν. ἐστιν; ἆρα κ.; sed insulsa tamen ista quaestio est πτίλον γάρ ἐστιν; estne igitur penna? quasi id quisquam dubitare sanus possit. imo Lamachum pennam illam ad ejusmodi usum adhiberi vetantem, et hoc vel quiddam simile additurum, quo deterreat Dicaeopolidem, πτίλον γάρ ἐστι τιμιωτάτου τινὸς Ὄρνιθος (scil. struthiocameli, ut ex versu 1037. intelligas), senex noster interpellat verbis εἰπέ μοι etc. et magnificam istam militis praedicationem ridiculae avis κομπολακύθου commemoratione deprimit.

554. κομπ. ματαιοκόμπου καὶ κομπώδους ἐν τῷ καυχᾶσθαι. παρεσκεύασε δὲ καὶ παρέπλασεν ὄνομα (ὄνομα τὸ) ὄρνιθος διὰ τὸ κομπαστὴν εἶναι τὸν Λάμαχον. ἄλλως. ἀπὸ τοῦ λακεῖν ἐν παραγωγῇ γέγονε τὸ ληκύθιον. ληκυθίζειν γὰρ τὸ μεῖζον βοᾶν καὶ ψοφεῖν. ἦχον γὰρ ἀποτελεῖ καὶ ἡ ληκυθος, ἐπεὶ καὶ αὕτη πεφύσηται. πάντα γὰρ τὰ πεφυσημένα κόμπον ποιεῖ. (ampullam olearium dicit, quod ineptum esse, et potius intelligendam gurgulionem, cujus ioprimis ope vox editur, sensit Schneider. in lex. gr. v. ληκυθος.) ἀπὸ οὖν τοῦ κόμπου καὶ τῆς ληκύθου ὄνομα συνέθηκεν. S. Ad h. l. respexit Etymologus: κομπολακύθης: ὄνομα ὀρνέου παρὰ Ἀριστοφάνει ἀπὸ τοῦ κόμπος καὶ λάκω· τουτέστι μετὰ κόμπου λακῶν.

ΛΑ. οἴμ', ὡς τεθνήξει!
ΔΙ. μηδαμῶς, ὦ Λάμαχε!
οὐ γὰρ κατ' ἰσχύν ἐστιν. εἰ δ' ἰσχυρὸς εἶ,
τί μ' οὐκ ἀπεψώλησας; εὔοπλος γὰρ εἶ.
ΛΑ. ταυτὶ λέγεις σὺ τὸν στρατηγὸν, πτωχὸς ὤν;
ΔΙ. ἐγὼ γάρ εἰμι πτωχός;
ΛΑ. ἀλλὰ τίς γὰρ εἶ;
ΔΙ. ὅστις; πολίτης χρηστὸς, οὐ σπουδαρχίδης,
ἀλλ' ἐξ ὅτου περ ὁ πόλεμος στρατωνίδης·
σὺ δ' ἐξ ὅτου περ ὁ πόλεμος μισθαρχίδης.
ΛΑ. ἐχειροτόνησαν γάρ με.
ΔΙ. κόκκυγές γε τρεῖς.
ταῦτ' οὖν ἐγὼ βδελυττόμενος ἐσπεισάμην,
ὁρῶν πολιοὺς μὲν ἄνδρας ἐν ταῖς τάξεσι,
νεανίας δ' οἵους σὺ διαδεδρακότας,
τοὺς μὲν ἐπὶ Θρᾴκης μισθοφοροῦντας τρεῖς δραχμὰς,
Τισαμενοφαινίππους πανουργιππαρχίδας·

K. cf. infra 1102. Ran. 912. Voss.: Wohl vom *Prahlebrauserich.*

555. C cod. Paris. Rav., Bekker. τεθνήσει, ξ et σ litteris inter se permutatis, ut alias. vide interpp. et h. l. et ad Vesp. 654., item grammaticos, in quibus Matth. §. 236., et a Dobr. laudatum Ruhnken. ad Tim. p. 158. — οἴμοι indignantis est, ut ap. Soph. Ant. 86, 306. etc.

556. „Aeschylus Prom. 212. ὡς οὐ κατ' ἰσχὺν οὐδὲ πρὸς τὸ καρτερὸν Χρείη, δόλῳ δὲ τοὺς ὑπερσχόντας κρατεῖν." — *Be.*

557. ταυτὶ — στρατ., *haecne mihi dicis?* v. Matth. gr. §. 410, b.

560. σπουδ. σπουδάζων περὶ ἀρχῆς. (cf. Bekkeri Anecd. 1, 63, 18. *Dind.*) Αἰολέων δὲ ἴδιον τὰ ἐπίθετα πατρωνυμικῷ τύπῳ φράζειν. S. ridiculi causa ficta nomina, ut πανουργιππαρχίδης 568.

561. sequ. στρατ. ἀντὶ τοῦ στρατευόμενος, στρατιώτης. μισθ. μισθὸν λαμβάνων. — S. μισθ. ἐν τῇ ἀρχῇ μισθὸν λαμβάνων. — *Br.* friget inculcata ἀρχή. fortasse Comicus dixit μισθαρπίδης. cf. 137., 567., 573., 584.

563. ita primus Br. Rav. κ. τρεῖς. ceteri libri κόκκ. τε. κόκκυγες. ἀντὶ τοῦ ἄτακτοι καὶ ἀπαίδευτοι· καὶ γὰρ ὁ κόκκυξ τὸ ζῶον ἄμουσόν τι φθέγγεται. S. κόκκ., *cuculi, stulti.* Plato Comicus ap. Athen. 2. p. 68. οὐχ ὁρᾷς, ὅθ' ὁ Μελέαγρος Γλαύκωνος ὢν μεγάλου γένους κόκκυξ ἠλίθιος περιέρχεται; (scribendum puto expuncto glossemate et restitutis senariis — οὐχ ὁρ., ὅτι Ὁ Μελ. — γένους Κόκκυξ περιέρχεται;) *Be.*

566. Mira structura, sed tamen sanissima visa Schäfero ad Bosii Ellips. p. 479., cum simili attractione dicat Xenophon. Hist. gr. 1, 4, 16. τῶν οἵων περ αὐτὸς ὄντων. alioqui proclive esset scribere οἷος σύ. — διαδ., non in aciem descendentes, sed mercede *huc illuc cursitantes*, ut reddidit Palmerius. „Ran. 952. σκέψαι τοίνυν γ', οἵους αὐτοὺς παρ' ἐμοῦ παρεδέξατο πρῶτον, Εἰ γενναίους, καὶ τετραπήχεις, καὶ μὴ διαδρασιπολίτας" etc. — K. ibi schol.: ἀντὶ τοῦ δειλοὺς, ἀποδιδράσκοντας τὴν πολιτείαν. H. Voss. conferri jussit hujus fabulae 65. sequ. et 134.; sed intelliguntur omne genus mercede conducti.

568. ὁ Τισαμενὸς ὡς ξένος καὶ

ἑτέρους δὲ παρὰ Χάρητι· τοὺς δ' ἐν Χαόσι
Γερητοθεοδώρους, Διομειαλαζόνας,
τοὺς δ' ἐν Καμαρίνῃ, κἂν Γέλᾳ, κἂν Καταγέλᾳ.
ΛΑ. ἐχειροτονήθησαν γάρ.
ΔΙ. αἴτιον δὲ τί,
ὑμᾶς μὲν ἀεὶ δὴ μισθοφορεῖν ἀμηγέπου,
τωνδὶ δὲ μηδέν'; ἐτεόν, ὦ Μαριλάδη,
ἤδη πεπρέσβευκας σὺ πολιὸς ὢν ἑνί;
ἀνένευσε· καίτοι γ' ἐστὶ σώφρων κἀργάτης.

μαστιγίας καμῳδεῖται, ὁ δὲ Φαίνιππος ὡς ὑαίθης καὶ ἡταιρηκώς· ὁ δὲ Χάρης ἐπὶ ἀμαθίᾳ διεβάλλετο. πανουργ. τούτους καμῳδεῖ ὡς πανούργους, τόν τε Τισαμενὸν καὶ τὸν Φαίνιππον, καὶ Ἱππαρχίδην, [eam interpretationem secuti hodie scribunt *Πανουργ.*, cum in antiquis edd. recte legatur *πανουργ.*, h. e. *πανούργους ἱππάρχους*, quemadmodum in superioribus dixit *σκουδαρχίδης*, *μισθαρχίδης*. scil. praefecti equitum in Thracia fuerant Tisamenus ille et Phaenippus.] καὶ Γέρητα τὸν φαλακρὸν, καὶ Θεόδωρον, τὸν Διομειᾶ τὸν δῆμον ὄντα, ὃς ὠνόμασται οὕτως ἀπό τινος Διόμου. S. Tam obscura est horum hominum memoria, ut quae de illis tradiderit S., ex ejus ingenio profecta videantur. quippe nihil facilius erat quam dicere οὗτος ἐπὶ πονηρίᾳ διεβάλλετο, οὗτος ἐπὶ συκοφαντίᾳ ἐκωμῳδεῖτο. nec minus ignoti sunt Dexitheus 14., Amphitheus 46., Lacratides (?) 213., Marpsias 657., Ctesias 793., Prepis 796., Nicarchus 855. Ctesipho 942. *Elmsl.*

569. Χάρητι. obscurus homo: neque enim huc pertinet, sed ad Olymp. 103., cognominis dux Atheniensium, de quo Xenophon Hist. gr. 7, 2. — S.: τοὺς δ' ἐν Χαόσι. Χαόνες μὲν ἔθνος ἠπειρωτικόν. πέπαικται δὲ παρὰ τὸ ἐν Ἱππεῦσιν (78.)· ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χαόσιν, ἐπειδὴ καὶ εἰς μαλακίαν διεβάλλετο Γέρης, καὶ Θεόδωρος, καὶ ὅτι ἐκ δούλων. S. de Chaonibus vidd. interpp. Thucydidis 2, 80.

572. Καμαρίνα καὶ Γέλα πόλις (πόλεις) Σικελίας. ἐποίησε δὲ τὸ Καταγέλα ἀπὸ τοῦ καταγελᾶν αὐτῶν τοὺς στρατηγούς. S. Hoc versu Lachetem (ducem classis Atheniensium, qui non multum profecit) tangit poëta, quem post triennium in Vespis sub canis persona in scenam produxit. vide Thuc. 3, 86., 88., 90., 99., 103., 115. *Elmsl.*

573. Rav. ὐ. μ. ἀεὶ μισθοφοροῦντας ἀμηγέπου. Bekker. *μισθοφορεῖν ἀμηγέπη*, Elmsl., D., *ἀμηγέπη*, Suidae ed. Med. *ἀμηγέπῃ*, cetera eodem modo, ut Bekker. sed vulgati olim libri ὐ. *μὲν ἤδη μ. ἀμηγέπη*, in quibus *ἤδη*, quod minus aptum sententiae ortum videtur ex *αειδη*: nam *ἀεὶ* brevi priore non sufficit metro, neque *αἰεὶ*, Tragicorum forma, ferenda est apud Comicum. S.: *ἀμ. ἀπανταχοῦ, ὅπως ἂν τύχῃ, καθ' οἱονδήποτε τρόπον.* conferuntur Ruhnken. ad Timaei gloss. *ἀμηγέπῃ, ἐνί γε τρόπῳ, ἤ ὁπωσοῦν*, et Valck. ad Thomam Mag. p. 145. „5 adverbia hujus formae ita scribenda sunt ap. Suidam: *ἀμωσγέπως, ἀμοθενγέποθεν, ἀμοθιγέπου, ἀμηγέπῃ, ἀμοσγέποι.*" *Elmsl.* cf. schol. in Plat. p. 87. ed. Ruhnken. *Dind.*

574. ἑτεόν. c. 295. ὦ Μαρ. ἀπὸ τῆς μαρίλης, ὅτι τὸ ἀμανρὸν πῦρ δηλοῖ. τουτέστιν ὦ γέρον Ἀχαρνικέ. S. nomen carbonario aptum esse ait Be., ut mox *Πρινίδης*. Wieland. haec nomina esse putat *Χοροσυτῶν*, ridiculi causa appellatorum.

575. ἑνί. i. e. *τινί*. Rav. a manu recentiore *ενη*, alii codd. *ἓν, ἤ*, Bekk. *ἕνῃ*, D. — *ἄν; ἐνί, Ἀν.* — etc.

τί δαὶ Δράκυλλος, κιθαριδης, ἢ Πρινίδης;
οἰδέν τις ὑμῶν τἀκβάταν' ἢ τοὺς Χαόνας;
οὐ φασίν. ἀλλ' ὁ Κοισύρας καὶ Λάμαχος,
οἷς ὑπ' ἐράνου τε καὶ χρεῶν πρώην ποτὲ,
ὥσπερ ἀπόνιπτρον ἐκχέοντες ἐσπέρας,
ἅπαντες ἐξίστω παρήνουν οἱ φίλοι.
ΛΑ. ὦ δημοκρατία, ταῦτα δῆτ' ἀνασχετά;

577. τί δαὶ Δρ.; ingeniose Reisk. τί δ' Ἀνδράκυλλος, nomine ficto ἀπὸ τῶν ἀνδράκων. S. Πριν. ἀπὸ τοῦ πρίνου ἔπλασεν ὄνομα, ἐπειδὴ οἱ Ἀχαρνεῖς ἀνθρακεῖς, ἡ δὲ πρῖνος ἐπιτήδειον ξύλον εἰς ἄνθρακας. cf. 180.

578. i. e. *an quis* (ecquis) *unquam vestrum Ecbatana vidit, vel Chaonas?* vel, ut clarius dicam: *an quis unquam vestrum ut legatus publice missus fuit ad regem Persarum, vel ad Chaonas?* Acerbe nimirum Comicus hic mordet populum Athen., quod viros graves, prudentes et probos in acie consenescere sineret, qui aptissimi forent legationibus obeundis, aliisque reip. negotiis tractandis; juvenes autem inconsultos, aliisque vitiis, corruptos, honoribus ornaret et stipendiis locupletaret, quibus prorsus indigni essent. — K. De Ecbatanis cf. 64.

579. ὁ Κοισύρας. ὁ Μεγακλῆς. Κοισύρα δὲ ἐγένετο Ἀθήνησιν εὐγενὴς γυνὴ καὶ πλουσία, μήτηρ τοῦ Μεγακλέους, ὃς καταβεβρωκὼς τὴν οὐσίαν καὶ ὕστερον πεπλουτηκὼς ἐκ τοῦ τὰ κοινὰ πράσσειν λέγεται. S. — vide ad Nub. 48. *Br.* Quis fuerit ὁ Κοισύρας, mihi quidem nondum compertum est. Megacles Coesyrae filius, quem hic tangi arbitrantur S. et Br., pater fuit Clisthenis, qui remp. constituit post ejectos Pisistratidas. hujus Megaclis ex filio Hippocrate nepos fuit alter Megacles, Periclis avunculus, avusque Alcibiadis maternus. sed ὁ Κοισύρας, quem hic irridet noster, manifesto juvenis erat. neminem Alcmaeonidarum his temporibus clarum invenio praeter Euryptolemum Pisianactis filium, quem Alcibiadis ἀνεψιὸν diserte vocat Xenoph. H. gr. 1, 4, 19. ipsum Alcibiadem intelligi suadent maternum genus a Coesyra ductum, et auctoritas in rep. jam inde a prima juventute concessa. verum ei non conveniunt (?) quae de aere alieno dicuntur. *Elmsl.*

580. ὑπ' ἐρ., *propter symbolam non collatam.* v. 1129., Terent. Andr. I, 1, 61. etc. schol. ad 582. ὑπό τε ἐράνων. ita primus Bentl. codd. ὑπὲρ ἐράνου, syllaba ερ forte geminata, numeris autem minus probis. S.: οἷς ὑπὲρ ἐρ. ἔθος εἶχον τέλεσμά τι εἰς τὸ κοινὸν διδόναι (symbolam), ὅπερ οἱ μὴ διδόντες καὶ ἄτιμοι ἐνομίζοντο, καὶ μετὰ βίας ἀπητοῦντο. παρὰ προσδοκίαν δὲ ἐπήγαγε τὸ χρεῶν.

582. ἅπαντες ἐξίστων. (Be.: ἐξίστω, ut Rav., pro ἐξίστασο. ἐξίστων habent edd. primae, pro quo scribendum esset ἐξίσθων, quae est 3. pl. imperativi, ut χρήσθων Nub. 438.) εἰώθεσαν, εἴ ποτε ἐκπέσοιτο ἀπόνιπτρα ἐκ τῶν θυρίδων, ἵνα μή τις βραχῇ τῶν παριόντων, ἔξω (fort. ἐξίστω) λέγειν. παίζει οὖν πρὸς τὸ ἐξίστω, ὄνομα ὁμώνυμον ὂν τῷ ἐκχώρησον. τοῦτο δὲ λέγει διασύρων Μεγακλέα καὶ Λάμαχον, ὡς πρότερον μὲν πένητας ὄντας, (de honesta Lamachi paupertate consulendus Plut. Alcibiade p. 202, C., Nicia p. 533, A., πολιτικοῖς Παραγγέλμασι p. 822, E., Aelianus V. H. 2, 43. *Elmsl.* ceterum cf. 253., Ran. 978. etc.) [εἶτα ἐξαίφνης πλουτήσαντας ἀπὸ τῆς πόλεως,] ὅτε (male codd. ὅτι) αὐτοῖς οἱ φίλοι χθὲς καὶ πρώην συνεβούλευον καταχρέοις οὖσιν ὑπό τε ἐράνων καὶ ὀφλημάτων ἐξίστασθαι τῆς οὐσίας, ὡς μὴ δυναμένοις ἀποδοῦναι. — S.

583. Soph. Phil. 942. ὦ Λημνία χθών, — ταῦτα δῆτ' ἀνασχετά; — Be.

ΔΙ. οὐ δῆτ', ἐὰν μὴ μισθοφορῇ γε Λάμαχος.
ΛΑ. ἀλλ' οὖν ἐγὼ μὲν πᾶσι Πελοποννησίοις
ἀεὶ πολεμήσω, καὶ ταράξω πανταχῇ
καὶ ναυσὶ, καὶ πεζοῖσι, κατὰ τὸ καρτερόν.
ΔΙ. ἐγὼ δὲ κηρύττω γε Πελοποννησίοις
ἅπασι, καὶ Μεγαρεῦσι, καὶ Βοιωτίοις,
πωλεῖν, ἀγοράζειν, πρὸς ἐμὲ, Λαμάχῳ δὲ μή.
ΧΟ. ἀνὴρ νικᾷ τοῖσι λόγοισιν, καὶ τὸν δῆμον μεταπείθει
a. Arist. κομμάτιον.
περὶ τῶν σπονδῶν· ἀλλ' ἀποδύντες τοὺς ἀναπαίστους
ἐπίωμεν.
Ἐξ οὗ γε χοροῖσιν ἐφέστηκεν τρυγικοῖς ὁ διδάσκαλος ἡμῶν,
παράβ.
οὔπω παρέβη πρὸς τὸ θέατρον, λέξων, ὡς δεξιός ἐστι·
διαβαλλόμενος δ' ὑπὸ τῶν ἐχθρῶν ἐν Ἀθηναίοις ταχυ-
βούλοις,
ὡς κωμῳδεῖ τὴν πόλιν ἡμῶν καὶ τὸν δῆμον καθυβρίζει,
ἀποκρίνασθαι δεῖται νυνὶ πρὸς Ἀθηναίους μεταβούλους.
φησὶν δ' εἶναι πολλῶν ἀγαθῶν ἄξιος ὑμῖν ὁ ποιητὴς,
παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι,

587. κατὰ τὸ καρτ. καρτερῶς. vid. Matth. gr. §. 581, b.

590. τὸ ἀγοράζειν οὐκ ἴσον τέθεικε τοῦ ὠνεῖσθαι, ὡς ἡμεῖς, ἀλλ' ἀπὸ τοῦ ἐν ἀγορᾷ διατρίβειν. (similiter Ammon. p. 150. ed. Valck. cf. 675.) — S.

592. ἀποδύντες. ἀπὸ μεταφορᾶς τῶν ἀποδυομένων ἀθλητῶν, οἳ ἀποδύονται τὴν ἔξωθεν στολὴν, ἵνα εὐτόνως χορεύωσι (?) καὶ εὐστροφώτεροι ὦσι πρὸς τὰ παλαίσματα.

593. In hac parabasi respondet poëta illis, qui ipsum incusaverant, quod nimis licenter traduceret civitatem in comoediis suis, dicitque, tantum abesse ut id vitio ipsi vertendum sit, ut potius laudem maximam, etiam ap. exteros, mereatur. *Be.* ὁ διδ. ἡμῶν, magister noster, poëta scenicus Aristophanes. cf. 598., Plut. 792. pronunciantur haec sub persona Callistrati actoris, de quo cf. 348.

595. διαβαλλ. cf. 466. seqq.

597. ἀπ. δεῖται, opus ei est respondere. Vesp. 882. ἐγὼ δ' ἀλοκίζειν ἐδεόμην τὸ χωρίον. ἀποκρίνεσθαι pro ἀπολογεῖσθαι etiam Vesp. 951., Thesm. 186. et in Eupolidis loco ap. Harpocrat. v. ἀπόκρισις legitur. — *Elmsl.* Bekker. ἀποκρίνασθαι.

598. ἄξιος. frustra Dawes. p. 254. (453. ed. Kidd.) aliique αἴτιος propter 606. velut παράλληλα sunt verba πολλῶν ἀγαθῶν ἄξιος et πολλῶν ἀγαθῶν αἴτιος, propterea-que πολλ. ἀγ. ἄξιος est Arist., quia πολλ. ἀγ. αἴτιος fuit civitati. „cf. Porson. ad Hecub. 809. Pac. 865. πολλῶν γὰρ ὑμῖν ἄξιος Τρύγαιος ἀθμονεὺς ἐγώ. cf. Plut. 873.“ — *Elmsl.*

599. sequ. ξενικοῖσι λ. — τοῖς ἀπὸ τῶν ξένων πρέσβεων λεγομένοις. (cf. 601.) χαυν. κεχαυνωμένους περὶ τὴν πολιτείαν ἢ τὴν πόλιν. S. Eodem sensu Κεχηναίων πόλιν Athenas vocat Equ. 1263. *Elmsl.* θωπ. cf. 622.

μήθ' ἥδεσθαι θωπευομένους, μήτ' εἶναι χαυνοπολίτας.
πρότερον δ' ὑμᾶς ἀπὸ τῶν πόλεων οἱ πρέσβεις ἐξαπατῶντες
πρῶτον μὲν λοστεφάνους ἐκάλουν· κἄπειδὰν τοῦτό τις εἴπῃ,
εὐθὺς διὰ τοὺς στεφάνους ἐπ' ἄκρων τῶν πυγιδίων ἐκάθησθε.
εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας λιπαρὰς καλέσειεν Ἀθήνας,
εὕρετο πᾶν ἂν διὰ τὰς λιπαρὰς, ἀφυῶν τιμὴν περιάψας.
ταῦτα ποιήσας πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν γεγένηται,

601. ita Bentl., Elmsl., alii. codd. turbato metro πρότ. δ' ὑμᾶς οἱ πρέσβεις ἀπὸ τῶν πόλ. ἐξαπ.

602. λοστ. παρὰ τὰ ἐκ τῶν Πινδάρου διθυράμβων αἱ λιπαραὶ καὶ λοστέφανοι Ἀθῆναι. (— quo respexit etiam in Equ. 1229. ὡταὶ — Ἀθῆναι. consule Heynium ad Pindari fragmenta p. 74., Dithyramb. 10. *Elmsl.* cf. B. ad Av. 791. „Equ. 1223. ἐν ταῖσιν λοστεφάνοις εἰκεῖ, ταῖς ἀρχαίαισιν Ἀθήναις.) διασύρει δὲ ἄλλως, ὅτι οἱ προδόται τοῖσις χρῶνται τοῖς λόγοις. S.“ — K. Wieland: *Veilchenbekränzt.* Die Athener waren ebenso grosse Liebhaber von Veilchen, wie die Römer (scil. veteres Romani, non hodierni) von Rosen, und hörten sich gern mit diesem pindarischen Beiworte belegen.“ cf. Pac. 560—565.

603. ἐπ' ἀ. τῶν πυγ. παρὰ τὴν παροιμίαν ἐπ' ἄκρων τῶν ὀνύχων ἕπαιξεν οὗτος ἐπ' ἄκρων τῶν πυγ. εἰκών. καὶ Σοφ. (Ajace, 1141.)· εἰ (ἦ) που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο Τρῳλ' ἐκόμπεις, κἀπ' ἄκρων ὠδοικόρεις. εἰώθασι γὰρ οἱ ἀλαζόνες ἐπ' ἄκρων ὀνύχων βαδίζειν, καὶ οἱ ἐπαίνων εἰς ἑαυτοὺς γινομένων ἀκούοντες τὴν πυγὴν τῆς καθέδρας ἐξαίρειν. S. Eodem fere sensu in Equ. 1244. ἀνωρτάλιξες. *Br.*

604. ὑποθωπ. πολακεύσας. παρὰ τὸ λιπαρὰς Ἀθήνας τὸ λιπαρὰς ἀφύας. S. Athenae dicebantur *lucrosae*, *pingues*, vel propter opulentiam, vel propter olivas. Eurip. in Troad. 776. πρῶτον ἔδειξε κλάδον, γλαυκᾶς Ἀθάνας Οὐράνιον στέφανον, λιπαραῖσιν κύσμον Ἀθήναις. idem in Alc. 435. λιπαραῖσί τ' ἐν ὀλβίαις Ἀθήναις. *Be. splendidas, praestantes, Athenas.* cf. Sp. ad Nub. 299. et Callim. h. in Del. 155., 164. H. Voss.: „Attika hatte zwar einen magern Boden, dem aber Betriebsamkeit reichen Ertrag an Oel, Feigen, edler Wolle und Honig abgewann. Dazu Silbergruben und pentelischer Marmor; vor allem der ergiebige Seehandel.“

605. εὖρ. πᾶν ἄν. ἀντὶ ταῦ πᾶν πρᾶγμα κατορθοῖ. S. — Hesych.: ἀφύων (sic, quemadmodum et apud S. et Suidam vv. ἀφύα ἰχ πῦρ, θωπεύει et λιπαρά, erratum est.) τιμή· τὸ ἔλαιον, (?) ἐπεὶ ἐν τούτῳ ἕφονται. Nester ap. Athen. p. 96. C. et alibi ἄλις ἀφύης μοι· παρατέταμαι γὰρ τὰ λιπαρὰ Κάπτων. — *Elmsl.* S. ἀφόων τιμήν. καὶ ἐνικῶς λέγεται, ὡς ἐν Ταγηνισταῖς (fr. II, 9.) ἄλις ἀφύης μοι· παρατέταμαι γὰρ ἰσθίων. De apuis B. ad Av. 77.: „Genus piscium minorum (*Sardellen*: v. Camus ad Aristot. H. A. 2. p. 98. seqq.) Athenis in portu Phalero (v. 848.) frequens et pauperum obsonium fuit. v. Archestrat. ap. Athen. 7. p. 285., Aristot. H. A. 6, 16.“ ἀφ. τιμὴν περ., *apuarum honorem Athenis tribuens.* „Xenoph. Mem. Socr. 2, 6, 18. περιάψας τι ἀγαθὸν αὐτῇ. cf. Plut. 586.“ — *Be.*

καὶ τοὺς δήμους ἐν ταῖς πόλεσιν δείξας ὡς δημοκρατοῦνται.
τοιγάρτοι νῦν ἐκ τῶν πόλεων τὸν φόρον ὑμῖν ἀπάγοντες
ἥξουσιν ἰδεῖν ἐπιθυμοῦντες τὸν ποιητὴν τὸν ἄριστον,
ὅστις παρεκινδύνευσ' εἰπεῖν ἐν Ἀθηναίοις τὰ δίκαια,
οὕτως αὐτοῦ περὶ τῆς τόλμης ἤδη πόρρω κλέος ἦκει,
ὅτε καὶ βασιλεὺς Λακεδαιμονίων τὴν πρεσβείαν βασανίζων
ἠρώτησεν πρῶτα μὲν αὐτούς, πότεροι ταῖς ναυσὶ κρατοῦσιν.
εἶτα δὲ τοῦτον τὸν ποιητήν, ποτέρους εἴποι κακὰ πολλά·
τούτους γ' ἂν ἔφη τοὺς ἀνθρώπους πολὺ βελτίους γεγενῆσθαι,
καὶ τῷ πολέμῳ πολὺ νικήσειν, τοῦτον ξύμβουλον ἔχοντας.
διὰ τοῦθ' ὑμᾶς Λακεδαιμόνιοι τὴν εἰρήνην προκαλοῦνται,
καὶ τὴν Αἴγιναν ἀπαιτοῦσιν, κεἰ τῆς νήσου μὲν ἐκείνης
οὐ φροντίζουσ', ἀλλ' ἵνα τοῦτον τὸν ποιητὴν ἀφέλωνται.
ἀλλ' ὑμεῖς τοι μήποτ' ἀφῆσθ', ὡς κωμῳδήσει τε δίκαια,

610. ita Herm. Elem. d. metr. p. 400. aliique. libri perverso numero ὅστις παρεκινδύνευσεν Ἀθ. εἰκ. τὰ δίκ.

611. Elmsleji emendatio. libri οὕτω δ' αὐτοῦ — ἥκει, ὅτε καὶ etc., inculcata δὲ particula, quod non raro factum.

612. dicitur ὅτε καὶ pro ἐπεὶ καὶ etiam in Nub. 34. — *Elmsl.* S.: βασιλεύς. ὁ μέγας Περσῶν (cf. 61.) βασαν. ἀκριβῶς ἐξετάζων. legatos Spartanorum dicit ad regem Persarum missos sub initium belli Pelop. de ineunda cum illis societate adversus Athenn.

614. τοῦτον τὸν π. Attice accusativus pro nominativo, de qua constructione plura diximus ad Plut. 55. K. Τοῦτο δὲ χαριεντιζόμενος ψευδῶς λέγει, inquit S., consentiente Genellio in libro de theatro Atheniensium pag. 252., quem laudavit Dind.

615. libri τ. γὰρ ἔφη, sed ἂν particula opus est orationi, neque rara haec menda: v. ann. ad Eurip. Polyid. fr. 14. asyndeton epexegeticum.

618. κεἰ, etsi. ll. καὶ, quod molestum. τῆς νήσου, ἐν ᾗ τὰ χωρία Ἀριστοφάνους. — (cf. vita Aristophanis.) S. Athenn., expulsis Aeginetis, in eorum insulam colonos miserunt, agrosque sorte distribuerunt. inter eos, qui sortitionis essent participes, fuisse hunc poëtam dicit S. — *Bs.* Aeginae occupationem inter praecipuas belli causas memorat Thuc. 1, 139. *Elmsl.*

619. ἀλλ' — ἀφέλωνται, *sed ut poëtam hunc vobis eripiant*: quippe sperantes, praediorum suorum fortunas secuturum esse Aristophanem. minus recte haec interpretatur Elmsl. ad 430.

620. A et B codd. Paris. μήπ. ἀφήσηθ', Rav. ἀφήσετε, C liber Paris. μήποτε δείσηθ', quae videtur esse interpretatio verbi φήσηθ', *existimetis*. (Hesych. φημί: — ὑπολαμβάνω.) probavit tamen eam scripturam Br., sed omisso τοὶ metri gratia. Elmsl. aliique μ. ἀφῆθ'. Herm. Elem. doctr. metr. p. 402. cf. ὑμ. μή ποτ' ἀφῆσθ', ὡς οὐ κ. τὰ δίκ. ceteri quoque τὰ δίκαια. interpres: *nam in comoediis justa dicet*, et sic omnes errasse arbitror, ut δίκαια intelligerent *justa*, cum sint *idonea* ad deridendum, sive ea, quae fas est perstringi in comoediis, δίκαια κωμῳδεῖν.

φησὶν δ' ὑμᾶς πολλὰ διδάξειν ἀγάθ', ὥστ' εὐδαίμονας
εἶναι,
οὐ θωπεύων, οὐδ' ὑποτείνων μισθοὺς, οὐδ' ἐξαπατύλλων,
οὐδὲ πανουργῶν, οὐδὲ κατάρδων, ἀλλὰ τὰ βέλτιστα δι-
δάσκων.
πρὸς ταῦτα Κλέων καὶ παλαμάσθω, a. d.
καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω·
τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον
ξύμμαχον ἔσται, κοὐ μήποθ' ἁλῶ
περὶ τὴν πόλιν ὢν, ὥσπερ ἐκεῖνος,
δειλὸς καὶ λακαταπύγων.
ΧΟ. Λεῦρο, Μοῦσ', ἐλθὲ, φλεγυρὰ, πυρὸς ἔχουσα μένος, ἔντο- cr. hex. στ.
νος Ἀχαρνική!
οἷον ἐξ ἀνθράκων πρινίνων φέψαλος ἀνήλατ', ἐρεθιζόμενος cr. octon.
οὐρίᾳ ῥιπίδι,

621. φησὶν, *promittit.*

622. ita Suidas, Elmsl., Bekker., Dind. vulgo: οὔθ' ὑποτ. μ., οὔτ' ἐξ. S.: *οὐ θωπ. οὐ κολακεύων, οὐκ ἀπατῶν. οὔθ' ὑποτίνων.* (sic, ut Rav. et edd. vett. Suidas recte *ὑποτείνων*, cui verbo etiam scholiastae interpretatio congruit.) *φαίνων, ὑπισχνούμενος, ὑποφαίνων.* (ἄλλως.) *οὐδέ τι μισθὸν διδοὺς, ἵν' αὐτὸν ἐπαινέσωσιν.*

623. *κατάρδων. καταχέων ὑποσχέσεις. ἄλλως. οὐ καταβρέχων ὑμᾶς τοῖς ἐπαίνοις, ὡς φυτά.* S. Hesych. *εὐφραίνων.* exhilarans ad voluntatem loquendo. v. Schneider. lex. h. v.

624. *πρὸς ταῦτα, proinde.* Elmsl.: „Eurip. ap. Suidam in *ἀλωτὸν* ac *παλαμᾶσθαι*, et Cic. Epist. ad Att. 6, 1.; 8, 1.: (fragm. incert. 74., p. 326.) *πρὸς ταῦθ' ὅ τι χρὴ καὶ παλαμάσθω, Καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω· Τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον Ξύμμαχον ἴσται, Κοὐ μήποθ' ἁλῶ κακὰ πράσσων.*" *τὸ εὖ*, bonum, bonitas. cf. Soph. Phil. 1077., Eurip. Herc. fur. 631.

629. sic optime 3 codd. vulgo *λικοπατάπυγων*, quae vox est nihili. in composito *λακαταπύγων* epitaticum *λα* longum est, ut in *Λάμαχος* aliisque vocibus. *Br.* perperam Bentl. atque Elmsl. *λακκαταπύγων.* Phot. lex.: *λακκατάρατοι (λακατάρατοι), οἱ ἄγαν κατάρατοι, καὶ λακκατακύγων (λακαταπύγων), ἄγαν κατακύγων.*

630. Musam agrestem Chorus invocat, ut sibi adsit, conditionem suam miseram canenti. — Elmsl.: „*φλεγυρὸν* edd. praeter a. 1515., quae *φλογερὸν* habet. *φλεγυρὰ* A. B. C. Rav. Schol. Suid. et, ut opinor, Hesych. in ipsa voce: *φλεγυρά: ὑβριστική, λαμπρά.* Cratinus ap. Athen. p. 344, e. *Λάμπωνα, τὸν οὐ βροτῶν Ψῆφος δύναται φλεγυρὰ Δείπνου φίλων ἀπείργειν*" etc. S.: *φλεγυρά. φέγγουσα, λάμπουσα, ἢ θερμὴ διὰ τοὺς ἄνθρακας.*

631. Tanto impetu veni, Musa carbonaria, quanto favilla surgit vento agitata. erant autem Acharnenses carbonarii, ut dixi. *Be.* *πριν.* cf. 180. *φέψαλος. φέψαλος καὶ φεψάλυξ σπινθὴρ ὁ ἀναφερόμενος ἐκ τῶν καιομένων ξύλων.* gl. Victor. cf. 260. *ἀνήλατ', exilire solet.* S. *οὐρ. ῥιπίδι. τῇ τοῦ ἀνέμου φορᾷ.* (hoc proprie esset *ῥιπῇ.*) *λέγει δὲ τὸ πρὸς κίνησιν πνεύματος ἐπιτηδειον, ὃ ἡμεῖς ῥιπίδιον καλοῦμεν.* Be. contulit 835. „Comicus," inquit, „de vento, qui excitatur flabello,

ἡνίκ' ἂν ἐπανθρακίδες ὦσι παρακείμεναι, cr. t.
οἱ δὲ Θασίαν ἀνακυκῶσι λιπαράμπυκα,
οἱ δὲ μάττωσιν, οὕτω σοβαρὸν ἐλθὲ μέλος εὔτονον, ἀγροικότερον, cr. hex.
635 (5) ὡς ἐμὲ λαβοῦσα τὸν δημότην! cr. tr.
ΧΟ. Οἱ γέροντες οἱ παλαιοὶ μεμφόμεσθα τῇ πόλει· t. t. c. ἐπίῤῥημα.
οἱ γὰρ ἀξίως ἐκείνων, ὧν ἐναυμαχήσαμεν,
γηροβοσκούμεσθ' ὑφ' ὑμῶν, ἀλλὰ δεινὰ πάσχομεν,
οἵτινες γέροντας ἄνδρας ἐμβαλόντες ἐς γραφὰς
640 ὑπὸ νεανίσκων ἔατε καταγελᾶσθαι ῥητόρων,
οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς καὶ παρεξηνυλημένους,
οἷς Ποσειδῶν ἀσφαλεῖός ἐστιν ἡ βακτηρία·

loquitur, quasi de vento navigantibus secundo. describit autem ignem luculentum."

632. ἐπανθρ. λεπτοὶ ἰχθύες ὀπτοί. — S. Hesych.: ἀπανθρακίδες· οἱ πρὸς ὄπτησιν ἐπιτήδειοι ἰχθύες. et inferius: ἐπανθρακίδες· τὰ ἐπ' ἀνθράκων ὀπτώμενα ἰχθύδια. hanc scripturam repraesentant noster Vesp. 1090., Pollux 6, 55. et alii. verbum ἀπανθρακίζω legitur in Av. 1443., Ran. 471. *Elmsl.*

633. ἀνακυκλῶσι vulgo. ἀνακυκῶσι Br. ex Suida in Θασίαν. Athen. p. 329, B., a K. laudatus: Ἀριστ. δ' ἐν Ὀλκάσιν (fr. 13.) ὦ κακοδαίμων, ὅστις ἐν ἅλμῃ πρῶτον τριχίδων ἀπεβάφθη. τοὺς γὰρ εἰς τὸ ἀπανθρακίζειν ἐπιτηδείους ἰχθῦς εἰς ἅλμην ἀπέβαπτον, ἣν καὶ Θασίαν ἐκάλουν ἅλμην. [scribendum puto ἣν καὶ Θασίαν ἐκάλουν. S.: — οἱ δὲ Θάσιόν φασι βάμμα λέγεσθαι ἐκ τῶν ἀπὸ πυρὸς ἰχθύων. ἰδίως Θασίαν ἐκάλουν.] Hesych.: Θασία ἅλμη· [fort. Θασία: ἅλμη,] εἰς ἣν ὄψα ὀπτώμενα ἔβαπτον. hinc nescio quis Thasius Θασία ἅλμη vocatur a Cratino ap. Athen. p. 164, E., ut Σκυθῶν ἑρημία Cephisodemus a nostro inferius v. 659. λιπαράμπυκα pro λιπαρᾶν per jocum ex Pind. Nem. 7, 22. a nostro dici monet Br. *Elmsl.* prior B.: — Videtur λιπαράμπυκα dixisse per [illegible]ntiam pro λιπαρᾶν, [illegible] loquens redimiculis ornata. similis vox est λιπαρόζωνος ap. Eur. (Phoen. 173.)

634. ordo hic est, ἐλθὲ ὡς ἐμὲ τὸν δημότην (scil. Μοῦσα), λαβοῦσα μέλος σοβ., εὔτονον, ἀγρ. — K.

636. Chorus ad populum conversus de se verba facit. *Bs.* Olim viros fortes maximi factos esse ait, nunc omnia posse juvenes oratores rabulasque, qui senes litibus implicitos dictis artificiosis suis obtundant, damnisque coërceant pauperes, ut ad desperationem adducantur.

637. ἐναυμ. ad Salaminem insulam. Ran. 203. κἄτα πῶς δυνήσομαι, Ἀπειρος, ἀθάλάττωτος, ἀσαλαμίνιος Ὤν, εἶτ' ἐλαύνειν;

641. οὐδὲν ὄντας, qui nihil sunt, nihil valent. κωφοὺς, mutos, obmutescentes. — παρεξ. ἐκ μεταφορᾶς τῶν παλαιῶν αὐλῶν καὶ ἀχρείων. κυρίως γὰρ παρεξηνλεῖσθαι (παρεξηνλῆσθαι) λέγομεν αὐλοὺς τοὺς τὰς γλωσσίδας διεῤῥηγμένους. S. Hesych. παρεξηνλημένος: ὑπὸ γήρως τὸν νοῦν παρεξηνλημένον ἔχων ἀμυδρόν (leg. τὸν νοῦν ἔχων ἀμυδρόν)· μετενήνεκται δὲ ἀπὸ τῶν γλωσσίδων τῶν ἐν τοῖς αὐλοῖς etc.

642. Ποσ. ἀσφαλ. — τιμᾶται δὲ Ποσειδῶν ἀσφάλειος παρ' αὐτοῖς (τοῖς Ἀθηναίοις), ἵνα ἀσφαλῶς πλέωσι. S. cf. scholion ad 474. et Creuzeri Melet. 1. p. 32. sensus horum est, unicum jam senum praesidium esse baculum.

τονθορύζοντες δὲ γήρᾳ τῷ λίθῳ προσέσταμεν,
οὐχ ὁρῶντες οὐδέν, εἰ μὴ τῆς δίκης τὴν ἠλύγην.
ὁ δὲ νεανίας ἑαυτῷ σπουδάσας ξυνηγορεῖν
ἐς τάχος παίει ξυνάπτων στρογγύλοις τοῖς ῥήμασι,
κἄτ' ἀνελκύσας ἐρωτᾷ, σκανδάληθρ' ἱστὰς ἐπῶν,
ἄνδρα Τιθωνὸν σπαράττων, καὶ ταράττων, καὶ κυκῶν·
ὁ δ' ὑπὸ γήρως μασταρύζει, κἄτ' ὀφλὼν ἀπέρχεται,

643. τονθ. λάθρα φθεγγόμενοι, ὑπότρομοι τὰ χείλη κινοῦντες. λίθῳ δὲ τῷ βήματι τῷ ἐν τῇ Πνυκὶ δικαστηρίῳ. S. de verbo τονθορύζειν Elmsl. conferri jubet Valck. ad Ammon. p. 119. de λίθῳ vide Pac. 655.

644. τὴν ἠλ. — τὴν σκιὰν τῆς δίκης. ἠλύγη γὰρ τὸ σκότος, καὶ ἠλυγισμένον τὸ ἐσκοτισμένον. — „Similiter Moeris p. 163., Ruhnken. ad Tim. p. 117. et Hesychii interpp." Elmsl.

645. ὁ δὲ, alter litigantium, accusator senis. νεανίας, *juvenes* oratores. (640.) annotavit Elmsl., συνηγόρων officium fuisse, non reos, sed accusatores (τοὺς κατηγόρους) consilio suo et eloquentia adjuvare. „Iniquum," inquit, „censet poëta, senem in judicio constitutum ab imberbi causidico exagitari. vide 668. et seqq." cf. etiam ann. ad Daetal. 20. S.: σπουδάσας. εἰς τὸ βιάψαι τὸν γέροντα.

646. παίειν λέγουσι τὸ πᾶν ὁτιοῦν συντόμως ποιεῖν. (cf. 790.) στρογγύλοις δὲ πιθανοῖς καὶ πανούργοις. (imo *rotundis*, *pressis*. Juvenal 6, 448. *Non habeat matrona, tibi quae juncta recumbit, Dicendi genus, aut* curtum sermone rotato *Torqueat enthymema*. Schneider. ad Theophrastum t. 3. p. 63., annotante Dind.: „Convenit plane nostrum *gedrungen*. — Demetrius Phaler. συνθεῖναι στρογγύλως καὶ δεινῶς junxit. Dionysius Hal. similiter συστρέφειν τε καὶ στρογγυλίζειν τὰ νοήματα Lysiam ait; contra de Isocrate: στρογγύλη δὲ οὐκ ἔστιν ἡ τούτου λέξις καὶ συγκεκροτημένη, ἀλλ' ὑπτία καὶ κεχυμένη. Cic. eodem fere sensu *oratorem* ipsum, *verba* et *orationem pressam* dixit de Orat. 2, 23, 13., Bruti 55., Or. 5." Cic. Orat. part. 6, 3. *Communia autem simplicium conjunctorumque* (verborum) *sunt haec 5 quasi lumina*: *dilucidum*, breve, *probabile*, *illustre*, *suave*.) τὸ δὲ ἐς τάχος ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς διδασκαλείοις παίδων, (?) ἐφ' ὧν οὕτως ἐλέγετο ἐς τάχος γράφειν, ἐς κάλλος. S. — Aeneas sophista epist. ult.: ὥσπερ ἄν εἴ τις ζωγράφος τὴν Ἑλένην εἰς κάλλος γράφων τῆς κεφαλῆς ἐκιλάθοιτο. idem est ἐς τάχος quod adverb. ταχέως. sic ἐς εὐτέλειαν et πρὸς εὐτέλειαν idem quod εὐτελῶς. Av. 836. ἐς εὐτέλειαν χηνὶ συγγεραμμένῳ. cf. Ran. 727. *Ex Bo.* εἰς κάλλος γράφειν et εἰς τάχος γράφειν usurpantur ab Atticis eodem sensu, quo recentiores dicunt καλλιγραφεῖν et ταχυγραφεῖν. *Elmsl.* — ξυνάπτων neque est *copulans*, ut Br. reddidit, nec breve genus dicendi significat, quae Elmsleji est sententia, quemadmodum illud Theopompi dictum putat ap. Athen. p. 423, A. ἡρίσταμεν· δεῖ γὰρ ξυνάπτειν τὸν λόγον: sed valet *aggrediens*, *invadens* adversarium senem, intellecto ἑαυτόν, ut Plut. Philopoem. 18. καὶ συνάψαι μὲν εἰς χεῖρας οὐδεὶς ἐτόλμησεν αὐτῷ, ubi vid. Bähr., et Eurip. Phoen. 649. ὡς εἰς λόγους ξυνῆψα Πολυνείκει μολών. cf. Viger. 5, 1, 11.

647. — σκανδάληθρα λέγεται τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ ξύλα, εἰς ἃ ἐρείδει ὅπερ Ἀρχίλοχος λέγει ῥόπτρον. — *Ex S.* cf. Pollux 7, 114; 10, 156., Schneider. lex. h. v.

648. ἄνδρα Τιθ. ὑπεράγαν γεγηρακότα. ἀπὸ Τιθωνοῦ τοῦ πάνυ γηράσαντος, καὶ μεταβληθέντος εἰς τέττιγα. S. cf. Apollod. 3, 11. etc. — „καὶ ταρ., καὶ κυκῶν. similiter Equ. 214., 641. etc." — Elmsl.

649. μαστ. συνέλκει [καὶ συνάγει] τὰ χείλη. ἀπὸ μεταφορᾶς τῶν ὑπο-

εἶτα λύζει, καὶ δακρύει, καὶ λέγει πρὸς τοὺς φίλους
„Οὔ μ' ἐχρῆν σορὸν πρίασθαι, τοῦτ' ὀφλὼν ἀπέρχομαι."
ΗΜ. Ταῦτα πῶς εἰκότα, γέροντ' ἀπολέσαι, πολιὸν ἄνδρα, παρὰ κλεψύδραν, ἀντ.
πολλὰ δὲ ξυμπονήσαντα, καὶ θερμὸν ἀπομορξάμενον ἀνδρικὸν ἱδρῶτα δὴ καὶ πολὺν,
ἄνδρ' ἀγαθὸν ὄντα Μαραθῶνι περὶ τὴν πόλιν;
εἶτα Μαραθῶνι μέν, ὅτ' ἦμεν, ἐδιώκομεν·
νῦν δ' ὑπ' ἀνδρῶν πονηρῶν σφόδρα διωκόμεθα, κἄτα πρὸς ἁλισκόμεθα.
πρὸς τάδε τίς ἀντερεῖ Μαρψίας;
ΧΟ. Τῷ γὰρ εἰκὸς, ἄνδρα κυφὸν, ἡλίκον Θουκυδίδην, ἀντεπιῤῥῆμα.

τιτθίων παίδων, ἃ τὸν μαστὸν ἕλκοντα τῷ στόματι συνάγει τὰ χείλη. S. ὀφλών. ὄφλων vulgo utrobique. praesens est ὀφλισκάνω. *Elmsl.*

650. λύζει. ἐὰν διὰ τοῦ ζ, ὀλολύζει. ἐὰν δὲ χωρὶς τοῦ ζ, ἀλύει, τουτέστιν ἀδημονεῖ. λύζει, ποιὰν φωνὴν τραχεῖαν ἀφίησιν, ἢ λυγμῷ συνέχεται. S. εἶτ' ἀλύει S. pro variante lect., et ex eo Suid. in λύζει. *Elmsl.* ἀλύει vel propter homoeoteleuton displicet.

652. παρὰ κλ., *ad clepsydram.* l. l. minus usitate περὶ κλ. κλεψύδραν. ἐν τῷ δικαστηρίῳ ἡ κλεψύδρα ἀγγεῖόν ἐστιν ἔχον μικροτάτην ὀπὴν περὶ τὸν πυθμένα, ὅπερ ἐν τῷ δικαστηρίῳ μεστὸν ὕδατος ἐτίθετο, πρὸς ὃ ἔλεγον οἱ ῥήτορες. S. de clepsydra judiciali vidd. K. ad Suidam v. διαμεμετρημένη ἡμέρα, G. G. S. Köpke *über Gesetzgeb. u. Gerichtsverfass. der Gr.* p. 687. sequ., etc.

653. putide libri πολλὰ δὴ ξυμπ. cum δὴ sequatur in eodem enunciato. solent haec misceri a librariis.

654. Μαραθῶνι, ut ap. Thuc. 1, 73. contra Equ. 777. ἐν Μαραθῶνι. annotavit Be. cf. Matth. gr. §. 405, b.

655. εἶτα indignantis est. Eurip. Heracl. 789. ἀλλ' ἦν κάκιστος· εἶτα, τοιοῦτος γεγὼς, Τοὺς Ἡρακλείους ἦλθε δουλώσων γόνους. cf. Alcest. 805. et ibi interpp., item Viger. 7, 5, 5, 6. — ὅτ' ἦμεν. *cum essemus:* (Br. probante Elmslejo, *cum vigebamus.*) quasi grandaevi senes jam non amplius sint et vivant. similiter in Lys. 625., ubi Chorus fingitur esse adhuc ex illis, qui Hippiam tyrannum expugnarunt: οἵπερ ἐπὶ Λειψύδριον ἦλθον, ὅτ' ἦμεν ἔτι, hic in Acharn., 641. οὐδὲν ὄντας, in Pluto 1034. ad vetulam: νῦν δέ γ' οὐκ ἔτι ζῇν σ' οἴεται. *Be.* cf. 663. et annotata ad Ran. 396. (ἐν τοῖς ἄνω νεκροῖσι.)

656. πρὸς, προσέτι, *insuper.* cf. Ran. 572. cum annotatis, Pac. 19. etc. perperam libri προσαλισκόμεθα. S.: ἀντὶ τοῦ πρὸς τούτοις καταδικαζόμεθα, καὶ ζημιούμεθα.

657. οὗτος ὁ Μαρψίας (ὡς) φιλόνεικος, καὶ φιλύαρος, καὶ θορυβώδης ῥήτωρ κωμῳδεῖται. S.

658. τῷ pro τίνι. τῷ γὰρ εἰκὸς, ut in Thesm. 797. *Be.* τῷ γ. εἰκός. πῶς δίκαιόν ἐστιν, ἄνδρα γεγηρακότα, ἀντιπολιτευσάμενον Περικλεῖ, ἀπολείπεσθαι συμπλακέντα ἀγριότητι; τοῦτο γὰρ δηλοῖ ἡ Σκυθῶν ἐρημία. [λέγει δὲ ἀγριότητα.] οὗτος δὲ ὁ Θουκυδίδης Μελησίου παῖς ἦν. γεγόνασι δὲ δ', ὁ Ἱστορικὸς, ὁ Γοργήττιος, ὁ Θετταλὸς, ὁ Μελησίου υἱός. S. Thucydidem Melesiae filium, Periclis in rep. gerenda adversarium, memorat noster etiam in Vesp. 915. ex Plutarcho, Pericle p. 161, F. colligas, eum

ἐξολέσθαι ξυμπλακέντα τῇ Σκυθῶν ἐρημίᾳ,
τῷδε τῷ Κηφισοδήμῳ, τῷ λάλῳ ξυνηγόρῳ;
ὥστ' ἐγὼ μὲν ἡλέησα κἀπεμορξάμην ἰδὼν
ἄνδρα πρεσβύτην ὑπ' ἀνδρὸς τοξότου κυκώμενον,
ὃς μὰ τὴν Δήμητρ', ἐκεῖνος ἡνίκ' ἦν Θουκυδίδης,
οὐδ' ἂν αὐτὴν τὴν Ἀχαίαν ῥᾳδίως ἠνέσχετ' ἄν,
ἀλλὰ κατεπάλαισε μέν τἂν πρῶτον Εὐάθλους δέκα,

Olympiadis 84. anno 1. ἐξοστρακισθῆναι. — *Elmsl.* vide Lenz. et Siebelis. ad Philochori fragmenta p. 52. 119. *Dind.* κυφὸν, κεκυρτωμένον. *gl.* Victor. *curvum* senio.

660. Σκ. ἐρημίᾳ. ἐπεὶ θηριώδεις αἱ ἐρημίαι τῶν Σκυθῶν, ἀντὶ τοῦ ὀλέθρῳ καὶ κακοῖς συμπλακέντα. — ἔστι δὲ παροιμία ἡ Σκυθῶν ἐρημία, τουτέστιν ἔρημον ὄντα. S. Σκυθῶν ἐρημίαν, quae proverbii loco dicitur, K. interpretatur *extremam paupertatem*, cum quia solitudines non habeant, unde aliquis vivere possit; tum quia pauperes velut in solitudine versentur, utpote amicis destituti. igitur sententiam hujus loci talem esse: *qui aequum sit, ut vir senectute iam incurvus, et tam grandis natu quam est Thucydides, pereat, cum extrema conflictans paupertate?* sic ille. sed Lucianus, quem ipse laudavit, Amorum cap. 36.: ἐμοὶ μὲν γὰρ ὀλίγου καὶ γελᾶν ἔναγχος ἐπῆει, Χαρικλέους εἶλογα ζῶα καὶ τὴν Σκυθῶν ἐρημίαν ἐπαινοῦντος, ex quibus intelligas, etiam feritatem atque inhumanitatem recte dici Scythicum desertum; quo pertinet scholiastae interpretatio. eam significationem hujus verbi aptiorem altera illa esse censemus, cum magis sycophantarum, qualis fuit Cephisodemus, belluarum mordacissimarum (vide Plut. 881. et ibi annotata), timeri soleat feritas quam paupertas. nam ipsum Cephisodemum vocari Σκυθῶν ἐρημίαν, probe perspexit Elmslejus, cujus hominis e majoribus aliquis Scythicam uxorem ei videtur duxisse; id quod postea Demostheni objectum est. „Inde est," inquit, „quod eum 662. sagittarium sive servum publicum, et inferius 667. patris cognatos Scythas appellat poëta" etc.

661. κἀπεμ. ἐκ τοῦ παρακολουθοῦντος. παρέπεται γὰρ τοῦτο τοῖς δακρύουσιν. S. — Hesych.: ἀπεμορξάμην· ἐδάκρυσα. consulendus Porson. in praefat. ad Hecub. p. XXVI. sequ. *Elmsl.*

662. κυκ. cf. 648.

663. ἐκεῖνος, ille celeber; ille, quem magni facio. Tatius Jacobs 99.: ἀρά σου τὴν φωνὴν ἐκείνην ἀπολήψομαι; etc. — ἦν, viguit, potens fuit (cf. 655.): nondum enim obiisse, indicio est 658. S.: ὃς μὰ τὴν Δήμ. ὅστις πρεσβύτης ὑπὸ τοῦ τοξότου βλαπτόμενος οὐδὲ τῆς Δήμητρος (ἄν) ἠνέσχετο, ἡνίκα ἦν νέος. Ἀχαιὰν δὲ τὴν Δήμητρα ἐκάλουν ἀπὸ τοῦ κτύπου τῶν κυμβάλων καὶ τυμπάνων τοῦ γενομένου κατὰ ζήτησιν τῆς Κόρης. (ab ἦχος, refragrante metro.) — ἢ ἀπὸ τοῦ περὶ τὴν θυγατέρα ἄχους. ὁ δὲ νοῦς ἡνίκα ἂν (ἦν) Θουκυδίδης (,) οὐχ ὅπως τοξότην ἂν καταβοᾶν αὐτοῦ (ἠνέσχετο), ἀλλ' οὐδὲ τὴν Ἀχαιὰν αὐτήν. S. similiter Etymologicum M. et Orionis v. Ἀχαιὰ, quae laudavit Br. Hesych.: Ἀχαία· ἐπίθετον Δήμητρος ἀπὸ τοῦ περὶ τὴν Κόρην ἄχους, ὅπερ ἐποιεῖτο ἀναζητοῦσα αὐτήν. *Elmsl.* ἠνέσχετ' ἄν Etymol. M. l. l., Elmsl., Dind. — similis sycophantae Ceres in hoc, quod dea quosvis obvios interrogabat de filia, ille reos enicabat quaerendo, quemadmodum supra dixit 647. ἀνελκύσας ἐρωτᾷ, σκανδάληθρ' ἱστὰς ἐπῶν.

665. ita Elmsl. et Dobr., cum in libris legatur μὲν ἄν, versu claudicante. minus probabiliter K. αν μὲν,

κατεβόησε δ' ἂν κεκραγὼς τοξότας τρισχιλίους,
περιετόξευσεν δ' ἂν αὐτοῦ τοῦ πατρὸς τοὺς ξυγγενεῖς.
ἀλλ' ἐπειδὴ τοὺς γέροντας οὐκ ἐᾶθ' ὕπνου τυχεῖν,
ψηφίσασθε χωρὶς εἶναι τὰς γραφὰς, ὅπως ἂν ᾖ
τῷ γέροντι μὲν γέρων, καὶ νωδὸς, ὁ ξυνήγορος,
*τοῖς νέοισι δ' εὐρύπρωκτος, καὶ λάλος, χὠ Κλεινίου·
κἀξελαύνειν χρὴ τολοιπὸν, κἢν φύγῃ τις, ζημιοῦν,
τὸν γέροντα τῷ γέροντι, τὸν νέον δὲ τῷ νέῳ.

Bentl. μὲν τὸ πρῶτον, vel μέν γ' ἄν. S.: οὗτος ὁ Εὔαθλος ῥήτωρ πονηρός. Ἀριστ. ἐν Ὀλκάσιν (fr. 19.) ἔστι τις πονηρὸς ἡμῖν τοξότης συνήγορος — · αὐτοῦ δὲ τοῦ πατρὸς, τοῦ Εὐάθλου. — τοὺς ξυγγενεῖς. Scythas. cf. annot. ad 659.

666. κατεβ. δ' ἄν, *et clamando vicisset.*

668. ὕπνου τυχεῖν, dormire quietos sine litibus.

669. causas ita separari jubet, ut si quis senem accuset, accusatoris ξυνήγορος itidem sit senex, et contra in junioribus. S. ὅπως — γέροντι. ἵνα παντελῶς οἱ νέοι τῶν γερόντων κεχωρισμένοι ὦσι. νωδὸς δὲ ὁ μὴ ἔχων ὀδόντας ὑπὸ γήρως. (cf. Plut. 266.) S.

671. χὠ Κλεινίου. Ἀλκιβιάδην τὸν Κλεινίου ὡς καταπύγωνα κωμῳδοῦσιν. S. propter pulcritudinem. res nota ex Platone aliisque scriptoribus. vid. Be. annotavit Elmsl., jam ante biennium quam acta est haec fabula inter claros oratores habitum fuisse Alcibiadem, qui vixdum e pueris excesserit. — χὠ Κλ., *et Cliniae filius.* cur, quaeso, is solus? legendum esse arbitror καὶ λάλος γ', ὡς Κλ.

672. opus esse ait, ut in posterum, si quis agatur reus, senex senem, et juvenis juvenem, *expellat*, h. e. ad arbitrum adigat, et poena multet, cum usus venerit; non senem juvenis, uti nunc fiat, magna cum molestia et damno seniorum minus eloquentium. — ἐξ in ἐξελαύνειν videtur esse ἀθξητικόν. Demosth. apud Schneiderum in lex. gr. v. ἐλαύνω, p. 960., ἐλαύνεις, διώκεις, συκοφαντεῖς etc. verba ἢν φύγῃ τις posteriore membro orationis posita sunt per hyperbaton: nam ordo hic est: καὶ, ἢν τις φύγῃ, χρὴ τολοιπὸν ἐξελαύνειν καὶ ζημιοῦν τὸν γέροντα τῷ γέροντι etc. Elmsl.: „— Ad verba ἐξελαύνειν τὸν γέρ. τῷ γέροντι instar omnium allegandus est Antiphanes ap. Athen. p. 44, A.: οἴνῳ (δὲ δεῖ) τὸν οἶνον ἐξελαύνειν, Σάλπιγγι τὴν σάλπιγγα, τῷ κήρυκι τὸν βοῶντα, Κόπῳ κόπον, ψόφῳ ψόφον, τριωβόλῳ δὲ πόρνην, Ἀθαδίαν αὐθαδίᾳ, Καλλίστρατον μαγείρῳ, Στάσει στάσιν, μάχῃ μάχην, ὑπωπίοις δὲ πύκτην, Πόνῳ πόνον, δίκῃ δίκην, γυναικὶ τὴν γυναῖκα.“ simile proverbium κακῷ κακὸν ἰᾶσθαι commemoravit Dobr.

ΔΙΚΑΙΟΠΟΛΙΣ. ΜΕΓΑΡΕΥΣ. ΚΟΡΑΙ. ΣΥΚΟΦΑΝΤΗΣ. ΧΟΡΟΣ.

ΔΙ. Ὅροι μὲν ἀγορᾶς εἰσιν οἵδε τῆς ἐμῆς· i. tr.
ἐνταῦθ' ἀγοράζειν πᾶσι Πελοποννησίοις
ἔξεστι, καὶ Μεγαρεῦσι, καὶ Βοιωτίοις,
ἐφ' ᾧτε πωλεῖν πρὸς ἐμέ, Λαμάχῳ δὲ μή.
ἀγορανόμους δὲ τῆς ἀγορᾶς καθίσταμαι
τρεῖς τοὺς λαχόντας, τούσδ' ἰμᾶντας ἐκ λεπρῶν.
ἐνταῦθα μήτε συκοφάντης εἰσίτω,
μήτ' ἄλλος ὅστις Φασιανὸς ἔστ' ἀνήρ.
ἐγὼ δὲ τὴν στήλην, καθ' ἣν ἐσπεισάμην,
μέτειμ', ἵνα στήσω φανερὰν ἐν τἀγορᾷ.

674. Hic jam ostenduntur commoda pacis. prodit autem Dicaeopolis, cui pax est cum Lacedaemoniis et eorum sociis. *Be.* interpres: „Isti sunt limites fori mei."

675. ἀγοράζειν. ἐν ἀγορᾷ διατρίβειν, ἀττικῶς. (*markten, feilhalten.* cf. 590.) — ἀγορανόμους δὲ οὓς νῦν λογιστὰς καλοῦμεν. S. cf. 678.

677. ἐφ' ᾧτε, cf. Plut. 996.

678. ἀγορανόμοι erant magistratus, ad quos pertinebat rerum venalium cura. (*Marktmeister.*) de his vide Menag. ad Laërt. 6, 90. quando munus suum obibant in foro, scuticam gerebant. S.: ἱμᾶντας, ὑάρους, φραγγέλια. τὸ γὰρ παλαιὸν φραγγέλλαις (*flagellis*) ἔνιπτον οἱ λογισταὶ τοὺς τῆς ἀγορᾶς. — *Br.*

679. τοὺς λαχόντας, quibus sorte evenit, ut essent agoranomi. — τούσδ' Elmsl., ut scribendum esse dixeram in Lectt. Aristoph. vulgo τοὺς δ'. ridicule ipsa lora finguntur agoranomi: vid. S. ad 910. ea itidem ridicule ait esse ἐκ λεπρῶν, e scabris sive horridis, i. e. tortis atque inaequalibus durisque adeo, si quis tangat; qualia nimirum omnia sunt lora. quas ad h. l. protulit S. nugas, eas sciens praetereo.

681. S.: Φασιανός. ἀντὶ τοῦ συκοφάντης, παρὰ τὴν φᾶσιν, ὅ ἐστι φαίνειν. ἔστι καὶ πόλις τῆς Σκυθίας Φᾶσις, ὁμώνυμος τῷ ποταμῷ. vide Strab. 11, 2., ed. Tauchnitz. 2. p. 408., Melam 1, 19, 85. seqq. etc. Hesych. ex Comico quodam: φάσακες: συκοφάνται. *Elmsl.* cf. 774. seqq.

682. τὴν στήλην. qui foedus inissent, erigebant columnas, in quibus describebatur formula foederis. *Be.*

ΜΕ. ἀγορὰ 'ν Ἀθάναις, χαῖρε, Μεγαρεῦσιν φίλα!
ἐπόθουν τυ ναὶ τὸν Φίλιον, ᾗπερ ματέρα.
ἀλλ', ὦ πόνηρα κόριά γ' ἀθλίου πατρὸς,
ἄμβατε ποττὰν μάδδαν, αἴχ' εὕρητέ πα!
ἀκούετον δέ (ποτέχετ' ἐμὶν τὰν γαστέρα)·
πότερα πεπρᾶσθαι χρήδδετ', ἢ πεινῆν κακῶς;
ΚΟ. πεπρᾶσθαι, πεπρᾶσθαι! bacch. d.
ΜΕ. ἐγώνγα καὐτός φαμι. τίς δ' οὕτως ἄνους, i. tr.
ὃς ὑμέ κα πρίαιτο, φανερὰν ζαμίαν;
ἀλλ' ἔστιν ἁμὶν Μεγαρικά τις μαχανά·
χοίρως γὰρ ὑμὲ σκευάσας φασῶ φέρεν.

685. ἔρχεται Μεγαρεύς τις. οἰκεία δὲ πάνυ ἡ ἔννοια καὶ οἴκτου μεστή. πεινῶν γὰρ ἥκει, καὶ τὰς θυγατέρας πωλεῖ διὰ τὸν λιμὸν, εἰς χοίρους αὐτὰς μετασχηματίσας. S. — loquitur autem Dorice: nam Megarenses erant dorienses. *Be.* Facile quivis viderit, dorici sermonis leges parum accurate in seqq. servari. neque enim revera dixisset Megarensis γρυλλιξεῖτε καὶ κοΐξετε 702., neque Boeotius ἐξόπισθέ μου 816. harum diversitatum pars quidem non minima fortasse librariis tribuenda est; sed tamen non est dubitandum, quin nonnulla ab ipso poëta profecta sit. ita fere in Lys. 183., 198., 937., 938., 1216., 1219., cum pro ὀμούμεθα, ἐπαινῶ, μογοῦμεν, λυχνοφοροῦντες, ὑμνῶμεν, ἀγκονοῦσαι, Spartanis tribuisset ὀμιόμεθα. ἐπαινίω, μογίομες, λυχνοφορίοντες, ὑμνίωμες, ἀγκονίωσαι, nihilo minus v. 1076. ἀδικοῦμες usurpavit, ubi ex analogiae rationibus scribendum erat ἀδικίομες. *Elmsl.*

685. Bentl. ἐπόθευν, Elmsl. malit ἐπόθουν τε: cf. 734. S.: νὴ τὸν φίλιον Δία, ἐπόθουν σε ὥσπερ μητέρα. de Jove φιλίῳ, sive amicitiae praeside, praeter Lucianum Timone sub initium et scriptorem de mundo c. 7. laudatur Creuzerus Melet. 1. p. 18.

686. Rav. κόριχ' ἀθλίου. Elmsl. et Dind. κώρι' dorice, hic etiam ἀθλίω auctore Bentlejo.

687. ἀμβᾶτε. (sic.) ἀνάβητε. (ἄλλως.) ἐμφαντικῶς δὲ τὸν λιμὸν (λιμόν.) ἐδήλωσεν εἰπὼν ἐμβᾶτε (sic) πρὸς τὴν μάζαν. οἱ Μεγαρεῖς δὲ τρέπουσι τὸ ζ εἰς δύο δδ. S. ἄμβατε dixit A. ἄμβατε dixit A., quia actores εἰσελθόντες κατὰ τὴν ὀρχήστραν ἐπὶ τὴν σκηνὴν διὰ κλιμάκων ἀναβαίνουσι, teste Polluce 4, 127. eadem de causa dixit ἀνάδος 231., ἀνάβαινε Equ. 149., Vesp. 385, 1295. — 1341. *Elmsl.* idem annotavit, αἴκα doricum esse pro ἐάν.

688. ἀκ. δέ. l. l. deteriore numero ἀκ. δὴ, π. ἐμίν (⏑–⏑– | –⏑⏑⏑–). cf. 653. — S.: παρὰ προσδοκίαν. δέον γὰρ εἰπεῖν προσέχετε ἡμῖν τὸν νοῦν, ἔφη τὴν γαστέρα, ἐπειδὴ ἐπείνων. —

691. ἐγώνγα. pro ἔγωγε. *Be.*

692. producitur κὰ (h. e. κὲ, sive ἂν, dorice), ut saepe apud Theocritum, velut Idyll. I, 4., 5., 8.; III, 27. etc. vid. Elmsl. ad 754. Be.: ὑμὲ, ὑμᾶς: φασῶ, φήσω. S. φαν. ζαμίαν. (*damnum certum.* Be.) ἐπεὶ κόραι ἦσαν, καὶ οὐ χοῖροι. —

693. ἀ. ἔ. ἁμίν. Suidas vv. ἀλλ' ἔστιν ἡμῖν et Μεγαρικαὶ σφίγγες ἀ. ἔ. ἡμῖν. vulgo ἀ. ἔ. γάρ μοι, quasi sequeretur χοίρως ὑμὲ etc. sine γὰρ particula. Μεγ. τις μηχανά. ἀντὶ τοῦ πονηρὰ, πανοῦργος μηχανή. διεβάλλοντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Μεγαρεῖς, ἄλλα μὲν λέγοντες, ἄλλα δὲ ποιοῦντες. S. ἢ ὡς τῶν Μεγαρέων — φορτικῶς γελοιαζόντων (praesertim in comoediis, quas invenerunt), ut ait Schol. ad Vesp. 57.

694. χοίρως Elmsl., φέρεν Br. libri χοίρους — φέρειν.

περίθεσθε τάσδε τὰς ὅπλας τῶν χοιρίων.
ὅπως δὲ δοξεῖτ' ἦμεν ἐξ ἀγαθᾶς ὑός·
ὡς ναὶ τὸν Ἑρμᾶν, αἴπερ ἰξεῖτ' οἰκαδις,
τὰ πρᾶτα πειρασεῖσθε τᾶς λιμῶ κακῶς.
ἀλλ' ἀμφίθεσθε καὶ ταδὶ τὰ ῥυγχία,
κἤπειτεν ἐς τὸν σάκκον ὦδ' ἐσβαίνετε.
ὅπως δὲ γρυλλιξεῖτε καὶ κοΐξετε,
χἠσεῖτε φωνὰν χοιρίων μυστηρικῶν.
ἐγὼν δὲ καρυξῶ γα Δικαιόπολιν, ὅπα.
Δικαιόπολις, ἦ λῆς πρίασθαι χοιρία;

ΔΙ. τί ἀνὴρ Μεγαρικός;

ΜΕ. ἀγοράσοντες ἥκομες.

ΔΙ. πῶς ἔχετε;

ΜΕ. διαπεινῶμες αἰὲς ποττὸ πῦρ.

696. δοξ. ἦμεν. pro δόξετε εἶναι. Be.

697. ita Elmsl. libri εἶπερ ἶξετ'. „pro ἵξεσθε, aut ἥξετε, οἴκαδε." Be. S.: (εἶπερ) ἐκ δευτέρου εἰς τὸν οἶκον ἀφίξεσθε, τῆς πρώτης πειραθήσεσθε λιμοῦ. Δωριεῖς δὲ θῆλυ λέγουσι τὴν λιμόν. (Phrynich. Lobeck. p. 188. τὴν λιμὸν Δωριεῖς· σὺ δὲ ἀρσενικῶς τὸν λιμὸν φάθι.) τὰ πρῶτα δὲ, ἤγουν τᾶς ἄκρας. (? imo primum, tum demum.)

698. λιμῶ pro λιμοῦ Bentl. Elmsl. „πειρ. pro πειράσεσθε." Be.

699. τὰ ῥυγχία κυρίως ἔφη· ἐπὶ γὰρ χοίρου λέγεται ῥύγχος. — γρυλλιξεῖτε δὲ δίκην χοίρων βοήσετε. (cf. Plut. 305.) κοῖ δὲ ποιὰ τῶν θελφακίων φωνή. S.

700. κἤπειτεν. hinc intelligas, formam ἔπειτεν non Ionicae tantum dialecti esse, ut vulgo arbitrantur. cf. Reisigii Conject. 1. p. 221. sequ. — σάκκον. cf. 778.

701. γρυλλ. pro γρυλλίξετε aut γρυλλίσετε. χ' ἠσεῖτε (χἠσεῖτε) pro καὶ ἥσετε ab ἵημι. Be.

702. χοιρ. μυστ. ὅτι ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοῖρος θύεται· ἀνάκειται δὲ τὸ ζῶον τῇ θεῷ. ἕκαστος δὲ τῶν θυομένων (imo μυουμένων) ὑπὲρ ἑαυτοῦ ἔθυεν. — S. cf. 719., Pac. 368. porcos sacres a Latinis appellatos esse ait Br., laudato Plauto Men. 2, 2, 15., Rud. 4, 6. sub initium.

703. perperam libri: — Δικαιόπολιν. ὅπα Δικαιόπολις; ἐγὼν δὲ κ. γα Δικαιόπολιν, ὅπα dictum est ut Sophoclis Antig. 304. τί δὲ ῥυθμίζεις τὴν ἐμὴν λύπην, ὅπου; Ajac. 103. ἦ τοὐπίτριπτον κἀναδος ἐξήρου μ', ὅπου; ubi S.: ὅπου τῆς τύχης ἐστὶ θηλονότι, etc. nam ὅπα est ὅπῃ sive ὅπῃ, ὅπου, Δικαιόπολις autem dictum pro Δικαιόπολι, quemadmodum usurpari solet casus rectus. — καρυξῶ Δικαιόπολιν, ut κήρυσσε θεοὺς ap. Euripidem Hec. 143., ubi scholia ἐπικαλοῦ: ἀνακάλει μεγάλως: ἐπικαλοῦ τοὺς οὐρανίους καὶ καταχθονίους θεούς, βοηθούς σοι γενέσθαι. opem Dicaeopolidis, velut dei cujusdam, etiam Megarensis implorat esuriens. Virgilius Eclog. 1, 6.: deus nobis haec otia fecit. Namque erit ille mihi semper deus. — γα pro γε Br. καρυξῶ, κηρύξω.

704. λῆς. verbum doricum λῶ, contractum ex λάω, et significat θέλω. Be.

705. τί ἀ. Μεγ.; τί πράττει ἀ. Μεγ.; cf. 577. Eurip. Iphig. T. 484. τί γὰρ ὁ Λαέρτου γόνος; ubi vidd. interpp.

706. αἰὲς doricum pro vulgato αἰεὶ reponi jussit Br., ut Lys. 1184. φιλία δ' αἰὲς εὔπορος εἴη. — διαπεινῶμες ποττὸ pro διαπεινῶμεν

ΔΙ. ἀλλ' ἡδύ τοι νὴ τὸν Δί', ἢν αὐλὰς παρῇ.
τί δ' ἄλλο πράττεθ' οἱ Μεγαρῆς νῦν;
ΜΕ. οἷα δή.
ὅκα μὲν ἐγὼν τηνῶθεν ἠμπορευόμαν,
ἄνδρες πρόβουλοι τοῦτ' ἔπραττον τᾷ πόλει,
ὅπως τάχιστα καὶ κάκιστ' ἀπολοίμεθα.
ΔΙ. αὐτίκ' ἄρ' ἀπαλλάξεσθε πραγμάτων.
ΜΕ. σά μάν;
ΔΙ. τί δ' ἄλλο Μεγαροῖ; πῶς ὁ σῖτος ὤνιος;
ΜΕ. παρ' ἁμὲ πολυτίματος, ἅπερ τοὶ θεοί.

πρὸς τὸ dorice, ut notavit Be. S.: διαπ. πίνομεν (διαπίνομεν) ὤφειλεν εἰπεῖν, πρὸς τὸ πῦρ καθήμενοι (χειμῶνος γὰρ οἱ πότοι πρὸς τὸ πῦρ γίνονται)· ὁ δὲ πεινῶμεν (διαπεινῶμεν) εἶπε [διὰ τὸν λιμόν]. S. Dan. Heinsius Lectt. Theocrit. cap. 12.: „Antiqui," inquit, „εὐωχοῦντες, et genio suo dedita opera indulgentes, tria ad voti consummationem requirebant, ignem, potum, tibiam. — Tria haec studiose observat noster Lycidas (Theocrit. idyll. 7, 66. seqq.): primo πὰρ πυρὶ κεκλιμένος: secundo καὶ πίομαι μαλακῶς: tertio αὐλησεῦντι δέ μοι. pauperculi ex his tribus solum ignem sibi reliquum habebant, tanquam ceterorum solatium; quem etiam Megarensibus relinquit Comicus. et Tibullus (1, 1, 5.) *Me mea paupertas vitae traducat inerti, Dum meus assiduo* (exiguo) *luceat igne focus*" etc. — igitur ἡδὺ intelligendum est πρὸς τὸ πῦρ καθῆσθαι, nihil amplius.

707. ὡς ἐπὶ τῶν πινόντων τὸν αὐλόν. ὅτι τὸ πῦρ εὐωχίας σημαντικόν. ὥστε ἡδὺ ἦν καθῆσθαι μετὰ αὐλῶν. S.

708. οἷα δή. h. e. πράττομεν, οἷα δὴ πράττομεν, *agimus, ut possumus.* Terent. Andr. 4, 5, 10. *Ut quimus, ajunt, quando, ut volumus, non licet.* et Heaut. 3, 1, 49.: *sic hoc.* affinem significationem habet οἷα vel ὡς in his et similibus formulis ἤγγειλας, οἵ' ἤγγειλας: ἔκυρσεν, ὡς ἔκυρσεν, de quibus dictum ad Eurip. Med. 955. Iphig. Taur. 318. τὰ δ' ἐνθάδ' ἡμεῖς, οἷα, φροντιούμεθα, h. e. οἷά ἐστι, per εὐτελισμόν. cf. Viger. 3, 8, 13. Rhes. 442. in Ald. et 3 MSS.: ξὺν τοῖσδ' ἄνπνος οἷα τλὰς πορπήμασιν. ibi Musgrav.: „Hesych. οἷα τὰ δεινὰ Αἰολεῖς, quod huc non incommode transferri potest. neque obstat, quod vox aeolica sit, cum multa ejus gentis vocabula in scena attica occurrant" etc.

709. l. l. τηνόθεν ἐμπ. „τηνῶθεν Theocritus 3, 10." — *Elmsl.* — ὅκα, ὅτε, dorice.

710. πρόβουλοι. Hesych. et Phot.: πρόβουλος: ἔξαρχος τοῦ βουλευτηρίου. *princeps senatus.* vide Be. ad Lys. 440., Blomf. ad Aeschyl. Sept. ad Theb. 1008. —

711. καὶ τοῦτο παρ' ὑπόνοιαν πικρῶς ἐπήγαγε, τὸ ἀπολλύμεθα (ἀπολοίμεθα). ἔδει γὰρ εἰπεῖν ὅτι πῶς (εἰπεῖν ὅπως) σωθῶμεν. S. — consules enim et antistites salutem reip., non perniciem, procurare debent. *Be.*

712. πρὸς τὸ ῥηθὲν παρὰ τοῦ Μεγαρέως ἀπήντησεν ὁ Δικαιόπολις ἀστείως. εἰ γὰρ ἀπώλυσθε, φησὶν, ἀπηλλάττεσθε ἂν πραγμάτων. (quia mors est finis molestiarum et miseriarum. *Be.*). σαμὰν (sic, ut vulgo libri Aristoph.) δὲ ἀντὶ τοῦ τί μήν; τί γὰρ ἄλλο καταλείπεται ἢ τοῦτο; S. cod. B in ordine τί μάν. Etymol. M. pag. 157. l. 48. σά· ὅ ἐστι Μεγαρικὸν, δηλοῦν τὸ τινά (τίνα). Elmsl.: Recte interpretantur grammatici τί μήν; πῶς γὰρ οὔ; (*quidni?*)

714. παρ' ἁμί. (sic Elmsl.) παρ' ἁμὲ vulgo, accusat. pro dativo. παρ' ἁμὲ diserte agnoscit Gregorius p. 110. (237), ubi tamen insigniter variant

715 ΔΙ. ἆλας οὖν φέρεις;
ΜΕ. οὐχ ὑμὲς αὐτῶν ἄρχετε;
ΔΙ. οὐδὲ σκόροδα;
ΜΕ. ποῖα σκόροδ'; ὑμὲς τῶν ἀεὶ,
ὅκκα σβάλητε, τὼς ἀρωραῖοι μύες,
πάσσακι τὰς ἀγλῖθας ἐξορύσσετε.
ΔΙ. τί δαὶ φέρεις;
ΜΕ. χοίρως ἐγώνγα μυστικάς.
720 ΔΙ. καλῶς λέγεις· ἐπίδειξον.
ΜΕ. ἀλλὰ μὰν καλαί.
ἄντεινον, αἰ λῇς, ὡς παχεῖα καὶ καλά.
ΔΙ. τουτὶ τί ἦν τὸ πρᾶγμα;
ΜΕ. χοῖρος ναὶ Δία.
ΔΙ. τί λέγεις σύ; ποδαπὴ χοῖρος ἥδε;
ΜΕ. Μεγαρικά.
ἦ οὐ χοῖρός ἐσθ' ἅδ';
ΔΙ. οὐκ ἔμοιγε φαίνεται.

codd. Alexidi tribuitur παρ' ἡμᾶς οἰκεῖ a grammatico ap. Montefalcon. Bibl. Coislin. p. 483. (Bekker. Anecd. 1, 111, 13.) etc. *Elmsl.* S.: ᾧπερ τοὶ Θεοί. ἀντὶ τοῦ ὥσπερ οἱ Θεοὶ πολυτίμητοί εἰσι καὶ τίμιοι, οὕτω καὶ ὁ σῖτος πολλῆς τιμῆς ἐστι. παίζει οὖν. plane doricum foret τοὶ σιοί.

715. ὑμὲς α. ἄρχετε. διὰ τὸ θαλασσοκρατεῖν τοὺς Ἀθηναίους ἔφη ὑμεῖς αὐτῶν ἄρχετε. S. — „Quamvis Athenienses nondum Nisaeam haberent, quae 8. demum anno belli Pelop. sub eorum imperium venit (Thuc. 4, 69.), tamen non erat liberum Megarensibus salium negotium eo, quod Athenn. Minoam (insulam) insulae Nisaeae vicinam et portui imminentem tenebant praesidio, ut ait idem Thuc. 3, 51." *E Palmerio.* alter S.: ἐν Νισαίᾳ τῆς Μεγαρίδος ἅλες πήγνυνται. — cf. S. ad 768.

716. τῶν. τούτων, τῶν σκορόδων.

717. ὅκκα (ὅκα κα, h. e. κἄ, ἄν), ὅταν, dorice. vulgo ὁκκ' ἐσβάλ., elisa vocali longa, quod fieri non potest: cf. 692. — τὼς, ὡς, dorice. vide, quem K. laudavit, Gregorium Cor. de dial. dorica p. 244. „Plut. Pericle c. 30. de psephismate Megarensi: τοὺς δὲ στρατηγοὺς, ὅταν ὀμνύωσι τὸν πατρικὸν ὅρκον, ἐπομνύειν, ὅτι καὶ δὶς ἀνὰ πᾶν ἔτος εἰς τὴν Μεγαρικὴν ἐμβαλοῦσι." *Elmsl.*

718. πάσσακι. ὑποκοριστικῶς (?) τῷ πασσάλῳ. ἀγλῖδας δὲ τὰς κεφαλὰς τῶν σκορόδων. φησὶν οὖν, ὅτι ὥσπερ ἀρουραῖοι μύες ὀρύσσετε τῷ πασσάλῳ τὰς ἀγλῖδας. S.

719. ita Bentl. et Elmsl. libri χοίρους. cf. 703.

721. ἄντ., αἰ λῇς. ἀνάτεινον, εἰ βούλει, καὶ κρεμάσας ἐπίσκεψαι, πόσον βάρους εἰσίν. εἰώθασι δ' οἱ τὰς ὄρνεις ὠνούμενοι ἀνατείνειν ταύτας, καὶ τὸ βάρος αὐτῶν σκοπεῖν etc. S. „ὡς παχ. καὶ καλά. Megarensis filiam suam alteram post alteram Dicaeopolidi ostendit." Br. secundum Koenium ad Gregor. Corinth. de dial. dorica §. 63. sic autem MSS. minus recte editi ante Br. παχεῖαι καὶ καλαί.

722. τουτὶ — πρᾶγμα; *quid hoc est rei?* S.: ὁ Ἀττικὸς κρεμάσας τὴν παῖδα ὁρᾷ τὸ αἰδοῖον αὐτῆς, καὶ ἐρωτᾷ περὶ αὐτοῦ. οὐ γὰρ ἦν ὅμοιον τῷ αἰδοίῳ τοῦ χοίρου.

ΜΕ. οὐ δεινά; θᾶσθε τοῦδε τὰς ἀπιστίας!
οὔ φατι τόνδε χοῖρον ἡμεν. ἀλλὰ μὰν,
αἰ λῇς, περίδου νῦν μοι περὶ θυμιτᾶν ἀλῶν,
αἰ μή ᾽στιν οὗτος χοῖρος Ἑλλάνων νόμῳ.
ΔΙ. ἀλλ᾽ ἔστιν ἀνθρώπου γε.
ΜΕ. ναὶ τὸν Διοκλέα,
ἐμά γα. τὺ δέ νιν ἤμεναι τίνος δοκεῖς;
ἦ λῇς ἀκοῦσαι φθεγγομένας;
ΔΙ. νὴ τοὺς θεούς,
ἔγωγε.
ΜΕ. φώνει δὴ τὺ ταχέως, χοιρίον.
οὐ χρῆσθα σιγῆν, ὦ κάκιστ᾽ ἀπολουμένα.
πάλιν τ᾽ ἀποισῶ ναὶ μὰ τὸν Ἑρμιᾶν οἰκαδις.
ΚΟ. κοῖ, κοῖ. i.
ΜΕ. αὕτα ᾽στὶ χοῖρος;
ΔΙ. νῦν γε χοῖρος φαίνεται· i. tr.
ἀτὰρ ἐκτραφείς γε κύσθος ἔσται πέντ᾽ ἐτῶν.
ΜΕ. σάφ᾽ ἴσθι, ποττὰν ματέρ᾽ εἰκασθήσεται.
ΔΙ. ἀλλ᾽ οὐδὲ θύσιμός ᾽στιν αὐτηγί.
ΜΕ. σά μάν;

725. *οὐ δεινά; nonne indignum hoc est?* θᾶσθε pro θεᾶσθε, dorice. *Be.*

726. sequ. *ἀλλὰ μὰν, αἰ λῇς. ἀλλὰ μὴν, ἐὰν θέλῃς. τὸ δὲ περίδου μοι Ὅμηρος* (Il. ψ′, 485.) *δεῦρό γε νῦν* (sic) *τρίποδος περιδώμεθα.* (sic.) *περὶ θυμιτιδᾶν* (sic etiam libri Aristoph. [Rav. *θυμητίδαν*], quod emendavit K. cf. Suid. v. *θυμιτίδων ἀλῶν.*) *ἀλῶν. — οἷον μετὰ θύμου τετριμμένων. καὶ ἑτέρωθι* (1031. hujus fabulae)· *ἅλας θυμίτας δοὺς ἐμοὶ* (sic) *καὶ κρόμμυα.* cf. 1047.

729. *ἀνθρώπου*, mulieris, puellae. cf. annot. ad Eurip. Hippol. 450. etc. S.: *Διοκλῆς ἥρως ἑτιμᾶτο παρὰ Μεγαρεῦσιν, ᾧ καὶ ἀγῶνα τελοῦσι τὰ Διόκλεια, οὗ καὶ Θεόκριτος* (idyll. μ, 27.) *μέμνηται, Νισαῖοι Μεγαρῆες, ἀριστεύοντες ἐρετμοῖς, Ὀλβιοι οἰκοίητε, τὸν ἀττικὸν ὡς περίαλλα Ξεῖνον τιμήσασθε Διοκλέα, τὸν φιλόπαιδα.*

730. *ἐμά γα*, mea quidem, mea filia. codd. Paris. 3 *εἶμεναι*, ut Gregor. p. 227. „*εἶμεν, ἦμεν, εἶμεναι, ἦμεναι*, formae sunt infinitivi communis *εἶναι*, quibus promiscue utuntur dorici poëtae.“ *Br.*

733. *χρῆσθα, χρῇς. non oportet te tacere.* infinitivum doricum ex Gregor. Cor. de dial. dor. §. 41. p. 227. restituit Br. libri Arist. *σιγῆς*, S. *σιγᾶς.* (ita Bekker.)

734. ita Rav. Elmsl. Dind. cf. 685. vulgo *πάλιν τύ γ᾽ ἀπ.* — *ναὶ μὰ τὸν Ἑρμᾶν*, ut Iliad. α′, 234. *ναὶ μὰ τόδε σκῆπτρον.*

737. *πέντ᾽ ἐτῶν, intra quinquennium*, ut Vesp. 260. *ἡμερῶν τεττάρων τὸ πλεῖστον, quatriduo ad summum.* — Elmsl. *κύσθος*, virgo nubilis. pars dicta pro toto per ridiculum. Horat. Sat. 1, 2, 69. *numquid ego a te Magno prognatum deposco consule* cunnum? et similiter hodiernum vulgus.

738. *ποττὰν* (πρὸς τὴν) *μ. εἰκ. matri similis erit.* Be.

739. *οὐδέ.* cf. annot. ad 527. Rav. *οὐ*, D. *οὐχί.*

πᾶ δ' οὐχὶ θύσιμός ἐστι;
ΔΙ. κέρκον οὐκ ἔχει.
ΜΕ. νέα γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
ἐξεῖ μεγάλαν τε, καὶ παχεῖαν, κἠρυθράν.
ἀλλ', αἰ τράφειν λῇς, ἄδε τοι χοῖρος καλά.
ΔΙ. ὡς ξυγγενὴς ὁ κύσθος αὐτῆς θατέρᾳ.
ΜΕ. ὁμοματρία γάρ ἐστι κἠκ τωυτῶ πατρός.
αἰ δ' ἄν παχυνθῇ κἀναχνοιανθῇ τριχί,
κάλλιστος ἔσται χοῖρος Ἀφροδίτᾳ θύειν.
ΔΙ. ἀλλ' οὐχὶ χοῖρος τἀφροδίτῃ θύεται.
ΜΕ. οὐ χοῖρος Ἀφροδίτᾳ; μόνᾳ γα δαιμόνων.
καὶ γίγνεταί γα τᾶνδε τᾶν χοίρων τὸ κρῆς
ἄδιστον ἂν τὸν ὀδελὸν ἐμπεπαρμένον.
ΔΙ. ἤδη δ' ἄνευ τῆς μητρὸς ἐσθίοιεν ἄν;
ΜΕ. ναὶ τὸν Ποτείδαν κἄν ἄνευ γα τῶ πατρός.
ΔΙ. τί δ' ἐσθίει μάλιστα;
ΜΕ. πάνθ', ἃ κα διδῷς.

740. κέρκον οὐκ ἔχει. τὰ γὰρ κόλουρα ἐν ταῖς ἱερουργίαις οὐ θύεται, καὶ καθόλου ὅπερ ἂν ᾖ μὴ τέλεον καὶ ὑγιὲς, οὐ θύεται τοῖς θεοῖς. S.

741. δελφ. — τοὺς γὰρ μείζονας ἰσχνὸν χοίρους δέλφακας ἐκάλουν. ἅμα δὲ καὶ ὡς ἐπὶ κόρης παίζει, ὅτι ἔξει μεγάλην οὐρὰν, τὴν τοῦ ἀνδρὸς κόσθην. αἰνίττεται δὲ εἰς τὸ κακέμφατον. S.

742. sequ. κἠρυθράν. pro κἀρυθράν. i. e. καὶ ἐρυθράν. αἰ τράφειν λῇς, εἰ τρέφειν θέλεις. Be.

745. ita Br. etc. libri τωυτοῦ, vel ταυτοῦ.

746. MSS. κἀναχνοανθῇ laborante versu. edd. κἀναχνοανθῇ γ' ἐν τριχὶ, quod haud dubie est a correctore. Elmsl. contra analogiam κἀναχνωανθῇ. dicitur χνόη et χνοίη. cf. Matth. gr. §. 26.

747. θύειν Elmsl. vulgo θύειν. Br.: „Observes θύειν prima brevi, sed in Megarensis ore: nam Attici eam syllabam semper producunt." Dind.: Quod dicit *semper*, fallitur: v. Maltby ad Morelli lex. prosod. p. 460. (Strato Athen. 382, c.

Οὐδ' ἄρα θύεις ἐρυσίχθον';
— οὐκ ἔφην ἐγώ. —
Βοῦν δ' εὐρυμέτωπον; —
Οὐ θύω βοῦν, ἄθλιε.

Eurip. El. 1074.

Θύσεις γὰρ, οἷα χρή σε δαίμοσιν θύειν,

ubi tamen reponas — οἷα δαίμ. θύειν σὲ χ. Both.)

748. Pausan. Corinth. 10.: τῶν δὲ ἱερείων τοὺς μηροὺς θύουσι (Veneri) πλὴν ὑῶν. et similiter Phurnutus de N. D. c. 24. sed alii id non praecise negant, in quibus est Athen. 3, 15. p. 95., 96., quem K. laudavit. cf. G. I. Voss. Theol. gent. l. 9. c. 26. caute S.: πολλοὶ τῶν Ἑλλήνων οὐ θύουσι χοίρους (fort. χοῖρον, quia sequitur αὐτόν. vel hoc delendum est.) τῇ Ἀφροδίτῃ, ὡς βδελυττομένῃ διὰ τὸν Ἄδωνιν αὐτόν.

749. μόνᾳ, *illi inprimis*: non enim soli deorum, sed etiam Cereri: vid. G. I. Voss. modo l. l. 8. c. 23. de ista significatione τοῦ μόνος cf. Soph. Oedip. Col. 227.

750. sequ. κρῆς, κρέας. ἄν, ἀνά. S.: Βοιωτοὶ (et Aeoles) τὸν ὀβελὸν ὀδελὸν λέγουσι.

753. ἄνευ. fort. ἄνις dorice, ut 789.

754. ita Elmsl. libri ἃ καὶ δίδως. Br. ἃ κᾆν διδῷς. „scripturam, quam

δθεν περ ἀρχὰ τῶν κακῶν ἁμῖν ἔφυ.
ΣΥ. κλάων μεγαριεῖς. οὐκ ἀφήσεις τὸν σάκον;
ΜΕ. Δικαιόπολι, Δικαιόπολι, φαντάδδομαι!
ΔΙ. ὑπὸ τοῦ; τίς ὁ φαίνων σ' ἐστίν; — ἀγορανόμοι,
780 τοὺς συκοφάντας οὐ θύραζ' ἐξείρξετε; —
τιὴ μαθὼν φαίνεις ἄνευ θρυαλλίδος;
ΣΥ. οὐ γὰρ φανῶ τοὺς πολεμίους;
ΔΙ. κλάων γε σύ,
εἰ μή γ' ἐτέρωσε συκοφαντήσεις τρέχων.
ΜΕ. οἷον τὸ κακὸν ἐν ταῖς Ἀθάναις τοῦτ' ἔνι!
785ΔΙ. θάρρει, Μεγαρίκ'· ἀλλ', ἧς ἀπέδου τὰ χοιρία
τιμῆς, λαβὲ ταυτὶ τὰ σκόροδα καὶ τοὺς ἅλας,
καὶ χαῖρε πόλλ'.
ΜΕ. ἀλλ' ἁμὶν οὐκ ἐπιχώριον.
ΔΙ. πολυπραγμοσύνης νυν ἐς κεφαλὴν τρέποιτ' ἐμοί.

punxit Reisig. Conjectan. in Arist. 1. p. 279., comparatis similibus et hujus nostri et aliorum locis. libri uno tenore: τ. ἐκεῖν' ἴκει etc.

776. ὅθεν περ. ἐκ τοῦ συκοφαντεῖν δηλονότι. S.

777. μεγαρ. ἐπειδὴ τῇ Μεγαρέων ἐχρῆτο φωνῇ. — σάκος νῦν δι' ἑνὸς κ· ἀνωτέρω δὲ (701.) διὰ δύο. S. vulgo σάκκος dicitur per duplex κ. Attici vero, si magistris graecis credendum, per unum κ scribunt σάκος. Phrynich. p. 42.: σάκκος Δωριεῖς διὰ τῶν δύο κ, Ἀττικοὶ δὲ δι' ἑνός. Thomas Mag. (p. 789.): σάκος Ἀττικοὶ δι' ἑνὸς κ, Ἕλληνες δὲ διὰ δύο. K.

778. ita D. ll. φαντάζομαι, ex interpretatione. S. φαντάζομαι: ἀντὶ τοῦ συκοφαντοῦμαι. — frigide aliquot libri φαντ. ὑπό του. ΔΙ. τίς etc., quos tamen Br. aliique secuti sunt.

779. ita Elmsl.: „ἀγορανόμοι ut οἳ τοξόται 54.“

781. φαίνεις. πρὸς τὴν ὁμωνυμίαν παίζει. S. „quia φαίνειν et deferre et lucere significat.“ Br. τιὴ μαθών. vid. Herm. ad Viger. p. 760.

783. vulgo εἰ μὴ 'τέρωσε. Br. εἰ μή γ' ἑτέρ., idque monstrat Ravennatis libri scriptura εἰ μήτ' ἑτέρωσε. idem codex τρέχων pro ἰὼν, merito probantibus viris doctis.

784. οἷον τὸ κακόν. τὸ τῶν συκοφαντῶν. διαβάλλει οὖν τοὺς Ἀθηναίους, ὡς πολλοὺς συκοφάντας ἔχοντας. S.

785. ita Elmsl. codd. ἀλλ' ἧς τὰ χοιρίδι' ἀπέδου. sed annotavit vir doctus, nunquam senarium claudi voce anapaestica, qualis est ἀπέδου, nisi praecedat verbum μονοσύλλαβον, velut ἐν ἀγορᾷ superius 497., Equ. 1243., 1373., ὁ βασιλεὺς infra 1142. etc. librarios forte scripsisse χοιρέδια, ut 732. in vulgatis codd. (nam Rav. recte χοιρίον), deinde metri gratia mutasse ordinem verborum.

788. S.: πολ. λείπει τὸ ἕνεκα, ἕνεκα τῆς πολυπραγμοσύνης. (cf. Matth. gr. §. 345.) qui tamen quod intelligit Dicaeopolidis nescio quam πολυπραγμοσύνην, (ὅτι προπετῶς ἐφθεγξάμην τὸ χαίρειν, εἰς κεφαλήν μου τραπείη. —) fallitur, siquidem senex atticus Megarensis πολυπραγμοσύνην reprehendit, delicias facientis, dumque dicax videri vult, salutem datam recusantis; quod alter aegre ferens inter abeundum: *Igitur ob molestiam*, inquit, *quam miki exhibes (weil du soviel Umstände machst), salus, qua te impertivi, in meum ipsius caput revertatur.*

ΜΕ. ὦ χοιρίδια, πειρῆσθε κἄνις τῶ πατρὸς
παίειν ἐφ' ἁλὶ τὰν μάδδαν, αἴ κά τις διδῷ.
ΧΟ. εὐδαιμονεῖ γ' ὁ ἄνθρωπος. οὐκ ἤκουσας, οἷ προβαίνει τὸ πρᾶγμα τοῦ βουλεύματος; καρπώσεται γὰρ ὁ ἀνὴρ ἐν τἀγορᾷ καθήμενος· κἂν εἰσίῃ τις Κτησίας, ἢ συκοφάντης ἄλλος, οἰμώζων καθεδεῖται· οὐδ' ἄλλος ἀνθρώπων ὑποψωνῶν σε πημανεῖ τι· οὐδ' ἐναπομόρξεταί Πρέπις τὴν εὐρυπρωκτίαν σοι· οὐδ' ὡστιεῖ Κλεωνύμῳ· χλαῖναν δ' ἔχων φανὴν δίει, κοὐ ξυντυχών σ' Ὑπέρβολος δικῶν ἀναπλήσει· οὐδ' ἐντυχὼν ἐν τἀγορᾷ πρόσεισί σοι βαδίζων Κρατῖνος ἀεὶ, κεκαρμένος μοιχὸν μιᾷ μαχαίρᾳ,

i. t. c. στ.

i. t. asynart., anacr. et pher.

ἀντ. ά.

ἀντ. β'.

789. πειρ. κἄνις. pro πειρᾶσθε κἄνευ. *Be.*

790. ἐσθίειν μετὰ τῶν ἁλῶν τὸν ἄρτον διὰ τὸ ἀπορεῖν προσφαγίου. S. — Ut ἐρείδειν, quo utitur noster Pac. 25., ita παίειν significat συντόμως ἐσθίειν, et generatim adhibetur hoc verbum ἐπὶ πᾶν ὁτιοῦν συντόμως τις ποιεῖ, ut observat S. ad 646. *Br.* Hesych.: παίει: τύπτει, πλήττει, κρούει, δέρει· ἢ ἐσθίει. — *Elmsl.* μάδδαν recte Portus aliique pro μάζαν, dorice.

791. Chorus felicem praedicat Dicaeopolidem, et obiter quosdam traducit. *Be.*

793. τὸ πρ. τοῦ βουλ. h. e. τὸ βούλευμα, περιφραστικῶς. καρπ., *lucrum faciet.* S. [μόνος] τοὺς καρποὺς ἐξοίσεται.

793. de isto Ctesia et Prepide 796. v. annot. ad 568.

794. καθ. *sedebit.* desperantium est latere, jacere, sedere. Ovid. Met. 4, 260.: *sub Jove nocte dieque Sedit humo nudâ, nudis incomta capillis.* cf. Vindicc. Ovid. p. 27.

795. ὑποψ. παρακλέπτων (ὀψώνια), ὅτι ὀψώνια κακουργῶν βλάψει etc. S. πημανεῖ τι D. pro πημανεῖται.

796. ἐναπ. Suid. h. v., K. in annot., Elmsl. vulgo ἐξομόρξεται, quemadmodum, notante Be., Eurip. Bacch. 302. μηδ' ἐξομόρξει μωρίαν τὴν σὴν ἐμοί, *neque exterges in me stultitiam tuam.* sed S.: ἐναποψήσεται, ἐναπομάξει, quibus confirmari ait Elmsl. τὸ ἐναπομόρξεται. *non conspurcabit te Prepis impudicitia sua.* S.: ἀντὶ τοῦ οὐκ ἀνέξῃ τῆς κιναιδείας Πρέπιδος.

797. ὡστιεῖ. ὠθήσεις. (imo ὠσθήσει.) ἀντὶ τοῦ οὐδὲ πιεσθήσῃ ὑπὸ Κλεωνύμου —. οὗτος δὲ ὁ Κλεώνυμος ὡς ἀδηφάγος καὶ ῥίψασπις κωμῳδεῖται. S. supra 24. ὡστιοῦνται ἀλλήλοις. Cleonymum jam notat tanquam helluonem, qui saepe in forum veniat obsonatum. cf. Equ. 1289. *Be.* vide etiam 88.

798. Τπέρβολος. τοῦτον ὡς φιλόνεικον διαβάλλει συνεχῶς Ἀριστ. ἦν δὲ στρατηγὸς Ἀθηναίων. (imo demagogus: vide Ran. 532.) φανὴν δὲ λαμπρὰν. δίει δὲ διελεύσῃ. S. *etiamsi dives fueris* (nam divitis fere est χλαῖνα φανὴ), *tamen litibus te non implebit Hyperbolus*, quo te argento emungat, ut solet.

800. S.: Κρατῖνος. οὗτος μελῶν ποιητής. (non Comicus. cf. 1092.) — μοιχὸς δὲ εἶδος καὶ ὄνομα κουρᾶς ἀπρεποῦς κιναιδώδους. S. imo μοιχὸν ridicule appellat τὸν κῆπον, quoniam ea tonsura utebantur moechi. Hesych. κῆπος: εἶδος κουρᾶς παρὰ Πέρσαις, ἣν οἱ θρυπτόμενοι ἐκείροντο ὡς ἐπίπαν ἐν μιᾷ μαχαίρᾳ. (i. e. novacula, non forcipe, διπλῇ μαχαίρᾳ. v. Schneider. lex. v. μά-

* οὐδ' ὁ περιπόνηρος Ἀρτέμων, ὁ ταχὺς ἄγαν τὴν μουσικὴν,
ὄζων κακὸν τῶν μασχαλῶν πατρὸς Τραγασαίου·
οὐδ' αὖθις αὖ σε σκώψεται Παύσων ὁ παμπόνηρος ἀντ. γ'.
Λυσίστρατός τ' ἐν ταγορᾷ, Χολαργέων ὄνειδος,
ὁ περιαλουργὸς τοῖς κακοῖς, ῥιγῶν τε καὶ πεινῶν ἀεὶ
πλεῖν ἢ τριάκονθ' ἡμέρας τοῦ μηνὸς ἑκάστου.

χαιρα.) ἀεί. D. in ed. Didot., nescio quo auctore, αὖ. Pollux 10, 140. καὶ ψαλὶς δὲ τῶν κουρέων σκευῶν, ἣν καὶ μίαν μάχαιραν καλοῦσι. μάχαιραν generali nomine: nam proprie tonsorum est μαχαιρὶς secundum Ammonium, Thomam Mag., Moschopolum. red recte Valck. ad Ammon. p. 91.: „Optimi scriptores talia parum curant."

801. Bentl. et alii οὐδ' expuncto, ὁ περιπ. Ἀρτ., quasi non ipse Artemo intelligeretur. induxit eos S., apud quem haec leguntur: ὁ περιπ. ὡσεὶ ἔλεγεν ὁ περιφόρητος Ἀρτέμων, ἀπὸ τῆς παροιμίας, ἧς μέμνηται καὶ Ἀνακρέων, ταχθείσης ἐπὶ καλοῦ καὶ ἁρπαζομένου πρὸς πάντων παιδός. παρ' ὑπόνοιαν δὲ ἔφη τὸ Ἀρτέμων· οὐ γὰρ τοῦτον, ἀλλὰ τὸν Κρατῖνον βούλεται δηλώσειν. συνεχρόνισε δὲ τῷ δικαίῳ Ἀριστείδῃ οὗτος ὁ Ἀρτέμων, ὃς ἦν ἄριστος μηχανητής. διὰ δὲ τὸ χωλὸν αὐτὸν εἶναι, ὅπου ἂν κατειλήφει πόλεμος καὶ χρεία μηχανῆς ἦν ἐπὶ τὸ τεῖχος καταβληθῆναι, ἢ τὸ τοιοῦτον, μετεπέμποντο αὐτὸν φερόμενον. ἀπὸ τούτου οὖν ἡ παροιμία. καὶ πάντες οἱ σοφοὶ περιφόρητοι καλοῦνται. sed noli dubitare quin depravatum sit περιπόνηρος, aliudque scholiastes legerit in libris suis vocabulum. id suspicor fuisse περίπορνος. περιπόνηρος quidem eo minus admittendum est, quod brevi intervallo sequitur παμπόνηρος. Elmsl.: — „Hesych. περιπόνηρος (?) Ἀρτέμων: παρὰ τὴν παροιμίαν τὴν Περιφόρητος Ἀρτέμων. εἰσὶ δὲ Ἀρτέμωνες δύο. Athen. p. 533, E. Χαμαιλέων δ' ὁ Ποντικὸς ἐν τῷ περὶ Ἀνακρέοντος, προθεὶς τὸ Ξάνθῃ δ' Εὐρυπύλῃ μέλει ὁ περιφόρητος Ἀρτέμων, τὴν προσηγορίαν ταύτην λαβεῖν τὸν Ἀρτέμωνα διὰ τὸ τρυφερῶς βιοῦντα περιφέρεσθαι ἐπὶ κλίνης· καὶ γὰρ Ἀνακρέων (fr. 27.) αὐτὸν ἐκ πενίας εἰς τρυφὴν ὁρμῆσαί φησιν etc. — De hoc Artemone et altero juniore, qui Periclis aetate vixit, consulendus Plut. in Pericle (c. 27.) p. 167, B." — ὁ ταχὺς ἄγαν τ. μ., *extemporaneus poëta*. Be., probante Locella ad Xenoph. Ephes. p. 126., ut Dind. annotavit. Br.: *expeditus arte musica*. S. ὡς ἐπὶ τροχοῦ ποιοῦντος αὐτοῦ ποιήματα.

802. *male olens hircum, ut pater*. Τραγασ. cf. 763.

803. de Pausone, malo pictore, dictum ad Plut. 598.

804. Λυσ. ἐπὶ μαλακίᾳ διεβάλλετο. ἐν ἐνίοις δὲ καὶ πένης ὁ αὐτὸς, καὶ κυβευτής. ἐκαλεῖτο δὲ καὶ χηναλώπηξ. Χολαργ. δῆμος Ἀττικῆς οἱ Χολαργεῖς τῆς Ἀκαμαντίδος φυλῆς. S.

805. ὁ περ. ὁ κακοῖς βεβαμμένος, ἢ ὁ βαθὺς τοῖς (fort. βαθυσθεὶς) κακοῖς. (*malis quasi tinctus*, vel *immersus*. K.) μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῆς βαφῆς τῆς πορφυρᾶς τῆς θαλάσσης (θαλασσίου), ὅτι ἐκ βάθους τὸ ὄστρακον εὑρίσκεται. ἀλουργὴς ἐσθὴς ἡ πορφυρᾶ. S.

ΒΟΙΩΤΟΣ. ΔΙΚΑΙΟΠΟΛΙΣ. ΝΙΚΑΡΧΟΣ. ΧΟΡΟΣ. ΘΕΡΑΠΩΝ ΛΑΜΑΧΟΥ. ΚΗΡΥΞ. ΓΕΩΡΓΟΣ. ΠΑΡΑΝΥΜΦΟΣ. ΑΛΛΟΣ ΚΗΡΥΞ. ΑΓΓΕΛΟΣ. ΛΑΜΑΧΟΣ.

ΒΟ. Ἴττω Ἡρακλῆς, ἔκαμόν γα τὰν τύλαν κακῶς!
κατάθου τὺ τὰν γλάχων' ἀτρέμας, Ἰσμηνία·
ὑμὲς δ', ὅσοι Θείβαθεν αὐληταὶ πάρα,
τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός.

807. ἔρχεταί τις ἀνὴρ Θηβαῖος, καμὼν τὸν ὦμον ἐν τῷ βαστάζειν τὸ φορτίον, ὃ ἔφερε, καί φησιν Ἴττω Ἡρακλῆς, ἀντὶ τοῦ ἴστω etc. S. — Pollux 7, 133. τύλη δ' ἐκαλεῖτο ἡ ἐπὶ τοῖς τραγήλοις αὐτῶν ὑπὸ τῶν ἀχθῶν γινομένη τριβή. utramque formam (ὁ τύλος et ἡ τύλη, quarum illam h. l. legisse videtur S.) hoc sensu agnoscit Hesych. masculinum τύλος, clavus ligneus, superius legitur 517. Elmsl. cf. 895. Ἴττω Ἡρ. coalescunt ω et η, crasi rariore. Ran. 473. μὰ τὸν Ἀπόλ | λω, οὐ μή | σ' ἐγὼ, ubi vid. annot. simile etiam ἐγῴδα pro ἐγὼ οἶδα dici solitum.

808. γλάχωνα. τὴν ὀρίγανον. (cf. 821.) κλίνεται καὶ γληχὼ, ὡς Σκιαφὼ καὶ βληχώ. S. γλήχων, seu βλήχων, est mentha pulegium Linn., Poleminze. vide Billerbeck. Flor. class. pag. 151. et, quos laudat, Dioscor. 3, 36., Plin. H. N. 20, 14. etc. ejus plantae odoratae feracem fuisse Boeotiam, Boeotosque hortorum cultui vacasse, ad Lys. 89. annotaverunt Flor. Christianus et Be. „hunc Ismeniam infra 896. Ismenichum vocavit.“ Elmsl.

809. πάρα. ἀντὶ τοῦ πάρεστε. ἐσπούδαζον δὲ οἱ Ἀθηναῖοι περὶ τὸν αὐλόν. S. Θείβαθεν pro Θήβηθεν. (cf. 814.) ὑμὲς pro ὑμεῖς. Be. contemnere solebant Athenn. tibicines Thebanos (vide *Attische Mythen* etc. in Wielandii *Att. Mus.* 1, 2, inprimis pagg. 341. seqq.), qui peragrasse Graeciam videntur, sicut Germaniam olim musici Pragenses (*die Prager Studenten*). qui hic inducuntur, famelici homines, ad forum Dicaeopolidis pergunt cum mercatore Boeoto. sunt autem mutae personae.

810. τοῖς ὅστ. λείπει τὸ αὐλοῖς. ὀστίνοις δὲ ἔφη, ἐπεὶ τοπαλαιὸν ἀπὸ τῶν ἐλαφείων ὀστῶν κατεσκεύαζον τοὺς αὐλούς. (hac de re K. laudat praeterea Hesychium v. κάπτος, Athen. 5. p. 182. E. et alios.) τὸ δὲ πρωκτὸν κυνὸς κομμάτιόν (imo σκωμμάτιόν) ἐστιν ἀπὸ παροιμίας, ἣν τοῖς ὀφθαλμοῖς (ὀφθαλμιῶσιν) ἔλεγον, Ἐς πρωκτὸν κυνὸς βλέπε. μέμνηται ἐν Ἐκκλησιαζούσαις (256.) τοῦτο μὲν εἶπον Ἐς κυνὸς πρωκτὸν βλέπει (sic). S.

ΔΙ. παῦ' ἐς Κόρακας! οἱ σφῆκες, οὐκ ἀπὸ τῶν θυρῶν;
πόθεν προσέπτανθ' οἱ κακῶς ἀπολούμενοι
ἐπὶ τὴν θύραν μοι Χαιριδῆς βομβαύλιοι;
ΒΟ. νεὶ τὸν Ἰόλαον, ἐπιχαίττως γ', ὦ ξένε·
Θείβαθι γὰρ φυσῶντες ἐξόπισθέ μου
τἄνθεια τῆς γλάχωνος ἀπέκιξαν χαμαί.
ἀλλ', εἴ τι βούλει, πρίωσο τῶν ἐγὼ φέρω,
τῶν ὀρταλίχων ἢ τῶν τετραπτερυλλίδων.

811. παῦ' ἐς Κόρ., ut Av. 832. *Elmsl.* cf. Plut. 390. etc. Ran. 262. ὦ παῦε, παῦε, similiter usurpato imperativo activi pro medii, ut solent. tibicines increpat Dicaeopolis, dictumque est οἱ σφῆκες, ut οἱ τοξόται 54. in verbis οὐκ ἀ. τ. θυρῶν intell. ἅπιτε, ut Equ. 677., 723., notante Be., οὐκ ἅπιτ' ἀπὸ τῆς θύρας; S.: οἱ σφῆκες. ἀπὸ τοῦ ἠχεῖν τοὺς αὐλητὰς, ὡς οἱ σφῆκες. μετὰ τοῦ Θηβαίου δὲ αὐληταὶ πολλοὶ ἦλθον εἰς τὰς θύρας τοῦ Δικαιοπόλιδος. S.

813. Χαιρ. τὰ τοῦ Χαιριδος πεπαιδευμένοι ἢ μελετῶντες. Χαῖρις δὲ αὐλητὴς Θηβαῖος ἄμουσος, οὗ μέμνηται ἐν ἀρχῇ τοῦ δράματος. (16.) ἀττικὴ δὲ ἡ συνήθεια τὸ οὕτω λέγειν ἀπὸ τοῦ Χαιριδος Χαιριδεῖς (imo Χαιριδῆς attice a recto Χαιριδεύς.), καὶ ἀπὸ τοῦ περιστερᾶς περιστεριδεῖς (περιστεριδῆς) S. βομβ. Hesych.: βομβαύλιος· ὁ αὐλητής· ἀπὸ τοῦ βομβεῖν (καὶ τοῦ αὐλοῦ). *Elmsl.* his dictis tibicines abigit senex atticus.

814. νεὶ τὸν Ἰόλαον. Boeoticae dialecti idiotismum servarunt membranae, in quibus scriptum νεῖ τόν. vulgo νή. Boeotii η in ει vertebant. sic Θείβαι pro Θῆβαι. v. Eustath. ad Odyss. p. 1442. lin. 49. — *Br.* — ἐπιχαίττως γ', ὦ ξ, vulgo MSS., turbato metro, cui subvenientes videntur excogitasse id, quod in edd. legitur, ἐπιχαίτως γ' ἄν, vel ἐπιχ. ἂν γ'. sed Rav. ἐπιχαίττω. igitur ἐπιχαίττως Bekker., Elmsl., D., pro ἐπιχαίστως, ut ἵστω pro ἴστω 808., quemadmodum εὐχάριστος et εὐχάριτος similiaque promiscue usurpari solent. in ἐπιχαρ. intelligendum est ποιεῖς vel ἐποίησας, *gratum mihi fecisti.* gratias agit Boeotus Attico, cum tibicines abegit. S.: Ἰόλαος ἥρως οὕτω τιμώμενος παρὰ Θηβαίοις. — cf. Diod. Sic. 4, 24., 29., 30. Pausan. Boeot. 23.: Θηβαίοις δὲ πρὸ τῶν πυλῶν ἔστι τῶν Προιτίδων καὶ τὸ Ἰολάου καλούμενον γυμνάσιον, καὶ στάδιον κατὰ ταὐτὰ τῷ τε ἐν Ὀλυμπίᾳ, καὶ τῷ Ἐπιδαυρίων, γῆς χῶμα· ἐνταῦθα δείκνυται καὶ ἡρῷον Ἰολάου.

816. Elmsl. ἀπέκειξαν secundum Hesych., qui sic: ἀπέκειξαν· ἀποπεσεῖν φυσῶντες ἐποίησαν. verum Simmias Rhod. in Ovo, annotante Br.: τὸ μὲν θεῶν ἐριβόας Ἑρμᾶς ἔκιξε κᾶρυξ. cf. Schneider. lex. v. κίχω, qui doricam formam esse ait ἀπέκιξαν. S.: τὸ δὲ ὄπισθέν μου, φησὶ, φυσῶντες τῷ πνεύματι αὐτῶν τὰ ἄνθη τῆς γλήχωνος ἀπέβαλον.

817. τ ῶν. ὧν.

818. τετραπτ. τῶν ἀκρίδων, παρὰ τὸ δ' ἔχειν πτερά. ὀρταλ. δὲ τῶν ἀλεκτρυόνων κατὰ τὴν τῶν Βοιωτῶν διάλεκτον. S. Hesych. ὀρτάλιχοι· οἱ ἄκρως πετόμενοι νεοσσοί· καὶ οἱ ἀλεκτρυόνες. Nicander Alex. 165. ovum vocat ὀρταλίχων ἀπαλὴν ὠδῖνα. Strattis ap. Athen. 14. p. 621. auctor est, Thebanos gallum gallinaceum appellare ὀρτάλιχον, ut Be. annotavit. plura in hanc rem vide ap Blomf. ad Aeschyli Agam. 58., glossario. quod attinet ad τετραπτερυλλίδας, annotavit Küster., Graecos olim locustis vesci solitos fuisse, alias gentes, de quibus Bochart. Hieroz. part. 2. l. 4. c. 7. cf. 1048. quod frustra negat Elmsl. v. 1046., Anagyr. fragm. 3.

ΔΙ. ὦ χαῖρε, κολικιοφάγε Βοιωτίδιον!
τί φέρεις;
ΒΟ. ὅσ' ἔστ' ἂν ἀγαθὰ Βοιωτοῖς ἁπλῶς,
ὀρίγανον, γλιχὼ, ψιάθως, θρυαλλίδας,
νάσσας, κολοιὼς, ἀτταγᾶς, φαλαρίδας,
τροχίλως, κολύμβως.
ΔΙ. ὥσπερεὶ χειμὼν ἄρα
ὀρνιθίας ἐς τὴν ἀγορὰν ἐλήλυθας.
ΒΟ. καὶ μὰν φέρω χᾶνας, λαγὼς, ἀλώπεκας,
σκάλοπας, ἐχίνους, αἰελούρους, πηκτίδας,

819. κόλιξ (male Rav. κόλλιξ.) εἶδος ἄρτου περιφεροῦς. — S. Erotianus, laudante Elmsl.: κόλλικες: ἀρτίσκων εἶδος, ὡς πλακούντων, ὧν καὶ Ἀριστ. ἐν Ἀχαρνεῦσι μέμνηται etc. Ran. 538. δρέπανον λαβοῦσ', ᾧ τοὺς κόλικας κατέσπασας; ex quo intelligitur, vocem hodie vulgatam κολλικοφάγε fictam esse a Metricis, qui invenissent κολικοφάγε, cum scribendum esset, quod metro conveniret, κολικιοφάγε a κολίκιον. — κολικιοφάγε Βοιωτίδιον, ut τέκνον φίλε. notavit Elmsl., sed non emendato κολικοφάγε.

820. servavimus scripturam plurimorum codd. ὅσ' ἔστ' ἂν ἀγ. B., h. e. interprete Hermanno ad Viger. annot. 285.: was etwa die Boeotier gutes haben. cf. Matth. gr. §. 598, c., nos ad Soph. Oed. R. 1358. etc. A Paris. et Rav. ὅσ' ἐστὶν ἀγ., quod est elegantem illum usum ἄν particulae nescientis. — ἁπλῶς, fere, etwa, ungefähr. — „ἀγαθὰ ap. Graecos interdum pro apparatu lautiorum ciborum accipitur, ut h. l., Vesp. 1261., Eccles. 839., 1135. Athen. 1. p. 12, A.: τράπεζαι κατηρεφέες παντοίων ἀγαθῶν, κατὰ Ἀναξρέοντα. pari sensu Plautus dixit Cas. 2, 8, 34. ut mihi bona multa faciam, i. e. genio indulgebo et cuticulam curabo; Nepos Agesilao c. ult. res bonas, Horat. Sat. 2, 8, 92. suaves res.“ — K. hic tamen vox latiore sensu quaecunque venalia habebant Boeoti, risui permixta, complectitur.

821. ὀρίγανον. cf. Ran. 564. 1048 ψιάθω. cf. 808. ψιάθως, storeas. 1046., Ran. 529. doricas formas hoc et seqq. versibus primi reposuerunt Bentl. et Br.

822. νάσσας. νήσσας. ἀτταγᾶς, a forma ἀτταγᾶ primae declinat., non ab ἀτταγᾶς, ἀτταγᾶντος vel ἀτταγᾶνος. Horat. Epod. 2, 54. attagen Ionius. cf. Plin. H. N. 10, 48. B. ad Av. 250.: „Attagas s. attagen, avis, quae in paludosis locis et pascuis degit. v. Suid., Hesych., Phrynich. h. v. Athen. 9. p. 387., Aelian. H. A. 42., ubi cf. Schneider. non esse eam avem, quae dicitur le francolin (lagopus), monet Camus ad Arist. H. A. 2. p. 111. secundum alios est gallina corylorum, das rothe oder gehaubte Haselhuhn: Buffon. H. nat. Av. 3. p. 165.“

824. ὀρν. οὕτως ὁ σφοδρὸς χειμὼν, ἐν ᾧ καὶ τὰ ὄρνεα διαφθείρεται. (?) οὕτω δὲ καὶ ἄνεμος [ὀρνιθίας], ὃς ὑπὲρ τὴν γῆν τὰ ὄρνεα στορέννυσιν ὑπὸ τῆς τοῦ ψύχους πνοῆς. (similiter Suidas h. v.) ὁ δὲ Σύμμαχος χειμῶνα ὀρνιθίαν ἀποδίδωσι διὰ τὸ χειμῶνος ταῦτα τὰ ὄρνεα ἐπιφαίνεσθαι, ὡς παρὰ Ἀράτῳ. S. tempestas avium (ein Vögelsturm), i. e. aves tam spissae quam nix aut grando hieme. solent figurate dici vocabula χειμὼν, χειμάζειν etc.

826. σκάλοπας. μύας τινὰς, οὓς φαμεν σπάλακας. S. sic etiam Suidas h. v., nisi quod habet ἀσπάλακας. Etymol. M.: σκάλοψ, ὃς σπάλαξ λέγεται παρ' Ἀττικοῖς· καὶ λέγει Νικοκλῆς σκάλοπας, ὡς παρ' Ἀριστοφάνει. Hesych. σκάλοψ: σκαλοπέτα. ἀσπάλαξ, ζῶον γεωρύχον τυφλόν. (talpa.) — αἴελ. Moeris: αἰέλουρος ἀττικῶς· αἴλουρος ἑλληνι-

ἰκτίδας, ἐνύδριας, ἐγχέλεις Κωπαΐδας.
ΔΙ. ὦ τερπνότατον σὺ τέμαχος ἀνθρώποις φέρων,
δός μοι προσειπεῖν, εἰ φέρεις, τὰς ἐγχέλεις!
ΒΟ. πρέσβειρα πεντήκοντα Κωπάδων κορᾶν,
ἔκβαθι τῷδε κηπιχάριται τῷ ξένῳ.
ΔΙ. ὦ φιλτάτη σὺ, καὶ πάλαι ᾽πωθουμένη,
ἦλθες ποθεινὴ μὲν τρυγῳδικοῖς χοροῖς,
φίλη δὲ Μορύχῳ. δμῶες, ἐξενέγκατε
τὴν ἐσχάραν μοι δεῦρο καὶ τὴν ῥιπίδα.
σκέψασθε, παῖδες, τὴν ἀρίστην ἔγχελυν,
ἥκουσαν ἔκτῳ μόλις ἔτει ποθουμένην.
προσείπατ᾽ αὐτὴν, ὦ τέκν᾽· ἄνθρακας δ᾽ ἐγὼ

κῶς. — πηκτίδας, fistulas pastoricias. Rav., D., πικτίδας, vulgo πυκτίδας, verba nihili.

827. ita Elmsl. vulgo ἰκτίδας ἐνύδρους. Br. ἰκτῖδας ἐνύδρως. Elmsl.: — ἰκτίδας, ἐνύδρεις optime Scal. metri gratia dedi ἐνύδριας, quae forma βοιωτιάζοντι accommodatior. est autem ἔννδρις sive ἐννδρὶς (accentus enim incertus est) Latinis *lutra*, nostratibus *an otter*. Hesych. Ἔνυδρος (sic): ζῶον ποτάμιον ἀμφίβιον, ὅμοιον κάστορι. ad hanc pertinere videntur scholiastae verba, a Suida descripta, ἰκτιδας (sic): εἶδος ζώου, ὡς οἱ κάστορες· ἢ ἔνυδρον. ἔστι δὲ ἰχθυοφάγον. legerim ἔστι δὲ ἔνυδρον καὶ ἰχθυοφάγον. ἰκτὶς autem sive ἴκτις mustelae genus est, *viverram* vocant interpp. — S.: Κωπ. λίμνη ἐν Βοιωτίᾳ Κωπαΐς, ἐν ᾗ ἐγχέλεις πλεῖσται. ἔστι δὲ καὶ πόλις ὁμώνυμος. (Κῶπαι Iliad. β′, 502.) cf. Pac. 948.

828. τέμαχος, *opsonium*. cf. 1032.

830. Κωπ. ita Elmsl., D. vulgo Κωπαΐδων. „πρέσβειρα. Hesych. πρέσβειρα: πρωτιμητὴ, ἀρχηγέτις. vid. Lys. 86.“ *Elmsl.* ὁ στίχος ἀπὸ δράματος Αἰσχύλου Ὅπλων κρίσεως [οὕτως ἐπιγεγραμμένου], ἐν ᾧ ἐπικαλεῖται τὰς Νηρεΐδας τις ἐξελθούσας κρῖναι, πρὸς τὴν Θέτιν λέγων (fr. 1.) δέσποινα πεντήκοντα Νηρεΐδων (Νηρήδων) χορόν. (Heath. κορᾶν, Valck. ad Ammon. p. 164., Br. et Schützio probantibus, χοροῦ.)

831. Koenius ad Gregor. Cor. p. 202. κήπιχαρίττεν. sed Rav. κήπιχαρίτται, et ceteri codd. κήπιχαρίττα, quod Etymologus esse ait κἀπιχαρίζου, cum non videret, restituendum esse doricum ἐπιχάριται pro ἐπιχάρισαι. significat autem vox composita idem quod simplex χαρίζεσθαι, *copiam sui facere*. „sic etiam in Lys. 653. de anguilla loquitur, quasi de puella: τὴν ἑταῖραν ἐκάλεσ᾽ ἐκ τῶν γειτόνων, Παῖδα χρηστὴν κἀγαπητὴν, ἐκ Βοιωτῶν ἔγχελυν.“ *Be.* ἔκβαθι, ἔκβηθι.

832. πάλαι ᾽πωθουμένη, *dudum repulsa* propter bellum. Il. π. ποθουμένη, cum continuo sequatur ποθεινὴ, et 837. ποθουμένην. cf. 416. etc.

834. ὁ Μόρυχος ἐπὶ ὑψοφαγίᾳ κωμῳδεῖται. — S. cf. Pac. 951. „Plato Com. ap. S. ad Nub. 109. notante Elmsl.: ὦ θεῖε Μόρυχε, νῦν γὰρ εὐδαίμων ἔφυς, Καὶ Γλαυκέτης ἡ ψῆττα, καὶ Λεωγόρας, Οἳ ζῆτε τερπνὸν, οὐδὲν ἐνθυμούμενοι.“ — *Elmsl.* S. supra ad 61.: πρέσβεις δὲ οὗτοί εἰσιν οἱ περὶ τὸν Μόρυχον, ἐμπλησθέντες τρυφῆς, quod unde hauserit, non magis compertum habeo quam Elmsl.

835. ἐσχάραν. τὴν νῦν καλουμένην ἄρουλαν. (arulam?) ῥιπίδα δὲ τὸν φυσητῆρα. S. cf. 631. Latinos quam hic ἐσχάραν vocat Arist., appellare *focum* vel *foculum*, notavit K. secundum Casaub. ad Athen. 1, 6. Wieland.: *Heida, Bediente, bringt mir Rost u. Blasebalg Heraus.*

ὑμῖν παρέξω τῆσδε τῆς ξένης χάριν.
ἀλλ' ἔσφερ' αὐτήν· μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἶην ἐντετευτλανωμένης.
ΒΟ. ἐμοὶ δὲ τιμὰ τᾶσδε πᾷ γενήσεται;
ΔΙ. ἀγορᾶς τέλος ταύτην γέ που δώσεις ἐμοί.
ἀλλ' εἴ τι πωλεῖς τῶνδε τῶν ἄλλων, λέγε.
ΒΟ. ἰώγα ταῦτα πάντα.
ΔΙ. φέρε, πόσου λέγεις;
ἢ φορτί' ἕτερ' ἐνθένδ' ἐκεῖσ' ἄξεις ἰών;
ΒΟ. ὅ τι γ' ἔστ' Ἀθάνασ', ἐν Βοιωτοῖσιν δὲ μή.
ΔΙ. ἀφύας ἄρ' ἄξεις πριάμενος Φαληρικὰς,
ἢ κέραμον.
ΒΟ. ἀφύας ἢ κέραμον; ἀλλ' ἔντ' ἐκεῖ·
ἀλλ' ὅ τι παρ' ἁμὶ μή 'στι, τᾷδε δ' αὖ πολύ.
ΔΙ. ἐγῷδα τοίνυν· συνοφάντην ἕξαγε,
ὥσπερ κέραμον, ἐνδησάμενος.
ΒΟ. νὴ τὼ σιὼ,
λάβοιμι μέν τἂν κέρδος ἀγαγὼν, καὶ πολὺ,

839. τῆς ξ. χάριν. διὰ τὸ ἐπιξενίζεσθαι. παίζων δὲ ἔφη. S. apud Eurip. Cyclope, 328., Polyphemus ad Ulyssem: ξένιά τε λήψει τοιάδ', ὡς ἄμεμπτος ὦ, Πῦρ καὶ πατρῷον τόνδε λέβητά γ', ὃς ζέσας Σὴν σάρκα δυσφόρητον ἀμφέξει καλῶς.

840. ἀλλ' ἔ. α. Boeto dicit. ap. Euripidem Alc. 358. Admetus uxori dicit: μηδὲ γὰρ θανών ποτε Σοῦ χωρὶς εἶην, τῆς μόνης πιστῆς ἐμοί. annotaverunt Be. et Br. S.: ἐντετ. ἀντὶ τοῦ μετὰ τεύτλων ἐψηθείσης. μετὰ τεύτλων γὰρ ἥσθιον τὰς ἐγχέλεις· λέγονται γὰρ τεύτλοις συνεψόμεναι ἡδίστας εἶναι. καὶ ἀλλαχοῦ φησι (Pac. 957.) τὰς ἐν τεύτλοις (τευτλοισι) λοχευομένας. S.

842. ita Elmsl., neque aliud significat Ravennatis libri scriptura παΐ. vulgo πᾶ. Br. et Bekker. πεῖ pro πῇ. S.: ἐμοὶ γὰρ τὸ τίμημα αὐτῆς τοῦ ἔστιν (ἔσται); pretium anguillae poscit.

843. ἀγορᾶς τέλος. (Marktgeld. Wieland.: Marktzoll.) ἔθος ἦν τοπαλαιὸν, ὡς καὶ μέχρι τοῦ νῦν, τοὺς ἐν τῇ ἀγορᾷ πιπράσκοντας τέλος διδόναι τοῖς λογισταῖς. — S.

845. Hesych.: ἰώγα: ἔγωγε· Βοιωτοί. Elmsl.

846. S.: γράφεται καὶ ἰὼ (pro ἰὼν) ἀντὶ τοῦ ἐγὼ, καὶ δύο στιγμαὶ ἐν τῷ ἄξεις, εἶτα τὸ ἰώ. ita B codex, quem sequitur Elmslejus. (— ἄξεις. ΒΟ. ἰώ; Ὅ τι γ' etc.)

847. ita Elmsl. vulgo Ἀθάναις, in quo vir doctus requirit praepositionem. S.: Ἀθάνασ' (Ἀθάνᾳσ'), Ἀθάναισι, dor. pro Ἀθήναισι.

848. ἀφ. Φαλη. cf. 605.

849. ἔντ'. εἰσί. doricum.

850. ita Elmsl. libri ἀμῖν.

852. νὴ τὼ σιώ. pro νὴ τὼ θεώ. jurat per Amphionem et Zethum, tanquam Thebanus. cum Lacon aliquis aut Lacaena jurat ναὶ τὼ σιὰ, ut in Pace 214. et in Lys. 86., intelligit Castorem et Pollucem. Atticae feminae si jurent μὰ τὼ θεὼ, ut in Eccles. 155., intelligitur Ceres et Proserpina. Be.

853. εἰληφὼς τὸν συνοφάντην πεπληρωμένον ἁμαρτίας (voller Schelmereien, ut Wieland. reddidit), καὶ πωλήσας ἅττε πίθηκον, εὑρήσω πολὺ κέρδος. ταῦτα δὲ εἰρωνευόμενος λέγει. S.

ὑπὲρ πίθακον, ἀλιτρίας πολλᾶς πλέων.
ΔΙ. καὶ μὴν ὁδὶ Νίκαρχος ἔρχεται φανῶν.
ΒΟ. μικκός γα μᾶκος οὗτος.
ΔΙ. ἀλλ' ἄπαν κακόν.
ΝΙ. ταυτὶ τίνος τὰ φορτί' ἐστί;
ΒΟ. τῶδ' ἐμὶ
Θείβαθεν, ἴττω Ζεύς.
ΝΙ. ἐγὼ τοίνυν γ' ὁδὶ
φαίνω πολέμια ταῦτα.
ΒΟ. τί δὲ κακὸν παθὼν
ὀρναπετίοισι πόλεμον ἦρα καὶ μάχαν;
ΝΙ. καὶ σέ γε φανῶ πρὸς τοῖσδε.
ΒΟ. τί ἀδικειμένος;
ΝΙ. ἐγὼ φράσω σοι τῶν περιεστώτων χάριν·
ἐκ τῶν πολεμίων γ' εἰσάγεις Θρυαλλίδας.
ΔΙ. ἔπειτα φαίνεις δῆτα διὰ Θρυαλλίδα;
ΝΙ. αὕτη γὰρ ἐμπρήσειεν ἂν τὸ νεώριον.
ΔΙ. νεώριον Θρυαλλίς;
ΝΙ. οἶμαι.

855. ὁ *Νίκαρχος* κωμῳδεῖται ὡς συκοφάντης. *φανῶν* δὲ ἀντὶ τοῦ κατηγορήσων. S. cf. 774., 779. seqq.

856. *μικκός γα. μικρός γε. Be. μᾶκος, μῆκος*, statura. „ἀλλ' ἄ. κ. cf. Valck. ad Theocrit. Adoniaz. p. 416." *Dind.*

857. *τῶδ', τοῦδε, hujus hominis, δεικτικῶς.* Biset.: *ἐμοῦ τοῦ παρόντος.*

858. *Θείβ., ἴττω.* cf. 807., 809.

859. ita Bentl. et Herm. ad Viger. p. 848. vulgo *τί δαί*, ε et αι confusis.

860. *ὄρναπ. ἀντὶ τοῦ ὀρνέοις. ὡς ἐπὶ ἐθνῶν δὲ λέγει. διὰ τί ὀρνέοις πόλεμον ποιεῖς;* etc. Elmsl.: — „ἦρα A, Br. etc. vulgo *ἦρω* vel *ἦρω*, quorum hic est aor. 1. medii ab *αἴρομαι*. Dorienses *αο* in terminationibus verborum in *α* longum contrahebant, ut *διαπεινᾶμες* superius 706., *φυσᾶντες* 815." *Elmsl.*

861. *ἀδικειμένος* pro *ἠδικημένος* boeotice dictum statuunt grammatici etc. *Elmsl.* Rav. *ἀδικημένος.*

862. *τῶν περ. χάριν. οἷον οὐκ εἰς σὴν χάριν, ἀλλὰ τῶν παρόντων, ὡς φιλόπολις.* S.

863. *Θρυαλλίδας. διὰ τὰ ἐλλύχνια. ὡς ἀπορρήτου δὲ (δὴ) ὄντος τούτου (καὶ) δεινοῦ, εἰσφέρειν Θρυαλλίδας εἰς τὰς Ἀθήνας.* S. *Θρυαλλίδα* Suid. in *Θρυαλλίς*, Elmsl., Dind.

864. *ἔπειτα* indignantis est, *δῆτα* ironicum, ut passim. versus hic forte excidit in Rav. propter homoeoteleuton. temere Br., cum in 2 codd. omissum esset *διὰ*, scribendum putabat *ἔπ. φ. δῆτα τὰς Θρ.; itane vero φαίνεις ellychnia, quorum τὸ φαίνειν proprium est*, neglectum ille ratus articulum propter affinitatem syllabae praecedentis. frustra etiam, me judice, Bentl. *διὰ Θρυαλλίδος*, Elmsl. *καὶ Θρυαλλίδα*, nisi quod accipiendum est *Θρυαλλίδα*, quo referatur *αὕτη*. sic item D.; sed praeter necessitatem etiam 863. edidit *Θρυαλλίδα*. Be.: „*φαίνεις δ. δ. Θρ.*; duplex sensus: *luces accensis ellychniis*, et *defers me propter ellychnia*, quae importavi." cf. 781., 882.

ΔΙ. τίνι τρόπῳ;
ΝΙ. ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος
ἅψας ἂν ἐσπέμψειεν ἐς τὸ νεώριον
δι' ὑδροῤῥόας, βορέαν ἐπιτηρήσας μέγαν·
870 κεἶπερ λάβοιτο τῶν νεῶν τὸ πῦρ ἅπαξ,
σελαγοῖντ' ἂν αἰνῶς.
ΔΙ. ὦ κάκιστ' ἀπολούμενε,
σελαγοῖντ' ἂν ὑπὸ τίφης τε καὶ θρυαλλίδος;
ΝΙ. μαρτύρομαι.
ΔΙ. ξυλλάμβαν' αὐτοῦ τὸ στόμα!
ΒΟ. δός μοι φορυτὸν, ἵν' αὐτὸν ἐνδήσας φέρω.
[ὥσπερ κέραμον, ἵνα μὴ καταγῇ φορούμενος.]

866. τίνι τρ.: ut Pac. 664.

867. οἱ Ἀθην. τίφην καλοῦσι τὴν καλουμένην σίλφην. ἔστι δὲ ζῶον κανθαροῦδες. λέγει δὲ, ὅτι ἐκ ταύτης δήσας τις τὴν θρυαλλίδα ἠμμένην εἰσπέμπει (εἰσπέρψει) εἰς τὰ νεώρια, ἐπιτηρήσας βορέαν πνέοντα, καὶ οὕτω καύσει τὰς ναῦς. νεώριον δὲ καλεῖται ὁ τόπος ὁ περιέχων τὰ πλοῖα, ἡνίκα ἂν ἑλκυσθῶσιν. S. ἐς τίφην. ἐς σίλφην ex glossemate Suidas in θρυαλλὶς, qui vulgatam habet in νεώρια. Phrynichus p. 132.: σίλφην, καὶ τοῦτο διεφθαρμένον· τίλφην (l. τίφην) γὰρ οἱ παλαιοὶ λέγουσι. — „sensus hujus loci latuit interpp., qui τίφην male pro animalculo quodam (blatta) accipiunt. (praeter Frischlinum, qui *frumentum* intelligit.) est autem τίφη frumenti genus, in palustribus, ut opinor, locis proveniens, qualis est Boeotia: τῖφος enim palus est. an diversum fuerit ab eo, quod hodie oryza dicitur, viderint hujus rei peritiores. (Billerbeck. Flor. class. p. 27.: „*Hordeum zeocriton* Linn., *deutscher Reis*. ein Mittelding von Spelt und Gerste, τίφη Theophr. H. pl. 4, 4., de Caus. 6. — Plin. H. N. 18, 8.: Tiphe, ex qua fit in nostro orbe oryza, i. e. ptisana oryzae similis" etc.) Quod autem dicit Nicarchus, hoc fere videtur: periculum esse ne ἐλλύχνιον accensum per cavum et fistulosum τίφης culmum spiritu oris in navale propellat Boeotus. similia ex Anna Comnena Alex. p. 283. protulit Gibbonus 52, 20.: τοῦτο μετὰ θείου τριβόμενον ἐμβάλλεται εἰς αὐλίσκου καλαμον, καὶ ἐμφυσᾶται παρὰ τοῦ παίζοντος λαβρῷ καὶ συνεχεῖ πνεύματι. Elmsl.

869. δι' ὑδρ. διὰ στενοῦ τόπου. ὑδροῤῥόα καλεῖται τὸ μέρος τῆς στεφανίδος (h. e. στεφάνης), δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται. S. Elmsl. ὑδροῤῥοῆς, et 1107. ὑδροῤῥοὴν, quemadmodum haec et similia dicuntur, διαῤῥοὴ, ἐκροὴ, ἐπιῤῥοή.

871. αἰνῶς. hoc videtur latere in scriptura codicum αἱ νῆες, siquidem η et ω non raro confusa in illis deprehendas. Aeschylus Pers. 862. Ἀσία δὲ χθὼν — αἰνῶς, αἰνῶς ἐπὶ γόνυ κέκλιται. audacter Piersonus ad Moer. p. 266. Br. aliique σελ. αν εὐθὺς, quia S.: ἐὰν ἅψηται, φησὶ, μόνον, εὐθὺς καίονται (καύσονται): quasi non de suo τὸ εὐθὺς addere potuisset Graeculus.

872. — ταυτὰ εἰκὼν τύπτει εὐθὺς τὸν Νίκαρχον. S.

873. ξυλλ. — στόμα. servum adstantem comprimere jubet os Nicarchi.

874. ita B codex. vulgo haec seni Attico tribuuntur, ingrato asyndeto. S.: φορυτόν. φρῦγανον, σχοινίον, (?) δέσμην χόρτου συρφετώδους. (?) — *sarmenta*, in quibus jacens auferatur, ut vasa fictilia. cf. 72. et Schneideri lex h. v. — ὥσπερ — φορ. sic Suid. v. φορυτός. emendant viri docti φερόμενος: quibus olim acce-

εἰς τοὺς Χόας αὐτῷ μεταδοῦναι τῶν κιχλῶν·
τριῶν δραχμῶν δ' ἐκέλευε Κωπᾶδ' ἔγχελυν.
ΔΙ. ὁ ποῖος οὗτος Λάμαχος τὴν ἔγχελυν;
905Θ. Λ. ὁ δεινὸς, ὁ ταλαύρινος, ὃς γε Γοργόνα
πάλλει, κραδαίνων τρεῖς κατασκίους λόφους.
ΔΙ. οὐκ ἂν μὰ Δί', εἰ δοίη γε μοι τὴν ἀσπίδα,
ἀλλ' ἐπὶ ταρίχη τοὺς λόφους κραδαινέτω·
ἦν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ.
910 ἐγὼ δ' ἐμαυτῷ τόδε λαβὼν τὸ φορτίον
ἔσειμ' ὑπαὶ πτερύγων κιχλᾶν καὶ κοψίχων.
ΧΟ. εἶδες, ὦ, εἶδες, ὦ πᾶσα πόλι, τὸν φρόνιμον ἄνδρα, τὸν
ὑπέρσοφον, cr. hex. ἀνομοιόστρ.
οἷ' ἔχει, σπεισάμενος ἐμπορικὰ χρήματα διεμπολᾶν, cr. pent.

902. εἰς τοὺς Χόας. εἰς τὴν ἑορτὴν τῶν Χοῶν. ἐπετελεῖτο δὲ Πυανεψιῶνος ὀγδόῃ· οἱ δὲ Ἀνθεστηριῶνος δεκάτῃ. φησὶ δὲ Ἀπολλόδωρος Ἀνθεστήρια καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν Διονύσῳ ἀγομένην· κατὰ μέρος δὲ Πιθοιγίαν, Χόας, Χύτραν etc. S. cf. S. ad Equ. 95., Suid. v. χοᾶς, Eurip. Iphig. Taur. 876. seqq., Perizon. ad Aelian. V. H. 2, 41. etc.

904. ὁ ποῖος Bekk., Elmsl., D., ut superius 384. τὰ ποῖα τρύχη, Nub. 1222, τὰ ποῖα ταῦτα χρήματ'; Timocles ap. Athen. p. 224. A., ὁ ποῖος οὗτος Βριάρεως; cf. Elmsl. v. ὁποῖος conjuncte. — supplendum ex superioribus ἐκέλευσεν αὐτῷ μεταδοῦναι. S.: διασύρει τὸν Λάμαχον, ὡσανεὶ ἄσημον ὄντα. ταλαύρινος δὲ ὑπομονητικὸς, καρτερικὸς ἐν τῇ μάχῃ. cf. Pac. 241.

905. ita Elmsl. in annot., sine articulo, ut 538., 1102. Rav. ὃς γε τὴν Γοργ. vulgo ὃς τὴν Γοργ.

906. κατασκίοις λόφοις. (sic, quasi legisset τοῖς κατασκίοις λόφοις: nam τρεῖς ei scripturae non convenit.) δυναμένοις σκιάν τινι ποιῆσαι. (ἄλλως. κατασκίους.) ἀντὶ τοῦ ἐπιμήκεις, μεγάλους. S. κραδαίνων δὲ σείων, (ut Pac. 1107.) παρὰ τὴν κράδην, ὃ τῆς συκῆς φύλλον δηλοῖ· ὅθεν τὸ κραδᾶν καὶ κραδαίνειν κυρίως τὸ τὰ τῆς συκῆς φύλλα σείειν καὶ πάλλειν. Schol. Junt.

908. ἀλλ' ἐπὶ ταρ. ταρίχῃ ἐσθίων (fort. ἐσθίειν) ὁπλιζέσθω· τοῦτο γὰρ ἐν τοῖς πολέμοις ἤσθιον. (cf. 1032.) δέον δὲ εἰπεῖν ἐπὶ ταρίχῃ ἀνιστάτω, ἔφη ἐπὶ — κραδ., διαπαίζων αὐτόν. S.

909. ἂν (sic) ὁ ἀπ. ἐὰν δὲ Θορυβῇ, ἢ ὀξέως βοᾷ, παρὰ τὸ λιγά, καλέσω κατ' αὐτοῦ τοὺς ἀγορανόμους. λέγει δὲ τοὺς ἰμᾶντας, οὓς ἀγορανόμους ἤδη κατέστησεν ἄνω. S. vide 678.

911. ὑπαὶ πτ. ἀντὶ τοῦ μετὰ πτερύγων, καὶ κιχλῶν, καὶ κοψίχων. (imo brachia vocat πτέρυγας, estque hic ordo ἐγὼ δ' ἔσειμι, ἐμ. λαβ. ὑπ. πτ. τόδε τὸ φ. κιχλ. κ. κοψ. Horat. Epist. 1, 13, 12.: ne *forte sub ala Fasciculum portes librorum, ut rusticus agnum.*) ὁ δὲ τρόπος ποιητικός. μιμεῖται δὲ τὸ μέλος. (notum per id tempus canticum.) S. „Av. 1300. ἦδον ὑπὸ φιλορνιθίας πάντες μέλη. Ὅπου χελιδὼν ἦν τις ἐμπεποιημένη, Ἢ πηνέλοψ, ἢ χήν τις, ἢ περιστερά, Ἢ πτέρυγες ἢ πτεροῦ τι καὶ σμικρὸν προσῆν." — Elmsl. κοψίχων, κοσσύφων, merularum.

912. εἶδες ὦ. ὑφ' ὃ πορωνὶς, ὑποχωρησάντων τῶν ὑποκριτῶν. καὶ ἔστι συζυγία κατὰ περικοπὴν ἀνομοιομερὴς, φαντασίαν παρέχουσα ἐπιῤῥήματος —. διεμπολᾶν δὲ τὸ πρὸς πραγματείαν ἐπιτήδεια ἀγοράζειν. S.

ὧν τὰ μὲν ἐν οἰκίᾳ χρήσιμα, τὰ δ' αὖ πρέπει χλιαρὰ κατεσθίειν cr. hex.

915 τοῖς ἐπὶ τὸ δεῖπνον! ἅμα καὶ μεγάλα δὴ φρονεῖ, cr. t.
τοῦ βίου δ' ἐξέβαλε δεῖγμα τάδε τὰ πτερὰ πρὸ τῶν θυρῶν. cr. pent.
αὐτόματα πάντ' ἀγαθὰ τῷδέ γε πορίζεται. cr. t.
Οὐδέποτ' ἐγὼ Πόλεμον οἴκαδ' ὑποδέξομαι,
οὐδὲ παρ' ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται
920 ξυγκατακλινεὶς, ὅτι παροίνιος ἀνὴρ ἔφυ,
ὅστις ἐπὶ πάντ' ἀγάθ' ἔχοντας ἐπικωμάσας
εἰργάσατο πάντα κακὰ, κἀνέτρεπε, κἀξέχει,
κἀμάχετο, καὶ προσέτι πολλὰ προκαλουμένου

914. ὧν τὰ μὲν ἐν οἰκίᾳ. τῶν ὀρνέων τὰ μὲν [χρήσιμα καὶ] ἀνθηρὰ κατὰ τοὺς οἴκους τρέφομεν, τὰ δὲ μὴ ἀνθηρὰ ἐσθίομεν. — ἔπαιξε δὲ εἰκὸν παρὰ προσδοκίαν τὰ χλιαρά. S. alia quoque animalia domestica intelligas, qualia Boeotus importaverat, velut feles. — gl. Victor. χλιαρά· ἔνθερμα. assa, vel elixa.

915 sequ. bene Br. hos versus h. l. inseruit, qui post 926. leguntur in codd., trepidantibus viris doctis. τοῖς, τούτοις, Dicaeopolidi et ejus familiae. Rav. ταί τ. Br. τῷδ'.

916. ita primus Br. libri τοῦ β. δ' ἐξ. δεῖγμα τὰ πτερὰ πρὸ τ. Θ. „— Solebant homines gloriosi, cum domi opipare se exciperent, pennas gallinarum vel aliarum alitum ante fores aedium abjicere, ut praetereuntes ex signo illo conjicerent, lautius intus coenari." — K. secundum S.

918. ἐσωματοποίησε τὸν πόλεμον. — S. ut in Pace, 205. seqq. similiter Διαλλαγὴ invocatur 927.

919. τὸν Ἁρμ. ᾄσεται. (sibi canet, non aliorum causa, quo eos delectet, quippe superbus, omnesque prae se contemnens.) ἐν ταῖς τῶν πότων συνόδοις ᾄδόν τι μέλος Ἁρμοδίου καλούμενον, οὗ ἡ ἀρχή· φίλτατε Ἁρμόδιε, οὕτι που τέθνηκας. (Callistrati scolion notissimum, cujus non illud, quod dicit S., sed hoc est initium Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω. vide Bruncknii Anal. 1. p. 155.) ᾖδον δὲ αὐτὸ εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὡς καθηρηκότας τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα. ἐπέθεντο δ' αὐτοῖς τιμωρίας χάριν, ἀλλ' οὐχ ὑπεροχῆς, ὡς Ἀριστοτέλης Πολιτικῶν ε', διὰ τὸ προπηλακίσαι μὲν τὴν Ἁρμοδίου ἀδελφὴν, ἐπηρεάσαι δ' Ἁρμόδιον. ὁ γὰρ Ἁρμόδιος διὰ τὴν ἀδελφὴν, ὁ δ' Ἀριστογείτων διὰ τὸν Ἁρμόδιον. (vide Thuc. 6, 54. seqq.) ἦν δὲ καὶ ἕτερα μέλη, τὸ μὲν Ἀδμήτου λεγόμενον, (Praxillae Sicyoniae hoc, nisi fallor: Ἀδμήτου λόγον, ὦ 'ταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει, Τῶν δειλῶν δ' ἀπέχου, γνοὺς, ὅτι δειλοῖς ὀλίγη χάρις.) τὸ δὲ Λάμπωνος. ὁ δὲ λόγος, οὐδέποτε παρ' ἐμοὶ ἑστιαθήσεται ὁ Πόλεμος. παροίνιος δὲ μεθύσας, καὶ ὑβριστὴς, δηλονότι ὁ Πόλεμος. S. cf. 1023.

920. παροινικώτατος dixit Vesp. 1257.

921. ἐπὶ π. ἀγ. ἔχοντας. ἐφ' ἡμᾶς τοὺς γεωργοὺς ἐπικωμάσας, ἀντὶ τοῦ μετὰ φθορᾶς εἰσπεσών. S. — „sic de Marte etiam Eurip. in Phoen. 736. κῶμον ἀναυλότατον προχορεύεις." Be.

922. κἀνέτραπε vulgo, qui aoristus neque Atticis in usu est, neque huic loco convenit aoristus. Elmsl.

923. προσέτι πολλά. ἐν τῷ πίνειν πολλὰ ἐμοῦ προκαλουμένου αὐτὸν, καὶ λέγοντος „Πῖνε, καὶ ἀνάκεισο ἡσυχος" [καὶ] οὐκ ἠνέσχετο, ἀλλὰ καὶ μᾶλλον τὰ πράγματα συνέτριψε, καὶ ἠφάνιζε τὰς χώρας, καὶ τὸν οἶνον ἐκ τῶν ἀμπέλων. φιλο-

Πῖνε, κατάκεισο, λαβὲ τήνδε φιλοτησίαν,
τὰς χάρακας ἥπτε πολὺ μᾶλλον ἐν τῷ πυρὶ,
ἐξέχει θ' ἡμῶν βίᾳ τὸν οἶνον ἐκ τῶν ἀμπέλων. t. t. c.
ΔΙ. ὦ Κύπριδι τῇ καλῇ, καὶ Χάρισι ταῖς φίλαις, ξύντροφε Διαλλαγὴ, cr. hex. ἀνομοιόστρ.
ὡς καλὸν ἔχουσα τὸ πρόσωπον ἄρ' ἐλάνθανες! cr. t.
πῶς ἂν ἐμὲ καὶ σέ τις Ἔρως ξυναγάγοι λαβὼν,
ὥσπερ ὁ γεγραμμένος, ἔχων στέφανον ἀνθέμων;
ἢ πάνυ γερόντιον ἴσως νενόμικάς με σύ;
ἀλλά σε λαβὼν τρία δοκῶ γ' ἂν ἔτι προσβαλεῖν·
πρῶτα μὲν ἂν ἀμπελίδος ὄρχον ἐλάσαι μακρόν·
εἶτα παρὰ τόνδε νέα μοσχίδια συκίδων·
* καὶ τὸ τρίτον ἡμερίδος ὄσχον, ὁ γέρων ὁδί,
καὶ περὶ τὸ χωρίον ἅπαν ἐλᾷδας κύκλῳ,

τησίαν δὲ ἔλεγον τὴν φιάλην τὴν διδομένην ἐν τοῖς συμποσίοις. S.

925. (1097.) χάρακας. τοὺς πεπηγότας καλάμους ἐν τοῖς ἀμπέλοις ἔπαιεν, ἦγουν τὰς ἀμπέλους ἀπὸ μέρους. (minime, sed ridicas tantum seu palos vitium combussit.) S.

926. ἐξ. θ' ὑμῶν (ἡμῶν) βίᾳ. ὡς ἐπὶ πολέμου. — S. οἶνον ἐκ τ. ἀ., vinum ex vitibus, non hordeaceum seu brytum, de quo Athen. 10. p. 447.

927. ἀντὶ τοῦ ὦ Εἰρήνη. καλῶς δὲ εἰρήνη τῇ Ἀφροδίτῃ καὶ ταῖς Χάρισι φίλη, ὅτι οἱ γάμοι καὶ αἱ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται, καὶ ὅτι ἡδίστη καὶ ἐπιχαρής ἐστιν. S. quasi puellam formosam alloquitur Pacem. sic in Equit. 1383. δεῦρ' ἴθ' αἱ σπονδαὶ ταχύ. Be. similes quoque personae Θεωρίας et Ὀπώρας in Pace, 512.

929. *utinam me tecum conjungat Amor.* Eurip. Med. 166. πῶς ἂν ἐς ὄψιν τὴν ἡμετέραν ἔλθοι etc.

930. ὥσπερ ὁ γεγρ. Ζεῦξις ὁ ζωγράφος ἐν τῷ ναῷ τῆς Ἀφροδίτης ἐν ταῖς Ἀθήναις ἔγραψε τὸν Ἔρωτα ὡραιότατον, ἐστεμμένον ῥόδοις. — ἄνθ' ἑμῶν ἀντὶ τοῦ ῥόδων. S.

931. εἰ καὶ γέροντά με δοκεῖς ὁρᾶν, ὅμως λαβών σε ἰσχύσω συγγενέσθαι σοι τρὶς καὶ πολλάκις. παίζει δὲ ἐξῆς. S.

934. — μοσχίδια τὰ νέα βλαστήματα, καὶ ἡ ἀπαλὴ καὶ νέα λύγος μόσχος. Ὅμηρος (Il. λ', 105.) μόσχοισι λύγοισιν. — ὄρχος δὲ καὶ ὄρχατος στίχος ἀμπέλων ἢ ἑτέρων φυτῶν, παρὰ τὸ ἔρχεσθαι δι' αὐτῶν τὰς τάξεις τῶν φυτῶν. S.

935. ita Br., cum in antiquis edd. reperisset ἡμερίδος ὄρχον, quod idem propemodum verbis ἀμπελίδος ὄρχον in superioribus. MSS. ἡμερίδος κλάδον, quae sane videtur esse interpretatio conjecturae Brunckianae. sed ipsum ἡμερίδος non est ferendum propter tautologiam, suspicorque Aristophanem dixisse Ἑσπερίδος ὄσχον, ut intelligatur mali surculus.

936. ita Ahlwardt. ad Pindarum p. 13., monens, ἅπαν corripere quidem ultimam in versibus dactylicis et anapaesticis, velut Plut. 489. et ap. Euripidem Phoen. 1424. (ἀ δόμον Οἰδιπόδα πρόπαν ὤλεσε), sed eandem producere in iambicis aliisque metris: quemadmodum Menander dicat ap. Athen. 4, 146, F. ἅπαν ἐπιτιθέν· οἱ δὲ τὴν ὀφὼν ἄκραν. qua de re evolvi jubet Draconem p. 24, 20. et 29, 26., Dind. autem Buttmanni gr. t. 1. p. 254. libri ἅπαν ἐλαῖδας ἐν κύκλῳ. Elmsl. ἅπαν γ' ἐλᾷδας κύκλῳ. praepositionem jam Bentl. deleri jusserat.

ὥστ' ἀλείφεσθαί σ' ἀπ' αὐτῶν κἀμὲ ταῖς νουμηνίαις. t. t. c.
ΚΗ. ἀκούετε, λεώ! κατὰ τὰ πάτρια τοὺς χόας i. tr.
πίνειν ὑπὸ τῆς σάλπιγγος· ὃς δ' ἂν ἐκπίῃ
πρώτιστος, ἀσκὸν Κτησιφῶντος λήψεται.
ΔΙ. ὦ παῖδες, ὦ γυναῖκες, οὐκ ἠκούσατε;
τί δρᾶτε; τοῦ κήρυκος οὐκ ἀκούετε;
ἀναβράττετ', ἐξοπτᾶτε, τρέπετ', ἀφέλκετε
τὰ λαγῶα ταχέως! τοὺς στεφάνους ἀνείρετε!
φέρε τοὺς ὀβελίσκους, ἵν' ἀναπείρω τὰς κίχλας!
ΧΟ. ζηλῶ σε τῆς εὐβουλίας, i. d. στ.
μᾶλλον δὲ τῆς εὐωχίας, ἄνθρωπε, τῆς παρούσης. i. t. c.
ΔΙ. τί δῆτ', ἐπειδὰν τὰς κίχλας ὀπτωμένας ἴδητε;
ΧΟ. οἶμαί σε καὶ τοῦτ' εὖ λέγειν.
ΔΙ. τὸ πῦρ ὑποσκάλευε.
ΧΟ. ἤκουσας, ὡς μαγειρικῶς,
κομψῶς τε καὶ δειπνητικῶς, αὐτῷ διακονεῖται;
ΓΕ. οἴμοι τάλας!
ΔΙ. ὦ Ἡράκλεις, τίς οὗτος; i. tr.
ΓΕ. ἀνὴρ κακοδαίμων.
ΔΙ. κατὰ σεαυτὸν νυν τρέπου.

937. ταῖς νουμ. Casaub. ad Equ. 43.: Olim menses incipiebant prima lunae φάσει (v. Ideler. Hist. Versuch über die astron. Beob. der Alten p. 176. et 183. B.): ideo μήνη lunam et mensem significat. quum igitur nova luna incipiebat apparere, erat νουμηνία et erant Calendae. Calendis Romanorum et νουμηνίαις Graecorum celebrabantur conciones, initiationes etc.

938. Br. scribendum putabat χοᾶς. sed Elmsl.: „Nugantur," inquit, „grammatici, qui discrimen statuunt inter χόας et χοᾶς. χοεὺς, unde χοῦς contractum volunt, veteribus ignotum erat" etc. — κατὰ τὰ πάτρια, more majorum. cf. 1006.

939. ὑπὸ τῆς σάλπ. — ἐκάλουν δὲ οἱ κήρυκες σάλπιγγας βαστάζοντες, καὶ ἐσήμαινον. S. ad 942.

940. ὡς παχὺς καὶ προγάστωρ ὁ Κτησιφῶν κομῳδεῖται. ἐτίθετο δὲ ἀσκὸς πεφυσημένος ἐν τῇ τῶν Χοῶν ἑορτῇ, ἐφ' οὗ ἔδει τοὺς πίνοντας πρὸς ἀγῶνα ἑστάναι, καὶ τὸν πρῶτον πιόντα ὡς νικήσαντα λαμβάνειν ἀσκόν. ἔπινον δὲ μέτρον τι οἷον χοᾶ, (χόα). S. „ἀσκὸν Κτησ. facete pro grandi utre. (hoc secundum Be.) erat enim Ctesipho obesus et ventriosus. de bibendi certamine in Choum festo vid. Meursii Gr. fer. in 'Ανθεστήρια." Br.

946. θαυμάζω τὴν εὐβουλίαν σου, ὦ Δικαιόπολι. — S.

948. τί δῆτ' i. e. τί δῆτα ποιήσετε. eadem ellipsi Nub. 154. τί δῆτ' ἄν, ἕτερον εἰ πύθοιο Σωκράτους Φρόντισμα; 769. ἔγωγε. φέρε, τί δῆτ' ἄν, εἰ ταύτην λαβὼν etc. Ex Elmsl.

951. δειπν. Anthippus Comicus ap. Athen. 9. p. 404. ὁ γὰρ τοιοῦτός ἐστιν οὐ δειπνητικός. Be. media forma διακονεῖσθαι, ministerium sibi praestare, legitur etiam Soph. Phil. 267. Elmsl.

952. ἔρχεται ἀνὴρ Ἀθηναῖος γεωργὸς, ἀπολέσας αὐτοῦ τὰς βόας etc. S.

953. κατὰ σ. νυν τρ. ἀντὶ τοῦ ἐν σεαυτῷ ἔχε τὴν κακοδαιμονίαν, μὴ ἐκμίγνυσο ἡμῖν κακοδαιμονῶν.

ΓΕ. ὦ φίλτατε, σπονδαὶ γάρ εἰσι σοὶ μόνῳ,
μέτρησον εἰρήνης τί μοι, κἂν πέντ' ἔτη.
ΔΙ. τί δ' ἔπαθες;
ΓΕ. ἐπετρίβην ἀπολέσας τὼ βόε.
ΔΙ. πόθεν;
ΓΕ. ἀπὸ Φυλῆς ἔλαβον οἱ Βοιώτιοι.
ΔΙ. ὦ τρισκακοδαίμων, εἶτα λευκὸν ἀμπέχει;
ΓΕ. καὶ ταῦτα μέντοι νὴ Δί' ὥπερ μ' ἐτρεφέτην
ἐν πᾶσι βολίτοις.
ΔΙ. εἶτα νυνὶ τοῦ δέει;
ΓΕ. ἀπόλωλα τὼφθαλμὼ δακρύων τὼ βόε.
ἀλλ', εἴ τι κήδει Δερκέτου Φυλασίου,
ὑπάλειψον εἰρήνῃ με τὼ φθαλμὼ ταχύ.
ΔΙ. ἀλλ', ὦ πόνηρ', οὐ δημοσιεύων τυγχάνω.
ΓΕ. ἴθ' ἀντιβολῶ σ', ἤν πως κομίσωμαι τὼ βόε.
ΔΙ. οὐκ ἔστιν, ἀλλὰ κλᾶε πρὸς τοὺς Πιττάλου.

S. — „Plautus Rud. 4, 3, 88.: *tu abi tacitus tuam viam*, κατὰ σεαυτὸν τρέπου." *Br.* „annotavit K., hunc versum etiam in Nub. 1215. occurrere. sensus non valde dissimilis est in Av. 12. α. οἴμοι. β. σὺ μὲν, ὦ τᾶν, τὴν ὁδὸν ταύτην ἴθι." *Elmsl.*

955. κἂν, *saltem.*

957. Φυλῆς. ὄνομα δήμου. καὶ Μένανδρος Δυσκόλῳ Νομίζετ' εἶναι τὸν τόπον Φυλήν. S. — pagus Atticae, de quo vide Meursium. *Br.* cf. Plut. 1142.

958. λευκὸν ἀμπέχῃ. ἀντὶ τοῦ λευχειμονεῖς. — S. solitus ille color vestium ap. Graecos, sed lugentium niger fuit, qualem decere rusticum ait Dicaeopolis ridicule propter boves amissos. indignantis est εἶτα, ut 960. et passim.

960. βόλιτον οἱ Ἀττικοὶ οὕτως ἔλεγον χωρὶς τοῦ β, ὅπερ ἡμεῖς βόλβιτον. λέγει δὲ ἀντὶ τοῦ ἐν πάσῃ τρυφῇ, ἐν πᾶσιν ἀγαθοῖς. βολίτοις δὲ, ὅτι περὶ βοῶν ὁ λόγος αὐτῷ. (ἄλλως.) δέον εἰπεῖν ἐν πᾶσιν ἀγαθοῖς, βολίτοις εἶπε, παρ' ὑπόνοιαν παίζων. ἢ ἐπειδὴ διὰ τῆς πόπρου τὰ σπέρματα θάλλειν ποιοῦσιν οἱ γεωργοὶ, καὶ πορπὸν πλεῖστον ποιεῖν, ἐξ οὗ τρέφονται, τοῦτο εἴρηκε. S. similiter, annotante Be., Vesp. 677. ἔξων ἐν πᾶσι λαγῴοις etc., ubi itidem S.: ἐν ἀγαθοῖς πᾶσι· τοῦτο γὰρ δηλοῖ τὸ ἐν πᾶσι λαγ., ἀντὶ τοῦ ἐν τρυφῇ. cf. 917., 921. etc.

962. Δερκ. nomen rustici a δέρκειν, ridiculum illud in homine coecutiente.

963. ὑπάλ. velut medicamento aliquo. cf. 981.

964. οὐ δημ. τυγχάνω. δημοσία χειροτονούμενοι ἰατροὶ [καὶ δημόσιοι] προῖκα ἐθεράπευον. φησὶν οὖν καὶ οὗτος, ὅτι οὐ τῶν δημοσιευθέντων ἰατρῶν τυγχάνω, οἷον οὐ κοινῇ ἐσπεισάμην, τουτέστι σὺν τῇ πόλει, ἰδίᾳ δὲ καὶ ἐμαυτῷ μόνῳ. S. Plato Gorgia p. 351, E. κἂν εἰ ἐπιχειρήσαντες δημοσιεύειν παρεκαλοῦμεν ἀλλήλους, ὡς ἱκανοὶ ἰατροὶ ὄντες. paulo inferius ap. Platonem τῷ δημοσιεύειν opponitur ἰδιωτεύειν, medicinam privatim exercere. Elmsl. „cf. Schneider. ad Xenoph. Memor. Socr. 4, 2, 5." *Dind.*

965. ἴθ' ἀντ. ἱκετεύω· δός μοι τῆς εἰρήνης, ὅπως ἀπολάβω τοὺς βόας. S.

966. πρὸς (τοὺς) Πιττάλου. ὁ Πίτταλος οὗτος ἰατρὸς παρὰ Ἀθηναίοις. λείπει δὲ [τοὺς] μαθητάς. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ἐκεῖνος εἶπεν

ΓΕ. σὺ δ' ἀλλά μοι σταλαγμὸν εἰρήνης ἕνα
εἰς τὸν καλαμίσκον ἐνστάλαξον τουτονί.
ΔΙ. οὐδ' ἂν στριβιλικίγξ, ἀλλ' ἀπιὼν οἴμωζέ ποι.
ΓΕ. οἴμοι κακοδαίμων τοῖν γεωργοῖν βοιδίοιν!
ΧΟ. ἀνὴρ ἀνεύρηκέν τι ταῖς ἀντ.
σπονδαῖσιν ἡδύ, κοὐκ ἔοικεν οὐδενὶ μεταδώσειν.
ΔΙ. κατάχει σὺ τῆς χορδῆς τὸ μέλι. τὰς σηπίας στάθευε.
ΧΟ. ἤκουσας ὀρθιασμάτων;
ΔΙ. ὀπτᾶτε τἀγχέλεια.
ΧΟ. ἀποκτενεῖς λιμῷ με καὶ
τοὺς γείτονας, κνίσῃ τε καὶ φωνῇ τοιαῦτα λάσκων.
ΔΙ. ὀπτᾶτε ταυτὶ καὶ καλῶς ξανθίζετε.

ὑπάλειψον (ὑπάλειψόν μου, vel με) τοὺς ὀφθαλμούς· ὡσεὶ ἔλεγεν „ἄπειλθε, ἐχρίου παρὰ Πιττάλου." S. commemoratur hic medicus etiam infra 1137. *Σπίτταλον* vocat Suidas h. v., nisi forte *τοὺς Πιττάλου* accepit pro *τοῦ Σπιττάλου*. Bentl. malebat *τοῦ Πιττ.*, ut Rav., collatis hujus fabulae 1137. et Vesp. 1386. (*παράτρεχ' ἐς τὰ Πιττάλου.*); Br. vel *οἴκους* intelligebat, vel *μαθητάς*, ut S. cf. scriptores ellipsium graecarum.

967. *ἀλλά*, *saltem*, ut 191., Lys. 839. etc. cf. Elmsl.

968. *καλαμ. τὸν χαλκοῦν ἢ τὸν ἀργυροῦν, οἵους ἔχουσιν οἱ ἰατροί.* S. at nihil negotii est bono viro Dercetae cum medicis. Be.: *calamum*; Wieland.: *Röhrchen*. culmum frumenti forte in manu tenuisse videtur rusticus.

969. *στριβ. ἀντὶ τοῦ οὐδὲ ῥαπίδα. στρίβος δὲ καλεῖται ἡ λεπτὴ καὶ ὀξεῖα βοή. λίκνιγξ δὲ ἡ ἐλαχίστη βοὴ τοῦ ὀρνέου.* (?) *λέγει δὲ, ὅτι οὐδὲ ἐλαχιστόν σοι μέρος μεταδίδωμι. τοῖν γεωργοῖν δὲ τοῖν τὴν γῆν ἐργαζομένοιν.*

973. Eccles. 126. *σηπίαις ἑσταθευμέναις.* Be. ibidem 552. *κάθησο τοίνυν σηπίας μασωμένη.* ad quae Bisetus: *Σουίδας οἱονεὶ τρυφῶσα διὰ τὴν ἐξουσίαν. ὃ ἐλέγχει τὰς σηπίας πάλαι παρὰ τοῖς ἀβροδιαίτοις ἐν τιμῇ γενέσθαι. περὶ δὲ τούτων ὁ Ἀθήναιος ἐν τῷ ἡ τῶν Δειπνοσοφ.* (tom. 3. p. 187. seqq. ed. Schweigh.) *ταῦτα παραδίδωσιν· ἡ δὲ σηπία, φησὶ, καὶ ἑψομένη μὲν ἀπαλή, καὶ εὔστομος, καὶ εὔπεπτος, ἔτι δὲ καὶ εὐκοίλιος* (εὐκοίλιος). *ὁ αὐτὸς Σουίδας μαρτυρεῖ τοὺς προσήκοντας τοῖς προσήκουσιν, ὅτε ἡ Ἀμφιδρόμια ἐποιεῖτο, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας καὶ σηπίας ὅλα πέμπειν εἰωθότας.* senex Plautinus Cas. 2, 8, 55. *Abi atque obsona! propera! sed lepide volo:* Molliculas escas, *ipsa ut mollicula est.* OL. *licet.* ST. *Emito sepiolas, lepadas, lolligiunculas* etc. Contra Trallianus libro 7., annotante Brodaeo Miscell. 7, 3., sepiam *τοῖς σκληροσάρκοις* piscibus annumerat; et Tan. Faber ad Eccles. 552.: „Sepiae igitur," inquit, „iis temporibus majoris fiebant quam hodie (vide Athenaeum), aut lautius condiebantur: nam malim me coria edere quam ejusmodi piscem." ceterum maris accolae comedere solent sepias in nitro coctas.

974. *ὀρθ. ἀνατάσεως ῥημάτων, τῶν μετὰ βοῆς κόμπων.* — S. „Aeschylus Cho. 269. *κἀξορθιάζων πολλά.* ubi scholia: *ἀνατεταμένως βοῶν.* occurrit ap. eundem aliquoties verbum *ὀρθιάζειν.*" Be. rursum S.: *τὰ ἐγχέλεια. ἢ λείπει τὰ κρέα, ἵν' ᾖ τὰ ἐγχέλεια κρέα, ἢ λέγει τὰς ἐγχέλεις. λάσκων δὲ φωνῶν, βοῶν.*

976. *κνίσῃ.* vulgo *κνίσσῃ.* de scriptura hujus vocis certant grammatici. si *κνίσσα* dixissent vett., in *κνίττα* mutassent Attici. *Elmsl.*

977. *ξανθ. οἷον τῷ μέλιτι χρίετε. ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε.*—S. cf. 1036.

ΠΑ. Δικαιόπολι . .
ΔΙ. τίς οὗτοσί; τίς οὗτοσί;
ΠΑ. ἔπεμψέ τίς σοι νυμφίος ταυτὶ κρέα
ἐκ τῶν γάμων...
ΔΙ. καλῶς γε ποιῶν, ὅστις ἦν.
ΠΑ. ἐκέλευε δ' ἐγχέαι σε τῶν κρεῶν χάριν,
ἵνα μὴ στρατεύοιτ', ἀλλὰ βινοίη μένων,
ἐς τὸν ἀλάβαστον κύαθον εἰρήνης ἕνα.
ΔΙ. ἀπόφερ', ἀπόφερε τὰ κρέα καὶ μή μοι δίδου,
ὡς οὐκ ἂν ἐγχέαιμι χιλίων δραχμῶν.
ἀλλ' αὐτηὶ τίς ἐστιν;
ΠΑ. ἡ νυμφεύτρια·
δεῖται παρὰ τῆς νύμφης τι σοὶ λέξαι μόνῳ.
ΔΙ. φέρε δή, τί σὺ λέγεις; — ὡς γελοῖον, ὦ θεοί,
τὸ δέημα τῆς νύμφης, ὃ δεῖταί μου σφόδρα,
ὅπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου.
φέρε δεῦρο τὰς σπονδάς, ἵν' αὐτῇ δῶ μόνῃ,
ὁτιὴ γυνή ἐστι, τοῦ πολέμου τ' οὐκ ἄξια.
ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον, ὦ γύναι.
οἶσθ', ὡς ποιεῖται τοῦτο; τῇ νύμφῃ φράσον,
ὅταν στρατιώτας καταλέγωσι, τουτῳΐ

978. τίς οὗτοσί; indignabundus hoc ingeminat senex, iterum interpellatus. cf. 984., 1009.

979. „ita recte libri. ταυτὶ ponitur δεικτικῶς et quasi in parenthesi. verte: *has sent you some meat; here it is.* Eccles. 70. νὴ τὴν Ἑκάτην καλὸν ἔγωγε τουτονί. lege ἔγωγε τουτονὶ καλόν." *Porson. ap. Dobr.* Br.: ἔπεμψέ τίς σοι τὰ κρέα ταῦτα νυμφίος, cum censeret, articulum non recte abesse. sed Elmsl. ita solere ait Atticos, cum loquantur δεικτικῶς, velut supra 130. ταυτασὶ λαβὼν ὀκτὼ δραχμὰς, 187. τρία γε ταυτὶ γεύματα etc.

981. ἐγχέαι. cf. 963.

983. — ἐς τὸν ἀλάβαστρον, εἰς τὴν μυροθήκην'. S. ἀλάβαστον codd. A et C ap. Br., Suidas v. ἀλαβαστοθήκας, Elmsl., D. Thomas Mag.: ἀλάβαστον δίχα τοῦ ρ Ἀττικοί· μετὰ δὲ τοῦ ρ Ἕλληνες. Lys. quoque 832. codex C ἀλάβαστον. cf., quos laudant, Athen. 3. p. 365, D., Eustath. p. 1161, 29., Maussac. ad Harpocrat. v. ἀλαβαστοθῆκαι. de unguentorum usu in nuptiis Elmsl. conferri iussit Plut. 525.

986. — κωφὸν εἰσάγει τὸ πρόσωπον τῆς νυμφευτρίας (pronubae). S.

988. φέρε — λέγεις; παραθεὶς τὸ οὐς ἤκουσεν ὁ Δικαιόπολις τῆς νυμφευτρίας. S.

990. οἰκ., *domi maneat*, neque in bellum proficiscatur.

993. τοὐξάλ. πρόφερε τὸ ἀλάβαστρον, φησίν, ἐξ οὗ ἀλείφονται οἱ δειπνοῦντες, τὴν τοῦ μύρου λήκυθον. — S. Elmsl.: τοὐξ. Hesych.: ἐξαλίγυρον (sic): σκεῦος ἀργυροῦν φιάλη παραπλήσιον, ἐξ οὗ ἐν τοῖς συμποσίοις ἤλειφον τὸ (l. ἠλείφοντο) μύρον. vocem ἐξάλειπτρον hinc allegat Pollux 10, 121.

995. τουτῳΐ. τῷ ἀλείμματι. λέγει δὲ τῇ εἰρήνῃ. τὸ δὲ καταλέγωσιν ἀντὶ τοῦ κατατάττωσιν. S.

νίκτωρ ἀλειφέτω τὸ πέος τοῦ νυμφίου.
ἀπόφερε τὰς σπονδάς· φέρε τὴν οἰνήρυσιν,
ἵν' οἶνον ἐγχέω λαβὼν ἐς τοὺς χόας.
ΧΟ. καὶ μὴν ὁδί τις τὰς ὀφρῦς ἀνεσπακὼς,
ὥσπερ τι δεινὸν ἀγγελῶν, ἐπείγεται.
ΚΗ. ἰὼ πόνοι τε καὶ μάχαι, καὶ Λάμαχοι!
ΛΑ. τίς ἀμφιχαλκοφάλαρα δώματα κτυπεῖ;
ΚΗ. ἰέναι σ' ἐκέλευον οἱ στρατηγοὶ τήμερον,
ταχέως λαβόντα τοὺς λόχους καὶ τοὺς λόφους,
κἄπειτα τηρεῖν νιφόμενον τὰς εἰσβολάς·
ὑπὸ τοὺς Χόας γὰρ καὶ Χύτρους αὐτοῖσί τις
ἤγγειλε λῃστὰς ἐμβαλεῖν Βοιωτίους.
ΔΙ. ἰὼ στρατηγοὶ πλείονες ἢ βελτίονες,
οὐ δεινὰ μὴ 'ξεῖναί με μηδ' ἑορτάσαι;
ἰὼ στράτευμα πολεμολαμαχαϊκόν!
ΛΑ. οἴμοι κακοδαίμων, καταγελᾷς ἤδη σύ μου;
ΔΙ. βούλει μάχεσθαι Γηρυόνῃ τετραπτίλῳ;

997. *οἶν.* τὴν τοῦ οἴνου κοτύλην, ἣ ἀρύονται. S. cf. 231.

999. *τὰς ὁ ἀν. ἐσκνθρωπακώς.* S.

1001. non Nuncii, sed Praeconis haec verba esse, animadvertit Elmsl. cf. 1013. — *μάχαι καὶ Λάμαχοι.* paronomasia. cf. 539., 1004.

1002. *ἀμφ.* ἀντὶ τοῦ πολύχαλκα. τραγικώτερον δὲ λέγει διὰ τὸ μεγαλοφθῆμον τοῦ Λαμάχου. S. proprie Lamachus dicendus erat ἀμφιχαλκοφάλαρος.

1003. *ἰέναι*, proficisci, ausrücken, marschieren. verbum militare.

1005. *τὰς εἰσβολάς*, τὰς εἰσόδους τῶν πολεμίων στρατῶν. *νιφόμενον δὲ*, ὡς χιόνος οὔσης. S. v. 1071.

1006. *Θεόπομπος* τοὺς διασωθέντας ἐκ τοῦ κατακλυσμοῦ ἐψῆσαί φησι χύτρας πανσπερμίας· ὅθεν οὕτω κληθῆναι τὴν ἑορτήν, καὶ θύειν τοῖς Χουσὶν Ἑρμῇ χθονίῳ, τῆς δὲ χύτρας οὐδένα γεύσασθαι. τοῦτο δὲ ποιῆσαι τοὺς περισωθέντας, ἱλασκομένους τὸν Ἑρμῆν καὶ περὶ τῶν ἀποθανόντων. ἦγετο δὲ ἡ ἑορτὴ Ἀνθεστηριῶνος τρίτῃ ἐπὶ δέκα, ὡς Φιλόχορος. S. „Lenaeorum sive Anthesteriorum 1. dies *Πιθοιγία* dictus est, 2. *Χόες*, 3. *Χύτροι*, ut ex certis veterum testimoniis satis novimus. celebrantur *Χόες* Anthesterionis die 12., qui Olympiadis 88. anno 3. ex Dodwelli rationibus incidit in Februarii diem Julianum 13., Gregorianum vero 8." *Elmsl.* cf. annot. 7. ad argum. fabulae.

1008. perperam hic versus Lamacho tribuitur in libris. non Lamachi scilicet est invehi in duces Atheniensium. S.: ὁ Δικαιόπολις Οὐ δεινόν, φησὶ, μὴ ἐξουσίαν ἔχειν με ἑορτάσαι; ἴσως διὰ τὸν τῶν στρατιωτῶν θόρυβον. S.

1012. taedet ineptiarum scholiastae. neque locustae hic aguntur, neque Geryon iste, quem Hercules interfecit, sed tropice, ut *πτερύγων* 911., vocatur *τετράπτιλος* quadrupes, canis catenarius in introitu Dicaeopolidis, more veterum, quem illustrant Plauti interpp. ad Most. 3, 2. 162. eum canem ridicule senex appellat *Γηρυόνην* a *γῆρυς, vox, latratus*, minitans se catenam ei exsolutarum, si Lamachus pergat se vultu terrere, quod fecisse videtur. *Vin' pugnare*, inquit, *cum hoc Geryone quadrupede?* simul cogitat fortasse Cerberum tri-

ΛΑ. αἰαῖ,
οἵαν ὁ κήρυξ ἀγγελίαν ἤγγειλέ μοι!
ΔΙ. αἰαῖ, τίνα δ' αὖ μοι προστρέχει τις ἀγγελῶν;
Α. Δικαιόπολι...
ΔΙ. τί ἐστιν;
Α. ἐπὶ δεῖπνον ταχὺ
βάδιζε, τὴν κίστην λαβὼν καὶ τὸν χόα·
ὁ τοῦ Διονύσου γάρ σ' ἱερεὺς μεταπέμπεται.
ἀλλ' ἐγκόνει· δειπνεῖν κατακωλύεις πάλαι,
τὰ δ' ἄλλα πάντ' ἐστὶν παρεσκευασμένα,
κλῖναι, τράπεζαι, προσκεφάλαια, στρώματα,
στέφανοι, μύρον, τραγήματ', αἱ πόρναι πάρα,
ἄμυλοι, πλακοῦντες σησαμοῦντες, ἰτρία,
ὀρχηστρίδες, τὰ φίλτατ' Ἁρμοδίου, καλαί.
ἀλλ' ὡς τάχιστα σπεῦδε.
ΛΑ. κακοδαίμων ἐγώ!
ΔΙ. καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα. —
ξύγκλειε, καὶ δεῖπνόν τις ἐνσκευαζέτω.

corporem, qualis fuisse dicitur Geryon. ut Γηρυόνης canis h. l., ita bonum Solis vox dicitur γῆρυς ap. Euripidem Troad. 430.

1016. βάδιζε τὴν κίστιν. (v. 1068. sic, ut impressi, et Suid. in χοᾶ: sed MS. κίστην, ut 1029., Equ. 1211. et alibi ap. hunc nostrum: vid. Elmsl.) τότε γὰρ οἱ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους, καὶ μύρα, καὶ τραγήματα, καὶ ἄλλα τοιαῦτα παρετίθεσαν, οἱ δὲ καλούμενοι ἔφερον ἐψήματα. κίστιν δὲ τὴν ὀφοθήκην. Ὅμηρος (Od. ζ', 76.) μήτηρ δ' ἐν κίστει (κίστῃ) ἐτίθει μενοεικέ' ἐδωδήν, Ὀφά τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες. χοᾶ (χόα) δὲ ἐπεφέροντο οἱ καλούμενοι, ἵνα μὴ κοινωνῶσιν ἄλλου ποτηρίου διὰ τὴν ἐπὶ Ὀρέστῃ γενομένην αἰτίαν. S. cf. 902.

1017. moris erat ut in Bacchi festo sacerdos ejus lautam coenam pararet. compellat eum in theatro sedentem histrio Ran. 290. — *Elmsl.*

1018. ἐγκόνει. ἀντὶ τοῦ σπεῦδε· μέλλοντας γὰρ αὐτοὺς δειπνεῖν ἐπέχεις. S.

1021. τραγ. cf. Plut. 190.

1022. ἄμυλοι. genus placentae. cf. Pac. 1123. S.: σησαμ. — σησαμοῦς μὲν εἶδος πλακοῦντος —. (cf. annot. ad Pac. 820. ἰτρία δὲ καπνρώδη (ita Dobr. pro καὶ πυρώδη.) πλάσματα. Elmsl.: „ἰτρία. Athen. p. 646, C. ἴτριον. πεμμάτιον λεπτὸν διὰ σησάμου καὶ μέλιτος γενόμενον (cf. 1060.) — Ἀριστοφ. Ἀχαρνεῦσι· πλακοῦντες, (sic l. l. prava interpunctione.) σησαμοῦντες, ἰτρία. accentus incertus est."

1023. Ἁρμόδιος dictus pro scolio, ad quod saltabant, et fortasse ipsum convivium intelligitur ἀπὸ μέρους, ut saltatrices ejus deliciae dicantur. cf. 919.

1025. ἐπιγράφεσθαι, *patronum adsciscere*, legitur etiam in Pace 659. sensus hujus loci talis fere videtur, jure κακοδαίμονα esse Lamachum, qui δαίμονα elegerit magnam illam Gorgonem. *Elmsl.* in ejus clipeo depictam. cf. 538.

1026. fores domus suae occludere janitorem jubet Dicaeopolis. cogitandum autem, h. l. ἐκκυκλήματι quodam effictam fuisse scenam bipar-

ΛΑ. παῖ, παῖ, φέρ' ἔξω δεῦρο τὸν γύλιον ἐμοί.
ΔΙ. παῖ, παῖ, φέρ' ἔξω δεῦρο τὴν κίστην ἐμοί.
ΛΑ. ἄλας θυμίτας οἶσε, παῖ, καὶ κρόμμυα.
ΔΙ. ἐμοὶ δὲ τεμάχη· κρομμύοις γὰρ ἄχθομαι.
ΛΑ. θρῖον ταρίχους οἶσε δεῦρο, παῖ, σαπροῦ.
ΔΙ. κἄμοιγ' σὺ δή, παῖ, θρῖον· ὀπτήσω δ' ἐκεῖ.
ΛΑ. ἔνεγκε δεῦρο τὼ πτερὼ τὼ 'κ τοῦ κράνους.
ΔΙ. ἐμοὶ δὲ τὰς φάττας γε φέρε καὶ τὰς κίχλας.
ΛΑ. καλόν γε καὶ λευκὸν τὸ τῆς στρουθοῦ πτερόν.
ΔΙ. καλόν γε καὶ ξανθὸν τὸ τῆς φάττης κρέας.
ΛΑ. τὸ λοφεῖον ἐξένεγκε τῶν τριῶν λόφων.
ΔΙ. κἄμοιγε λεκάνιον τῶν λαγώων δὸς κρεῶν.
ΛΑ. ἀλλ' ἢ τριχοβρῶτες τοὺς λόφους μου κατέφαγον.

titam, quae simul monstraret contiguas Lamachi et Dicaeopolidis domos interiores; quale artificium etiam ap. Plautum Mostellaria 701. deprehendere mihi visus sum.

1027. γυλιὸς (sic) σπυριδῶδες πλέγμα, ἐν ᾧ τὰς τροφὰς ἔχοντες οἱ στρατιῶται ἐβάδιζον ἐπὶ πόλεμον. S. mendose Hesych., monente Br.: γύλιον: ἀγγεῖον πλεκτόν. cf. 1067., Pac. 516.

1028. τὴν κίστην. cf. 1016.

1029. ἅλας θυμ. cf. 727. cibus vilis pauperum et militum.

1031. θρῖον ταρ. ἐπεὶ ἐπὶ φύλλων τὰ τεμάχη βαλλόμενα βαστάζονται. σαπροῦ δὲ ἀντὶ τοῦ [παλαιοῦ καὶ] μὴ νέου. σκεύασμα δέ τι παρὰ Ἀθηναίοις τὸ θρῖον (θρῖον), ὅπερ λαμβάνει ὕειον στέαρ, ἢ ἐρίφειον, καὶ σεμίδαλιν, καὶ γάλα, καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον ἥδιστον ἀποτελεῖ βρῶμα. οὕτω Δίδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία θρῖον, ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ κατασκευαζόμενος, καὶ ἑλιττόμενος ἐν φύλλῳ συκῆς, καὶ ὀπτώμενος. S. cf. de hoc cibi genere Pollux 6, 57., quem nonnihil emendavit Elmsl.

1035. τῆς στρουθοῦ, struthiocameli, quam avem similiter struthionem vocari a quibusdam latinis scriptoribus annotavit Locella ad Xenoph. Ephes. p. 156. Hesych., quem laudavit Br., στρουθός: ὁ καταφερὴς καὶ λάγνος· Ἀττικοὶ δὲ τὰς στρουθοκαμήλους. cf. Eustath. ad Odyss. p. 1411., l. 11.

1037. hic versus cum sequentibus 5 transpositi sunt in libris; quod animadvertit doctissimus Boissonad. ap. F. A. Wolfium Analect. 3. p. 79. sequ. vulgo enim hoc ordine leguntur: 1041., 1042., 1037—1040.; sed recte Boissonadeus: „Quid sibi vult," inquit, „istud προσαγορεύειν ἐμέ; nam in praecedente versiculo ἀλλ' ἢ etc. nulla est προσαγόρευσις. — Jam sunt omnia facilia et apte conjuncta. Lamachus a Dicaeopolide compellari se indignatur, βούλει μὴ προσαγ. ἐμὲ, quippe qui verba ὦνθρωπε, — κίχλας sibi dicta fuisse, ut erant revera, credere potuit. praeterea lepida est e proximo formulae ὦνθρωπε βούλει iteratio, quam haud dubie quaesivit poëta, ut patet e simili lusu in verbis alternis καλόν γε καὶ λευκὸν, καλόν γε καὶ ξανθόν· ἀλλ' ἢ τριχοβρῶτες, ἀλλ' ἢ πρὸ δείπνου" etc. cf. 1047. seqq. S.: τὸ λοφίον. (sic.) ἐὰν μὲν ὑποκοριστικὸν, βηλοῖ ἐλάττονα τῶν τριῶν λόφων (inepte)· ἐὰν δὲ διὰ τῆς ει διφθόγγου, περισπᾶται, καὶ δηλοῖ τὴν θήκην.

1039. — ἀλλ' ἢ, *sane, profecto.* ἀλλ' ἤ interrogativum est et valet *num*, vid. Valck. ad Hippol. 932. Br. S.: τριχόβρωτες. σῆτες. θρὶψ σκώληξ κατεσθίων τὰς τρί-

ΔΙ. ἀλλ' ἢ πρὸ δείπνου τὴν μίμαρκυν κατέδομαι.
ΑΛ. ὤνθρωπε, παῦσαι καταγελῶν μου τῶν ὅπλων.
ΔΙ. ὤνθρωπε, βούλει μὴ βλέπειν εἰς τὰς κίχλας;
ΑΛ. ὤνθρωπε, βούλει μὴ προσαγορεύειν ἐμέ;
ΔΙ. οὔκ, ἀλλ' ἐγὼ χὠ παῖς ἐρίζομεν πάλαι·
„βούλει περιδόσθαι κἀπιτρέψαι Λαμάχῳ,
πότερον ἀκρίδες ἥδιόν ἐστιν ἢ κίχλαι;"
ΑΛ. οἴμ', ὡς ὑβρίζεις!
ΔΙ. τὰς ἀκρίδας κρίνει πολύ.
ΑΛ. παῖ, παῖ, καθελών μοι τὸ δόρυ δεῦρ' ἔξω φέρε.
ΔΙ. παῖ, παῖ, σὺ δ' ἀφελὼν δεῦρο τὴν χορδὴν φέρε.
ΑΛ. φέρε, τοῦ δόρατος ἀφελκύσωμαι τοὔλυτρον.
ἔχ', ἀντέχου, παῖ.
ΔΙ. καὶ σύ, παῖ, τοῦδ' ἀντέχου.
ΑΛ. τοὺς κιλλίβαντας οἶσε, παῖ, τῆς ἀσπίδος.

χας. καὶ προπεριστωμένως δὲ λέγεται τριχοβρῶτες. Elmsl.: τριχόβρωτες vulgo. τριχοβρῶτες Pollux 2, 24., Suid. in ipsa voce. utramque scripturam agnoscit S. Hesych.: τρίχοβρος (sic): θηρίδιον κατεσθίον τοὺς λόφους τῶν περικεφαλαίων.

1040. κυρίως μὲν μίμαρκυς (sic) etiam Suid. in μίμαρις, aliique grammatici: vid. Elmsl.) ἡ λαγὼς χορδὴ ἐκ τῶν ἐντέρων· χρῶνται δὲ καὶ ἐπὶ χοίρου. ἄλλως. μίμαρκυς σκευασία τις τῆς κοιλίας ἢ τῶν ἐντέρων. οἱ δὲ τὴν ἐκ τοῦ λαγῴου αἵματος καὶ τῶν ἐντοσθίων σκευαζομένην καρύκην. S. — Hesych.: μίμαρκυς: κοιλία καὶ ἔντερα τοῦ ἱερείου μεθ' αἵματος σκευαζόμενα. μάλιστα δὲ καὶ ἐπὶ λαγῶων αὐτῇ ἐχρῶντο· ὅτι δὲ καὶ ἐπὶ ὑός. ὁ δὲ Φερεκράτης καίζων καὶ ἐπὶ ὄνου φησί. Pollux 6, 56. μίμαρκυς δὲ κοιλία καὶ ἔντερα μετὰ αἵματος ἐσκευασμένη, μάλιστα δὲ λαγῶων. Ex Br.

1044. se contra servulum contendere ait, tardos suaviores esu esse quam locustas.

1045. περιδ., pignus mecum deponere, wetten. vide 727. et Be. ad Nub. 644. S.: κἀπιτρ. ἐπιτρέψαι ὅστις κρίνει. —

1046. διασύρει τὸν Λάμαχον, ὡς ἀκρίδας ἐσθίοντα. ἢ ὅτι κρότερον εὐτελεῖ ἐχρῆτο τῇ διαίτῃ. S. ut supra ad 818., ita hic quoque incalcavit K., Graecos aliosque populos solitos esse antiquitus vesci locustis, etsi cibus ille fuerit vilissimus. Wielandius haud inepte censet, milites inprimis ipsosque duces eorum eo redigi potuisse inopia, ut ejusmodi animalibus se sustentarent.

1047. τὰς ἀ. κρ. πολύ. locustas judicat multo suaviores. Be. (πολὺ ἥδιον εἶναι.)

1049. τὴν χορδήν. S.: χορδὴ καλεῖται τὸ κοιλὸν ἔντερον τοῦ προβάτου. cf. 973.

1050. τοὔλυτρον. τὴν θήκην. τὸ ἐντελὲς τὸ ἕλυτρον. S.

1051. καὶ — ἀντ. τοῦ ὀβελίσκου, ὥστε τὰ ἐμπεκαρμένα κρέα ἢ τὴν χορδὴν μὴ (χορδὴν μὲ) ἑλκῦσαι. S.

1052. τοὺς κιλλ. τρισκελῆ τινα σκευάσματα, ἐφ' ὧν ἐκτιθέασι τὰς ἀσπίδας, ἐκκιδὰν κάμωσι πολεμοῦντες. S. „versum allegat Pollux 10, 146., qui κιλλίβαντας inter σκεύη στρατιωτικὰ recenset. — tali instrumento utebantur etiam pictores teste Polluce 7, 129. ἐφ' οὗ δὲ οἱ πίνακες ἐρείδονται, ὅταν γράφωνται, ξύλον ἐστὶ τρισκελές· καλεῖται δὲ ἀκρίβας καὶ κιλλίβας. verum notissi-

ΔΙ. καὶ τῆς ἐμῆς τοὺς κριβανίτας ἔκφερε.
ΛΑ. φέρε δεῦρο γοργόνωτον ἀσπίδος κύκλον.
ΔΙ. κἀμοὶ πλακοῦντος τυρόνωτον δὸς κύκλον.
ΛΑ. ταῦτ' οὐ κατάγελώς ἐστιν ἀνθρώποις πλατύς;
ΔΙ. ταῦτ' οὐ πλακοῦς δῆτ' ἐστὶν ἀνθρώποις γλυκύς;
ΛΑ. κατάχει σύ, παῖ, τοὔλαιον ἐκ τοῦ χαλκίου.
ἐνορῶ γέροντα δειλίας φευξούμενον.
ΔΙ. κατάχει σὺ τὸ μέλι. κἀνθάδ' εὔδηλος γέρων
κλαίειν κελεύων Λάμαχον τὸν Γοργάσου.
ΛΑ. φέρε δεῦρο, παῖ, θώρακα πολεμιστήριον.
ΔΙ. ἔξαιρε, παῖ, θώρακα κἀμοὶ τὸν χόα.
ΛΑ. ἐν τῷδε πρὸς τοὺς πολεμίους θωρήξομαι.

mus usus, ut opinor, erat ad mensam sustentandam. Hesych. κιλλίβαντες: τραπεζῶν βάσεις καὶ ὑποθέματα· ἢ τρισκελεῖς τράπεζαι." *Elmsl.*

1053. S.: τῆς ἐμῆς. λείπει γαστρὸς, ἵν' ᾖ καὶ τῆς ἐμῆς γαστρὸς τὴν ἀνάπαυσιν(?) ἔκφερε, τοὺς κριβανίτας ἄρτους. ἔπαιξε δὲ χαριέντως, ὅτι καὶ οὗτοι περιφερεῖς ὡς αἱ ἀσπίδες. Elmsl.: „Verba τῆς ἐμῆς a Dicaeopolide δεικτικῶς dicuntur, digito ad κίστην (1016.) admoto, vel ad ventrem, quae quidem scholiastae sententia est." neutrum fieri patitur linguae ratio, sed in τῆς ἐμῆς intelligendum est ἀσπίδος ex superioribus. mensam tripedem suam ridicule ἀσπίδα vocat Dicaeopolis a forma rotunda, qua aevo certe seriore fuerunt mensae, sicut clipei. vide Athen. 1, 8., Camerar. Problem. decur. 9, 6. (ap. Gruterum Facis art. liberal. t. 4. p. 70. ed. Francof. a. 1604.), et Horatii Ovidiique interpp., illius ad Sat. 1, 3, 13., hujus ad Metam., 8, 660., (*mensam succincta tremensque Ponit anus; mensae sed erat pes tertius impar.*) — „κριβ. panes κριβανίτας memorat noster etiam in Γήρᾳ (fragm. 6., p. 42.) ap. Athen. p. 109, F." etc. *Elmsl.*

1054. γοργ. — τὴν ἔχουσαν Γοργόνα. S. cf. 538. „γοργόνωτον. Eurip. Phoen. 1060. σιδηρονώτοις ἀσπίδος τύποις, Troad. 1081. χαλκόνωτον ἀσπίδα. — *Be.*

1056. πλατύς. πολύς. similiter, Synesius epist. 50. et Theophylactus Simoc. epist. 10. — *Be.*

1058. ita Elmsl. secundum Polluc. 10, 92. vulgo ἐν τῷ χαλκίῳ, quod τῷ κατάχει parum convenire sensit Britannus eruditus. S.: κατάχει. εἰς τὸν ὀμφαλὸν τῆς ἀσπίδος, ἵνα γένηται λαμπροτέρα. — εἰσὶ γάρ τινες, οἳ ἐν ἐλαίῳ ὁρῶντες μαντεύονται. οὕτως ὁ Σύμμαχος. σημεῖον οὖν τὴν ἀσπίδα, καταχέων ἔλαιον ἐπὶ τῆς χαλκῆς πτυχός· εἶτα ὡς φαιδρυνθείσης αὐτῆς ἐνοπτριζόμενος πρὸς αὐτὸν (αὐτὸν) λέγει „Ὁρῶ ἐν αὐτῇ γέροντα ὑπὸ δειλίας φεύγοντα." —

1060. κατ. σὺ τὸ μέλι. in placentas cf. 1022. κἀνθάδ', *hic quoque*, domi meae; ut illum senem apud te dicis conspici in clipeo.

1061. Λαμ. τὸν Γοργ. ut Clisthenem Sibyrtii filium superius 118. per jocum appellavit noster, ita patrem Gorgasum [velut a γοργὸς appellatum] Lamacho tribuit, qui revera Xenophanis filius erat, teste Thuc. 6, 8. *Elmsl.* cf. 253.

1063. ἔξ. παῖ θώρακα. πρὸς τὴν ὁμωνυμίαν. θωρήξασθαι γάρ ἐστι τὸ παθοπλισθῆναι, ἀλλὰ καὶ τὸ πίνειν καὶ μεθύειν οὕτω καλοῦσιν, ἐπειδὴ θώραξ καὶ τὸ στῆθος. διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος θωρήσσειν λέγουσι τὸ μεθύειν, καὶ θώρακας τοὺς ἀκρομεθύσους ἐκάλουν, κέχρηται δὲ τῇ λέξει καὶ Ἀνακρέων· ἔστι δὲ ἀττική. ἔξελε οὖν, φησὶ, κἀμοὶ τὸν χοᾶ (χόα), ὃν κα-

ΓΕ. ὦ φίλτατε, σπονδαὶ γάρ εἰσι σοὶ μόνῳ,
μέτρησον εἰρήνης τί μοι, κἂν πέντ' ἔτη.
ΔΙ. τί δ' ἔπαθες;
ΓΕ. ἐπετρίβην ἀπολέσας τὼ βόε.
ΔΙ. πόθεν;
ΓΕ. ἀπὸ Φυλῆς ἔλαβον οἱ Βοιώτιοι.
ΔΙ. ὦ τρισκακοδαίμων, εἶτα λευκὸν ἀμπέχει;
ΓΕ. καὶ ταῦτα μέντοι νὴ Δί' ὥπερ μ' ἐτρεφέτην
ἐν πᾶσι βολίτοις.
ΔΙ. εἶτα νυνὶ τοῦ δέει;
ΓΕ. ἀπόλωλα τὼφθαλμὼ δακρύων τὼ βόε.
ἀλλ', εἴ τι κήδει Δερκέτου Φυλασίου,
ὑπάλειψον εἰρήνῃ με τὼ 'φθαλμὼ ταχύ.
ΔΙ. ἀλλ', ὦ πόνηρ', οὐ δημοσιεύων τυγχάνω.
ΓΕ. ἴθ' ἀντιβολῶ σ', ἤν πως κομίσωμαι τὼ βόε.
ΔΙ. οὐκ ἔστιν, ἀλλὰ κλᾶε πρὸς τοὺς Πιττάλου.

S. — „Plautus Rud. 4, 3, 88.: *tu abi tacitus tuam viam, κατὰ σεαυτὸν τρέπου.*" *Br.* „annotavit K., hunc versum etiam in Nub. 1215. occurrere. sensus non valde dissimilis est in Av. 12. *α. οἶμοι. β. σὺ μὲν, ὦ τᾶν, τὴν ὁδὸν ταύτην ἴθι.*" *Elmsl.*

955. *κἂν*, *saltem*.

957. *Φυλῆς. ὄνομα δήμου. καὶ Μένανδρος Δυσκόλῳ Νομίζετ' εἶναι τὸν τόπον Φυλήν.* S. — pagus Atticae, de quo vide Meursium. *Br.* cf. Plut. 1142.

958. *λευκὸν ἀμπέχῃ. ἀντὶ τοῦ λευχειμονεῖς.* — S. solitus ille color vestium ap. Graecos, sed lugentium niger fuit, qualem decere rusticum ait Dicaeopolis ridicule propter boves amissos. indignantis est εἶτα, ut 960. et passim.

960. *βόλιτον οἱ Ἀττικοὶ οὕτως ἔλεγον χωρὶς τοῦ β, ὅπερ ἡμεῖς βόλβιτον. λέγει δὲ ἀντὶ τοῦ ἐν πάσῃ τρυφῇ, ἐν πᾶσιν ἀγαθοῖς. βολίτοις δὲ, ὅτι περὶ βοῶν ὁ λόγος αὐτῷ.* (ἄλλως.) *δέον εἰπεῖν ἐν πᾶσιν ἀγαθοῖς, βολίτοις εἶπε, παρ' ὑπόνοιαν παίζων. ἢ ἐπειδὴ διὰ τῆς κόπρου τὰ σπέρματα θάλλειν ποιοῦσιν οἱ γεωργοί, καὶ καρπὸν πλεῖστον ποιεῖν, ἐξ οὗ τρέφονται, τοῦτο εἴρηκε.* S. similiter, annotante Be., Vesp. 677. *ἔζων ἐν πᾶσι λαγῴοις* etc., ubi itidem S.: *ἐν ἀγαθοῖς πᾶσι· τοῦτο γὰρ δηλοῖ τὸ ἐν πᾶσι λαγ., ἀντὶ τοῦ ἐν τρυφῇ.* cf. 917., 921. etc.

962. *Δερκ.* nomen rustici a *δέρκειν*, ridiculum illud in homine coecutiente.

963. *ὑπάλ.* velut medicamento aliquo. cf. 981.

964. *οὐ δημ. τυγχάνω. δημοσίᾳ χειροτονούμενοι ἰατροὶ* [*καὶ δημόσιοι*] *προῖκα ἐθεράπευον. φησὶν οὖν καὶ οὗτος, ὅτι οὐ τῶν δημοσιευθέντων ἰατρῶν τυγχάνω, οἷον οὐ κοινῇ ἐσπεισάμην, τουτέστι σὺν τῇ πόλει, ἰδίᾳ δὲ καὶ ἐμαυτῷ μόνῳ.* S. Plato Gorgia p. 351, E. *κἂν εἰ ἐπιχειρήσαντες δημοσιεύειν παρεκαλοῦμεν ἀλλήλους, ὡς ἱκανοὶ ἰατροὶ ὄντες.* paulo inferius ap. Platonem *τῷ δημοσιεύειν* opponitur *ἰδιωτεύειν*, *medicinam privatim exercere.* Elmsl. „cf. Schneider. ad Xenoph. Memor. Socr. 4, 2, 5." *Dind.*

965. *ἴθ' ἀντ. ἱκετεύω· δός μοι τῆς εἰρήνης, ὅπως ἀπολάβω τοὺς βόας.* S.

966. *πρὸς* (*τοὺς*) *Πιττάλου. ὁ Πίτταλος οὗτος ἰατρὸς παρὰ Ἀθηναίοις. λείπει δὲ* [*τοὺς*] *μαθητάς. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ἐκεῖνος εἶπεν*

ΓΕ. σὺ δ' ἀλλά μοι σταλαγμὸν εἰρήνης ἕνα
εἰς τὸν καλαμίσκον ἐνστάλαξον τουτονί.
ΔΙ. οὐδ' ἂν στριβιλικιγξ, ἀλλ' ἀπιὼν οἴμωζέ ποι.
ΓΕ. οἴμοι κακοδαίμων τῶν γεωργοῦν βοιδίοιν!
ΧΟ. ἀνὴρ ἀνεύρηκέν τι ταῖς ἀντ.
σπονδαῖσιν ἡδύ, κοὐκ ἔοικεν οὐδενὶ μεταδώσειν.
ΔΙ. κατάχει σὺ τῆς χορδῆς τὸ μέλι. τὰς σηπίας στάθευε.
ΧΟ. ἤκουσας ὀρθιασμάτων;
ΔΙ. ὀπτᾶτε τἀγχέλεια.
ΧΟ. ἀποκτενεῖς λιμῷ με καὶ
τοὺς γείτονας, κνίσῃ τε καὶ φωνῇ τοιαῦτα λάσκων.
ΔΙ. ὀπτᾶτε ταυτὶ καὶ καλῶς ξανθίζετε.

ὑπάλειψον (ὑπάλειψόν μου, vel με) τοὺς ὀφθαλμούς· ὡσεὶ ἔλεγεν „ἄπελθε, ἐχρίου παρὰ Πιττάλου.“ S. commemoratur hic medicus etiam infra 1137. Σπίτταλον vocat Suidas h. v., nisi forte τοὺς Πιττάλου accepit pro τοῦ Σπιττάλου. Bentl. malebat τοῦ Πιττ., ut Rav., collatis hujus fabulae 1137. et Vesp. 1386. (παράτρεχ' ἐς τὰ Πιττάλου.); Br. vel οἴκους intelligebat, vel μαθητάς, ut S. cf. scriptores ellipsium graecarum.

967. ἀλλά, saltem, ut 191., Lys. 839. etc. cf. Elmsl.

968. καλαμ. τὸν χαλκοῦν ἢ τὸν ἀργυροῦν, οἷους ἔχουσιν οἱ ἰατροί. S. at nihil negotii est bono viro Dercetae cum medicis. Be.: *calamum*; Wieland.: *Röhrchen*. culmum frumenti forte in manu tenuisse videtur rusticus.

969. στριβ. ἀντὶ τοῦ οὐδὲ ῥανίδα. στρίβος δὲ καλεῖται ἡ λεπτὴ καὶ ὀξεῖα βοή. λίκνιγξ δὲ ἡ ἐλαχίστη βοὴ τοῦ ὄρνέου. (?) λέγει δὲ, ὅτι οὐδὲ ἐλάχιστόν σοι μέρος μεταδίδωμι. τοῖν γεωργοῖν δὲ τοῖν τὴν γῆν ἐργαζομένοιν.

973. Eccles. 126. σηπίαις ἑσταθευμέναις. Be. ibidem 552. κάθησο τοίνυν σηπίας μασωμένη. ad quae Bisetus: Σουίδας οἱονεὶ τρυφῶσα διὰ τὴν ἐξουσίαν. ὃ ἐλέγχει τὰς σηπίας πάλαι παρὰ τοῖς ἀβροδιαίτοις ἐν τιμῇ γενέσθαι. περὶ δὲ τούτων ὁ Ἀθήναιος ἐν τῷ η' τῶν Δειπνοσοφ. (tom. 3. p. 187. seqq. ed. Schweigh.) ταῦτα παραδίδωσιν· ἡ δὲ σηπία, φησὶ, καὶ ἑψομένη μὲν ἁπαλή, καὶ εὔστομος, καὶ εὔπεπτος, ἔτι δὲ καὶ εὔκοιλος (εὐκοίλιος). ὁ αὐτὸς Σουίδας μαρτυρεῖ τοὺς προσήκοντας τοῖς προσήκουσιν, ὅτε ἡ Ἀμφιδρόμια ἐποιεῖτο, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας καὶ σηπίας δῶρα πέμπειν εἰωθότας. senex Plautinus Cas. 2, 8, 55. *Abi atque obsona! propera! sed lepide volo:* Molliculas escas, *ipsa ut mollicula est.* OL. *licet.* ST. *Emito sepiolas, lepadas, lolligiunculas* etc. Contra Trallianus libro 7., annotante Brodaeo Miscell. 7, 3., sepiam τοῖς σκληροσάρκοις piscibus annumerat; et Tan. Faber ad Eccles. 552.: „Sepiae igitur,“ inquit, „iis temporibus majoris fiebant quam hodie (vide Athenaeum), aut lautius condiebantur: nam malim me coria edere quam ejusmodi piscem.“ ceterum maris accolae comedere solent sepias in nitro coctas.

974. ὀρθ. ἀνατάσεως ῥημάτων, τῶν μετὰ βοῆς κόμπων. — S. „Aeschylus Cho. 269. κἀξορθιάζων πολλά. ubi scholia: ἀνατεταμένως βοῶν. occurrit ap. eundem aliquoties verbum ὀρθιάζειν.“ Be. rursum S.: τὰ 'γχέλεια. ἢ λείπει τὰ κρέα, ἵν' ᾖ τὰ ἐγχέλεια κρέα, ἢ λέγει τὰς ἐγχέλεις. λάσκων δὲ φωνῶν, βοῶν.

976. κνίσῃ. vulgo κνίσσῃ. de scriptura hujus vocis certant grammatici. si κνίσσα dixissent vett., in κνίττα mutassent Attici. *Elmsl.*

977. ξανθ. οἷον τῷ μέλιτι χρίετε. ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε.—S. cf. 1036.

ΠΑ. Δικαιόπολι . .
ΔΙ. τίς οὗτοσί; τίς οὗτοσί;
ΠΑ. ἔπεμψέ τίς σοι νυμφίος ταυτὶ κρέα
ἐκ τῶν γάμων...
ΔΙ. καλῶς γε ποιῶν, ὅστις ἦν.
ΠΑ. ἐκέλευε δ' ἐγχέαι σε τῶν κρεῶν χάριν,
ἵνα μὴ στρατεύοιτ', ἀλλὰ βινοίη μένων,
ἐς τὸν ἀλάβαστον κύαθον εἰρήνης ἕνα.
ΔΙ. ἀπόφερ', ἀπόφερε τὰ κρέα καὶ μή μοι δίδου,
ὡς οὐκ ἂν ἐγχέαιμι χιλίων δραχμῶν.
ἀλλ' αὐτηῖ τίς ἐστιν;
ΠΑ. ἡ νυμφεύτρια·
δεῖται παρὰ τῆς νύμφης τι σοὶ λέξαι μόνῳ.
ΔΙ. φέρε δή, τί σὺ λέγεις; — ὡς γελοῖον, ὦ θεοί,
τὸ δέημα τῆς νύμφης, ὃ δεῖταί μου σφόδρα,
ὅπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου.
φέρε δεῦρο τὰς σπονδάς, ἵν' αὐτῇ δῶ μόνῃ,
ὁτιὴ γυνή 'στι, τοῦ πολέμου τ' οὐκ ἄξια.
ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον, ὦ γύναι.
οἶσθ', ὡς ποιεῖται τοῦτο; τῇ νύμφῃ φράσον,
ὅταν στρατιώτας καταλέγωσι, τουτῳῖ

978. τίς οὗτοσί; indignabundus hoc ingeminat senex, iterum interpellatus. cf. 984., 1009.

979. „ita recte libri. ταυτὶ ponitur δεικτικῶς et quasi in parenthesi. verte: *has sent you some meat; here it is.* Eccles. 70. νὴ τὴν Ἑκάτην καλὸν ἔγωγε τουτονί. lege ἔγωγε τουτονὶ καλόν." *Porson. ap. Dobr.* Br.: ἔπεμψέ τίς σοι τὰ κρέα ταῦτα νυμφίος, cum censeret, articulum non recte abesse. sed Elmsl. ita solere ait Atticos, cum loquantur δεικτικῶς, velut supra 130. ταυτασὶ λαβὼν ὀκτὼ δραχμάς, 187. τρία γε ταυτὶ γεύματα etc.

981. ἐγχέαι. cf. 963.

983. — ἐς τὸν ἀλάβαστρον, εἰς τὴν μυροθήκην'. S. ἀλάβαστον codd. A et C ap. Br., Suidas v. ἀλαβαστοθήκας, Elmsl., D. Thomas Mag.: ἀλάβαστον δίχα τοῦ ρ Ἀττικοί· μετὰ δὲ τοῦ ρ Ἕλληνες. Lys. quoque 882. codex C ἀλάβαστον. cf., quos laudant, Athen. 3. p. 365, D., Eustath. p. 1161, 29., Maussac. ad Harpocrat. v. ἀλαβαστοθῆκαι. de unguentorum usu in nuptiis Elmsl. conferri iussit Plut. 525.

986. — κωφὸν εἰσάγει τὸ πρόσωπον τῆς νυμφευτρίας (pronubae). S.

988. φέρε — λέγεις; παραθεὶς τὸ οὖς ἤκουσεν ὁ Δικαιόπολις τῆς νυμφευτρίας. S.

990. οἰκ., *domi maneat*, neque in bellum proficiscatur.

993. τοὐξάλ. πρόφερε τὸ ἀλάβαστρον, φησίν, ἐξ οὗ ἀλείφονται οἱ δεικνοῦντες, τὴν τοῦ μύρου λήκυθον. — S. Elmsl.: τοὐξ. Hesych.: ἐξαλίγυρον (sic): σκεῦος ἀργυροῦν φιάλῃ παραπλήσιον, ἐξ οὗ ἐν τοῖς συμποσίοις ἤλειφον τὸ (l. ἠλείφοντο) μύρον. vocem ἐξάλειπτρον hinc allegat Pollux 10, 121.

995. τουτῳῖ. τῷ ἀλείμματι. λέγει δὲ τῇ εἰρήνῃ. τὸ δὲ καταλέγωσιν ἀντὶ τοῦ κατατάττωσιν. S.

νύκτωρ ἀλειφέτω τὸ πέος τοῦ νυμφίου.
ἀπόφερε τὰς σπονδάς· φέρε τὴν οἰνήρυσιν,
ἵν' οἶνον ἐγχέω λαβὼν ἐς τοὺς χόας.
ΧΟ. καὶ μὴν ὁδί τις τὰς ὀφρῦς ἀνεσπακὼς,
ὥσπερ τι δεινὸν ἀγγελῶν, ἐπείγεται.
ΚΗ. ἰὼ πόνοι τε καὶ μάχαι, καὶ Λάμαχοι!
ΛΑ. τίς ἀμφιχαλκοφάλαρα δώματα κτυπεῖ;
ΚΗ. ἰέναι σ' ἐκέλευον οἱ στρατηγοὶ τήμερον,
ταχέως λαβόντα τοὺς λόχους καὶ τοὺς λόφους,
κἄπειτα τηρεῖν νιφόμενον τὰς εἰσβολάς·
ὑπὸ τοὺς Χόας γὰρ καὶ Χύτρους αὐτοῖσί τις
ἤγγειλε λῃστὰς ἐμβαλεῖν Βοιωτίους.
ΔΙ. ἰὼ στρατηγοὶ πλείονες ἢ βελτίονες,
οὐ δεινὰ μὴ 'ξεῖναί με μηδ' ἑορτάσαι;
ἰὼ στράτευμα πολεμολαμαχαϊκόν!
ΛΑ. οἴμοι κακοδαίμων, καταγελᾷς ἤδη σύ μου;
ΔΙ. βούλει μάχεσθαι Γηρυόνῃ τετραπτίλῳ;

997. *οἰν. τὴν τοῦ οἴνου κοτύλην, ἣ ἀρύονται.* S. cf. 231.

999. *τὰς ὁ ἀν. ἐσκυθρωπακώς.* S.

1001. non Nuncii, sed Praeconis haec verba esse, animadvertit Elmsl. cf. 1013.— *μάχαι καὶ Λάμαχοι.* paronomasia. cf. 539., 1004.

1002. *ἀμφ. ἀντὶ τοῦ πολύχαλκα. τραγικώτερον δὲ λέγει διὰ τὸ μεγαλοῤῥῆμον τοῦ Λαμάχου.* S. proprie Lamachus dicendus erat *ἀμφιχαλκοφάλαρος.*

1003. *ἰέναι, proficisci, ausrücken, marschieren.* verbum militare.

1005. *τὰς εἰσβολάς, τὰς εἰσόδους τῶν πολεμίων στρατῶν. νιφόμενον δὲ, ὡς χιόνος οὔσης.* S. v. 1071.

1006. *Θεόπομπος τοὺς διασωθέντας ἐκ τοῦ κατακλυσμοῦ ἐφῆσαί φησι χύτρας πανσπερμίας· ὅθεν οὕτω κληθῆναι τὴν ἑορτὴν, καὶ θύειν τοῖς Χουσὶν Ἑρμῇ χθονίῳ, τῆς δὲ χύτρας οὐδένα γεύσασθαι. τοῦτο δὲ ποιῆσαι τοὺς περισωθέντας, ἱλασκομένους τὸν Ἑρμῆν καὶ περὶ τῶν ἀποθανόντων. ἦγετο δὲ ἡ ἑορτὴ Ἀνθεστηριῶνος τρίτῃ ἐπὶ δέκα, ὡς Φιλόχορος.* S. „Lenaeorum sive Anthesteriorum 1. dies *Πιθοιγία* dictus est, 2. *Χόες*, 3. *Χύτροι*, ut ex certis veterum testimoniis satis novimus. celebrantur *Χόες* Anthesterionis die 12., qui Olympiadis 88. anno 3. ex Dodwelli rationibus incidit in Februarii diem Julianum 13., Gregorianum vero 8." *Elmsl.* cf. annot. 7. ad argum. fabulae.

1008. perperam hic versus Lamacho tribuitur in libris. non Lamachi scilicet est invehi in duces Atheniensium. S.: *ὁ Δικαιόπολις Οὐ δεινὸν, φησὶ, μὴ ἐξουσίαν ἔχειν με ἑορτάσαι; ἴσως διὰ τὸν τῶν στρατιωτῶν θόρυβον.* S.

1012. taedet ineptiarum scholiastae. neque locustae hic aguntur, neque Geryon iste, quem Hercules interfecit, sed tropice, ut *πτερύγων* 911., vocatur *τετραπτίλος* quadrupes, canis catenarius in introitu Dicaeopolidis, more veterum, quem illustrant Plauti interpp. ad Most. 3, 2. 162. eum canem ridicule senex appellat *Γηρυόνην* a *γῆρυς, vox, latratus*, minitans se catenam ei exsoluturum, si Lamachus pergat se vultu terrere, quod fecisse videtur. *Vin' pugnare*, inquit, *cum hoc Geryone quadrupede?* simul cogitat fortasse Cerberum tri-

ΔΑ. αἰαῖ,
οἵαν ὁ κήρυξ ἀγγελίαν ἤγγειλέ μοι!
ΔΙ. αἰαῖ, τίνα δ' αὖ μοι προστρέχει τις ἀγγελῶν;
ΔΑ. Δικαιόπολι...
ΔΙ. τί ἐστιν;
ΔΑ. ἐπὶ δεῖπνον ταχὺ
βάδιζε, τὴν κίστην λαβὼν καὶ τὸν χόα·
ὁ τοῦ Διονύσου γάρ σ' ἱερεὺς μεταπέμπεται.
ἀλλ' ἐγκόνει· δειπνεῖν κατακωλύεις πάλαι,
τὰ δ' ἄλλα πάντ' ἐστὶν παρεσκευασμένα,
κλῖναι, τράπεζαι, προσκεφάλαια, στρώματα,
στέφανοι, μύρον, τραγήματ', αἱ πόρναι πάρα,
ἄμυλοι, πλακοῦντες σησαμοῦντες, ἰτρία,
ὀρχηστρίδες, τὰ φίλτατ' Ἁρμοδίου, καλαί.
ἀλλ' ὡς τάχιστα σπεῦδε.
ΔΑ. κακοδαίμων ἐγώ!
ΔΙ. καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα. —
ξύγκλειε, καὶ δεῖπνόν τις ἐνσκευαζέτω.

corporem, qualis fuisse dicitur Geryon. ut Γηρυόνης canis h. l., ita boum Solis vox dicitur γῆρυς ap. Euripidem Troad. 430.

1016. βάδιζε τὴν κίστιν. (v. 1068. sic, ut impressi, et Suid. in χοᾶ: sed MS. κίστην, ut 1029., Equ. 1211. et alibi ap. hunc nostrum: vid. Elmsl.) τότε γὰρ οἱ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους, καὶ μύρα, καὶ τραγήματα, καὶ ἄλλα τοιαῦτα παρετίθεσαν, οἱ δὲ καλούμενοι ἔφερον ἐψήματα. κίστιν δὲ τὴν ὀφοθήκην. Ὅμηρος (Od. ζ, 76.) μήτηρ δ' ἐν κίστῃσι (κίστῃ) ἑτίθει μενοεικέ' ἐδωδήν, Ὀφά τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες. χοᾶ (χόα) δὲ ἐπεφέροντο οἱ καλούμενοι, ἵνα μὴ κοινωνῶσιν ἄλλου ποτηρίου διὰ τὴν ἐπὶ Ὀρέστῃ γενομένην αἰτίαν. S. cf. 902.

1017. moris erat ut in Bacchi festo sacerdos ejus lautam coenam pararet. compellat eum in theatro sedentem histrio Ran. 290. — *Elmsl.*

1018. ἐγκόνει. ἀντὶ τοῦ σπεῦδε· μέλλοντας γὰρ αὐτοὺς δειπνεῖν ἐπέχεις. S.

1021. τραγ. cf. Plut. 190.

1022. ἄμυλοι. genus placentae. cf. Pac. 1123. S.: σησαμ. — σησαμοῦς μὲν εἶδος πλακοῦντος —. (cf. annot. ad Pac. 820. ἰτρία δὲ καπυρωθὴ (ita Dobr. pro καὶ πυρωθη.) πλάσματα. Elmsl.: „ἰτρία. Athen. p. 646, C. ἴτριον. πεμμάτιον λεπτὸν διὰ σησάμου καὶ μέλιτος γενόμενον (cf. 1060.) — Ἀριστοφ. Ἀχαρνεῦσι· πλακοῦντες, (sic l. l. prava interpunctione.) σησαμοῦντες, ἰτρια. accentus incertus est."

1023. Ἁρμόδιος dictus pro scolio, ad quod saltabant, et fortasse ipsum convivium intelligitur ἀπὸ μέρους, ut saltatrices ejus deliciae dicantur. cf. 919.

1025. ἐπιγράφεσθαι, patronum adsciscere, legitur etiam in Pace 659. sensus hujus loci talis fere videtur, jure κακοδαίμονα esse Lamachum, qui δαίμονα elegerit magnam illam Gorgonem. *Elmsl.* in ejus clipeo depictam. cf. 538.

1026. fores domus suae occludere janitorem jubet Dicaeopolis. cogitandum autem, h. l. ἐκκυκλήματι quodam effictam fuisse scenam bipar-

ΛΑ. παῖ, παῖ, φέρ' ἔξω δεῦρο τὸν γύλιον ἐμοί.
ΔΙ. παῖ, παῖ, φέρ' ἔξω δεῦρο τὴν κίστην ἐμοί.
ΛΑ. ἄλας θυμίτας οἶσε, παῖ, καὶ κρόμμυα.
ΔΙ. ἐμοὶ δὲ τεμάχη· κρομμύοις γὰρ ἄχθομαι.
ΛΑ. θρῖον ταρίχους οἶσε δεῦρο, παῖ, σαπροῦ.
ΔΙ. κἀμοὶ σὺ δή, παῖ, θρῖον· ὀπτήσω δ' ἐκεῖ.
ΛΑ. ἔνεγκε δεῦρο τῷ πτερῷ τῷ 'κ τοῦ κράνους.
ΔΙ. ἐμοὶ δὲ τὰς φάττας γε φέρε καὶ τὰς κίχλας.
ΛΑ. καλόν γε καὶ λευκὸν τὸ τῆς στρουθοῦ πτερόν.
ΔΙ. καλόν γε καὶ ξανθὸν τὸ τῆς φάττης κρέας.
ΛΑ. τὸ λοφεῖον ἐξένεγκε τῶν τριῶν λόφων.
ΔΙ. κἀμοὶ λεκάνιον τῶν λαγῴων δὸς κρεῶν.
ΛΑ. ἀλλ' ἢ τριχοβρῶτες τοὺς λόφους μου κατέφαγον.

titam, quae simul monstraret contiguas Lamachi et Dicaeopolidis domos interiores; quale artificium etiam ap. Plautum Mostellaria 701. deprehendere mihi visus sum.

1027. γυλιὸς (sic) σπυριδῶδες πλέγμα, ἐν ᾧ τὰς τροφὰς ἔχοντες οἱ στρατιῶται ἐβάδιζον ἐπὶ πόλεμον. S. mendose Hesych., monente Br.: γύλλιον: ἀγγεῖον πλεκτόν. cf. 1067., Pac. 516.

1028. τὴν κίστην. cf. 1016.

1029. ἅλας θυμ. cf. 727. cibus vilis pauperum et militum.

1031. θρῖον ταρ. ἐπεὶ ἐπὶ φύλλων τὰ τεμάχη βαλλόμενα βαστάζονται. σαπροῦ δὲ ἀντὶ τοῦ [παλαιοῦ καὶ] μὴ νέου. σκεύασμα δέ τι παρὰ Ἀθηναίοις τὸ θρῖον (θρῖον), ὅπερ λαμβάνει ὗειον στέαρ, ἢ ἐρίφειον, καὶ σεμίδαλιν, καὶ γάλα, καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον ἥδιστον ἀποτελεῖ βρῶμα. οὕτω Δίδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία θρῖον, ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ κατασκευαζόμενος, καὶ ἑλιττόμενος ἐν φύλλῳ συκῆς, καὶ ὀπτώμενος. S. cf. de hoc cibi genere Pollux 6, 57., quem nonnihil emendavit Elmsl.

1035. τῆς στρουθοῦ, struthiocameli, quam avem similiter struthionem vocari a quibusdam latinis scriptoribus annotavit Locella ad Xenoph. Ephes. p. 156. Hesych., quem laudavit Br., στρουθός: ὁ καταφερὴς καὶ λάγνος· Ἀττικοὶ δὲ τὰς στρουθοκαμήλους. cf. Eustath. ad Odyss. p. 1411., l. 11.

1037. hic versus cum sequentibus 5 transpositi sunt in libris; quod animadvertit doctissimus Boissonad. ap. F. A. Wolfium Analect. 3. p. 79. sequ. vulgo enim hoc ordine leguntur: 1041., 1042., 1037—1040.; sed recte Boissonadeus: „Quid sibi vult," inquit, „istud προσαγορεύειν ἐμέ; nam in praecedente versiculo ἀλλ' ἢ etc. nulla est προσαγόρευσις. — Jam sunt omnia facilia et apte conjuncta. Lamachus a Dicaeopolide compellari se indignatur, βούλει μὴ προσαγ. ἐμὲ, quippe qui verba ὦνθρωπε, — κίχλας sibi dicta fuisse, ut erant revera, credere potuit. praeterea lepida est e proximo formulae ὦνθρωπε βούλει iteratio, quam haud dubie quaesivit poëta, ut patet e simili lusu in verbis alternis καλόν γε καὶ λευκὸν, καλόν γε καὶ ξανθόν· ἀλλ' ἢ τριχοβρῶτες, ἀλλ' ἢ πρὸ δείπνου" etc. cf. 1047. seqq. S.: τὸ λοφίον. (sic.) ἐὰν μὲν ὑποκοριστικὸν, βηλοῖ ἐλάττονα τῶν τριῶν λόφων (inepte)· ἐὰν δὲ διὰ τῆς ει διφθόγγου, περισπᾶται, καὶ δηλοῖ τὴν θήκην.

1039. — ἀλλ' ἢ, sane, profecto. ἀλλ' ἢ interrogativum est et valet num, vid. Valck. ad Hippol. 932. Br. S.: τριχόβρωτες. σῆτες. θρὶψ σκώληξ κατεσθίων τὰς τρί-

προσλάβεσθ', ὦ φίλαι!
ΛΑ. ἱλιγγιῶ κάρα λίθῳ πεπληγμένος, i. tr.
καὶ σκοτοδινιῶ. dm.
ΔΙ. κἀγὼ καθεύδειν βούλομαι, καὶ στύομαι,
καὶ σκοτοβινιῶ.
ΛΑ. θύραζέ μ' ἐξενέγκατ' ἐς τοῦ Πιττάλου i. tr. sim. 966.
παιωνίαισι χερσίν! a.
ΔΙ. ὡς τοὺς κριτάς μ' ἐκφέρετε! ποῦ 'στιν ὁ βασιλεύς;
ἀπόδοτέ μοι τὸν ἀσκόν!
ΛΑ. λόγχη τις ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτή! i. t. c.
ΔΙ. ὁρᾶτε τουτονὶ κενόν! τήνελλα, καλλίνικος!
ΧΟ. τήνελλα δῆτ', εἴπερ καλεῖς γ', ὦ πρίσβυ, καλλίνικος!
ΔΙ. καὶ πρός γ' ἄκρατον ἐγχέας ἄμυστιν ἐξέλαψα.
ΧΟ. τήνελλα, νῦν, ὦ γεννάδα, χώρει λαβὼν τὸν ἀσκόν!
ΔΙ. ἕπεσθε νῦν ᾄδοντες ὦ τήνελλα καλλίνικος.
ΧΟ. ἀλλ' ἑψόμεσθα σὴν χάριν, i. d. ἐπ.
Τήνελλα, καλλίνικον ᾄδοντές σε, καὶ τὸν ἀσκόν. i. t. c.

'Αθήνησιν, 'Απόλλωνι ἴσως ἀνακειμένη. —

1134. ἱλιγγιῶ. cf. 546. idem σκοτοδινιῶ sequ. versu.

1136. ita Rav., D. vulgo ἐς τὸν Πιττ., in quo Br. intelligebat οἶκον, quod fieri posse negat Elmsl., sed aedes Atticis esse οἰκίαν, οἶκον conclave, in quo coenabant vett., etsi hanc distinctionem recentiores neglexerint. eidem in formula ἐς τοῦ Πιττ. abundare videbatur articulus itaque edidit ἐς τὰ Πιττ. cf. 966.

1139. παιωνν. χερσίν. ταῖς ὑγιεινραῖς, ταῖς θεραπευτικαῖς. gl. Victor. similiter Aeschylus Suppl. in fine, Soph. Philoct. 1263. παιώνια φάρμακα dixit Aeschylus Ag. 858. annotavit Be.

1140. ὁ βασ. δηλοῖ, ὡς ἄρα τὴν ἐπιμέλειαν ὁ βασιλεὺς εἶχε τῆς ἀμίλλης τοῦ χοροῦ, καὶ τὸ ἄθλον ἐδίδου τῷ νικήσαντι, τὸν ἀσκόν. ὁ δὲ βασιλεὺς ἀρχή τίς ἐστιν. ἦν δὲ καὶ τῶν μυστηρίων ἐπιμελητὴς τῶν πομπῶν. καὶ τῶν θυσιῶν δὲ ἦρχεν. S. Pollux 8, 90. ex Aristotele: ὁ δὲ βασιλεὺς μυστηρίων προέστηκε μετὰ τῶν ἐπιμελητῶν, καὶ Ληναίων, καὶ ἀγώνων τῶν ἐπὶ λαμπάδι. Lenaeis actam esse hanc fabulam, ex v. 469. satis constat. Dionysia ἐν ἄστει curabat "Αρχων ἐπώνυμος. Elmsl.

130. πρότερος. ll. πρῶτος, quod cuinam placeat illatum post πρῶτα in eadem sententia? simili errore πρότερον in πρῶτον videtur mutatum esse apud Athenaeum 3, 77, f.

131. quod Rav. habet, εἶθ' οὗτοσὶ, videtur esse εἷς θοὑτοσὶ, h. e. εἷς τοι οὗτοσί. S.: πώλης. παρὰ τὸ τέλος τοῦ ὀνόματος παίζει. est enim fere inusitata per se vox πώλης: v. Schneider. in lex. h. v.

ΔΗ. μετὰ τοῦτον αὖθις προβατοπώλης δεύτερος.
ΝΙ. δύο τώδε πώλα. καὶ τί τόνδε χρὴ παθεῖν;
ΔΗ. κρατεῖν, ἕως ἕτερος ἀνὴρ βδελυρώτερος
αὐτοῦ γένοιτ' ἄν. μετὰ δὲ ταῦτ' ἀπόλλυται·
ἐπιγίγνεται γὰρ βυρσοπώλης, ὁ Παφλαγών,
ἅρπαξ, κεκράκτης, Κυκλοβόρου φωνὴν ἔχων.
ΝΙ. τὸν προβατοπώλην ἦν ἄρ' ἀπολέσθαι χρεὼν
ὑπὸ βυρσοπώλου;
ΔΗ. νὴ Δί'.
ΝΙ. οἴμοι δείλαιος!
πόθεν οὖν ἂν ἔτι γένοιτο πώλης εἷς μόνος;
ΔΗ. ἔτ' ἐστὶν εἷς, ὑπερφυᾶ τέχνην ἔχων.
ΝΙ. εἰπέ', ἀντιβολῶ, τίς ἐστιν;
ΔΗ. εἴπω;
ΝΙ. νὴ Δία.
ΔΗ. ἀλλαντοπώλης ἔσθ' ὁ τοῦτον ἐξελῶν.

132. προβ. τὸν Καλλίαν λέγει, καὶ τὴν πολιτείαν αὐτοῦ. τινὲς δὲ, ὅτι Ἀυσικλέα λέγει, ὃς προβατοπώλης ἐλέγετο. S., quem vide etiam infra ad 688. sequ. Hesych., laudante K.: προβατοπώλης. οὕτως ἐκωμῳδεῖτο Ἀυσικλῆς, γήμας Ἀσπασίαν τὴν πόρνην. Plut. Pericle, c. 24.: Αἰσχίνης δέ φησι, καὶ Ἀυσικλέα τὸν προβατοκάπηλον ἐξ ἀγενοῦς καὶ ταπεινοῦ τὴν φύσιν Ἀθηναίων γενέσθαι πρῶτον. disciplina sua id effecisse creditur Aspasia: vid. Jacobs. l. l. ad Ach. 491.

134. Rav., Bekk., asperiore numero ἕως ἄν ἕτ. ἀν. β. α. γένοιτο. in vulgatis libris ἄν desideratur.

137. ποταμὸς τῆς Ἀττικῆς χειμάῤῥους ὁ Κυκλοβόρος, ὑπὸ Ἀθηναίων χωσθείς. (cf. Ach. 351.) τὴν κακοφωνίαν· οὐν τοῦ Κλέωνος εἴκασε τῷ ἤχῳ τοῦ ποταμοῦ etc. S. cf. ann. ad 404.

140. πώλης εἷς μόνος. ἔχων ἐν τῷ τέλει τὸ ὄνομα (τοῦ ὀνόμα-
α
τος [ὀνόμ: vid. Bast. append. Epist. crit. p. 16.]) τὸ πώλης. διαβάλλει δὲ τοὺς Ἀθηναίους, ὡς ἀγοραίους καὶ βαναύσους καθισταντας τοὺς δημαγωγούς. S.

141. ὑπερφυᾶ. ὑπερβάλλουσαν, θαυμαστὴν, καὶ λαμπράν. ἐξαίρει δὲ νῦν αὐτοῦ τὴν τέχνην, ἵνα μᾶλλον ὀνειδίσῃ φανείσης [αὐτοῦ τῆς τέχνης] λίαν εὐτελοῦς. ἐξολῶν (sic) δὲ ἐκβαλεῖν μέλλων τῆς πολιτείας τὸν Κλέωνα. (ἐξολῶν etiam vulgo libri Aristophanei, quibus fidem habentes librarii lemma scholii mutaverint, ut saepe factum (v. ann. ad Ach. 5.). ipsius enim scholiastae interpretatio convenit verbo ἐξελῶν, quod ex Rav. codice restituerunt Bekk. et D.) ἀλλαντοπώλην δὲ τὸν Ἀγοράκριτον λέγει, οὕτως αὐτῷ πεπλασμένον κατὰ κωμικὴν παιδιάν. S.

143. Haec legenti in mentem veniat sycophantae istius, qui nostra memoria viguit, Hispani Godoy, quî etiam ipse ἀλλαντοπώλης vocatus est a seditioso populo per derisionem. acclamabat enim ei vulgus, cum in carcerem duceretur mense Martio 1808., *Muera el chorisero* (pereat isiciarius)! „Diesen Spottnamen pflegt man den Extremadurern zu geben, weil sie besonders gute Würste machen, und einen bedeutenden Handel damit treiben. Godoy war ein Extremadurer.“ F. X. Rigel's Siebenjähr. Kampf auf der pyrenäischen Halbinsel, 1. Th. S. 196.

ΝΙ. ἀλλαντοπώλης; ὦ Πόσειδον, τῆς τέχνης!
φέρε, ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν;
ΔΗ. ζητῶμεν αὐτόν. ἀλλ' ὁδὶ προσέρχεται,
ὥσπερ κατὰ θεῖον, εἰς ἀγοράν. — Ὦ μακάριε
ἀλλαντοπῶλα, δεῦρο, δεῦρ', ὦ φίλτατε,
ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς!
ΑΛ. τί ἐστι; τί με καλεῖτε;
ΔΗ. δεῦρ' ἔλθ', ἵνα πύθῃ,
ὡς εὐτυχὴς εἶ καὶ μεγάλως εὐδαιμονεῖς.
ΝΙ. ἴθι δή, κάθελ' αὐτοῦ τοὐλεὸν, καὶ τοῦ θεοῦ
τὸν χρησμὸν ἀναδίδαξον αὐτὸν ὡς ἔχει·
ἐγὼ δ' ἰὼν προσκέψομαι τὸν Παφλαγόνα.
ΔΗ. ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί·
ἔπειτα τὴν γῆν πρόσκυσον καὶ τοὺς θεούς.
ΑΛ. ἰδού. τί ἐστιν;
ΔΗ. ὦ μακάρι', ὦ πλούσιε!
ὦ νῦν μὲν οὐδείς, αὔριον δ' ὑπέρμεγας!
ὦ τῶν Ἀθηνῶν ταγὲ τῶν εὐδαιμόνων!

146. ἀλλ' — ἀγοράν. perperam haec Niciae tribuuntur, qui non novit isiciarium.

147. κατὰ θεῖον. ἐπὶ τῶν ἐξαίφνης γινομένων [, τουτέστιν εὐκαίρως ἐπιφαινομένων,] κατὰ θεῖον ἔλεγον. ἐπεὶ καὶ ὁ ἀλλαντοπώλης αἰφνίδιον βουλομένοις, μὴ προσδοκήσασι δὲ, ἐπεφάνη αὐτοῖς. S.

149. — ἀναβαίνειν ἐλέγετο τὸ ἐπὶ τὸ λόγιον (λογεῖον) εἰσιέναι. (λόγιον ὁ τῆς σκηνῆς τόπος, ἐν ᾧ οἱ ὑποκριταὶ λέγουσι. gl. Vict.) — τοῦτον δὲ οἱ μὲν Κλεώνυμον, οἱ δὲ Ὑπέρβολον, οἱ δέ φασιν Εὔβουλον εἶναι. — S.

150. Constituitur hic actus 1. scenae 2. initium. B. S.: τί με καλ.; ὁ Ἀγοράκριτος, τουτέστιν ὁ ἀλλαντοπώλης, ταῦτα λέγει. εἰσάγεται δὲ εἰς τὸ θέατρον γελοίου χάριν ἔντερα καὶ κοιλίας καὶ μαγειρικὴν τράπεζαν φέρων.

152. τοὐλεόν. τὸ τραπέζιον, ἐν ᾧ ἦσαν οἱ ἀλλᾶντες. ἑλεοὶ γὰρ λέγονται αἱ μαγειρικαὶ τράπεζαι. καὶ Ὅμηρος· ἐν ἑλεοῖσιν ἔθηκεν. (Iliad. ι', 215. καὶ εἰν ἑλεοῖσιν ἔχευεν.) S. τὸ ἑλεὸν καὶ ὁ ἑλεός· ἐνταῦθα δὲ οὐδετέρως. gl. Vict. cf. 169. Etym. M. v. εἰλεόν: ἐξ εἰλείων ξάβδων ἦσαν πεπλεγμέναι αἱ μαγειρικαὶ τράπεζαι. Hesych. ἑλεοῖσι: τοῖς ἐκ λύγων πεπλεγμένοις. — Duker.

154. προσκέψομαι. περιεργάσομαι, φησὶν, εἰσελθὼν, καὶ κατανοήσω, τί ποιεῖ ὁ Παφλαγών. S.

156. πρόσκυσον. annotarunt interpp., morem fuisse, ut in summis casibus terram adorarent, et inprimis id solitum esse fieri, cum quis in terram peregrinam aut locum sacrum vel aliqua re insignem venisset. cf. Plut. 766., Soph. Philoct. 1326.

157. ἰδού. πεποίηκεν, ὃ προσέταξε. — S.

158. οὐδείς. dicitur et de persona *nullus*, et de homine vili, quia ille οὐδεὶς, *nullus*, est. contra *esse aliquid* (sive *aliquis*) est habere aliquam conditionem, propter quam quis censeatur in rep. Cas.

159. ταγέ. ἀρχηγὲ, ἡγεμών. καὶ Ὅμηρος (Il. ψ', 160.) παρὰ δ' οἱ ταγοὶ ἄμμι μενόντων. S. (fallitur S.: nam ibi legendum est οἵ γ' ἀγοί.)

160 ΑΛ. τί μ', ὦ 'γάθ', οὐ πλύνειν ἐᾷς τὰς κοιλίας,
πωλεῖν τε τοὺς ἀλλᾶντας, ἀλλὰ καταγελᾷς;
ΔΗ. ὦ μῶρε, ποίας κοιλίας; δευρὶ βλέπε.
τὰς στίχας ὁρᾷς γε τῶνδε τῶν λαῶν;
ΑΛ. ὁρῶ.
ΔΗ. τούτων ἁπάντων αὐτὸς ἀρχέλας ἔσει,
καὶ τῆς ἀγορᾶς, καὶ τῶν λιμένων, καὶ τῆς Πνυκός.
Βουλὴν πατήσεις, καὶ στρατηγοὺς κλαστάσεις,
δήσεις, φυλάξεις, ἐν πρυτανείῳ λαικάσεις.
ΑΛ. ἐγώ;
ΔΗ. σὺ μέντοι· κοὐδέπω γε πάνθ' ὁρᾷς.
ἀλλ' ἐπανάβηθι κἀπὶ τοὐλεὸν τοδί,
καὶ κάτιδε τὰς νήσους ἁπάσας ἐν κύκλῳ.
ΑΛ. καθορῶ.
ΔΗ. τί δαί; τἀμπόρια, καὶ τὰς ὁλκάδας;

160. τὰς κοιλίας. Ὅμηρος διὰ παντὸς γαστέρας καλεῖ, οὐ κοιλίας. S.

161. ἀλλᾶς est genus edulii, compositum ex sanguine et intestinis; Latini vocant *botulum*. hoc docent Hesych. et Tertull. in Apolog. (c. 9.), ex quo loco colligitur, botulum esse intestinum sanguine fartum. alio nomine vocatur *isicia* (proprie *insicium*, *insicia*: vid. Forcellini lex. lat. 2. p. 573. B.), gallice *saucisse*. Cas. germ. *Wurst*.

163, 4. τὰς στίχας. τὸ πλῆθος, τὰς τάξεις· τὸ δέατρον δὲ αὐτῷ δεικνὺς ταῦτά φησιν. ἀρχέλας. ἄρχων τοῦ λαοῦ, ἡγεμών, ἔξαρχος, δημαγωγός. (ponitur h. l. pro simplici ἄρχων, ut saepe vocabulis altera notionis pars demitur per adjuncta verba. B.) — S. scribendum fortasse est τῶν λεῶν attice. vel παρατραγῳδεῖ.

165. λιμένων. de portibus Athenarum Piraeo, Munychia et Phalero vide Strab. 9, 1., ed. Tauchnitz. 2. p. 239., Pausan. 1, 1., Nitschium libro germ. de antiquitt. gr. p. 182. seqq., aliosque; de *Pnyce* 42.

166. Βουλὴν πατ. — ἀντὶ τοῦ καταφρονήσεις τοῦ βουλευτηρίου. κλαστ. οἱ μὲν κλονήσεις καὶ διασείσεις, οἱ δὲ κραυγάσεις· (?) βέλτιον δὲ κλάσεις, ἀπὸ μεταφορᾶς τῶν τεμνομένων κλημάτων. ἄλλως. ἐκ ῥιζῶν ἀνατρέψεις. (?) ἔνθεν κλαστήριον τὸ δρέπανον, ᾧ κλαδεύουσι καὶ ξύλα, καὶ κλήματα ἐν ταῖς ἀμπέλοις. S. Wieland.: *wirst den Senat mit Füssen treten, Die Feldherrn stutzen, binden, ins Gefängniss werfen.*

167. ἐν πρυτ. πρυτανεῖον οἰκίσκος παρὰ τοῖς Ἀθηναίοις, ἔνθα σιτοῦνται δημοσίᾳ οἱ τῆς τοιαύτης τιμῆς παρ' αὐτοῖς τυχόντες. — (cf. annotata inferius ad 280., item ad Pac. 1024., Ach. 52.) λαικάσεις. δέον εἰπεῖν σιτήσεις (imo σιτήσει pro σιτήσῃ), ἢ ἐν πρυτανείῳ ἀριστήσεις, παρ' ὑπόνοιαν οὖν εἶπεν, ὡς ἐν καμῳδίᾳ, ἀντὶ τοῦ πορνεύσεις. ὅθεν καὶ λαικάστρια ἡ πόρνη. S. — deinde pro ἁπατᾶν ponitur. v. Zonar. lex. t. 2. p. 1292. ibique laudd. B.

171. τἀμπόρια. Etymol. Gud. p. 185.: ἔμπορος ὁ πραγματευτής, καὶ ὁ τόπος αὐτὸς ἐμπόριον. τί λέγεται ἐμπόριον; ὁ καταβολος, ἔνθα καταβάλλει τις τὴν ἰδίαν ἐμπορίαν. (Stapelort, Handelsplatz. Wieland. vertit *Niederlagen*, Voss. *Waarenlager*.) consentaneum est, emporia vel maritima esse, vel mediterranea; velut Dionysius Hal. Antiqu. Rom. p. 1358, 15. commemoravit ἐμπόρια παραθαλάττια καὶ μεσόγεια.

ΑΛ. ἔγωγε.
ΔΗ. πῶς οὖν οὐ μεγάλως εὐδαιμονεῖς;
ἔτι νῦν τὸν ὀφθαλμὸν παράβαλλ' εἰς Καρίαν
τὸν δεξιόν, τὸν δ' ἕτερον εἰς Χαλκηδόνα.
ΑΛ. εὐδαιμονήσω δ', εἰ διαστραφήσομαι.
ΔΗ. οὔκ, ἀλλὰ διὰ σοῦ ταῦτα πάντα πέρναται·
γίγνει γὰρ, ὡς ὁ χρησμὸς οὑτοσὶ λέγει,
ἀνὴρ μέγιστος.
ΑΛ. εἰπέ μοι καὶ πῶς ἐγὼ
ἀλλαντοπώλης ὢν ἀνὴρ γενήσομαι;
ΔΗ. δι' αὐτὸ γάρ τοι τοῦτο καὶ γίγνει μέγας,
ὅτιὴ πονηρὸς κἀξ ἀγορᾶς εἶ, καὶ θρασύς.
ΑΛ. οὐκ ἀξιῶ 'γὼ 'μαυτὸν ἰσχύειν μέγα.

copiose de hac re dixit vir doctiss. Ant. Baumstark. in disput. de Curatoribus emporii et Nautodicis ap. Athenn., Friburg. 1828. — S.: ὁλκάδας, τὰς ναῦς, ἀπὸ τοῦ ἕλκειν. (*Lastschiffe*, *Frachtschiffe*.)

174. Χαλκ. ita Br. auctore Palmerio Exerc. p. 725. libri *Καρχηδόνα*. sed recte Palmer.: „Nihil rei," inquit, „Atheniensibus fuit cum Carthagine; nullum tributum, nullum vectigal inde accipiebant. at Chalcedon erat sub eorum imperio, ut et Byzantium. id nos docet Thuc. 1. (c. 115.) et 4. (c. 75.), nec minus διεστραμμένος fuisset et distortis oculis spectasset, si unum oculum ad Cariam, alterum vero ad Chalcedonem direxisset: nam Caria et Chalcedon erant in duabus extremitatibus peninsulae magnae Asiae, una ad meridiem (*Südost*), altera ad boream (*Nordost*) sitae Athenarum respectu, toto Aegaeo Hellesponto et Propontide intercedentibus" etc. censor Aristophanis Beck. in *Jen. Allg. Litt. Zeit.* 1797. 228. p. 170.: „Die Verwechselung war um so leichter, da Chalcedon in den ältesten Zeiten *Καλχηδὼν* geschrieben wurde. s. Eckhel. doctr. num. vett. 2. p. 411." itaque Bekk. et D. hic et 1193. ediderunt *Καλχηδόνα*. sed notavit Palmer., etiam in scribendis nominibus *Καρχηδὼν* et *Χαλκηδὼν* millies erratum esse propter viciniam soni. — ceterum de Caria evolvendus inprimis est Strabonis liber 14. c. 2. de Chalcedone idem 12, 4.: ταύτης (τῆς Βιθυνίας) δ' ἐπὶ μὲν τῷ στόματι τοῦ Πόντου Χαλκηδὼν ἵδρυται, *Μεγαρέων κτίσμα*, καὶ κώμη Χρυσόπολις, καὶ τὸ ἱερὸν τὸ Χαλκηδόνιον etc.

175. ita Rav., et recte, cum δὲ objectionem significet, ut ap. Soph. Oed. R. 364., ubi consulendus Erfurdt., et passim. alii codd. *εὐδαιμονήσω γ'*.

176. ταῦτα πάντα. h. e. omnes insulae atque urbes Cariam inter et Chalcedonem sitae, quae imperio Atheniensium parebant. S.: πέρναται. — δέον εἰπεῖν διοικεῖται, ὃ δὲ εἶπε πέρναται πικρῶς, τουτέστι πιπράσκεται.

178. male virgula distinguitur post εἰπέ μοι, quo referendum est καὶ, *etiam*, ut haec sit oratio *dic mihi etiam quomodo ego, cum sim isiciarius, vir fiam*.

179. ἀνὴρ dictum ἐμφατικῶς, ut 367., Ach. 77., Eurip. Or. 1315. (1351.), ubi schol. ἄνδρας: ἀνδρείους (vid. etiam inferius 317.) — *Bc.*

181. κἀξ. ἀγ. dupliciter intelligitur, vel causidicus et legulejus, vel circumforaneus et scrutorum venditor, vilis et abjectus. ambiguitatis ratio est, quod ἀγορὰ et forum judicum et rerum venalium significat. *Cas.*

182. οὐκ ἀξιῶ. οὐχ ὑπολαμβάνω, οὐκ ἄξιον κρίνω. S.

ΔΗ. οἴμοι, τί ποτ' ἔσθ', ὅτι σαυτὸν οὐ φῂς ἄξιον;
ξυνειδέναι τί μοι δοκεῖς σαυτῷ καλόν.
μῶν ἐκ καλῶν εἶ κἀγαθῶν;
ΑΛ. μὰ τοὺς θεούς·
εἰμ' ἐκ πονηρῶν γ'.
ΔΗ. ὦ μακάριε τῆς τύχης,
ὅσον πέπονθας ἀγαθὸν εἰς τὰ πράγματα!
ΑΛ. ἀλλ', ὦ 'γάθ', οὐδὲ μουσικὴν ἐπίσταμαι
πλὴν γραμμάτων, καὶ ταῦτα μέντοι κακὰ κακῶς.
ΔΗ. τοῦτ' μόνον σ' ἔβλαψεν, ὅτι καὶ κακὰ κακῶς·
ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ
ἔτ' ἐστὶν ἀνδρὸς οὐδὲ χρηστοῦ τοὺς τρόπους,

184. καλὸν praeter expectationem dixit pro κακόν.

185. μῶν — κἀγαθῶν; num probis et honestis natus es parentibus? *solltest du vielleicht Aus gutem Hause seyn?* (sed) καλὸς κἀγαθὸς dicebatur etiam homo liberaliter educatus, quales fere erant ii, qui honesto et nobili loco nati erant; uti contra, quorum sordidi erant natales et plebeji, erant moribus rudes, rerumque ignari. (πονηροί). — his vocabulis per Socraticam scholam postea nobilior vis, quae ad morum honestatem spectabat, tributa est. *Wieland.* interprete B.

186. εἰμ' ἐκ πονηρῶν γ'. oratio fortior asyndeto. quod habet unus codex: ἀλλ' ἐκ πονηρῶν γ', ab interprete videtur profectum esse; tamen Porsonus, antequam cognitus esset ille codex, ita scribi jussit, et scripsit prima Comici ed. D., haud memores illi locorum, quales sunt infra, 821., Plut. 396. (οὐ τῷ μεταδοῦναι; ΧΡ. μὰ Δία. δεῖ γὰρ πρῶτα...) Av. 109. (μῶν Ἡλιαστά; ΕΤ. μὰ Δία· θατέρου τρόπου· Ἀπηλιαστά.) Thesm. 748. (μὰ τὸν Ἀπόλλω τουτονί.), ex quibus bene colligit Br., μὰ per se negare; quae fuit etiam Budaei sententia. vide Zeun. ad Viger. 7, 11, 7. et G. I. Bekkeri Specimen var. lecct. in Philostr. vit. Apoll. p. 99. sequ. Bekk. et D. in edd. excusis a. 1830. et 1838., velut ex Rav. libro, εἰ μὴ 'κ πονηρῶν γ', quod si ibi legitur, inficeti emendatoris commentum est. cf. 321.

187. ita Rav., Invern., Bekk., D. B.: „quantum tibi contigit boni, commodi, ad negotia, h. e. quam aptus es ad res gerendas!" vulgo οἷον, parvo discrimine. alteram lect. commemorat etiam S. est autem haec ironia salsissima, quam non percepit iste emendator.

188. ὅτι μουσικὴν τὴν ἐγκύκλιον παιδείαν φησί· (orbem disciplinarum, quae liberales vulgo vocantur. *Cas.*) γράμματα δὲ τὰ πρῶτα στοιχεῖα. — οἱ γὰρ ἀξιώματος ἀντιποιούμενοι τὴν ἐγκύκλιον μάλιστα ἐπαιδεύοντο παιδείαν. ἡ δὲ ἐγκύκλιος παιδεία διὰ πάσης χωρεῖ καὶ παιδεύσεως, καὶ ῥυθμοῦ παντὸς, καὶ κινήματος. ταύτην παιδευθῆναι (intell. λέγουσι vel quiddam ejusmodi.) τὸν Θηβαῖον Ἐπαμινώνδαν, καὶ ἄλλους δὲ πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας. S.

189. κακὰ κακῶς. παροιμιώδες esse ait S. Lys. 162. παρέχειν χρὴ κακὰ κακῶς, quasi dicas *praebere oportet mala male.* quanquam in hac formula tantum augere videtur τὸ κακὰ vim adverbii.

191. ἡ τῶν δημαγωγῶν ἀρχὴ, φησὶν, οὐκέτι τοῖς σοφοῖς, οὐδὲ τοῖς ἀξιολόγοις, ἐγχειρίζεται. S. „εἶναι πρός τινος dicuntur, quae alicui conveniunt (cf. Plut. 351.), et εἴς τινα similiter, quae ad aliquem spectant, ei commoda sunt et congrua." B.

ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν. ἀλλὰ μὴ παρῇς
ἃ σοι διδόασ' ἐν τοῖς λογίοισιν οἱ θεοί·
ΑΛ. πῶς δῆτά φήσ' ὁ χρησμός;
ΔΗ. εὖ, νὴ τοὺς θεούς,
καὶ ποικίλως πως καὶ σαφῶς ᾐνιγμένος,
Ἀλλ' ὁπόταν μάρψῃ βυρσαίετος ἀγκυλοχήλης hex. her.
γαμφηλῇσι δράκοντα κοάλεμον, αἱματοπώτην,
δὴ τότε Παφλαγόνων μὲν ἀπόλλυται ἡ σκοροδάλμη,

193. ἀμαθὴς non est homo imperitus simpliciter, sed homo moribus scaevus. grave vitium ap. Athenn. ἀμαθής. (τὸ ἀμαθές.) *Cas.* S. μὴ παρῇς. μὴ ὑπερίδῃς, μὴ ἀπώσῃ, μηδὲ παραπέμψῃ τοιοῦτον καιρὸν παρακεκτωκότα.

195. εὖ ᾐνιγμένος ἐστίν. explicatur τὸ εὖ verbis καὶ ποικίλως καὶ σαφῶς: nam bene ᾐνιγμένον esse ait oraculum propterea quod obscure quidem (ποικίλως) dictum sit, sed ita tamen, ut intelligi possit (σαφῶς): quae species est oxymori jocique inexpectati. hoc non reputarunt illi, quibus placuit σοφῶς, quod habet Suidas v. ᾐνιγμένος.

197. libri ἀγκυλοχείλης, cui verbo non congruit explicatio 205., ὅτι ἀγκύλαις ταῖς χερσὶν ἁρπάζων φέρει. praeclare S.: βυρσαίετος. τὸν Κλέωνα λέγει. — συνέθηκε δὲ τὴν λέξιν ἀπὸ τῆς βύρσης καὶ τοῦ αἰετοῦ, ἅμα δὲ ὡς βυρσοδέψην κωμῳδῶν τὸν Κλέωνα, καὶ ὡς κλέπτην καὶ ἅρπαγα τῶν κοινῶν. ἁρπακτικὸν γάρ ἐστι τὸ ζῶον [ὁ ἀετός]. τὸ δὲ ἀγκυλοχείλης (imo ἀγκυλοχήλης) ἐπίθετον τοῦ ἀετοῦ, ὁ ἐπικαμπεῖς τὰς χηλὰς ἔχων· ἐπὶ δὲ Κλέωνος, τὰς χεῖρας ἀγκύλας ἔχων πρὸς τὸ κλέπτειν καὶ ἁρπάζειν. διὰ τοῦτο ἀετῷ αὐτὸν ἀπείκασε. falluntur, qui id quoque significari putant vocabulo ἀγκυλοχείλης: nec balbutiendum est h. l., quod putabat Be., quasi ἀγκυλοχειλὴς dictum esset pro ἀγκυλοχείρης, ut superius Κλωπιδῶν pro Κρωπιδῶν 79. et ὀλᾷς, κόλακος, pro ὀρᾷς, κόρακος, Vesp. 45. praeterea, si ἀγκυλοχείλης scriptum est ab Aristophane, tautologia non caret vox subsequens γαμφηλῇσι. Batrachom. 296. de cancris: ἦλθον δ' ἐξακίνης νωτάκμονες, ἀγκυλοχῆλαι etc. exararunt igitur librarii Aristophanei ἀγκυλοχείλης, ut Anthologiae (vide Anthol. Palat. 3. p. 749.) εἰ γὰρ pro ἢ γὰρ, et contra Euripidis Ion. 1070. ἀνῆσαν pro ἀνεῖσαν, passimque similia.

198. γαμφ. σιαγόσι. (sic etiam Hesych., annotante K. aquilae et οἰωνῶν γαμφηλὰς dixit Eurip. Ion. 140., 1385.) δράκοντα τὸν ἀλλᾶντα. (propter similitudinem) κοάλεμον. τὸν Ἀγοράκριτον οὕτως εἶπεν. ἔγκειται δὲ τῇ λέξει τό τε ἠλεὸν [ἠλεὸς ὁ μωροποιὸς, (?) ἄφρων, ἠλίθιος. gl. Victor.], καὶ τὸ ποεῖν, ὅ ἐστι νοεῖν. (ionice. v. Bentl. ad Callim. fragm. 53. *Br.*) τὸν οὖν ἀνόητα καὶ μάτην ποοῦντα κοάλεμον εἶπεν. (similiter lexicographi h. v. et Eustath. ad Il. p. 636, 54, ut notaverunt interpp. cf. 221., 261.) αἱματ. καὶ τοῦτο οἰκείως ἐπὶ τοῦ δράκοντος (αἱματοποτεῖ γὰρ τὸ ζῶον), καὶ ἐπὶ τοῦ ἀλλαντοπώλου· τὰ γὰρ ἔντερα καὶ τοὺς ἀλλᾶντας μετὰ αἵματος καὶ πιμελῆς ἢ ἀλφίτων φυροῦσιν. αἱματοπώτην οὖν τὸν αἷμα καταναλίσκοντα, καὶ ὥσπερ ἐκροφοῦντα. S.

199. σκοροδάλμη. ἡ πικρία τοῦ σκορόδου καὶ τῆς ἅλμης, τὸ μετὰ τῆς ἅλμης τρίμμα τῶν σκορόδων, οἷον ἡ δριμύτης. (scribendum procul dubio: ἡ πικρ. τοῦ σκορ. κ. τῆς ἅλμης, οἷον ἡ δριμύτης. (astutia.) (ἄλλως.) τὸ μετὰ τῆς ἅλμης τρ. τῶν σκορ. (hoc quidem est propriam verbi significationem explicantis. Cas.: „Condimenti genus, quo utebantur in suis mensis *paupores*.“ contra I. H. Voss.: *Dann wird euch Paflagonien die Knoblauchsalse verschütten,*

κοιλιοπώλησιν δὲ θεὸς μέγα κῦδος ὀπάζει,
αἴ κα μὴ πωλεῖν ἀλλᾶντας μᾶλλον ἕλωνται.
ΑΛ. πῶς οὖν πρὸς ἐμὲ ταῦτ' ἐστίν; ἀναδίδασκέ με. tr. i.
ΔΗ. βυρσαίετος μὲν ὁ Παφλαγὼν ἔσθ' οὑτοσί.
ΑΛ. τί δ' ἀγκυλοχήλης ἐστίν;
ΔΗ. αὐτό που λέγει,
ὅτι ἀγκύλαις ταῖς χερσὶν ἁρπάζων φέρει.
ΑΛ. ὁ δράκων δὲ πρὸς τί;
ΔΗ. τοῦτο περιφανέστατον.
ὁ δράκων γὰρ ἐστί τι μακρὸν, ἀλλᾶς τ' αὖ μακρόν·
εἶθ' αἱματοπώτης ἐστὶν ὅ τ' ἀλλᾶς, χὠ δράκων.
τὸν οὖν δράκοντά φησι τὸν βυρσαίετον
ἤδη κρατήσειν, αἴ κε μὴ θαλφθῇ λόγοις.
ΑΛ. τὰ μὲν λόγι' αἰκάλλει με· θαυμάζω δ', ὅπως
τὸν δῆμον οἷός τ' εἶμ' ἐπιτροπεύειν ἐγώ.
ΔΗ. φαυλότατον ἔργον. ταῦθ', ἅπερ ποιεῖς, ποίει,

et in annot.: Die Knoblauchsalse wird dem paflagonischen Hausknechte verschüttet, d. h. er wird seine *leckere Zukost* (Acharn. 174.) [*οἴμοι τάλας, βυττωτὸν οἷον ἀπολέσας!*] einbüssen. interpp. lat.: *muria alliata*; Wieland. mire: *die Gärberlauge*, nec rectius Francog.: *odieuse lie.* sequor Vossium. cf. 1018.) *εἶπε δὲ Παφλαγόνων διὰ τὸ Κλέωνα.* — S.

200. *ὀπάζει. δίδωσι, παρέχει.* gl. Vict.

201. sic Rav., D. vulgo *αἶκεν*. Theocr. *ά*, 4.: *αἴ κα τῆνος ἕλῃ περαῖον τράγον, αἶγα τὺ λαφῇ· Αἴ κα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὰ καταῤῥεῖ Ἀγάμαρος.* et similiter ibidem 61. scripserim *αἴ κα* (non *αἴ κεν*) *μοι τὺ φίλος* etc. *παρῳδεῖ*, ut videtur, oraculum aliquod doricum, et sunt fortasse plura in hisce immutanda ad modum ejus dialecti, velut *ἀγκυλοχάλῃ*, quod si dederat Aristoph., confusa fuerunt *α* et *ει*, ut saepe factum. ceterum bene monuit B., adjecta haec esse comice et praeter expectationem.

207. libri *ὁ δρ. γάρ ἐστι μακρὸν, ἀλλᾶς τ' αὖ μακρὸν*, producta prima in priore *μακρὸν* contra usum Comicorum. qui id monuit, Dawes. Misc. crit. p. 202. sequ., scribi jussit *ὅ τ' ἀλλᾶς αὖ μακρὸν*, quod in ordinem receperunt Br. et D. ed. Didot. sed verbum *ἀλλᾶς* non indiget articulo, ut putabat Dawes., qui articulus recte additus est *τῷ δράκων*, utpote rei certae atque commemoratae in superioribus. equidem *τὶ* haustum puto a vicino *ἐστί*.

209. *τὸν οὖν δράκοντα.* paulo insolentior positus particulae, de quo vid. Matth. gr. §. 278.

210. *αἴ κε μὴ θ. λ.* sunt ipsa oraculi verba, idcirco non sollicitanda, licet alias *αἴ κε* in comico sermone locum non habeat. — *Br.* cf. 201. S.: *θαλφθῇ. καταθαλφθῇ, κατακλαγῇ ταῖς λοιδορίαις, τουτέστιν ἐὰν μὴ εἴξῃ μηδὲ παραχωρήσῃ λοιδορούμενος.—αἰκάλλει* (48. etc.). *δὲ θωπεύει. γράφεται καλεῖ με ἀντὶ τοῦ κινεῖ, προτρέπεται. ἐπιτροπεύειν δὲ ἄρχειν, διοικεῖν. φαυλότατον δὲ εὐτελὲς, βραχὺ, ἁπλοῦν.* legitur *τὰ μ. λόγια καλεῖ με* in pluribus libris, placuitque Küstero atque Brunckio; minus tamen convenit dubitanti. comparavit Be. Thesm. 827. *ἀλλ' ὥσπερ αἰκάλλει τι καρδίαν ἐμήν*: Eurip. Ion. 625. *σύ γάρ με φαίνει θέσφατα.*

τάραττε καὶ χόρδευ' ὁμοῦ τὰ πράγματα
ἅπαντα, καὶ τὸν δῆμον ἂν ἀεὶ προσποιοῦ
ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς.
τὰ δ' ἄλλα σοι πρόσεστι δημαγωγικά,
* φωνὴ μιαρὰ γέγονας, κακὸς, ἀγοραῖος εἶ·
ἔχεις ἅπαντα πρὸς πολιτείαν, ἃ δεῖ·
χρησμοί τε συμβαίνουσι καὶ τὸ Πυθικόν.
ἀλλὰ στεφανοῦ, καὶ σπένδε τῷ Κοαλέμῳ,
χὤπως ἀμυνεῖ τὸν ἄνδρα.

ΑΛ. καὶ τίς ξύμμαχος

214. τάραττε. παρῳδίας τρόπον· παρῴδησε γὰρ τὸν ἴαμβον ἐξ Ἡρακλειδῶν Εὐριπίδου. (falli videtur schol. Elmsleio ad Eurip. Heracl. 11.) μεταφορικῶς δὲ τοῖς ὀνόμασι χρῆται ἐπὶ τῆς πολιτείας (τῇ πολιτείᾳ) καὶ τῇ τοῦ ἀλλαντοπώλου τέχνῃ. τάραττε, φησὶ, καὶ συμφύρα τὰ πράγματα. χόρδευε. τὰ ἔντερα τῶν τετραπόδων χορδὰς καλοῦσι. καὶ τοῦτο οὖν ἀπὸ τῆς τέχνης τοῦ ἀλλαντοπώλου εἴρηκεν. ὥσπερ γὰρ, φησὶ, γεμίζεις καὶ πληροῖς τὰ ἔντερα πάντα τοῦ φύρματος, οὕτωσὶ χόρδευε καὶ τὰ πολιτικά. S. cf. 302.

215. vulgo κ. τὸν δῆμον αἰεὶ, vel ἀεὶ, προσπ., sed neque αἰεὶ locum habet in iambicis senariis (v. 274.) Comicorum, neque ἀεὶ primam producere potest, quod putabat Porsonus, refutatus ille ab Hermanno praefatione Hecubae. προσποιοῦ, tibi concilia. *Ex Cas.* hoc enim est προσποιεῖσθαι, proprie sibi aliquid vindicare, proprium reddere. B.

216. ὑπογλ. ἡδύσμασι χρώμενος καὶ ὀρτύμασι, λόγοις κολακευτικοῖς καὶ γλυκέσι. S. aliquantulum demulcens eum, deliniens, dulcibus verbulis (voculis) coquinariis. B.

218. vulgo: φωνὴ μιαρὰ, γέγονας κακὸς, ἀγ. εἶ. hoc si voluisset Comicus, haud dubie scripsisset κακὸς γέγονας. sed scripsit, quod longe elegantius, φωνὴ μιαρὰ γέγονας, re dicta pro persona, sicut alibi saepius. sic ap. Soph. Oed. Col. 805. Creon appellatur φθέγμα ἀναιδὲς, Antig. 306. castos λάλημα. cf. Eurip. Androm. 902. etc. Bekk. et D. φ. μ., γέγονας κακῶς, quod minime quidem probandum est, nec tamen arridet κακὸς, praesertim deproperatum in thesi versus, cum extollendum esset, ut vox gravissima. videndum igitur, an A. dixerit φ. μ. γέγονας κακοῖς, i. e. εἰς κακὰ (v. Matth. gr. §. 393.), *vox dira es maledictis* sive ad maledicendum. cf. 275, 284, 285. — μιαρὰ ap. hos scriptores dicuntur omnia, quae sunt mala aut ingrata. est igitur φωνὴ μιαρὰ vox Stentorea, quali opus fuit demagogis. de Cleone Pac. 732.: φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίας. cf. 783.

220. συμβαίνουσι, *conveniunt*, contingunt. — „τὸ Πυθικὸν μαντεῖον, ut Soph. Oed. R. 227. ὡς τὸ Πυθικὸν Μαντεῖον ἐξέφηνεν ἀρτίως ἐμοί." — *Be.* Casaub.: Separatur Pythicum oraculum a reliquis oraculis propter singularem praestantiam.—

221. στεφ. more oratorum. cf. Av. 438. τῷ Κοαλ. ἀντὶ τοῦ (τῇ) ἀνοίᾳ. (Voss. *dem Dämelgott.*) ἀναπλάττει δὲ αὐτὴν ὡς δαίμονα. τοῦτο δὲ παρῴδησεν ἐκ τῆς τραγῳδίας. — S. „Fingit nomen hic Stultitiae. (quemadmodum Erasmus Rot. Moriae.) Vetus loquendi genus est, ductum ex ritibus religionis antiquae. cum denotare volunt aliquem doctum, dicunt eum θῦσαι ταῖς Χάρισι, *litasse Gratiis*. sic Arist., cum vellet indicare hunc isiciario, ad remp. capessendam gnaviter eum impudentem esse debere, monet ut litet *Coalemo*." Cas. Tulit hoc nomen avus Cimonis, auctore Plut. Cim. 4.

222. χὤπως. σκόπησον. ἀμυνεῖ. καταγωνιεῖ. gl. Vict.

γενήσεταί μοι; καὶ γὰρ οἵ τε πλούσιοι
δεδίασιν αὐτὸν, ὅ τε πένης βδύλλει λεώς.
ΔΗ. ἀλλ' εἰσὶν ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι,
μισοῦντες αὐτὸν, οἳ βοηθήσουσί σοι,
καὶ τῶν πολιτῶν οἱ καλοί τε κἀγαθοὶ,
καὶ τῶν θεατῶν ὅστις ἐστὶ δεξιὸς,
κἀγὼ μετ' αὐτῶν, χὠ θεὸς ξυλλήψεται.
καὶ μὴ δέδιθ'· οὐ γάρ ἐστιν ἐξηκασμένος·

224. βδύλλει. βδεῖ, visit (metu: v. Plut. 688.) gl. Victor. βδύλλειν δεδιέναι, τρέμειν, ἢ (fort. ἤγουν, ἠγ) βδεῖν.

225. οἱ ἱππεῖς ἐπέθοντο αὐτῷ, ἐπεὶ, ὅτε ἦν εἷς αὐτῶν, κακῶς αὐτοὺς διέθηκεν. ἱππεῖς οὖν τάγμα ἐστὶν ἐν τῇ Ἀττικῇ, ἀφ' ὧν ὁ χορὸς σύγκειται τῷ δράματι· ὅθεν καὶ τὴν ἐπιγραφὴν πεποίηται. S. idem ad 578.: εἰς τρία γὰρ μέρη τοπαλαιὸν τῶν Ἀθηναίων διῄρητο ὁ δῆμος, εἰς τοὺς πεντακοσιομεδίμνους καλουμένους, οὓς διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα οὕτως ὠνόμαζον, καὶ τοὺς ἱππέας, καὶ τοὺς θῆτας. οἱ μὲν οὖν πεντακοσιομέδιμνοι ἦσαν εὔποροι· οἱ δὲ ἱππεῖς ἧττον μὲν πεντακοσιομεδίμνων, μέχρι δὲ τῶν τ' ἐγεώργουν μέτρων. ἱππεῖς δὲ αὐτοὺς ὠνόμαζον διὰ τὸ δύνασθαι, εἴποτε αὐτοῖς χρεία γένηται ἵππων, (scrib.: γένηται, ἵππον) ἕκαστος αὐτῶν τρέφειν. ἦσαν δὲ τὸ μὲν πρότερον χ' τὸν ἀριθμόν· οὗτοι δὲ μετὰ ταῦτα τῆς πόλεως πληθυνθείσης ἐγένοντο διακόσιοι πρὸς τοὺς χιλίους. ὅθεν καὶ τὰς θυσίας, ἃς αὐτοὶ πέμποιεν ἐν ταῖς πομπαῖς, ἐκάλουν ἱππάδας. ἐξῆν δὲ αὐτοῖς καὶ κομᾶν. ἡ δὲ τρίτη τάξις ἦσαν οἱ θῆτες παρ' αὐτοῖς, οἷς οὐδὲ (οὐδὲν) ἄρχειν ἐφεῖτο ἢ δικάζειν καὶ ἐκκλησιάζειν μόνον, ἵν' ἔκ τε τοῦ δικαστικοῦ καὶ ἐκκλησιαστικοῦ τρέφοιντο. proprie 4 ordines fuere civium Atticorum, quorum ordinum tertius hic omissus est, ζευγῖται. vide alterum argum. hujus fabulae, tum G. G. S. Köpkei librum germ. de legibus et judiciis Gr. p. 45. seqq., inprimis autem C. F. Hermanni disputationem de Equitibus atticis (v. ejus Progymnasmatum ad Aristophanis Equites schediasmata tria, edita Marburgi, 1835., 4.; cujus scripti pag. 10. ita loquitur vir doctissimus: „Quum et θῆτας videam, qui manibus suis quaestum faciebant, pristinis δημιουργοῖς sive opificibus et mercenariis apprime respondere, et ζευγίτας, quos a boum pari appellasse Solon dicitur, cum γεωμόροις sive aratoribus Thesei fere ad verbum convenire, non metuo, ne nimiae temeritatis speciem incurram, si ἱππέας quoque apud Solonem in εὐπατριδῶν sive patriciorum veterum locum successisse dicam."

226. μισ. αὐτόν. Θεόπομπος ἐν δεκάτῳ Φιλιππικῶν φησιν, ὅτι οἱ ἱππεῖς ἐμίσουν αὐτόν. προσηλαισθεὶς γὰρ ὑπ' αὐτῶν καὶ παροξυνθεὶς ἐπετέθη τῇ πολιτείᾳ, καὶ διετέλεσεν εἰς αὐτοὺς κακὰ μηχανώμενος. κατηγόρησε γὰρ αὐτῶν ὡς λειποστρατούντων. διὰ τοῦτο οὖν ἐμνήσθη Ἀ. S.

228. δεξιὸς, scitus, elegans, honestus. cf. 233. S.: ἀγαθὸς, εὔνους ἡμᾶς ἀποδεχόμενος περὶ τὴν τοῦ Κλέωνος πονηρίαν. S. ita haec scribenda esse existimavi, cum vulgo quidem legatur εὔνους ἡμῖν, ἀπεχθόμενος περὶ etc., sed in libro Victor. εὔνους ἡμᾶς ἀποδεχόμενος πρὸς τὴν etc.

229. θεὸς, deus, fortuna. gl. Viet. ξυλλ. συμμαχήσει.

230. καὶ μὴ δ. friget denuo illatum καί: malim ὡς μὴ δ., quamobrem noli timere. saepe haec confusa. ἐξεικασμένος. (vetus haec scriptura, dudum emendata.) πεπλασμένος πρὸς ὁμοιότητα. ἔθος γὰρ ἦν τοῖς Κωμικοῖς ὅμοια τὰ προσωπεῖα ποιεῖν τοῖς κωμῳδουμένοις, καὶ περιτιθέναι τοῖς ὑποκριταῖς, ἵνα φανεροὶ ὦσιν ὑπ' αὐτῶν. (perverse ll.

ὑπὸ τοῦ δέους γὰρ αὐτὸν οὐδεὶς ἤθελε
τῶν σκευοποιῶν εἰκάσαι. πάντως γε μὴν
γνωσθήσεται· τὸ γὰρ θέατρον δεξιόν.
ΝΙ. οἴμοι κακοδαίμων, ὁ Παφλαγὼν ἐξέρχεται!
ΚΛ. οὔ τοι μὰ τοὺς δώδεκα θεοὺς χαιρήσετον,
ὁτιὴ 'πὶ τῷ δήμῳ ξυνώμνυτον πάλαι.
τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον;

— τοῖς κωμ., ἵνα — αὐτῶν, καὶ — ὑποκρ.) ἄλλως. οὐκ εἶχον αὐτοῦ προσωπεῖον διὰ τὸ δεδοικέναι τοὺς σκευοποιοὺς (artifices scenicos, qui larvas et reliqua ad apparatum scenae pertinentia fabricabant. K.) καὶ μὴ θέλειν μήτε πλάττειν, μήτε σχηματίζειν τὴν ὄψιν τοῦ Κλέωνος. λέγει (significat, *er meint*,) οὖν, ὅτι μηδενὸς ὑποστάντος αὐτὸν ὑποκρίνεσθαι, αὐτὸς ὁ Ἀ. μιλτώσας ἑαυτὸν ὑπεκρίνατο, ἢ τῇ τρυγίᾳ χρίσας ἑαυτόν. S. cf. alterum argum. fabulae et Vesp. 988. sequ.

233. δεξιόν, *intelligens, callidum*, ut facile sentiat, quid agatur.

235. μὰ τοὺς δ. θεούς. τοῦτο ὁ Κλέων λέγει ἰδὼν ὁμιλοῦντας, καὶ μὴ εἰδὼς περὶ τοῦ ὁμιλοῦσι συνωμότας καλεῖ. πικρῶς οὖν κατὰ τοῦ Κλέωνος ἐκφέρονται, ὡς τοιαῦτα αὐτοῦ συκοφαντοῦντος ἀπὸ μικρῶν καὶ εὐτελῶν προφάσεων. χαιρήσετον δὲ χαίροντες ἀπαλλαχθήσεσθον. S. notum, qui sint 12 illi dei. vide vel L. Bosii Antiqu. gr. brev. descript. 1, 2, 5.

236. ξυνώμνυτον. ξυνωμοσίαν ἐποιήσατε, τουτέσιν ὅρκους καὶ πίστεις ἀλλήλοις δεδώκατε, ἵνα ὁμοφωνήσητε κατὰ τοῦ δήμου. S. usitatum Athenis calumniae genus, de quo cf. 257., Vesp. 465. etc.

237. τὸ Χαλκ. ποτήριον. ἔγνω μὲν, ὅτι ὁ θεράπων ἔπινε, καὶ εἶχεν ἐπὶ χεῖρας (χειρὸς) τὸ ποτήριον. ἰδὼν οὖν ὁ Κλέων, προφάσει καὶ τούτῳ κέχρηται τῆς συκοφαντίας, καὶ τὸ ποτήριον εὐθύνει ὡς Χαλκιδικόν. κωμῳδεῖ δὲ αὐτὸν ὡς καὶ ἐπὶ τοῖς τυχοῦσι μεγάλα μεμφόμενον. οἱ δὲ Χαλκιδεῖς εἰσι μὲν ἐπὶ τῆς Εὐβοίας ἄποικοι Ἀθηναίων (Strab. 10, 1., ed. Tauchnis. 2. p. 322.), εἰσὶ δὲ καὶ ἐπὶ Θράκης οἱ Χαλκιδεῖς, ἄποικοι ὄντες ἀπὸ τῆς Εὐβοίας. πολλὰ δὲ ἦν τότε χωρία τῆς Θράκης ὑπακούοντα τοῖς Ἀθηναίοις. περὶ ὧν νῦν λέγει· καὶ γὰρ ἐπὶ Θράκης Χαλκιδεῖς ἦσαν ὑπήκοοι τῶν Ἀθηναίων. φησὶν οὖν, ὅτι τὸ ποτήριον τοῦτο Χαλκιδικόν ἐστι. καὶ πόθεν ὑμεῖς αὐτὸ ἔχετε, εἰ μὴ δῶρον ὑμῖν ἐδόθη, ἵνα ἀποστῶσιν; ἔλαβε δὲ τὴν πρόφασιν εὔκαιρον τοῦ ὀνόματος τῶν Χαλκιδέων διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν ἀποστῆναι αὐτοὺς τῶν Ἀθηναίων. ἀπέστησαν δὲ ἀπὸ Ἀθηναίων Χαλκιδεῖς ἐπὶ Εὐκλείδου (?) ἄρχοντος. S. Chalcidem Euboeae insulae metropolin intelligunt Casaub., B., Wieland. quorum B. annotavit, eam urbem tum quidem Atheniensibus paruisse, subactam ab illis ante bellum Pelop. (Thuc. 1, 114.), sed novas res jam molitam esse videri, et aliquot annis post ab Athenn. defecisse, teste Thuc. 8, 5., Olymp. 91, 4.; neque intelligi posse Chalcidenses Thracios, contra quos suscepta expeditio est 4. anno ante actam hanc fabulam, ut idem auctor est Thuc. 2, 79. sic tamen existimat H. Voss., qui haec annotavit: „Die Chalkidier in Thrake wurden im 8. J. des Kriegs durch den lakonischen Feldherrn Brasidas von den Athenern abwendig gemacht. Ihren Wankelmuth fürchtete man schon jezt im 7. J., als die Ritter aufgeführt wurden. Der Becher, woraus die Knechte getrunken hatten, war von chalkidischer Thonarbeit" etc. verum nec pro certo affirmarunt scriptores, quod sciam, Chalcidenses Thracios fabricari solitos esse fictilia, quae exportarentur (nam dubitanter quidem Athen. 11, 14. p. 502.: Χαλκιδικὰ ποτήρια. ἴσως ἀπὸ τῆς Χαλκίδος τῆς Θρᾳκικῆς εὐδοκιμούντα), nec per se veri-

οὐκ ἔσθ' ὅπως οὐ Χαλκιδέας ἀφίστατον.
ἀπολεῖσθον, ἀποθανεῖσθον, ὦ μιαρωτάτω!
240 ΔΗ. οὗτος, τί φεύγεις; οὐ μενεῖς; ὦ γεννάδα
ἀλλαντοπῶλα, μὴ προδῷς τὰ πράγματα! —
Ἄνδρες ἱππῆς, παραγένεσθε! νῦν ὁ καιρός. ὦ Σίμων,
t. t. c.
ὦ Παναίτι', οὐκ ἐλᾶτε πρὸς τὸ δεξιὸν κέρας;
ἄνδρες ἐγγύς· ἀλλ' ἀμύνου, κἀπαναστρέφου πάλιν!
245 ὁ κονιορτὸς δῆλος αὐτῶν, ὡς ὁμοῦ προσκειμένων·
ἀλλ' ἀμύνου, καὶ δίωκε, καὶ τροπὴν αὐτοῦ ποιοῦ!
ΧΟ. παῖε, παῖε τὸν πανοῦργον, καὶ ταραξιππόστρατον,
καὶ τελώνην, καὶ φάραγγα, καὶ Χάρυβδιν ἁρπαγῆς,

simile est, ejusmodi vasa, non Samia aut Coptica (Athen. 11, 3. p. 464.), quae in pretio erant, sed vilia atque ea, quibus vel servi uterentur, velut h. l., e longinqua regione Athenas advecta esse. quare Beckii sententia mihi ad veritatis similitudinem videtur esse propensior, etsi nec de Euboïcis fictilibus quidquam compertum habeo; sed quia longe vicinior Athenis est Euboea quam Thracia, fieri facilius potuit, ut illinc merces etiam vulgares importarentur. ceterum non hae duae tantummodo, sed aliae quoque fuerunt urbes cognomines in Aetolia, Elea et alibi. vide Strab. l. l. p. 324. etc.

238. *Χαλκ. ἀφ. πόλις Εὐβοίας, ἄποικοι Ἀθηναίων. ἐχρῶντο δὲ τοῖς ὀστρακίνοις εἰς τὰ συμπόσια.* (hoc non ad vivum resecandum esse, nemo ignorat. etiam quod hic solam Euboeae metropolin commemorat, sibi non constat schol., si quidem is est, qui superiora annotavit.) *ὡς ἀεὶ οὖν τοῦ Κλέωνος δι' ἐλάχιστόν τι κατηγοροῦντος, χωρίζετε οὖν, φησὶ, Χαλκιδέας ἀπὸ τῆς τῶν Ἀθηναίων συμμαχίας.* S.

240. aufugientem Isiciarium, minis territum Cleonis, his verbis revocat Demosth.

241. *τὰ πράγματα*, communem causam, remp.

242. *ὡς συκοφαντούμενοι ἐπικαλοῦνται εἰς βοήθειαν τοὺς ἱππέας. ἵππαρχοι δὲ ὁ Σίμων καὶ ὁ Παναίτιος.* S.

243. *πρὸς τὸ δ. κέρας. ὡς ἐπὶ τάξεώς φησιν.* — S. sic Av. 343. *ποῦ 'σθ' ὁ ταξίαρχος; ἐπαγέτω τὸ δεξιὸν κέρας.* Bs.

244. *κἀπ. ὡς τοῦ ἀλλαντοπώλου πεφευγότος, εἶπεν ἀναστρέφου* (ἐπαναστρ.) S.

245. *τὸ ὁμοῦ λέγουσιν Ἀττικοὶ ἀντὶ τοῦ ἐγγύς· ὡς καὶ ἐν Εἰρήνῃ* (503) *καὶ μὴν ὁμοῦστιν ἤδε.* S. vid. ibi annot.

247. *ἐντεῦθεν ἡ πάροδος γίνεται τοῦ Χοροῦ ἀπὸ τῶν ἱππέων συμπληρουμένου, οἵτινες ἐπικαλουμένου ἀκούσαντες τοῦ θεράποντος εὐθέως ἀφικνοῦνται βοηθήσοντες αὐτῷ. ταραξιππόστρατον δὲ καλοῦσι τὸν Κλέωνα, τουτέστι τὸν ταράξαντα τὸ πλῆθος τὸ ἱππικόν.* (cf. annot. ad 226. videtur simul cogitasse de *ταραξίππῳ*, terriculamento in stadiis ludorum, velut Isthmicorum et Olympicorum, de quo Pausan. Eliac. poster. c. 20., 21.) *τοῦτο δὲ εἶπεν, ἵνα δόξωσιν εἰκότως αὐτῷ χαλεπαίνειν καὶ αὐτοὶ, καὶ πολεμεῖν.* — S.

248. *τελ. διεβέβλητο τὸ τοῦ τελώνου ὄνομα, ὡς καὶ τοῦ Κλέωνος ὄντος τελώνου, καὶ ὑπὲρ τὸ τέλος τελωνοῦντος.* (per contemtum ita appellatur, tanquam publicanorum opera. vide B. et, quem laudat, Fischerum Proluss. de vitiis lex. N. T. p. 22. seq.) *φάραγξ δὲ τὸ ἀπόσχισμα τῆς γῆς, ὃ τὸ παρεμπίπτον ὕδωρ πίνει. τοῦτο δὲ καὶ εἰς τὸ κακόφωνον αὐτοῦ.* (?) *Χά-*

καὶ πανοῦργον, καὶ πανοῦργον· πολλάκις γὰρ αὖτ' ἐρῶ·
καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρας.
ἀλλὰ παῖε, καὶ δίωκε, καὶ τάραττε, καὶ κύκα,
καὶ βδελύττου (καὶ γὰρ ἡμεῖς), κἀπικείμενος βόα!
εὐλαβοῦ δὲ, μὴ 'κφύγῃ σε· καὶ γὰρ οἶδε τὰς ὁδοὺς,
ἅσπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων.
ΚΛ. ὦ γέροντες ἡλιασταὶ, φράτορες τριωβόλου,
οὓς ἐγὼ βόσκω, κεκραγὼς καὶ δίκαια κἄδικα,
παραβοηθεῖθ', ὡς ὑπ' ἀνδρῶν τύπτομαι ξυνωμοτῶν!
ΧΟ. ἐν δίκῃ γ', ἐπεὶ τὰ κοινὰ πρὶν λαχεῖν κατεσθίεις,

ρυβδιν δὲ ἀ'παγῆς, ὡς πᾶν ὁτιοῦν ἁρπάζοντα. S.

250. ἦν notione aoristi accipiendum est, erat et adhuc est, solet esse.

252. „καὶ γὰρ ἡμεῖς βδελυττόμεθα. verbum e proximo petendum.“ B. S. κἀπικ. ἀντὶ ταῦ τύπτων αὐτόν. — cf. 257.

253. οἶδε. ἐπίσταται, φησὶ, τὰς καταδύσεις Εὐκράτους τὰς ἐπὶ τὰ κυρήβια. κυρήβια δέ εἰσι τὰ πίτυρα καὶ ἄχυρα τῶν κυρῶν ἢ κριθῶν. μυλῶνας δὲ ἔχων ὁ Εὐκράτης εἰκότως εἶχε καὶ κυρήβια. — ἐν ἄλλοις γοῦν φανερωτέρως φησὶ καὶ εὐ κυρηβιοπῶλα, Εὔκρατες στύπαξ (στύππαξ). S. H. Voss. secundum Wieland.: (τὰς ὁδούς.) „Den Weg der Bestechung. Eukrates hatte neben seinem Flachshandel (129.) auch einen Handel mit *Mehl*, und wusste durch Aufkauf die Athener so zu brandschazen, dass es zur Klage kam. Eine grosse Mehlabgabe (? fort. *Mehlgabe*, furfures populo viritim distributi.) rettete ihn.“

254. εὐθὺ τῶν κυρ. recta ad furfures suos, tanquam tutum refugium. Wieland.: „Denn der Weg, wie durch die Kleien Ehmals Eukrates entwischte, ist ihm nur zu wohl bekannt.“

255. ταῦτα ὁ Κλέων λέγει, καὶ αὐτὸς ἐπικαλούμενος τοὺς δικαστὰς εἰς βοήθειαν. ἡλιαία γὰρ μέγιστον δικαστήριον Ἀθήνησιν. (cf. 840., Vesp. 197., 742., Av. 109. etc.) αἱ δὲ δικασταὶ ὑπὸ τῶν δημαγωγῶν ἐτρέφοντο, τριώβολον λαμβάνοντες μισθὸν δικαστικὸν μετὰ τὸ κρῖναι. (vide Vesp. 580. seqq. et contra 625. seqq.) — συγγενεῖς δὲ εἶπε τριωβόλου, οἷον προσφκειωμένοι καὶ προσπεφυκότες τῷ τριωβόλῳ. καὶ γὰρ τοὺς συγγενεῖς φράτορας καλοῦσι. durior mihi visa explicatio. quare malim, si ita scripsit Comicus, verbum τριωβόλου interpretari *quod attinet ad triobolum*; (curiales, quorum societas in eo consistit, quod simul accipitis τριώβολον:) vel potius, quia ἡ φρατρία nihil ad τριώβολον, ponam φράστορες τριωβόλου, h. e. qui loquimini seu judicatis triobolo, seu mercede trioboli. vox rarior, qua tamen usus, sed alio, eoque usitatiore, sensu, Aeschylus. Suppl. 508., mirum non est si mutavit.) — S. Be: *triobuli participes*, Wiel.: liebe *Drei-Obolen-Brüder*. de phratriis dictum ad Av. 731., 1555.

256. οὓς ἐγὼ βόσκω. πικρῶς ὡς θρέμμασιν αὐτοῖς κέχρηται ἀλόγοις· βόσκειν γὰρ ἐπὶ τῶν ἀλόγων ζώων τίθεται. — S. δίκαια κἄδικα. proverbiale est, de quo Be. conferri jussit Ach. 343., Plut. 233. similiter Terent. Andr. 1, 3, 9. *qua jure, qua me injuria praecipitem in pistrinum dabit*, ubi vetus interpres: „Proverbiale hoc est, qualia sunt *fas et nefas*, *nolis velis*.“ vide etiam inferius 749.

257. ξυνωμ. — προδοτῶν τοῦ δήμου. τῶν συνομνύντων ἐπὶ τῇ καθαιρέσει τοῦ δήμου. S. cf. 236.

258. πρὶν λαχεῖν. πρὶν χειροτονηθῆναι, πρὶν κληρωθῆναι. πρὸ

καὶποσυκάζεις πιέζων τοὺς ὑπευθύνους, σκοπῶν,
ὅστις αὐτῶν ὠμός ἐστιν, ἢ πέπων, ἢ μὴ πέπων,
*καὶ σκοπεῖς γε, τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν
πλούσιος, καὶ μὴ πονηρὸς, καὶ τρέμων τὰ πράγματα,
κἤν τιν' αὐτῶν γνῷς ἀπράγμον' ὄντα καὶ κεχηνότα,
καταγαγὼν ἐκ Χερρονήσου διαλαβὼν ἠγκύρισας,

διανομῆς, φησὶν, ἁρπάζεις. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς. (?) S. *τὰ κοινὰ* haud dubie dicuntur *κλῆροι*, h. e. agri seu fundi captarum urbium, sorte assignati; quomodo, captis ab Athenn., quae ab iis defecerant, Mitylenis (Mytilenis), decretum esse ait Thuc. 3, 50. (*κλήρους δὲ ποιήσαντες τῆς γῆς, πλὴν Μηθυμναίων, τρισχιλίους.*) haec et plura Spanh. ad Nub. 203. quo more contemto Cleon ejusmodi *κλήρους* praeripuisse ac comedisse dicitur.

259. *κἀπόσ. συκοφαντεῖς. ἐχρήσατο δὲ τῷ ὀνόματι, ἀφ' οὗ καὶ συκοφάντης κέκληται. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς Ἀθηναίοις τὰ σῦκα ἦν, καὶ* (fort. *ἃ καὶ*) *εἴ τίς διεβλήθη κλέπτων ἐκολάζετο. φαίνειν δὲ ἔλεγον τὸ κατηγορεῖν* (ut *δεικνύναι* 278. etc.) *ἄλλως.* (*ἀπο*) *συκάζειν τὸ ἀποβλίβειν τὰ σῦκα, ἢ ὠμὰ, ἢ πέπειρα. καλῶς οὖν ἐπήνεγκε τὸ* [*ἀπο*] *πιέζων, ἐπεὶ ἀποβλίβει τοὺς συκοφαντουμένους καὶ πιέζει δωροδοκῶν.* S. Sensus est: quemadmodum, qui ficum ex arbore cupiunt edere, prius explorant premendo, sitne matura, an non: sic Cleon, perditurus aliquem civem, ut ejus bona rapiat, prius explorat, sitne ille *opportunus injuriae*, ut loquitur Sallustius. — *Cas.* rursus S.: *ὑπευθ., τοὺς μηδέπω λογισμὸν παρεχομένους μηδὲ εὐθύνας τῆς ἀρχῆς, ἧς ἐπιστεύθησαν.*

261—265. libri, versibus forte trajectis: *ἢ μὴ πέπων, Κἤν — Καταγαγὼν — Εἶτ' — ἐνεκολήβασας· Καὶ — Πλούσιος —*. recte Br.: „Aliquid turbatum esse," inquit, „hic nemo non animadvertere potest male cohaerentibus sententiis ob duorum versuum transpositionem." — probarunt hanc correctionem Wieland. et interpres francogallus. verum sic quoque frigent verba *καὶ σκοπεῖς γε*, cum in superioribus sit *σκοπῶν*. quare legerim — *ἢ μὴ πέπων· κἄσκοπός γε τ. πολ. ὅ. ἐστὶν ἀμνοκῶν* etc., *et civium* (ceterorum non functorum muneribus, ut illi *ὑπεύθυνοι*) *quicunque incautus quidem est aguino animo dives, nec malus* etc. — *„ἀμνοκῶν.* Suidas: *προβατώδης, μωρὸς, εὐήθης.* (quod descripsit ex scholiis ad h. l.) vel, ut Eustath. exponit ad Il. p. 962, 19., *νοῶν ὡς ἀμνός.*" *Br.* cf. annot. ad 198. Wieland.: *Immer unter unsern Bürgern dich nach jedem reichen Schafkopf Umsiehst, der von gutem Haus' ist u. sich vor Processen fürchtet.*

263. *κἤν τιν' αὐτῶν* etc. hyperbaton pro *ἤν τινα καὶ αὐτῶν —*, *si quem etiam horum* etc.

264. *ἐκ Χερ. Χερρόνησος τῆς Θρᾴκης χωρίον καὶ πόλις, ὑποτελὴς τῶν Ἀθηναίων*, (bello Pelop.: vid. Thuc. 2, 9. ubi socios Lacedaemoniorum et Atheniensium recenset.) *εὐφόρος εἰς πυροῦ γεωργίαν. ὅθεν καὶ ἐσιταγώγουν οἱ Ἀθηναῖοι.* (non tam ex illa chersoneso, quam vis fertilissima, teste Xenophonte Hist. gr. 3, 2, 10., quam ex Taurica et Ponto Euxino, quo, dum iis parebant *Ἑλλήσποντος καὶ τὰ ἐπὶ Θρᾴκης*, ut loquitur Thuc. l. l., tuto mercandi causa navigabant Athenn. cf. *Demosthenes' Staatsreden, übers. und erläut. von F. Jacobs*, p. 413. sequ.) *ὡς ἰδιοπραγμόνων δὲ καὶ ἰδιωτῶν ὄντων τῶν Χερρονησιωτῶν, καὶ διασῴζεσθαι δυναμένων ῥᾳδίως, μάλιστα δὲ τοῦ Κλέωνος ἐπηρεάζοντος αὐτούς, τοῦτο ἐμνήσθη.* — S. non haec videtur esse causa, cur chersonesi Thraciae meminerit, sed ut significet, vel ex

εἶτ', ἀποστρέψας τὸν ὦμον, αὐτὸν ἐνεκολήβασας.
ΚΛ. ξυνεπίκεισθ' ὑμεῖς; ἐγὼ δ', ὦνδρες, δι' ὑμᾶς τύπτομαι,
ὅτι λέγειν γνώμην ἔμελλον, ὡς δίκαιον ἐν πόλει
ἑστάναι μνημεῖον ὑμῶν ἐστιν ἀνδρίας χάριν.
ΧΟ. ὡς δ' ἀλαζὼν, ὡς δὲ μάσθλης! εἶδες, οἷ' ὑπέρχεται,

longinquis terris Cleonem arcessere socius, quos argento emungat. Wieland.: *Und sobald du einen auftreibst, der dir als ein schwacher Händelscheuer Tropf bekannt ist, ihn* bis aus dem Chersonesus *Herhohlst*, ihn *umschlingst u. drängst u. würgst, u. nicht von ihm ablässt, bis du ihn mit umgebogner Schulter unter dich gebracht.* alius schol.: ὡς καταγαγόντος αὐτοὺς (scrib. αὐτοῦ τοὺς) συμμάχους εἰς Ἀθήνας, καὶ συκοφαντοῦντος, καὶ ἀργυριζομένου. Athenas enim vocabantur socii ad judicium. vide Av. 1329. seqq. rursus S. vetus: ἄγκυρ. (sic libri ante Br.) ὑποσκελίσας, κατάξας, μετακαλεσάμενος, οἷον τῇ ἀγκύλῃ καταλαβών, ὅπερ ἐστὶν ἀκοντίου εἶδος, (explicatio haec est ἀμέτρου scripturae quorundam, ut videtur, codicum ἀγκυλίσας, quae etiam Casaubono in mentem venit.) ἢ καταπαλαίσας. παλαιστρικὰ γάρ εἰσι ταῦτα, καὶ τὸ διαβαλὼν, (recte Duker. διαλαβὼν secundum Hesych., qui διαλαβεῖν ait esse παλαιστρικόν τι. Cas.: „διαλαμβάνειν est *medium prehendere*, quod luctatores cupidissime faciunt." —) καὶ τὸ ἀγκυρίσας. καὶ ἀγκύρισμα εἶδος παλαίσματος, καὶ σκεῦος ἀγρευτικὸν σῦκον. (σύκων). Hesych., annotante Be., ἀγκύρισμα: σχῆμα τῶν ἐν πάλῃ. idem: ἄγκυρα, ἐν ᾗ τὰ σῦκα λαμβάνουσι. „itaque," inquit, „ἀγκυρίζειν τινὰ erit prehendere aliquem, ut ficus prehendi solent illo instrumento." — Scaliger ad Euseb. Chron. n. 2208., incertum qua auctoritate: „Intelligit (Lampridius), per speciem exercendi, ut solebat, collum ejus brachii sui flexu athletam implicasse atque obtorto eum collo suffocasse; quod genus παλαίσματος Graeci ἀγκύρισμα vel ἀγκυρισμὸν vocant, quum scil. collum adversarii implicans nexu brachii antagonistes manu eadem adversum humerum corripit, atque ita valide obstricto collo adversarium strangulat. adversum enim humerum tanquam dente ancorae prehendens nomen schemati palaestrico dedit. Aristoph. Equ. optime id ostendit κῆν τιν' αὐτῶν" etc.

265. ἀποστρέψας τὸν ὦμον. et hoc verbum est e lucta petitum: significat humerum retrorsum torquere, neque praebere se adversario facilem. *Cas.* imo adversarii videtur intelligendus humerus, quem retorquere dicitur Cleon, ita ut pronus cadat homo. cf. Scaligeri et Wielandii interpretationes adscriptas ad 264. — S.: ἐνεκολάβησας. (scriptura vetus, quam Br. emendavit.) ἄκολος ψαμὸς, ὅθεν (?) τὸ ἐνεκολ., ἀντὶ τοῦ καταπέπωκας. (Hesych. κοληβάζει: ἐσθίει, καταπίνει. — „vel (est) καταπατεῖ, ut exponit Suidas, παρὰ τὸ ἐπὶ κόλαις βαίνειν. κόλα δὲ ἡ γαστήρ." — *Br.* cf. Schneideri lex. gr. v. ἐγκολη-βάζω.) τὸ δὲ ὅλον, καταπαλαίσας αὐτὸν ἐμπεριελθὼν, (? fort. ἐν πεντάθλῳ.) καὶ διασείσας, ἀργυρίζεται. τὴν βίαν δὲ, ᾗ ἐκέχρητο κατὰ τῶν ἀνθρώπων, διὰ τῆς πάλης ἐδήλωσε.

266. ξυν. ὑμεῖς: *simulne in me invaditis*, Equites? perperam libri: ξυν. ὑμεῖς· ἐγὼ δ' etc., quod senserunt Cas. aliique. — τύπτομαι. ab isiciario.

268. contra fecerat Cleon, si vera sunt, quae narrat S. ad 226., κατηγόρησε γὰρ αὐτῶν ὡς λειποστρατούντων. — sic Br. etc. vulgo libri, in quibus Rav., ἀνδρείας, quod minus atticum.

269. ἀλάζων ὁ μείζονα τῆς ἑαυτοῦ ἀξίας κομπάζων καὶ φρονῶν. μάσθλης δὲ κυρίως ἱμὸς μεμαλαγμένος. καὶ ἁπαλὸς, καὶ τρυφερός. καλῶς οὖν ἐπὶ Κλέωνος τῷ ὀνόματι κέχρηται, ὁμοῦ καὶ τὸ τοῦ τρόπου ὕπουλον καὶ τὸ λαγαρὸν

ὥσπερεὶ γέροντας, ἡμᾶς κἀκκοβαλικεύεται.
ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ, ταυτηΐ πεπλήξεται·
ἢν δ' ὑπεκκλίνῃ γε δευρὶ, πρὸς σκέλος κυρηβάσει.
ΚΛ. ὦ πόλις καὶ δῆμ', ὑφ' οἵων θηρίων γαστρίζομαι!
ΧΟ. καὶ κέκραγας, ὅσπερ αἰεὶ τὴν πόλιν καταστρέφεις;
ΑΛ. ἀλλ' ἐγώ σε τῇ βοῇ ταύτῃ γε πρῶτα τρέψομαι.
ΧΟ. ἀλλ' ἐὰν μέντοι γε νικᾷς τῇ βοῇ, τήνελλος εἶ·
ἢν δ' ἀναιδείᾳ παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς.

αὐτοῦ δεικνὺς, καὶ σκώπτων ὡς βυρσέα, ἀφ' ὧν οἱ ἱμάντες γίγνονται κατεργασθέντες τοιοῦτοι. μάσθλης οὖν ὁ μεμαλαγμένος ἐν πονηρίᾳ. (Suidas: ἰδίως ὁ μεμαλαγμένος λῶρος καὶ ἕκλυτος. μάσθλης ἄνθρωπος ὁ μεμαλαγμένος καὶ ἐντριβὴς ταῖς πονηρίαις. [Voss: welch ein Spitzkopf!] τὸ αὐτὸ δηλοῖ καὶ τὸ γλοιός. „respicit ad Nub. 443. μάσθλη, μάσθλημα, *alutam* significat, *pellem confectam et subactam.*" Br. Est l. q. ἱμάσθλη, cf. Hesych. et Zon. 2. p. 1232. B.) οἵ' ὑπ. ὡς ὑπάγεται τὸν δῆμον ὑποτρέχων, καὶ κολακεύει etc. „Glossae: ὑπέρχομαι, *obrepo*, quod de occultis fallaciis dicitur latine. Plautus Trin. 1, 2, 23. *neque enim tu, crede, mihi imprudenti obrepseris.*" Be. cf. 426., Bähr. ad Plut. Alcib. p. 206.

270. ita Rav., quod Toup. conjectura assecutus erat Em. in Suid. 2, 311. ed. Oxon. vulgo: ἐκκοβαλ. S.: ἐ κ κ ο β. ἀπατᾷ, παραλογίζεται, λησεύει. κόβαλοι γὰρ οἱ λῃσταί. τοὺς αὐτοὺς καὶ κορυνηφόρους καλοῦσιν. οἱ δὲ κόβαλον τὴν μετὰ ἀπάτης παιδιάν. (Schelmerei.) S. cf. infra 316., 390., 419., 585., Ran. 954. etc.

271. ταύτῃ, isto modo, sic. S.: τῇ πανουργίᾳ λέγει. ὅτε ἐν τῇ πανουργίᾳ νικήσει, αὐτῇ τῇ πανουργίᾳ πεισθήσεται. (fort. πισθήσεται.) ἄλλως. (ταυτηΐ,) τὰς χεῖρας δείκνυσιν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. διό φασι καὶ τὸ κ υ ρ η β ά σ ε ι.

272. κ υ ρ η β. κυρηβασία λέγεται ἡ διὰ τῶν κεράτων μάχη, ἥπερ ἐν τοῖς ἀλόγοις ζῴοις γίνεται. — ἄλλως. πρὸς τὸ σκέλος μάχεται (μαχεῖται), ἢ διαπεσεῖται. γ α σ τ ρ ί ζ ο μ α ι δὲ εἶπεν, ὡς πληγεὶς τῷ σκέλει. εἰς τὴν γαστέρα τύπτομαι. παρεπιγραφὴ δέ. συγκέκυφε γὰρ, καὶ ὑπὸ τῶν διωκόντων τύπτεται. κ α τ α σ τ ρ έ φ ε ι ς δὲ, δουλοῖς. τ ρ έ ψ ο μ α ι δὲ εἰς φυγὴν τρέψω, πλείον σου βοῶν νικήσω, ὑπερβαλοῦμαι. S.

274. α ἰ ε ὶ etiam a Comicis usurpatum in canticis versibusque trochaïcis, nec probandi sunt, qui hic et similibus in locis posuerunt *ἀεί*. v. ann. ad 215.

276. τ ή ν ε λ λ ο ς ε ἶ. τήνελλος (fort. τήνελλα: vide Acharnensium atque Avium fabulas extremas.) ἁρμονία λύρας (fort. αὐλοῦ). ἐὰν τοίνυν ὑπερακοντίσῃς αὐτὸν, μουσικώτατος εἶ. ἄλλως. νικηφόρος. τήνελλος (fort. τήνελλα: α et ος haud raro confunduntur.) δὲ κ ρ ο υ μ ά τ ι ο ν ἐ π ι ν ί κ ι ο ν. S.

277. κἂν ἡττηθῇς, φησὶν, ὑπ' αὐτοῦ τῇ βοῇ, περιγένῃ δὲ ἐν ἀναιδείᾳ, οὐδὲν ἧττον ἡμετέρα ἡ νίκη. π υ ρ α μ ο ῦ ς δὲ εἶδος πλακοῦντος ἐκ μέλιτος ἐφθοῦ καὶ πυρῶν πεφρυγμένων, ὡς καὶ ἡ σησαμοῦς τὸ διὰ σησάμων. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς. εἰώθασι δὲ ἐν τοῖς συμποσίοις ἀμιλλᾶσθαι περὶ ἀγρυπνίας, καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω ἐλάμβανε τὸν πυραμοῦντα. S. „Callipptus Comicus Pannychide ὁ δ' (fort. addendum est ἂρ') ἀγρυπνήσας [τὸν] πυραμοῦντα λήψεται. vid. Athen. 15. p. 668." — K. idem praemium iis propositum fuisse refert Casaub., qui gryphos solvissent sub finem coenae. Idem annotavit, παρέρχεσθαι proprie dici victores in cursu, quasi παραδραμεῖν.

ΚΛ. τουτονὶ τὸν ἄνδρ' ἐγὼ δείκνυμι καὶ φήμ' ἐξάγειν
ταῖσι Πελοποννησίων τριήρεσι ζωμεύματα.
ΑΛ. ναὶ μὰ *Δία* κἄγωγε τοῦτον, ὅτι κενῇ τῇ κοιλίᾳ
ἐσδραμιὼν ἐς τὸ πρυτανεῖον εἶτα πάλιν ἐκθεῖ πλέᾳ.
ΔΗ. νὴ Δί' ἐξάγων γε τἀπόῤῥητ', ἅμ' ἄρτον, καὶ κρέα,
καὶ τέμαχος, οὗ Περικλέης οὐκ ἠξιώθη πώποτε.
ΚΛ. ἀποθανεῖσθον αὐτίκα μάλα.
ΑΛ. τριπλάσιον κεκράξομαί σου. t. t.

278. δείκνυμι. ἐνδείκνυμι, φαίνω. (accuso.) S.

279. ζωμ. male unus scholiastarum, quem omnes audiunt: τὰ λεγόμενα ὑποζώματα. εἰσὶ δὲ ξύλα τῶν νεῶν. ἀντὶ τοῦ εἰπεῖν ὑποζώματα, εἶπεν ὡς πρὸς μάγειρον παίζων ζωμεύματα, ὡς ἀρτύσεως ἔμπειρον καὶ ζωρευμάτων. ἄπειρητο δὲ ἀπὸ Ἀθηναίων ἐξάγειν ξύλα καὶ πίτταν. — imo proprie intelligendum est ζωμεύματα (recte interpres *jusculo*), ridiculeque res commemoratur, quae non erat vetita tam severa lege quam ligna, pix, arma et omnia bellorum instrumenta; de quibus Cas. memorat constitutionem Imp. Marciani Cod. 4, 41, 2.

280. par pro pari refert isiciarius, cujus jocum non magis quam Cleonis percepisse mihi videntur interpp. neque enim cogitandum est, illos, qui in Prytaneo publice epulabantur, partem ciborum secum abstulisse, qui mos erat in coenis privatis, certe illis, ad quas convivae afferebant cibos; sed in ventre Cleon auferre secum dicitur cibos ibi praebitos. S.: πρυτανεῖον δὲ τόπος Ἀθήνησιν, οὗ τὰς δημοσίας σιτήσεις ἐποιοῦντο. τιμὴ δὲ οὐκ ἐλαχίστη τοῖς δημοσίᾳ σιτουμένοις ἦν. ταῦτα δ' εἶπεν, ὅτι πένης ὢν ἐκ τῶν κοινῶν πεπλούτηκε, καὶ ὅτι ἀναξίως ἔχει τῆς ἐν πρυτανείῳ σιτήσεως. cf. 167. refert quidem Athen. 4, 6., lege Solonis publicam ἱστὰν σίτησιν professis diebus constitisse pulte (μάζῃ), festis pane; sed temperantiam illam antiquitatis non ad Aristophanis aevum durasse, cum per se existimari potest, tum ex hoc ipso loco colligi, ubi pane carne et obsonio accipi dicitur Cleon in prytaneo.

282. ita D. auctore Porsono praef. Hecubae p. 45. libri ἐξαγαγών, cui non congruit praesens ἐκθεῖ. — S.: ἐπειδὴ ὁ Κλέων εἶπεν ἀπόῤῥητα (279.), καὶ αὐτὸς εἶπε κρέας (sic vulgo libri, sed Br., Invern., D. κρέα) καὶ ἄρτον. λέγει οὖν, ὅτι ἀναξίως ἔτυχεν ὁ Κλέων, οὗ Περικλῆς οὐκ ἔτυχε τῶν Ἀθηναίων μὴ πασχόντων, καίτοι (imo ἤτοι, ut Bekk. nota.) ὑπὸ μεγαλοφροσύνης τοῦ ἀνδρὸς παραιτησαμένου, ἢ ὅτι ἐξοστρακισθεὶς (ἐζημίωσαν χρήμασιν, inquit Thuc. 2, 65.) οὐκ ἔτυχε τῆς ἐν πρυτανείῳ σιτήσεως etc.

283. τέμαχος. ἰχθῦν. ἰδίως δὲ τεμαχίτας ἰχθῦς τοὺς μεγάλους, καὶ κατακοπτομένους. S. cf. Plut. 890.

284. vulgo haec usque ad 293. dividuntur in trochaïcos dim., quorum postremus (- ρὰς ἔχοντα κοιλίας) est catal., cum consentaneum sit, gliscente contentione non debilius illud et velut joculare metrum usurpari, sed gravius, itidemque illo versu postremo ἀδεκατεύτοις τῶν θεῶν ἱερὰς ἔχοντα κοιλίας (nam sic scribendum est voce non distracta), quae clausula est, intelligatur, majoris moduli esse superiores versus praeter proximum, qui brevior finem colloquii praeparat, more horum poëtarum. cf. 355. seqq., Pac. 590. et ibi annotata, 1091., Ran. 1041., 1044., Vesp. 1285. etc. — αὐτίκα μάλα, εὐθύς, παραχρῆμα. ἀττικὴ δὲ ἡ σύνταξις. κεκράξομαι δὲ τῷ κεκραγμῷ περιέσομαι, ἀντὶ τοῦ νικήσω. S.

καὶποσυκάζεις πιέζων τοὺς ὑπευθύνους, σκοπῶν,
260 ὅστις αὐτῶν ὠμός ἐστιν, ἢ πέπων, ἢ μὴ πέπων,
*καὶ σκοπεῖς γε, τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν
πλούσιος, καὶ μὴ πονηρὸς, καὶ τρέμων τὰ πράγματα,
κἦν τιν' αὐτῶν γνῷς ἀπράγμον' ὄντα καὶ κεχηνότα,
καταγαγὼν ἐκ Χερρονήσου διαλαβὼν ἠγκύρισας,

διανομῆς, φησὶν, ἁρπάζεις. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς. (?) S. τὰ κοινὰ haud dubie dicuntur κλῆροι, h. e. agri seu fundi captarum urbium, sorte assignati; quomodo, captis ab Athenn., quae ab iis defecerant, Mitylenis (Mytilenis), decretum esse ait Thuc. 3, 50. (κλήρους δὲ ποιήσαντες τῆς γῆς, πλὴν Μηθυμναίων, τρισχιλίους.) haec et plura Spanh. ad Nub. 203. quo more contemto Cleon ejusmodi κλήρους praeripuisse ac comedisse dicitur.

259. κάπος. συκοφαντεῖς. ἐχρήσατο δὲ τῷ ὀνόματι, ἀφ' οὗ καὶ συκοφάντης κέκληται. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς Ἀθηναίοις τὰ σῦκα ἦν, καὶ (fort. ἃ καὶ) εἴ τίς διεβλήθη κλέπτων ἐκολάζετο. φαίνειν δὲ ἔλεγον τὸ κατηγορεῖν (ut δεικνύναι 278. etc.) ἄλλως. (ἀπὸ) συκάζειν τὸ ἀποβλίβειν τὰ σῦκα, ἢ ὠμὰ, ἢ πέπειρα. καλῶς οὖν ἐπήνεγκε τὸ [ἀπὸ] πιέζων, ἐπεὶ ἀποβλίβει τοὺς συκοφαντουμένους καὶ πιέζει δωροδοκῶν. S. Sensus est: quemadmodum, qui ficum ex arbore cupiunt edere, prius explorant premendo, sitne matura, an non: sic Cleon, perditurus aliquem civem, ut ejus bona rapiat, prius explorat, sitne ille *opportunus injuriae*, ut loquitur Sallustius. — *Cas.* rursus S.: ὑπευθ., τοὺς μηδέπω λογισμὸν παρεχομένους μηδὲ εὐθύνας τῆς ἀρχῆς, ἧς ἐπιστεύθησαν.

526. *Ἀμυνίας. ἀμυντὴρ, ἀμυντήριος.* S.: *ἕτοιμος πρὸς τὸ ἀμῦναι.* — Cas.: „Attica elegantia. solent enim poëtae propriis nominibus uti pro participiis (vel non propriis nominibus, vel etiam adjectivis), ut Hector pro detinente, quia est ab ἔχω, et talia multa ap. Athen. (3, 20). sic *ἀμυνίας* (*Ἀμυνίας*) pro *ἀμύναν*, ut, si quis latine dicat *est Vincentius* pro *vincens* sive *vincit*. sensus est, statim illos viso hoste impetum fecisse.“ cf. 567. non est cogitandum de archonte Amynia (Vesp. 74.), vel de cognomini trapezita in Nubibus.

527. *εἶδος παλαίσματος, ὃ τινες ψευδόπτωμα καλοῦσι. — καὶ γὰρ τῶν παλαιόντων οἱ εἰς τὸν ὦμον πεσόντες ἐξανιστάντες εἰώθασιν ἀποψᾶν τὴν κόνιν, ἵνα μὴ ἴχνος ἔχοιεν μηδὲ ἔλεγχον τοῦ πτώματος.* — S.

530. *σίτησιν λέγει τὴν ἐν πρυτανείῳ τράπεζαν. τουτέστι δημοσίᾳ τρέφεσθαι οὐδεὶς ἂν τῶν παλαιῶν ἠξίωσεν, ὡς τῶν κατ' αὐτὸν στρατηγῶν τοῦτο ποιούντων, καὶ ὡς ἐπὶ μισθῷ ὑφισταμένων κατορθῶσαί τι τῇ πόλει. Κλεαίνετον.* οὗτος ὁ *Κλεαίνετος* φαίνεται κατεδηδοκὼς τὴν οὐσίαν καὶ ἡδυπαθήσας. (?) οἱ δὲ, ὅτι οὗτος ἔγραψε ψήφισμα, μὴ δεῖν δοθῆναι τοῖς στρατηγοῖς σίτησιν. σπανίως δὲ μέμνηται τοῦ *Κλεαινέτου*, καὶ σχεδὸν ἐνταῦθα μόνον. στοχάζονται οὖν τινες, ὅτι οὗτος ἂν εἴη ὁ τὴν σίτησιν περιποιήσας τῷ *Κλέωνι*. S. annotavit Be., patrem Cleonis Cleaenetum dici ap. Thuc. 3, 36, et 4, 21. Cas.: „Hic Cleaenetus auctor legis fuerat, (?) qua frenabantur publicae σιτήσεις. qui igitur eo aspirabant, ambitiosis precibus eum demulcebant.“ legendus inprimis de hisce praemiis publicis Atheniensium F. A. Wolfius in prolegomenis orationis Leptin. pp. LXXII. seqq.

531. *προεδρίαν. τιμῆς καὶ οὗτος τρόπος. ἐξῆν δὲ τοῖς τῆς τιμῆς ταύτης τυχοῦσι καὶ ἐν βουλευτηρίῳ, καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν θεάτροις, καὶ ἐν ἄλλῳ παντὶ συλλόγῳ, τοὺς προλαμβάνοντας, οἵτινες ἦσαν, ἐξεγείραντας αὐτοὺς εἰς τὸν ἐκείνων τόπον καθίσαι. πεποίηται δὲ τὸ ὄνομα ἀπὸ τοῦ τὴν πρώτην αὐτοὺς ἕδραν ἔχειν.* S. vid. Casaub. ad Theophr. Char. c. 5. *περὶ ἀρεσκείας.* K.

οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ' ἀξιοῦμεν τῇ πόλει
προῖκα γενναίως ἀμύνειν καὶ θεοῖς ἐγχωρίοις·
καὶ πρὸς οὐκ αἰτοῦμεν οὐδὲν πλὴν τοσουτονὶ μόνον·
ἢν ποτ' εἰρήνη γένηται καὶ πόνων παυσώμεθα,
μὴ φθονεῖθ' ἡμῖν κομῶσι, μηδ' ἀπεστλεγγισμένοις.

ΗΜ. Ὦ πολιοῦχε Παλλὰς, ὦ τῆς ἱερωτάτης, ἀντ.
ἅπασῶν πολέμῳ τε καὶ ποιηταῖς
δυνάμει θ' ὑπερφερούσης, μεδέουσα χώρας,
δεῦρ' ἀφικοῦ, λαβοῦσα
τὴν ἐν στρατιαῖς τε καὶ μάχαις
ἡμετέραν ξυνεργὸν

531. τὰ σιτία. οἱ ἐπὶ στρατείαν ἐξιόντες χρόνου τινὸς ἐπήγοντο σιτία. οὗτοι δὲ, φησὶν, οἱ νῦν, ἐὰν μὴ προεδρίας ἤ τινος τιμῆς (vulgo deest ἤ) ἀξιωθῶσιν, οὐκ ἐξίασιν ἐπὶ πόλεμον. σιτία γοῦν εἶπε τὴν ἐν πρυτανείῳ σίτησιν. S. cf. 657.

533. Θεοῖς ἐγχωρίοις. *diis indigenis*, qui etiam πατρῷοι dicuntur. sunt autem procul dubio illi, qui nuncupantur in jurejurando ephebo-rum Atheniensium, Agrauli, Enyalius, Mars, Jupiter, Thelo et Hegemone. vid. Köpkei liber germ. de legg. et judd. Gr. p. 425. sequ., Soph. Trach. 166.

534. πρὸς, *praeterea*. Eurip. Phoen. 575. καὶ κατακτενῶ γε πρός. cf. Eurip. Androm. 370., El. 638.

536. κομῶσι, τρυφῶσι, πλουτοῦσι. τὸ γὰρ κομᾶν ἐπὶ τοῦ τρυφᾶν λέγεται, καὶ γαυροῦσθαι, καὶ μέγα φρονεῖν. ἄλλως τε καὶ ταῖς θριξὶ κομᾶν εἰς τιμὴν συγκεχώρηται αὐτοῖς. (cf. annot. ad 225.) ἀπεστλεγγ. κεκαρμένοις. (imo κεκαθαρμένοις, *strigili detersis*.) Κινέας γὰρ καὶ Φρῦνος εἰσηγήσαντο μεταστῆναι (corrigere) τοὺς νέους, νόμον γράψαντες μηκέτι ἀβροδιαίτους εἶναι, ὃν τρόπον τοπάλαι, μηδὲ κομᾶν. ἢ ἀπεξεσμένοις, καὶ (malim ὡς) ἐπανήκουσιν ἀπὸ ἀλείμματος. (ab unctione et balneis.) — στλεγγὶς γὰρ ἡ ξύστρα, καὶ στλεγγιζόμενος ἀποξυόμενος. καὶ ἀλλαχοῦ Γήρᾳ (fr. 20.) εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ σφαῖραν καὶ στλεγγίδ' ἔχοντα. (καὶ) Δαιταλεῦσιν (fr. 14.) οὐδὲ γὰρ αὐτὴ (fort. οὐδ' ἦν γὰρ αὐτῇ) στλεγγὶς, οὐδὲ λήκυθος. καλεῖται στλεγγὶς καὶ χρυσοῦν ἔλασμα τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν. (genus coronamenti, de quo Casaub. ad Athen. 15, 4. p. 952.) — S.

537. πολ. ἡ τὴν πόλιν κατειληφυῖα καὶ περιέχουσα. ἐπεὶ καὶ ἦρχε τῆς πόλεως. ἔφορος γὰρ αὐτῆς ἡ θεός. — ἐπικαλεῖται δὲ τὴν θεὸν μετὰ τὴν νίκην (τῆς Νίκης) εὐμενῆ παραστῆναι τοῖς ποιήμασιν αὐτοῦ. ὁμοῦ δὲ καὶ τὴν ἐπὶ σοφίᾳ δόξαν τῆς πόλεως, καὶ τὴν ἐπὶ τοῖς πολέμοις ἀρετὴν, διὰ τούτων ἐδήλωσε. ξυνεργὸν δὲ συμπράκτορα, σύμμαχον. S.

538. ἱερωτ. monuit Cas., in universum urbibus nomen sanctarum convenire propterea quod magna cum religione instituerentur et fundarentur; inprimis autem Athenas fuisse quasi omnium deorum hospitium, non modo patriorum aut tutelarium, imo dei incogniti (Act. Apost. 17, 23.). cf. infra 1218., Soph. Ajac. 1134., Eurip. Med. 788., Hipp. 728.

539. καὶ ποιηταῖς. verum est, tempore Aristophanis solam hanc ex urbibus Graeciae poëtas tulisse, qui quidem alicujus momenti essent. Spartani negligebant studia; Thebae Boeotiae vulgo credebantur alieno esse ingenio a litteris, quod proverb. testatur *Sus boeotica*.

541. ita D. libri ἀφίκου, corrupto metro.

Νίκην, ἣ χορικῶν ἐστιν ἑταίρα,
τοῖς τ' ἐχθροῖσι μεθ' ἡμῶν στασιάζει!
545 νῦν οὖν δεῦρο φάνηθι· δεῖ γὰρ τοῖς ἀνδράσι τοῖσδε
10 πάσῃ τέχνῃ πορίσαι σε νίκην, εἴπερ ποτέ, καὶ νῦν.
ΧΟ. Ἃ ξύνισμεν τοῖσιν ἵπποις, βουλόμεσθ' ἐπαινέσαι. ἀντεπῳδ.
ἄξιοι δ' εἰσ' εὐλογεῖσθαι· πολλὰ γὰρ δὴ πράγματα
ξυνδιήνεγκαν μεθ' ἡμῶν, εἰσβολάς τε καὶ μάχας.
550 ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν οὐκ ἄγαν θαυμάζομεν,
ὡς ὅτ' εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς,
πριάμενοι κώθωνας, οἱ δὲ καὶ σκόροδα καὶ κρόμμυα·

543. *Νίκην*. deam Victoriam, quam vett. volucris facie pingebant, sed sine alis, ne ab se avolaret. Cas. cf. Böttigeri comm. de Victoria, praemissa Ephemeridibus litt. univ. a. 1803. B. de Minerva Victoria Be. conferri jussit Soph. Phil. 134. S.: ἢ — ἑταίρα. ἢ τοῖς χοροῖς ἐστι προσφιλὴς καὶ συνήθης. — ἄλλως. χορικῶν. τῶν κωμικῶν καὶ τραγικῶν. — S. „χορικοὶ sunt homines occupati circa chorum. chori autem pars praecipua apparatus ad docendas fabulas. inde igitur histriones, poëtae, imo ipse choragus, denotantur hac voce.“ *Cas.*

544. τοῖς τ' ἐχθρ. τοῖς ἀντιπάλοις, τοῖς ἀνταγωνισταῖς. στασιάζει δὲ ἀντὶ τοῦ πρὸς φιλονεικίαν διαφέρεται. S.

545. φαν., conspicere h. e. *adesto*. B. τοῖς ἀνδρ. τοῖσδε. histrionibus Aristophaneis.

546. πάσῃ τέχνῃ. quovis modo, omnibus rationibus. B.

547. laudes equorum. S.: τοῖσιν ἵπποις. ἵνα μὴ εἴπῃ τοῖς ἱππεῦσι, καὶ δόξῃ χαρίζεσθαι τῷ Χορῷ, ἀλλ' ἵνα διὰ τῶν ἵππων ἐπαινέσῃ αὐτούς. (imo per jocum ita loquitur: τοὺς ἱππέας dixit 562.)

549. εἰσβολάς. impressiones, quas hostes faciunt in hostilem terram. *Cas.* ἱππαγωγοὺς δὲ τὰς ἵππους καὶ ἄνδρας ἀγούσας ναῦς. S.

551. tangit historiam, quam narrat Thuc. 4. (42. sequ.), quando Athenn. in agrum Corinthiorum classe vecti impressionem fecerunt circa Solygium collem cum duobus armatorum millibus et ducentis equitibus, in hippaginibus vectis, quorum praecipue opera Corinthios pepulerunt loco et tropaeum statuerunt. hoc factum est post expeditionem ad Pylum in fine aestatis anni 7. belli Pelop. — *Palmer*. Exercc. p. 726. cf. annot. ad 561. et 62.

552. κώθωνας. εἶδη ποτηρίων, ἃ ἐλάμβανον οἱ στρατιῶται. — διὰ δὲ τοῦ σκορόδου καὶ κρομμύου τὴν εὐτέλειαν δείκνυσι τῶν τε ναυτικῶν καὶ στρατιωτικῶν σιτίων. — ἄλλως. κώθων εἶδος ἐκπώματος ὀστρακίνου. ἢ εἶδος ποτηρίου λακωνικοῦ καὶ στρατηγικοῦ. (στρατευτικοῦ.) ἐπειδὴ μεριστὸν ὕδωρ ἐλάμβανον οἱ ναῦται, κώθωνας εἶχον. Ἀππιανὸς ἔφερε δὲ ᾠδὰ συγκεκομμένην, καὶ θεῖον ἐν κώθωσι. καὶ κωθωνίσαι τὸ μεθύσαι, ὡς τὸ ἐρῶν δὲ [καὶ] κωθωνιζόμενος ἀφ' ἡμέρας. S. Phot. lex. p. 144., notante B.: κώθων, ποτήριον λακωνικὸν στρατιωτικόν. καὶ κουρᾶς εἶδος. Cas.: „Veteris militiae mos fuit, ut miles omnia sibi necessaria secum portaret. multa Virg. et Latini de milite Rom.; sed et Graeci idem fecerunt. propterea poëta fingit istos admirabiles equos in militiam profecturos more militiae viaticum sibi comparasse, h. e. supellectilem necessariam victus castrensis, cujusmodi sunt allia, caepe, laridum et id genus; de quibus saepe in Codice fit mentio. suppellectilem denotat unius *cothonis* nomine. est vero κώθων poculi genus, laconici inventi, artificii

εἶτα τὰς κώπας λαβόντες, ὥσπερ ἡμεῖς οἱ βροτοὶ,
ἐμβαλόντες ἀνεβρύαξαν „Ἵππαπαὶ, τίς ἐμβαλεῖ;
555 Ληπτέον μᾶλλον! Τί δρῶμεν; Οὐκ ἐλᾷς, ὦ σαμφόρα;“
ἔξεπήδων τ' εἰς Κόρινθον· εἶτα δ' οἱ νεώτεροι
ταῖς ὅπλαῖς ὤρυττον εὐνὰς, καὶ μετῆσαν στρώματα·
ἤσθιον δὲ τοὺς παγούρους ἀντὶ ποίας μηδικῆς,
εἴ τις ἐξέρποι θύραζε, κἀκ βυθοῦ θηρώμενοι·
560 ὥστ' ἔφη Θέωρος εἰπεῖν καρκίνον Κορίνθιον

peculiaris, usus multiplicis, ejus descriptionem vide ap. Plut. in Lycurgo (c. 9, 4.) et ap. Athen. (11, 10.)“ — σκόροδα, *allium* Linn., *Lauch*. cibus vulgaris v. Plut. 814., Ach. 164., Billerbeckii Flor. class. p. 87. sequ. κρόμμυα, *allium cepa*. Linn. cf. Ran. 615. etc.

554. sequ. — πυρίως τὸ ἐμβαλεῖν τὸ ταῖς κώπαις κροῦσαι. — τὸ δὲ ἱππαπαὶ ἔπαιξε παρὰ τὸ ὑπαπαπαὶ (Ran. 1012.) εἰρηκὼς, ὡς ἐπὶ ἵππων. ἔστι δὲ τὸ ὑππαπαὶ ἐπιφώνημα ναυτικόν. ἢ ψόφου ἐστὶ μίμημα ἀποτελουμένου. ἀνεβρύαξαν δὲ ἀνεθορύβησαν, ἀνέκραγον. οὐκ ἐλᾷς δὲ οὐκ ἐρέττεις, οὐ κωπηλατεῖς; ὦ σαμφ. ἰδίως καλοῦνται σαμφόροι ἵπποι ὑπεχαραγμένοι τὸ σ σημεῖον· οἱ γὰρ Δωριεῖς τὸ σ σὰμ λέγουσι. (— sic, quibus inusta erat littera *K*, eos vocabant κοππατίας, ut initio Nebularum. [utrosque praestantioris generis.] *Cas.*) S. λητέον μᾶλλον. sensus est: quis remis incumbet? (τίς ἐμβαλεῖ;) remi sunt magis capessendi, fortius tractandi.“ B.

556—558. οἱ νεώτεροι. h. e. οἱ νέοι. minus recte Rav. νεώτατοι. solent hae formae confundi. Cas.: Cum fingat istos equos milites esse, illud simul affingit equis, juniores eorum officio calonum functos. *calones* Latini vocant, sive *caculas*, famulos militum, qui ipsis necessaria deferebant et cibos parabant. — S. πυρίως (?) τὸ ἐξεπήδων ἐπὶ ἵππων. φησὶ δὲ ἐξώρμων. ἐναργεῖ δὲ λέξει κέχρηται, δεικνὺς αὐτῶν τὴν προθυμίαν. παγούρους δὲ τοὺς παρ' ἡμῖν καράβους. πάγουρος, frequens animal in mari germanico, est *cancer pagurus* Linn. B.: *Meerkrebs, Taschenkrebs*, ap. Italos quoque *paguro* dictus. vide Oppian. Hal. 1, 285. Cam. ad Arist. H. A. 2. p. 162. (4, 2.) etc.

557. μετ. μετήρχοντο, ἐδίωκον. gl. Vict. *ibant petitum stragula*. K.

558. ἀντὶ π. μηδ. τοῦ παρ' ἡμῖν χόρτου. λέγεται δὲ πόα μηδικὴ ἀρίστη, καὶ καλλίστη, καὶ ἐπιτηδειοτάτη ἵπποις. ἡ αὐτὴ δὲ τρίφυλλος λέγεται. *medicago sativa* Linn., *der Luzerner Schneckenklee*. Plin. H. N. 18, 16.: *Medica a Medis advecta per bella Persarum* etc. cf. Billerbeckii Flor. clas. p. 197. sequ.)

559. εἴ τις ἐξέρποι. εἴ τις προκύψειε μόνον. ἐπέμεινε δὲ τῇ τροπῇ, πλέον τι περὶ τῶν Ἀθηναίων φιλοτιμούμενος. οὐ γὰρ τοὺς προϊόντας (μόνον), φησὶ, διέφθειρον συλλαμβάνοντες, ἀλλὰ καὶ τοὺς ἐν αὐτοῖς ὄντας τοῖς βυθοῖς· ταῦτα δὲ πάντα πρὸς τὴν ἐμπειρίαν αὐτῶν ἀποτεινόμενος τὴν περὶ τὰ ναυτικά. S.

560. — ὡς μοιχὸς κωμῳδεῖται ὁ Θέωρος, καὶ ἰχθυοφάγος, καὶ πονηρός. περὶ Κόρινθον οὖν διέτριβεν, ἴσως διὰ τὰς ἑκεῖ πόρνας. ἦν δὲ καὶ κόλαξ. (Vesp. 42. seqq.) ταῦτα οὖν λέγει ἴσως κολακεύων τοὺς ἱππέας. S. καρκίνον Κορίνθιον. Haud inepte Reiskius: „Suspicor, Corinthios ridicule et *par un sobriquet* cognominatos fuisse *cancros*, quacunque tandem de causa, ut Boeotorum elogium fuit *sues*. fortasse ob λειπομαχίαν, de qua Herodotus et Plut. de malign. Herodoti. (vel quia videbantur esse ἀμφίβιοι, ut cancri, propter situm Corinthi in

„Δεινά γ', ὦ Πόσειδον, εἰ μηδ' ἐν βυθῷ δυνήσομαι,
μήτε γῇ, μήτ' ἐν θαλάττῃ, διαφυγεῖν τοὺς ἱππέας."

isthmo inter duo maria. eodem convicio [*Krebse*, *Seekrebse*] hodieque verberari solent Dani in Germania, praesertim septentrionali.) non insolens veteribus fuit neque hodie est integris gentibus nomina talia invidiosa et minus honorifica imponere. Silesii aliquando audiebant *Eselfresser*, Thuringi *Heringsmasen*, Scoti Anglis *formicae* (v. Du Cange gloss. lat. v. *formicae*), Noribergenses *Herrgottsschwärzer*." in Add. de cancris Corinthum missis laudat Diod. Sic. 1, 507. init. B. similiter H. Voss.: „*Krebse* und *Krabben* (πάγουροι) heissen die grossen und geringen Korinther als Seemänner."

561. ὦ Πόσ. δοκοῦσι καὶ οἱ Κορίνθιοι μάλιστα σέβεσθαι Ποσειδῶνα διὰ τὸν ἰσθμόν. ὅθεν καὶ γυμνικὸν ἀγῶνα τὰ Ἴσθμια ἐπιτελοῦσι τῷ τε Παλαίμονι, καὶ τῷ Ποσειδῶνι. ἄλλως. ὅτι οἱ Ἀθηναῖοι ἐστράτευσαν ἐπὶ Κόρινθον, καὶ περὶ Κεγχρέας (Κεγχρειὰν) ἐνίκησαν, Νικίου στρατηγοῦντος τοῦ Νικηράτου, (Thuc. 4, 42.: ἐστρατήγει δὲ Νικίας ὁ Νικηράτου τρίτος αὐτός.) σὺν ἱππεῦσι σ', καὶ ὁπλίταις, καὶ ναυσί. S. cf. annot. ad 551.

562. ita Br. metri gratia. perperam libri μήτ' ἐν γῇ. S.: ὡς τῶν Ἀθηναίων οὐ κατὰ θάλατταν μόνον, ἀλλὰ καὶ κατὰ γῆν, ἐν τοῖς πολέμοις κρατούντων. verbis μήτε γῇ, μήτ' ἐν θαλ. παρῳδεῖ notum quoddam scolion Timocreontis Rhodii, quod legitur in scholiis ad Ach. 497.

ΧΟΡΟΣ. ΑΛΛΑΝΤΟΠΩΛΗΣ. ΚΛΕΩΝ. ΔΗΜΟΣ.

ΧΟ. Ὦ φίλτατ' ἀνδρῶν καὶ νεανικώτατε, i. tr.
ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα!
καὶ νῦν, ἐπειδὴ σῶς ἐλήλυθας πάλιν,
ἄγγειλον ἡμῖν, πῶς τὸ πρᾶγμ' ἠγωνίσω.
ΑΛ. τί δ' ἄλλο γ' εἰ μὴ Νικόβουλος ἐγενόμην;
ΧΟ. νῦν ἄρ' ἄξιόν γε πᾶσιν ἐστὶν ἐπολολύξαι. t. t. br. στ.
ὦ καλὰ λέγων, πολὺ δ' ἀμείνον' ἔτι τῶν λόγων cr. t.
ἐργασάμεν', εἶθ' ἐπέλθοις ἅπαν μοι σαφῶς, ὡς ἐγώ μοι
δοκῶ as., cr. hex.
κἂν μακρὰν ὁδὸν διελθεῖν, ὥστ' ἀκοῦσαι. πρὸς τάδ', ὦ
t. t. c.

563. ὁ Χορὸς πρὸς τὸν ἀλλαντοπώλην, ἥκοντα ἀπὸ τῆς Βουλῆς, [καὶ] καταγωνισάμενον Κλέωνα. S.

564. φροντίδα. ἀγωνίαν, καὶ μέριμναν, καὶ φόβον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰς δέος κατέστησας ἡμᾶς, μὴ παρευδοκιμηθῇς πρὸς τοῦ Κλέωνος. S.

565. πρᾶγμα ἀγωνίζεσθαι est negotium contendendo perficere, die Sache ausfechten, durchsetzen. B.

567. νικόβουλος. ἐγὼ, φησὶ, τὴν νίκην ἀπηνεγκάμην. ἀστείως δὲ πέπρηται τῷ συνθέτῳ, καὶ τὰ ὀνόματα συνέπλεξεν ἄμφω. (ad exemplum nominum Thrasybulus, Neobulus, Aristobulus, Cleobulus, quae commemoravit Wieland. „cf. supra 527., Ἀριστομάχη, Εὐβούλης, Thesm. 764. seqq., Δυσιμάχη Pac. 934. et Lys. 520.“ — *Be.* ipsum nomen Nicobuli Plantus usurpavit Bacchidibus. quare scripsimus *Νικόβουλος*, ut 526. *Ἀμυνίας*: nam librarii more suo νικόβουλος, ἀμυνίας.) — S.

568. ἐπολ. εὐφημῆσαι. „verbum sacrorum, a barbaris ad Graecos translatum, auctore Herodoto 4, 189.“ — *Cas.* cf. annot. ad Av. 748.

569. ita Be in annot., quem recte secutus est D. libri ἄμεινον, cum antecedat καλά.

570. ἀμέτρως libri εἰργασμέν' vel εἰργασμένε, et ab interpretatione ἅπαντά μοι. (Aeschylus Prom. 588. λέξω τορῶς σοι πᾶν etc.) illud emendaverunt Be. et Herm. libro de Metris p. 367. sic etiam Bekk., D. S.: εἶθ' ἐπ. εἴθε ἐθελήσαις μοι διελθεῖν καὶ διηγήσασθαι πάντα τὰ πραχθέντα σοι καὶ γεγενημένα.

571. καὶ ἀποδημίαν (ἂν) στείλασθαί μοι δοκῶ, ὥστε μαθεῖν τὰ πεπραγμένα. θέλω, φησὶ, καὶ μακρὰν ὁδὸν διελθεῖν, ἵνα μάθω, πῶς ἐνί-

βέλτιστε, θαῤῥήσας λέγ', ὡς ἅπαντες ἡδόμεσθά σοι. i. t.
ΑΛ. καὶ μὴν ἀκοῦσαί γ' ἄξιον τῶν πραγμάτων. i. tr.
εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἰέμην·
ὁ δ' ἄρ' ἔνδον, ἐλασίβρυντ' ἀναῤῥηγνὺς ἔπη,
τερατευόμενος ἤρειδε κατὰ τῶν ἱππέων,
κρημνοὺς ἐρείπων, καὶ ξυνωμότας λέγων
πιθανώταθ'· ἡ Βουλὴ δ' ἅπασ' ἀκροωμένη
ἐγένεθ' ὑπ' αὐτοῦ ψευδατραφάξυος πλέα,
κἄβλεψε νάπυ, καὶ τὰ μέτωπ' ἀνέσπασε.

κησας τὸν Κλέωνα. S. hoc proverbialiter dici ait Cas. in re, quam valde desideramus, quemadmodum Plinius praefatione, t. 1. p. 21. ed. Franz., ridens speciosos quorundam titulos, *propter quos*, inquit, *vel vadimonium deseras.*

574. seqq. — κατόπιν. ὄπισθεν ἢ μετ' αὐτοῦ ἐπορευόμην. τὸ δὲ ἐλασίβροντα παρὰ τὰ ἐκ τῆς ἀρχῆς (?) Πινδάρου. (vocavit Pind. Jovem ἐλασιβρόντην fragm. inc. 153. idem Olymp. 4. ἐλατῆρ' ὑπέρτατε βροντᾶς. annotavit Cas. ἀναῤῥηγνὺς δὲ ἀποσπῶν, μετὰ σφοδρότητος λέγων. — τερατ. ψευδόμενος καὶ μηδὲν ἀληθὲς μηδὲ ὑγιὲς λέγων. ἤρειδε κ. τῶν ἱππ. ἤφιε καὶ ἔπεμπε κατὰ τῶν ἱππ. S. recte 575. D. edidit ἰέμην pro ἰέμην. Eurip. Bacch. 524. ἕεται, ξίφος κελαινὸν ἁρπάσας, δόμων ἔσω.

577. ἐρείπων scribendum esse intellexit Br. putide libri ἐρείδων. S.: κρημνοὺς ἐρείδων. ἐπιπέμπων καὶ ἀκοντίζων, τουτέστιν ἐγκλήματα ὑπέρογκα καὶ διαβολὰς χαλεπωτάτας ῥίπτων καὶ λογοποιῶν κατὰ τῶν ἱππέων. ἀπὸ δὲ τοῦ ἐλασίβροντα καὶ τοῦτο εἴληφε τὸ ῥῆμα ἐχόμενον τοῦ ὄγκου τοῦ προειρημένου. κρημνοὶ δέ εἰσι τὰ μέρη τὰ ἀπὸ τῶν ὀρῶν ἀποσπώμενα. καὶ τὴν ὄχθην δὲ κρημνὸν λέγουσιν, ἐπειδὴ πάντα τὰ ὑψηλὰ κρημνοί. „Hom. Il. o', 355.: προπάροιθε δὲ Φοῖβος Ἀπόλλων Ῥεῖ' ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων Ἐς μέσσον κατέβαλλε. „„Cleo,"" inquit, „„rupes (verborum) avellit et in Equites jaculatur."" Br. κρημνοὺς, ὡς κρημνούς, ellipsi satis frequente ap. Comicum: vide Plut. 294., 312., ibique schol.

578. ita membr. Paris., sed hac interpunctione: — λέγων. πιθανώταθ' ἡ Βουλὴ δ' ἅπασ' etc., qua Br. contentus fuit. sequor Bekkerum et Dindorfium. neque aliter haec scripta legit schol., qui sic interpretetur: πιθανώτατα. ἐγγὺς πίστεως καὶ ἀληθείας ἐχόμενα πλάττει, ἐπιφέρων αὐτοῖς ἐγκλήματα. Rav. πιθανώτατα δ' ἡ B. vulgo πιθανώτατά θ' ἡ B.

579. ψευδ. πλήρης ψευσμάτων. ἀτράφαξις (ἀτράφαξυς) δὲ εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. (ita vocatur *chenopodium bonus Henricus* Linn., *Gänsefuss, Guter Heinrich*, cujus duo sunt genera, silvestre et sativum. hoc quidem appellatur etiam χρυσολάχανον, *atriplex, Melde;* idque hic agitur. vide Billerbeck. Flor. class. p. 62. et 245.) ἐπεὶ οὖν ὁ Κλέων ψευδῆ κατὰ τῶν ἱππέων κατηγόρησε, καὶ ἡ Βουλὴ πεισθεσθαι ἐδόκει, ψευδατραφάξυος εἶπε πλέαν τὴν Βουλὴν γεγονέναι, (quasi dicas *voll Lügensaat.* Voss.: Da Der mit seiner Lügensaat' ihn sättigte.) διαβάλλων μὲν ὡς ψευστὴν τὸν Κλέωνα, τῆς δὲ Βουλῆς καθαπτόμενος, ὡς τοῖς ψευδομένοις καὶ διαβάλλουσι πειθομένης εὐχερῶς καὶ ῥᾳδίως, ὥσπερ καὶ τὸ λάχανον αὔξεται. S.

580. κἄβλ. νάπυ. καὶ ἀνέβλεψε δριμὺ καὶ ὀργίλον. ἀπὸ τῆς ψευδατραφάξυος, ἐξ ἧς εἶπε τὸ νάπυ· λαχάνου γὰρ καὶ τοῦτο εἶδος. ἔστι δὲ δριμὺ τὴν φύσιν. ἀφ' οὗ σπέρματος τὸ νῦν λεγόμενον σίνηπι γίνεται. νάπυ γὰρ τὸ σίνηπι λέγε-

κἄγωγ', ὅτε δὴ 'γνων ἐνδεχομένην τοὺς λόγους,
καὶ τοῖσι φενακισμοῖσιν ἐξαπατωμένην,
„Ἄγε δή, Σκίταλοι, καὶ Φένακες," ἦν δ' ἐγώ,
„Βερέσχεθοί τε, καὶ Κόβαλοι, καὶ Μόθων,
585 ἀγορά τ', ἐν ᾗ παῖς ὢν ἐπαιδεύθην ἐγώ,
νῦν μοι θράσος καὶ γλῶτταν εὔπορον δότε,
φωνήν τ' ἀναιδῆ!" — ταῦτα φροντίζοντί μοι
ἐκ δεξιᾶς ἀπέπαρδε κατυπύγων ἀνήρ·

ται. S. atticum νάπυ, non σίναπι, esse dicit Athen. 1, 9. sub init. cf. Theophrast. H. Pl. 7, 3, 6. K.: i. e. *acrem habuit vultum instar sinapi.* similiter Vesp. 441. καὶ βλεπόντων καρδαμα, Ran. 564. βλέποντ' ὀρίγανον.

582. φεν. ἀπατήμασι. φενάκη γάρ ἐστιν ἡ προσθετὴ κόμη. S. cf. Plut. 271. etc.

583. Σκίταλοί τε. Suid. v. σκίταλοι. S.: — οἷον προτρεπόμενος καὶ ἐκθαρσύνων αὐτὸν εἰς ἀναίδειαν καὶ εὐτολμίαν ἀνέπλασε θεοὺς ἐπὶ χλεύῃ, οἷς ηὔξατο ἀρξάμενος τοῦ λέγειν. Σκίταλοι μὲν οὖν οἱ εὐτελεῖς καὶ πονηροί. ἦν γὰρ Σκίτων ναφεύς τις καὶ εὐτελής, ἐπὶ πονηρίᾳ κωμῳδούμενος. (de Σκιτάλοις lasciviae et nequitiarum praesidibus B. laudavit Toupii Emm. in Suid. 2. p. 172. sequ. vocab. Σκιτὼν, a Pherecrate usurpatum, habet Phot. lex. p. 200. cf. Hesych. h. v.) Βερέσχεθοι δὲ οἱ ἀνόητοι. πέπλασται δὲ ἡ λέξις. (Cas.: „Βερέσχεθος," inquit, „dii praesides stultitiae. stultorum est verba sine mente proferre. sic Bereschethus sine certa analogia fictum nomen." hanc sententiam etsi non prorsus rejicio, fuit tamen, cum notatio hujus verbi ab hebraïco בְּרֵאשִׁית, *Bereschit*, repetenda mihi esse videretur, existimaremque, Bereschitorum appellatione primum a Babyloniis Persisque irrisos esse Judaeos, tanquam eos, qui creparent בְּרֵאשִׁית illud suum, quod est initium Pentateuchi; cujus rei cum obscura fama pervenisset ad Graecos, βερεσχέτους vel βερεσχέθους generatim vocari coepisse superstitiosos aut stultos, qui confidenter loquuntur de rebus, quas parum intelligunt. — Bentlejo vox visa est mendosa, malebatque ille Ἐρέσχελοι, ἀπὸ τοῦ ἐρεσχελεῖν. Σκίταλοι dictum putabat, ut Κόβαλοι, producta media; sed ponendum esse suspicabatur Σκίμαλοι, ἀπὸ τοῦ σκιμαλίζειν. Ach. 410. ὅπως ἂν αὐτοὺς ῥηματίοις σκιμαλίσω, ubi vid. annot. — de vocabulo Κόβαλοι cf. 390.) — Μόθων δὲ ὁ εὐτελής. μόθωνας γὰρ ἐκάλουν οἱ Λάκωνες τοὺς παρεπομένους τοῖς ἐλευθέροις. ἔστι δὲ καὶ γένος ὀρχήσεως. Phot. lex. p. 200. μόθων, ὄρχημα φορτικὸν καὶ κορδακῶδες. ἀπὸ δὲ τούτου καὶ ὁ ἀναγωγὸς καὶ ὁ ἀκόλαστος ἄνθρωπος. B. cf. 644.) — Cas.: Erat moris olim, ut et curiam ingredientes, et dicere incipientes, deûm opem implorarent. sic Demosth. nobilem pro se orationem (de Cor.) sic est exorsus: Πρῶτον μὲν τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις. hoc imitatur poëta h. l., sed ut in re ridicula ridicule etc.

587. φρόντ. εὐχομένῳ καὶ μεριμνῶντι. S.

588. ἀπέπαρδεν. οὕτως Ἀττικοὶ τὸ πορδὴν ἀφεῖναι. παρείληφε δὲ τοῦτο γέλωτος χάριν. (et hoc ex more veterum: nam prout tonitru a dextra aut sinistra auditum esset, ita laetum aut triste augurium putabant. [sed Graeci tantum: nam Latini contra. vid. Nitschii liber germ. de antiqu. gr. vol. 1. p. 694.] at peditus [peditum] in disciplina augurali observabatur quidem, sed contrario atque hic ritu: nam comitia dirimebantur eo interveniente, ut Ausonius ostendit. [vide Scal. Lectt. Auson. 1, 25. B.] — *Cas.* „similiter hymn. Hom. in Merc. 294.:

καγὼ προσέκυσα, κἄιτα τῷ πρωκτῷ θενὼν
τὴν κιγκλίδ' ἐξήραξα, κἀναχανὼν μέγα
ἀνέκραγον „Ὦ Βουλή, λόγους ἀγαθοὺς φέρων
εὐαγγελίσασθαι πρῶτον ὑμῖν βούλομαι·
ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατερράγη,
οὐπώποτ' ἀφύας εἶδον ἀξιωτέρας."
οἱ δ' εὐθέως τὰ πρόσωπα διεγαλήνισαν,
εἶτ' ἐστεφάνουν μ' εὐαγγέλια· κἀγὼ 'φρασα
αὐτοῖς ἀπόρρητον, ποιησάμενος ταχύ,
ἵνα τὰς ἀφύας ὠνοῖντο πολλὰς τοὐβολοῦ,
τῶν δημιουργῶν ξυλλαβεῖν τὰ τρυβλία.
οἱ δ' ἀνεκρότησαν, καὶ πρὸς ἔμ' ἐκεχήνεσαν.
ὁ δ' ὑπονοήσας, ὁ Παφλαγών, εἰδώς θ' ἅμα,
οἷς ἥδεθ' ἡ Βουλὴ μάλιστα ῥήμασι,

τότε δὴ κρατὺς Ἀργειφόντης Οἰωνὸν προέηκεν, ἀειρόμενος μετὰ χερσὶ, Τλήμονα γαστρὸς ἐριθον, ἀτάσθαλον ἀγγελιώτην. Ἐσσυμένως δὲ μετ' αὐτὸν ἐπέπταρε. ubi mox Apollo: εὑρήσω καὶ ἔπειτα βοῶν ἴφθιμα κάρηνα Τούτοις οἰωνοῖσι." — Be. καταπύγων δὲ εὐρύπρωκτος. S.

589. ita D. vulgo θένων. S.: προσέκυσα. προσεκύνησα, ὥσπερ σημείου τινὸς δοθέντος. —

590. τὴν κιγκλίδα. τὴν θύραν, τὴν κάγκελον (κάγκελλον, cancellum, Gitterthür,) τοῦ δικαστηρίου. (cf. Vesp. 124.) — εὐαγγελίσασθαι δὲ εὐαγγέλια λέγειν, ἀττικῶς. (ὁ) πόλεμος δὲ ὁ Πελοποννησιακὸς δηλονότι. κατερράγη δὲ ἀντὶ τοῦ συνέπεσεν. (cf. ann. ad Ach. 493.)

594. de ἀφύαις dictum ad Ach. 606. S.: ἀξιωτ. εὐωνοτέρας, τῆς ἀξίας τιμῆς. ἄξιον παρ' Ἀττικοῖς τὸ εὔωνον. cf. 621., 836. sequ.

595. ita Bekk. et D. secundum Rav. et Vatic. Palat., quorum ille οἱ δ' εὐθέως, hic διεγαλήνισαν. vulgo: τῶν δ' εὐθ. τὰ πρ. διεγαλήνισεν, quae et ipsa lectio ferri potest, placuitque Beckio prae illa. „nam etsi," inquit, „διαγαληνίζειν proprie ipsa sua forma activam habet vim, ut neutrum tamen, exemplo aliorum ejus generis verborum, dici potuit." S.: διεγαλήνισεν. προσηνῆ καὶ πρᾷα καὶ ἥμερα ἐγένοντο, τουτέστιν ἐκ τῆς ὀργῆς μετέβαλε καὶ μετηλλάγη. — σκώπτει δὲ αὐτούς, ὡς μικροῖς δελεαζομένους λήμμασιν.

596. ἐστ. μ' εὐαγγ. τοὺς γὰρ εὐαγγελιζομένους τι ἀγαθὸν στεφάνοις ἐτίμων. S. cf. ann. ad Plut. 759.

597. ἀπόρρ. τὸ ἐν μυστηρίῳ λεγόμενον. οἷον τὸ κεκρυμμένον καὶ ἄγνωστον αὐτοῖς ὑποθέμενος, ἵν' ἔχοιεν, καὶ ποῦ ἀγοράσειεν. S. ποιησ. ταχύ. ἀνύσας, celeriter. E Cas.

599. τῶν δημ. τῶν σκευοποιῶν, τῶν κεραμέων. δημιουργοὺς δὲ ἐκάλουν καὶ τὰς νῦν καλουμένας ὑπονυμφίδας, τουτέστι τὰς παρεστώσας τῇ νύμφῃ γυναῖκας. ὅθεν ἔστι καὶ Μενάνδρῳ (Μενάνδρου) Δημιουργός. κοινῶς δὲ ἔλεγον δημιουργοὺς τοὺς τὰ δημόσια ἐργαζομένους. ποτὲ δὲ καὶ τοὺς ἀρχιτέκτονας, ὡς ἐν Εἰρήνῃ (297.), καὶ δημιουργικῶς (ibid. 419.) ἀντὶ τοῦ τεκτονικῶς. τρυβλία δὲ τὰ ὀξύβαφα. S. figulorum trullas in foro corripere senatum jubet, ne quis alius habeat, quo excipiat domumque auferat apuas emtas.

600. πρὸς ἔμ' ἐκεχ. cf. 751.

601. ἀνεκρ. ἤσθησάν τε καὶ ἐκρότησαν. — ὑπονοήσας δὲ

*γνώμην ἔλεξεν· „Ἄνδρες, ἤδη μοι δοκεῖ
ἐπὶ συμφοραῖς ἀγαθαῖσιν εἰσηγγελμέναις
εὐαγγέλια θύειν ἑκατὸν βοῦς τῇ θεῷ.“
ἐπένευσεν εἰς ἐκεῖνον ἡ Βουλὴ πάλιν·
κἄγωγ', ὅτε δὴ 'γνων τοῖς βολίτοις ἡττημένος,
διακοσίαισι βυσὶν ὑπερηκόντισα,
τῇ δ' Ἀγροτέρᾳ κατὰ χιλίων παρῆνεσα
εὐχὴν ποιήσασθαι χιμάρων ἐσαύριον,
αἱ τριχίδες εἰ γενοίαθ' ἑκατὸν τοὐβολοῦ.
ἐκαραδόκησεν εἰς ἐμ' ἡ Βουλὴ πάλιν.

ὑποπτεύσας (recte), ἢ κατανοήσας τότε καὶ προϊδών. S. B.: ὑπον. pertinet eo, quod sensit, senatum benevolas aures praebere isiciario. Zonar. 2. p. 1772.: ὑπονοεῖν ἐστι τὸ μὴ τελείως νοεῖν τὸ προκείμενον.

603. Rav. ἄνδρες, κἀμοὶ δοκεῖ. fortasse A. dixit Ἄ., οὐκ ἐμοὶ δοκεῖ, ἐπὶ σ. δ' ἀγ. etc., ut Cleon simul rejiciat violentum adversarii consilium, senatuique ad voluntatem loquatur.

604. ἐπὶ συμφ. ἀγ. ἐπὶ ἀγαθοῖς πράγμασι. μέσον δὲ ὄνομα ἡ συμφορά. δηλοῖ γὰρ καὶ τὸ καλὸν, καὶ τὸ κακόν, ἐκ τῆς προσθήκης τοῦ ἐπιφερομένου, ὥσπερ οὖν καὶ νῦν προσθεὶς ἐπ' ἀγαθαῖσιν οὐκ ἀφῆκεν ἐπὶ τοῦ πονηροῦ νοεῖσθαι. S.

605. εὐαγγ. θύειν. Xenoph. Hell. 1, 6, 38., annotante Be., ἔθυε εὐαγγέλια, *sacrificavit ob laetum nuncium*, etc. τῇ θεῷ, Minervae. cf. 417.

607. — βολίτοις, τοῖς σπελέθοις. βόλιτοι γὰρ οἱ σπέλεθοι τῶν βοῶν. (fimus boum, quo ipsae boves significantur.) — καὶ παροιμία βολίτου δίκην πρὸς τοὺς ἐπὶ μικροῖς ὕλαις ὑπέχοντας. ὁ γὰρ Σόλωνος νόμος (v. Petit. de Leg. att. p. 640. ed. Wess. B.) καὶ βόλιτον ὠφελομένους κολάζει. ὑπερηκόντισα δὲ (ut Plut. 661. etc.) ἐνίκησα, ἐκ μεταφορᾶς τῶν τοῖς ἀκοντίοις νικώντων. S. Germani alio tropo dicunt *Jemand mit etwa überbieten*.

608. ita D. διηκοσίησι membr. Paris., Rav., Bekk. διακοσίοισι C Paris. vulgo διηκοσίοισι.

609. τῇ δ' Ἀγρ. τῇ Ἀρτέμιδι. ἰδίως γὰρ οἱ Ἀθηναῖοι σέβουσι καὶ τιμῶσι τὴν ἀγροτέραν Ἄρτεμιν. ἄλλως. ἐξ ἱστορίας. Καλλίμαχος (imo Miltiades, secundum Aelian. V. H. 2, 25.) ὁ πολέμαρχος λέγεται εὔξασθαι τῇ Ἀρτέμιδι τοσαύτας βοῦς θῦσαι, ὅσους ἂν φονεύσῃ βαρβάρους ἐν Μαραθῶνι· ἐπειδὴ δὲ πολλοὶ ἐφονεύθησαν, μὴ δυνάμενος τοσαύτας βοῦς θῦσαι, ἔθυσε χιμαίρας. haec alii aliter narrant. vidd., quos laudant, Xenoph. Exped. Cyri 3, 2, 12., Aelian. l. l., Meurs. Athen. att. 2, 5.) παρῆνεσα δὲ συνεβούλευσα, εἰσηγησάμην Ἀθηναίοις.

610. εὐχὴν ποιήσασθαι κατὰ χιλίων χιμάρων, *mille hircos vovere*, quemadmodum Pollux 1, 27. inter voces ad sacra pertinentes hanc habet εὔχεσθαι κατὰ βοός, *bovem vovere*, et notum est ex Suida et Diogeniano proverb. μὴ πάντα κατὰ βοὸς εὔξῃ. Plut. Quaest. gr. p. 294. B. καὶ διέφυγεν εὐξάμενος τῷ Ἀπόλλωνι καθ' ἑκατόμβης. cf. K. et interpp.

611. αἱ τριχίδες. εἶδος ἰχθύων, ἃς θρίσας (θρίσσας) καλοῦμεν. [etiam τριχιάδας. sunt autem ex sardarum seu sardinarum (*Sardellen*) genere. v. Camus ad Arist. H. A. t. 2. p. 815. seqq. et Schneider. ad eundem t. 3. p. 628. B.] καὶ ἀλλαχοῦ ἔβηττε τὴν νύχθ' ὅλην τριχίδων πεπλησμένος. (fort. τ. νυχθ' ὅλην βήττει τ. π.) S.

612. ἐκαρ. ἀντὶ τοῦ ἀπέβλεψεν.

ὁ δὲ ταῦτ' ἀκούσας ἐκπλαγεὶς ἐφληνάφα·
κἀθ' εἶλκον αὐτὸν οἱ πρυτάνεις χοὶ τοξόται·
οἱ δ' ἐθορύβουν περὶ τῶν ἀφυῶν ἑστηκότες·
ὁ δ' ἠντιβόλει γ' αὐτοὺς ὀλίγον μεῖναι χρόνον,
ἵν', ἅτθ' ὁ κήρυξ οὐκ Λακεδαίμονος λέγει,
πύθησθ'· ἀφῖκται γὰρ περὶ σπονδῶν πάλιν.
οἱ δ' ἐξ ἑνὸς στόματος ἅπαντες ἀνέκραγον·
„Νυνὶ περὶ σπονδῶν, ἐπειδή γ', ὦ μέλε,
ἤσθοντο τὰς ἀφύας παρ' ἡμῖν ἀξίας;
οὐ δεόμεθα σπονδῶν· ὁ πόλεμος ἑρπέτω.“
ἐκεκράγεσάν τε τοὺς πρυτάνεις ἀφιέναι,
εἶθ' ὑπερεπῄδων τοὺς δρυφάκτους πανταχοῦ.
ἐγὼ τὰ κορίαν' ἐπριάμην δ' ὑπεκδραμὼν

ἢ ἐμοὶ προσέθεντο, τὴν κεφαλὴν μετεωρίσαντες. (senatum capite converso ad isiciarum de ejus ore pependisse ait. *E Cas.*) ἐφληνάφα δὲ ἐφληνάρει, ἐξηντέλιζε. S.

614. εἶτα εἶλκον αὐτὸν καὶ ἐξώθουν τῆς Βουλῆς. οἱ πρυτ. οἱ προεστῶτες τῆς σιτήσεως, καὶ τοῦ δήμου ἄρχοντες. (praesidebant senatui et concioni: vide Pac. 856., Ach. 23., 167., 173.) (χοὶ τοξόται.) (οἱ) ὑπηρέται. S. „servi publici, alias dicti ξένοι, quia non erant cives Athenn., sed Scythae, quo et ipso nomine appellantur passim, velut Thesm. 1017.“ — *Cas.* cf. Ach. 54. οἱ πρ. χ. τ. i. e. lictores jussu prytanum.

616. ἑστ., *stantes.* surrexerant senatores ad nuntium de vilibus apuis.

617. ταῦτα εἰς τὴν ἀπάτην τοῦ Κλέωνος τὴν εἰς τὸν δῆμον. ἐξ ἱστορίας δὲ τοῦτο· Λακεδαιμονίους γὰρ περὶ εἰρήνης πρεσβευομένους οὐκ ἐδέξαντο, Κλέωνος κωλύσαντος. S. vide ann. 2. ad argum. fabulae.

618. ita Person. ad Eurip. Hecub. 1161. in Add., cum vulgo legatur περὶ σπονδῶν. membr. Paris. superiore versu λέγειν πάλιν, B. λέγει πάλιν.

619. ἐξ ἑνὸς στόματος. ὁμοθυμαδὸν καὶ μιᾷ φωνῇ. S.

620. ὦ μέλε. πρόσφθεγμα ἀττικὸν ἀντὶ τοῦ ὦ κάκιστε, ἢ κακοδαιμονέστατε, ἢ οἰκτρότατε. (cf. Pac. 137., Vesp. 1354., Nub. 33. etc. Cas.: attica vox est *μέλεος* pro *miser*, sed in vocat. singul. Attici alterum *s* detrahunt et dicunt ὦ μέλε, et sumunt pro *o stulte.*) — ἀξίας δὲ εὐώνους. (cf. 595.) S.

622. ἑρπέτω, *progrediatur.* B. ἐρρέτω minus recte Suid. h. v. S.: γράφεται ἐρρέτω, τουτέστι χαιρέτω, ὃ ἔστιν οὐδεμίαν φροντίδα τοῦ πολέμου ποιοῦμεν. Cas.: *Νυνὶ περὶ σπ.*; i. e. „nunc, cum meliuscule res nostrae se habere incipiunt [scil. propter viles pisciculos], de foederibus tractant Lacedaemonii?“ oratio cum interrogatione enuncianda, ut est sermo indignantium. sed poëta praeclare ob oculos ponit levitatem Atheniensium, qui soliti rebus vel leviter succedentibus statim consilia pacis abrumpere.

623. ἀφιέναι. scil. τὴν Βουλήν. ita primus Br. codd. vulgo ἀπιέναι, laborante metro. est tamen ista ellipsis durior parumque usitata.

624. ὑπερεκ. καὶ εὐθὺς ὑπερῄλλοντο, — τουτέστι δρομαῖοι ὑπῄγοντο. διὰ δὲ τῆς σπουδῆς τὴν λιχνείαν ἐνδείκνυσιν αὐτῶν. τοὺς δρυφ. τὰ νῦν ταυλώματα καλούμενα. τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα. ἢ τὰ κάγκελα. — cf. 590. Cas.: cancellos et septa transitum prohibentia.) — S.

625. vulgo ἐγὼ δὲ τὰ κορ. ἐ.

ἅπαντα, τά τε γήτει' ὅσ' ἦν ἐν ταγορᾷ,
ἔπειτα ταῖς ἀφύαις ἐδίδουν ἡδύσματα
ἀποροῦσιν αὐτοῖς προῖκα κἀχαριζόμην·
οἱ δ' ὑπερεπῄνουν ὑπερεπύππαζόν τε με
ἅπαντες οὕτως, ὥστε τὴν Βουλὴν ὅλην
βολοῦ κοριάννοις ἀναλαβὼν ἐλήλυθα.

ΧΟ. πάντα δὴ πέπραγας, οἷα χρὴ τὸν εὐτυχοῦντα· ἀντ.
εὗρε δ' ὁ πανοῦργος ἕτερον πολὺ πανουργίαις
μείζοσι κεκασμένον, καὶ δόλοις ποικίλοις, ῥήμασίν θ'
αἱμύλοις.
ἀλλ' ὅπως ἀγωνιεῖ φρόντιζε τἀπίλοιπ' ἄρισθ'·
ἡμᾶς δὲ συμμάχους ἔχων εὔνους ἐπίστασαι πάλαι.

ΛΑ. καὶ μὴν ὁ Παφλαγὼν οὑτοσὶ προσέρχεται, i. tr.
ὠθῶν κολόκυμα, καὶ τυράττων, καὶ κυκῶν,
ὡς δὴ καταπιόμενός με. μορμὼ, τοῦ θράσους!

ὑπνδραμών. Rav. ὑπεκδραμὼν, ubi furtim exturri (curia.) inferius quoque 689. haec vocabb. inter se permutata sunt in libris. δὲ posteriore loco positum, ut Odyss. ι', 540., Eurip. Suppl. 1083., Athen. 352, b. etc. — κόριον, κορίανον, κορίαννον, est *coriandrum sativum* Linn., gemeiner *Koriander*, quae planta, pariter ac τὸ γήτειον, ex earum numero est, quae appellantur condimentariae. cf. Cas.

626. γήτεια. εἶδος λαχάνου ἡμέρου, παρεοικὸς τοῖς λευκοῖς πράοις. (*allium schoenoprasum* Linn., *Schnittlauch*. cf. Vesp. 478., Ran. 583.) καὶ τοῦτο ἥδυσμα, ὡς τὸ ἀμπελόπρασον. S.

627. ἡδύσματα. ἀρτύματα, φησὶν, αὐτοῖς ἐχαριζόμην. οἰκείως δὲ, ὡς ῥάγειρος, ἐδίδουν τὰ ἀρτύματα. S.

629. ὑπερεπ. πύππαξ ἐπεφώνουν, ὃ ἡμεῖς ποππύζειν λέγομεν. S. — unde πόππυσμα, quo equisones demulcent equos. cf. Vesp. 600. Ba.

631. ἀναλαβών. συναρπάσας, τουφίσας, μετεωρίσας, τουτέστιν εἰς ἑαυτὸν τῇ εὐνοίᾳ πείσας ῥέπειν. ἑαυτῷς δὲ ἐκωμῴδησε τοὺς Ἀθηναίους. — S.

633. ὁ κακ. ὁ Κλέων τὸν ἀλλαντοπώλην. κεκασμένον δὲ κεκοσμημένον. (verbum poëticum κάζειν, *ornare*, de quo conferri jubent Odyss. δ', 725., Pind. Ol. 1, 42., Zonar. 2, 1195. etc.) ποικίλοις δὲ, πολλοῖς καὶ διαφόροις. αἱμυλίοις (αἰμύλοις) δὲ, τοῖς προσηνέσι, καὶ ἐπαγωγοῖς, ἢ ἀπατητικοῖς. S.

635. sequ. ll., non congruentibus vv. 571. et 72.,

ἀλλ' —— ἄριστα·
συμμ. δ' ἡμᾶς ἔχων etc.

638. κολόκυμα. τὸ κολοβὸν κῦμα, ὅπερ τυφλὸν διὰ τὸ μὴ καχλάζειν λέγουσιν. ἢ τὸ κυλίον καὶ ἐπιφέρον ὑψηλὸν κῦμα, καὶ μέγα ἀπὸ τοῦ κορυφοῦσθαι κυλιόμενον. τοῦτο δὲ ὡς πρὸς ἄνεμον. ἄλλως. ὅπερ τινὲς κωφὸν καλοῦσι, τὸ μὴ ἐπηχοῦν, μηδὲ καχλάζον. πρὸς τὴν προειρημένην δὲ ἀπειλὴν ὑπὸ τοῦ Κλέωνος, ὅτι τὴν γῆν ταράξει καὶ τὴν θάλατταν (403.), ἀποτείνεται, διασύρων αὐτὸν, ὅτι μηδὲν ἔπραξεν ὧν προηπείλησεν, ἀλλ' ἧττον ἔχων ἀπῆλθε τοῦ Ἀγορακρίτου. S.

639. μορμώ. — ἐπιῤῥηματικῶς ἐξενήνεκται, ὡς εἰ ἔλεγε φεῦ τοῦ θράσους! S. Cas.: „Μορμὼ, quae et *Mormὼ*, fingebatur dea, quae infantes devoraret. est enim figmentum nutricum hoc numen. ap. Theocr.

640 ΚΛ. εἰ μή σ' ἀπολέσαιμ', εἴ τι τῶν αὐτῶν ἐμοὶ
ψευδῶν ἐνείη, διαπέσοιμι παντάχῃ.
ΑΛ. ἤσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις,
ἀπεπυδάρισα μόθωνα, περιεκόκκυσα.
ΚΛ. οὔ τοι μὰ τὴν Δήμητρά γ', ἢν μή σ' ἐκφάγω

in Ἄδων. (15, 40.) mater plorantem infantem sic alloquitur *Μορμώ, δάκνει ἵππος, vae tibi, mordet equus!* sic Lamiam fingebant ejusdem potestatis numen. saepius *Μορμοῦς* meminit Arist. in Pace (464.): *οὐδὲν δεόμεθ', ὦνθρωπε, τῆς σῆς Μορμόνος.*" cf. Valck. ad Theocriti l. l. — *τοῦ θρ.* vide annot. ad 334.

640. — *εἴ τι τι τῶν ἐνόντων μοι ψευδῶν σώζεται, εἰ μὴ ἀπολώλεκα τὸ ψεύδεσθαι, διαμάρτοιμι καὶ διαπέσοιμι παντὸς μᾶλλον, εἰ μή σε ἐξ ἀνθρώπων ποιήσαιμι.* (*τῶν αὐτῶν eorundem*, quibus adhuc populum decepi.) *διαπέσοιμι. οἷον, μηκέτι εἶην συκοφάντης.* S. glossae: *διαπίπτει, intercidit.* Hesych. *διέπεσεν, ἀπέθανε.* (simili sensu nostrates dicunt *durchfallen.*) *Be.* Gl. codicis C Paris.: *παντάχῃ, ὅλως.*

642. *ἤσθην ἀπ. εὐφράνθην σου ταῖς ἀπειλαῖς, τουτέστι καταφρονῶ σου τῶν ἀπειλῶν, καὶ παρ' οὐδὲν αὐτὰς τίθεμαι. ψολοκ. αἰθαλοκομπίαις, μεγαλοδοξίαις, ψευδολογίαις, μεγαληγορίαις, καπνοῖς. ἀπὸ δὲ τῶν προειρημένων ἔπαιξεν, ἀπὸ τοῦ βροντᾶν, καὶ ταράττειν τὴν γῆν καὶ τὴν θάλατταν, καὶ κρημνοὺς ἐρείδειν* (403., 577.), *ἃ μόνου τοῦ Διός εἰσιν ἔργα. ἐκ τῶν τοιούτων οὖν ἡ προσηγορία διὰ τὸ κεραυνῷ χρῆσθαι δοκεῖν. τῶν γὰρ κεραυνῶν οἱ μὲν καταιβάται, οἱ δὲ ψολόεντες, οἱ δὲ ἀργῆτες καλοῦνται, ὡς Ὅμηρος ὠνόμασεν.* S. *ἤσθην.* de hoc usu aoristorum, cum loco praesentium usurpari videntur, consulendi sunt Matth. et grammatici. cf. nos ad Soph. El. 1246.

643. *πυδαρίζειν ἐπὶ τοῦ ἅλλεσθαι. ἤτοι ποδαρίζειν καὶ πυδαρίζειν, ὡς ὄνομα καὶ ὄνυμα αἰολικῶς, ἢ πυγαρίζειν παρὰ τὴν πυγήν, καὶ τροπῇ πυδαρίζειν, ὡς γνόφος καὶ δνόφος.* (?) *δηλοῖ δὲ τὸ λακτίζειν — παρὰ τοὺς πόδας. μόθωνα. τὸν εἰρωνικόν, καὶ δόλιον, καὶ πανουργίᾳ προσφερόμενόν τινι. ἄλλως. μόθων φορτικὸν ὀρχήσεως εἶδος. ἔλεγον δὲ τοὺς φορτικοὺς μόθωνας.* (cf. 584.) — *περιεκόκκυσα. περικορδάκισα. περιερύγγασα, καὶ ὑπερεῖδον, καὶ κατεφρόνησα.* (*rhonchum edidi*; nempe vocem aliquam absonam ad indicandum contemtum. *Be.*) S. Cas.: Fere omnia nomina saltationum et cantionem significant, ut *μόθων* genus turpis saltationis est et nomen cantilenae. *περικοκκύζειν* est proprie galli gallinacei (v. Sturz. Prol. 4. de voc. anim. p. 9. B.), qui capite erecto et rotato vocem edit. in certaminibus κοκκύζειν de galli gall. sono dicitur. vel de cuculo, qui dicitur κόκκυξ. Voss.: *Mir behagt die Drohung, lachend hör' ich den Prahlerwind, Ab trampl' ich den Plumptanz,* (?) *und umher kukuk' ich eins.*

644. Rav.: — *Δήμητρά γ', εἰ μὴ σ' ἐκφ.* et 646. *εἰ μὴ 'κφάγῃς; ἐγὼ δὲ γ', εἰ μή σ' ἐκπίω,* contra usum Atticorum. vulgo *Δήμητρ', ἐὰν μή σ' ἑ.* S.: *πάτριος τῶν Ἀθηναίων ἡ Δημήτηρ διὰ τὸ ξενισθῆναι παρὰ Κελεῷ* (v. Apollod. 1, 5.), *καὶ στῆναι τῆς πλάνης, εὑροῦσαν τὴν Κόρην ἐκ τῶν ὑποθηκῶν τῶν ἐκείνου, καὶ τῆς φιλοφροσύνης, καὶ τῆς ξενίας, ἀμοιβὴν ἀποδοῦναι τὰς ἡμέρους αὐτῷ τροφὰς, καὶ ἅρμα δρακόντων, ἐφ' ᾧτε ἐπὶ πᾶσαν διασπεῖραι τὴν οἰκουμένην. ἐκφάγω. ἐὰν μή σε καταναλώσω καὶ ἐκβάλω ἐκ ταύτης τῆς γῆς, καὶ διώξω.* (verbum, ut grammatici loquuntur, *praegnans* pro duobus ponitur. *nisi te comedero*, pro *comesum ejecero.* Cas.) exemplis illustravit hanc praegnantem significationem Abresch. Diluc. Thuc. p. 494. B. cf. Bähr. ad Plut. Alc. c. 6. Eurip. Suppl. 483.

ἐκ τῆσδε τῆς γῆς, οὐδέποτε βιώσομαι.
ΑΛ. ἢν μὴ 'κφάγῃς μ'; ἐγὼ δὲ, σ' ἢν μή γ' ἐκπίω,
κἂν ἐκροφήσας αὐτὸς ἐπιδιαῤῥαγῶ.
ΚΛ. ἀπολῶ σε νὴ τὴν προεδρίαν τὴν ἐκ Πύλου.
ΑΛ. ἰδοὺ προεδρίαν! οἷον ὄψομαί σ' ἐγὼ
ἐκ τῆς προεδρίας ἔσχατον θεώμενον!
ΚΛ. ἐν τῷ ξύλῳ δήσω σε νὴ τὸν οὐρανόν.
ΑΛ. ὡς ὀξύθυμος! φέρε, τί σοι δῶ καταφαγεῖν;
ἐπὶ τῷ φάγοις ἥδιστ' ἄν; ἐπὶ βαλαντίῳ;
ΚΛ. ἐξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα.
ΑΛ. ἀπονυχιῶ σου τἀν πρυτανείῳ σιτία.

δέμας καπνοῦται κλιμάκων ὀρθοστάτων, *fumavit ex scalis*, h. e. fumans decidit, etc. ceterum τὸ ἐκφαγεῖν ἐκ τῆς γῆς aptum est βυρσαιέτῳ, simileque τῷ ἐξαρπάζειν ὄνυξι τὰ ἔντερα 654., ubi vid. S. nec minus ἐκπίνειν convenit δράκοντι αἱματοπώτῃ 198.

646. addidi μ'.

647. *etiamsi te exsorpto, ipse insuper disrumpar.* ll. κἀπεκροφήσας, ν et π confusis, ut Thuc. 2, 49., ubi ἄτοπον legitur pro ἄτονον. cf. Iliad. χ', 467. ann., Bachm. ad Lycophr. 1238. etc. nec caute D. κἄτ' ἐκροφ. *est modus in rebus.* S.: πλέον τι προσέθηκεν ὑπερβολῇ τῆς ἀπειλῆς, τῷ ἐκπίω ἐπενεγκὼν τὸ ἐκροφήσας.

648. τὴν ἐκ Πύλου. quam ob Pylum, ob captivos Spartanos inde abductos, nactus sum. B. de προεδρίᾳ cf. 531.

649. ἰδοὺ πρ., cf. 328. S.: οἷον. ἀντὶ τοῦ οἵως. Ὅμηρος (Odyss. α', 410.) οἷον ἀναΐξας ἄφαρ οἴχεται, ἀντὶ τοῦ οἵως. ὁ δὲ νοῦς, οἷον ὄψομαί σε ἀπὸ τῆς τιμῆς ἄτιμον γενόμενον. (Cas.: gestu vox haec adjuvanda: ea enim declaratur summum isiciarii desiderium videndi quod dicit. *qualiter* pro *quanto meo cum gaudio.*) ἀπειλεῖ δὲ αὐτῷ, ὡς ἀφαιρησόμενος αὐτὸν τὴν προεδρίαν. τοῦτο δὲ, ὡς ἀεὶ τοῦ Κλέωνος θρυλλοῦντος τὰ περὶ Πύλον καὶ Σφακτηρίαν, καὶ τοὺς αἰχμαλώτους. cf. alterum argum. fabulae.

650. praepositio ἐκ in multis loquendi generibus rei mutationem significat, cum pereunte aliquo aliud succedit, *Cas.* sensus igitur est: te, postquam primam sedem occupaveras, postremo loco in theatro consessurum. B. malim propter homoeoteleuton θεωμένων, *spectatorum.*

651. ἐν τῳ ξύλῳ. cf. 351.

652. ὡς ὀξ. εἶ! ellipsis frequens. „τί σοι δῶ κατ.; alludit poëta ad proverb. *Homini famelico cave occurras.* Theocr. (15, 148.) πεινᾶντί γε μηδέποτ' ἔνθῃς (π. δὲ μηδὲ ποτένθῃς), i. e. πεινῶντι μὴ προσέλθῃς. et scribit Sen. (de Ira 2, 19.), hanc esse naturam famelicorum, ut facilius ad iram commoveantur." *Cas.* Pseudoplautus Amphitruone, scen. suppos. 2, 44: *vetus est adagium Famis et mora bilem in nasum conciunt.*

653. ἐπὶ τῷ. ἐπὶ τίνι, *qua conditione*, h. e. quo cibo apposito. S.: — πικρῶς εἶπεν ἐπὶ βαλαντίῳ, (*num crumena* apposita?) ἵνα διαβάλῃ ὡς κλέπτην καὶ τῶν δημοσίων ἅρπαγα.

654. ἐξαρπ. ἐξοίσω. διασπαράξω τοῖς ὄνυξιν. ἀπὸ τοῦ χρησμοῦ δὲ (197.) ἔπαιξε. (?) βυρσαίετον γὰρ ἐκεῖ προσεῖπε τὸν Κλέωνα· ὁ δὲ ἀετὸς τοῖς ὄνυξίν ἐστιν ἄλκιμος. S.

655. ἀπον. Zonar., notante B., 1, 268.: ἀπονυχιῶ, ἀντὶ τοῦ ἀφαιρήσομαι, ἀπὸ μεταφορᾶς τῶν ὀνυχιζομένων. S.: ἀφαιρήσομαί σου, φησὶ, τὴν σίτησιν (victum publicum in prytaneo cf. 530., 167.). —

ΚΛ. ἕλξω σε πρὸς τὸν δῆμον, ἵνα ὀφῇς μοι δίκην.
ΑΛ. κἀγὼ δέ σ' ἕλξω καὶ διαβαλῶ πλείονα.
ΚΛ. ἀλλ', ὦ πονηρέ, σοὶ μὲν οὐδὲν πείθεται·
ἐγὼ δ' ἐκείνου καταγελῶ γ', ὅσον θέλω.
ΑΛ. ὡς σφόδρα σὺ τὸν δῆμον σεαυτοῦ νενόμικας!
ΚΛ. ἐπίσταμαι γὰρ αὐτὸν, οἷς ψωμίζεται.
ΑΛ. καθ', ὥσπερ αἱ τίτθαι γε, σιτίζεις κακῶς·
μασώμενος γὰρ τῷ μὲν ὀλίγον ἐντίθης,
αὐτὸς δ' ἐκείνου τριπλάσιον κατέσπακας.
ΚΛ. καὶ νὴ Δί' ὑπό γε δεξιότητος τῆς ἐμῆς
δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν, καὶ στενόν.
ΑΛ. χὠ πρωκτὸς οὑμὸς τουτογὶ σοφίζεται.
ΚΛ. οὐκ, ὦ 'γάθ', ἐν Βουλῇ με δόξεις καθυβρίσαι·
ἴωμεν ἐς τὸν δῆμον.
ΑΛ. οὐδὲν κωλύει.
ἰδοὺ, βάδιζε· μηδὲν ἡμᾶς ἰσχέτω.
ΚΛ. ἆ Δῆμε, δεῦρ' ἔξελθε!
ΑΛ. νὴ Δί', ὦ πάτερ,

656. ἕλξω — δῆμον. ἡττήθη γὰρ ἐν τῇ Βουλῇ. — S.
659. καταγ. γ', ὅσον θέλω. πᾶσαν ἔχω τοῦ πείθειν ἐξουσίαν, καὶ ὥσπερ ἐντρυφῶ τῷ δήμῳ.
660. σεαυτοῦ νεν. οἰκείως ἔχειν πρὸς σὲ ὑπολαμβάνεις. S. quasi plane tuum esse, tibi deditum, addictum. — Terent. Ad. 5, 6, 10. plebem facio meam. (Ovid. Art. am. 2, 250. fac plebem, mihi crede, tuam. Be.) Corn. Nep. Cim. c. 2. populum urbanum tenuit in sua potestate. Duk.
661. οἷς ψωμ. οἷς ἀπατᾶται, οἷς χαίρει. τὸ δὲ ψωμίζεσθαι (pasci buccis, a ψωμὸς, buccea. Cas.) ἐπὶ τῶν μικρῶν παιδίων λέγεται, ἃ ὑπόκειται τῇ τῶν διδόντων ἐξουσίᾳ. S.
662. τίτθας καλοῦμεν τὰς τιτθίοις καὶ τῷ γάλακτι τρεφούσας τὰ παιδία. ἐγγύθεν οὖν ἀπὸ τοῦ ψωμίζειν ἀπεκρίνατο λέγων, ὅτι κατὰ τὰς τίτθας καὶ οὐ τὸν δῆμον κακῶς τρέφεις. τίτθας οὖν τὰς τροφοὺς, τὰς μάμμας etc. S. Aristot. Rhet. 3, 4. ὁ Δημοκράτης ἔλεγε τοὺς ῥήτορας ταῖς τίτθαις, αἱ τὸ ψώμισμα κατατρίβουσαι τῷ σιάλῳ (σιαλῷ, saliva,) τὰ παιδία παραλείφουσι. Be.
664. ἰδίως ἐπὶ τῶν θηλαζόντων βρεφῶν κατασπᾷν λέγουσι, καὶ ἐφέλκειν τὸ γάλα. — εὐρὺν δὲ καὶ στενὸν, πλούσιον καὶ πένητα. S.
667. ita Bentl. aliique. vulgo τουτοῖ, quod soloecum. Rav. τουτὸ τί, h. e. τουτογί. Suid. v. πρωκτός: τουτίγε. S.: σοφ. τεχνάζεται, ποιεῖ, τουτέστι ποτὲ μὲν πλατύνεται, ποτὲ δὲ συστέλλεται. —
668. non videberis insultasse mihi in senatu, h. e. id, quod ibi ausus es in me, velut infectum erit, nec mihi quidquam oberit: tam magnifice te refutabo in concione.
669. ἴωμεν εἰς τὸν δῆμον. εἰς τὸ βουλευτήριον. (imo εἰς τὴν ἐκκλησίαν. cf. 692.) ἔδοξε γὰρ αὐτὸν παρευδοκιμεῖν ἐν τῇ Βουλῇ. οὐ καταφρονήσεις οὖν μου, φησὶν, ἐπὶ τῶν δημοτῶν, ὥσπερ ἐν τῷ βουλευτηρίῳ. S.
670. μηδ. ἡμ. ἰσχ. μηδὲν ἡμᾶς ἐπισχέτω, μηδὲν ἐμπόδιον ἔστω. S.
671. ita Bekk. et D. auctore Reiskeo: nam in libris verba νὴ Δί', ὦ πάτερ, Cleoni tribuuntur.

ἔξελθε δῆτ'!
ΚΛ. ὦ Δημίδιον φιλαίτατον,
ἔξελθ', ἵν' εἰδῇς, οἷα περιυβρίζομαι!
ΔΗ. τίνες οἱ βοῶντες; οὐκ ἄπιτ' ἀπὸ τῆς θύρας;
τὴν εἰρεσιώνην μου κατεσπαράξατε.
τίς, ὦ Παφλαγὼν, ἀδικεῖ σε;
ΚΛ. διὰ σὲ τύπτομαι
ὑπὸ τουτουῒ καὶ τῶν νεανίσκων.
ΔΗ. τιή;
ΚΛ. ὁτιὴ φιλῶ σ', ὦ Δῆμ', ἐραστής τ' εἰμὶ σός.
ΔΗ. σὺ δ' εἶ τίς ἐτεόν;
ΑΛ. ἀντεραστὴς τουτουῒ,
ἐρῶν πάλαι σου, βουλόμενός τέ σ' εὖ ποιεῖν,
ἄλλοι τε πολλοὶ, καὶ καλοί τε κἀγαθοί·
ἀλλ' οὐχ οἷοί τ' ἐσμὲν διὰ τουτονί. σὺ γὰρ
ὅμοιος εἶ τοῖς παισὶ τοῖς ἐρωμένοις·
τοὺς μὲν καλούς τε κἀγαθοὺς οὐ προσδέχει,
σαυτὸν δὲ λυχνοπώλῃσι καὶ νευροῤῥάφοις

672. ἀμέτρως libri: — δῆτ', ὦ Δημ. φίλτατον. Br. metro prospiciens: ἔξελθε δῆτα, Δημ. ὦ φίλτατον, omniaque haec sub persona Cleonis edidit, ut vulgo. Bekk. et D.: — δῆτ' ΚΛ. ὦ Δημ., ὦ φίλτατον, Ἔξελθ'. φιλαίτατον. forma rarior, de qua v. Matth. gr. §. 127, 2. vicit glossema.

673. versus loco suo repositus secundum Rav. alibi legitur post 675., neglectus scilicet primum a librario propter simile initium, deinde in ipso ordine adscriptus post sequentem orationem, ne aut lituris foedaretur codex, aut versuum ratio corrumperetur.

674. prodit Populi persona. — Rav. ἐκ τῆς θύρας. fort. ἐκτὸς τῆς θ.

675. εἰρεσ. κλάδος ἐλαίας ἐρίοις περιπεπλεγμένοις ἀναδεδεμένος. ἐξήρτηντο δὲ αὐτοῦ ὡραῖα πάντα ἀπρόδρυα. — ἄλλως. Πυανεψίοις καὶ Θαργηλίοις Ἡλίῳ καὶ Ὥραις ἑορτάζουσιν Ἀθηναῖοι. φέρουσι δὲ οἱ παῖδες τούς τε θαλλοὺς ἐρίοις περιειλημμένους, ὅθεν εἰρεσιῶναι λέγονται, καὶ τούτους πρὸ τῶν θυρῶν κρεμῶσιν. (cf. Plut. 1050.) — τὸ δὲ κατεσπαράξατε εἶπεν, ἐπειδὴ ἀλλήλους ὤθουν. S.

677. τῶν νεαν., Equitum.

679. σὺ δ' εἶ τίς; τῷ ἀλλαντοπώλῃ λέγει. S. *tu vero quis es?* vide 82. et annot. ad Ach. 295. iram fere significat ἐτεὸν, vel ironiam, sicut nonnunquam *vero* ap. Latinos. Terent. Andr. 5, 4, 14. *est vero huic credendum, Chreme?* et Eun. 4, 7, 33. *ain' vero, canis?* Br.: *tu vero quis es scilicet?* cf. 1135.

685. Bekk. et D., dubium an ex Rav., λυχνοπώλαισι — βυρσοπώλαισιν. S.: λυχν. δι' Ὑπέρβολον. καὶ αὐτὸς (fort. οὗτος) γὰρ δημαγωγὸς ἦν, λυχνοποιὸς ὤν. (cf. Pac. 656.) νευροῤῥάφοις δέ φησι διὰ τὸν προβατοπώλην Λυσικλέα. S. de hoc vide supra 132. ridicule vocatur νευροῤῥάφος, quasi ipse nervis τῶν προβάτων coria consuerit, aut paraverit eos ad usum chordarum lyrae. cf. Cas.

καὶ σκυτοτόμοις καὶ βυρσοπώλῃσιν δίδως.
ΚΛ. εὖ γὰρ ποιῶ τὸν δῆμον.
ΑΛ. εἰπέ νυν, τί δρῶν.
ΚΛ. ὅτι τὸν στρατηγὸν ὑποδραμὼν τὸν ἐκ Πύλου
πλεύσας ἐκεῖσε τοὺς Λάκωνας ἤγαγον.
ΑΛ. ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαστηρίου
ἕψοντος ἑτέρου τὴν χύτραν ὑφειλόμην.
ΚΛ. καὶ μὴν ποιήσας αὐτίκα μάλ' ἐκκλησίαν,
ὦ Δῆμ', ἵν' οἶδας, ὁπότερος νῷν ἐστί σοι
εὐνούστερος, διάκρινον, ἵνα τοῦτον φιλῇς.
ΑΛ. ναὶ, ναὶ, διάκρινον ὅῆτα, πλὴν μὴ 'ν τῇ Πνυκί.
ΔΗ. οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ,
ἀλλ' ἐς τὸ πρόσθε χρὴ παρεῖν' ἐς τὴν Πνύκα.

686. σκυτ. *Κλέωνι* [καὶ *Λυσικλεῖ*], *ὀνειδίζει δὲ πάλιν Κλέωνι, ἀφ' οἵας τέχνης ἄγει καὶ φέρει τὴν πόλιν.* S.

688. sic plerique omnes libri, nisi quod habent *ὑπεκδραμών*: sed Rav., C. Paris. et S. *ὑποδραμών*, h. e. interprete S. *κατατρέχων*, vel *ὑπελθών*, quae Zonarae interpretatio est. „1059.: *ὑποθεῖν οὐκ ἐῶ.* ibi S.: *ὑποτρέχειν, ὑποσκελίζειν καὶ ἐμποδὼν ἵστασθαι.“ Br. *τὸν ἐκ Π.* illum, qui ex Pylo rediit, Demosthenem. cf. 786. temere Br. *ὅτι τοὺς στρατηγοὺς ὑποδραμὼν τοὺς ἐν Πύλου*, D. *ὅτι τῶν στρατηγῶν ὑποδρ. τοὺς ἐκ Πύλου*, decepti illi vitiosa codicum 2 Paris. et Rav. scriptura *τῶν στρατηγῶν ὑπεκδραμὼν τῶν* (Rav. *ὑποδραμοντῶν*) *ἐκ Π.* Be.: *ἐκ Πύλου.* proprie e Sphacteria insula; sed quia in obsidione Pyli capti sunt Lacones illi, propterea semper Comicus Pylum nominat.

690. περιπ., ambulans, nihil agens. cf. 712. *ἀπ' ἐργ.* ex aliqua officina vel taberna. S.: — *οὐ γὰρ Κλέφν, φησὶ, μόνος ἀλλοτρίαν νίκην ὑφηρπασεν, ἀλλὰ καὶ αὐτὸς* (male ll. *οὗτος*) *ἐκ τῆς πόλεως μέσης ἔκ τινος ἐργαστηρίου, φησὶ, χύτραν ὑφειλόμην, ἄλλου κατασκευάσαντος ἑαυτῷ τροφὴν, ὡς κἀκεῖνος τὸ ἀλλότριον κατόρθωμα ἴδιον ἐποιήσατο.*

693. vulgo *ἵν' εἰδῇς*, — *διάκρινον, ἵνα τ. φιλῇς.* sermo inficetus, minimeque dignus Aristophane. dedi igitur, quod olim suasi, *ἵν' οἶδας, loco, quem nosti.* Pnycem dicit, locum legitimae concioni habendae destinatum, de quo cf. superius 42. et inprimis Pac. 655. (Thuc. 8, 97. — *ἐκκλησίαν ξυνέλεγον, μίαν μὲν εὐθὺς τότε πρῶτον ἐς τὴν Πνύκα καλουμένην, οὔπερ καὶ ἄλλοτε εἰώθεσαν* —.) ibi maxima frequentia, rhetorum campus, turbae, populusque minime sui compos. (vide 700 seqq. et annot. scholiastae ad 697.) eo igitur tendit Cleon, multarum memor victoriarum, quas inde reportaverat, et familiariter, ut apud amicum Populum, callideque, ne ipso nomine Pnycis terreat adversarium, locum consuetum significat verbis illis *ἵνα οἶδας.* verum subolet res isiciario. — confusa *οἶδας* et *εἰδῇς*, ut alibi *οἶδε* et *εἶδε.* vide Anthol. Palat. 3. pagg. 595., 674. etc.

694. *διάκρ. σύγκρινον ἢ ἀντεξέτασον, πότερός σοι μᾶλλον εὔνους.* S.

695. *μὴ 'ν τῇ Πνυκί. ὡς ἂν ἐν τῇ συνόδῳ ἀνόητα δρῶντος τοῦ δήμου.* — S. cf. 698–701, 39. seqq.

697. *ἐς τὸ πρόσθε, coram*, nihil amplius. sic Eurip. Or. 696. (707). *εἰς τὸ μαλθακὸν* pro *μαλθακῶς*, ubi vid. Musgrav., Soph. Oed. Col. 681. *εἰς πλεῖστον πόλεως*, Trachin. 324. *δίκης εἰς ὀρθόν.* — *παρ-*

ΑΛ. οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'! ὁ γὰρ γέρων
οἶκοι μὲν ἀνδρῶν ἐστὶ δεξιώτατος·
ὅταν δ' ἐπὶ ταυτησὶ κάθηται τῆς πέτρας,
κέχηνεν, ὥσπερ ἐμπυόζων ἰσχάδας.
ΧΟ. νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ, i. t. c. στ,
καὶ λῆμα θούριον φορεῖν, καὶ λόγους ἀφύκτους, as. Eurip.
ὅτοισι τόνδ' ὑπερβαλεῖ· ποικίλος γὰρ ἀνὴρ,

εἶν' pro παρεῖναι, ut εἶν' Ran. 648. cf. 826., 976. etc.

698.—700. γέροντα πάλιν εἶπεν (42.), ὅτι ἀρχαῖος ὁ τῶν Ἀθηναίων δῆμος. (imo senes audiunt patres familiae in comoediis. vid. index v. γέρων et ann. ad 875.) δεξιώτατος δὲ φιλανθρωπότατος, προσηνέστατος, ἀγαθός. (imo habilissimus, sapientissimus, quia opponitur τὸ χαίνειν, quod est puerorum aut stultorum.) τῆς πέτρας δὲ, τῆς Πνυκός. ὀρεινὴ γὰρ ἦν, ὡς ἔοικεν. S. quippe sita in loco edito juxta arcem Athenarum. cf. etiam 729, 884.

702. χαίνειν pro ore hiante et animo incerto esse, ut nescias, quid agas, passim Graeci. objicit igitur hoc verbo [sicut appellatione Κεχηναίων infra 1160.] stultitiam et imprudentiam Atheniensibus; sed comparatio, qua utitur, graeco interpreti mire vexata est. sciendum est, magnum Athenis proventum fuisse ficuum; has soli expositas siccabant et vocabant ἰσχάδας. ut siccarent, pede sive petiolo alligabant, seu filo, seu subtili vimine: sed nimis maturis ficubus accidebat saepe, ut petiolus frangeretur: tum erat magna difficultas alligandi ficus. festive igitur comparat populum anxium et ex imprudentia consilii inopem cum eo, qui ficus alligans petiolis fractis haeret. — quod ficus alligarentur, nomen ipsum arguit: nam ἰσχάδες dictae sunt *caricae* (i. e. ficus siccae) ab ἴσχειν verbo. ἐμποδίζειν est *pedibus vincire*; sed nominis ποῦς latissima est significatio. — *Cas.* his dictis Demum et Cleonem, qui recitato versu 698. abierant, sequitur isiciarius, et mutata scena conspicitur Pnyx, in qua considet Populi persona.

702. κάλων. παροιμία πάντα [δὴ] κάλων κινεῖν· εἴληπται δὲ ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν πλεόντων, καὶ χειμαζομένων, κ. τὰ σχοινία δικπόντων σὺν ταῖς ἀγκύραις ἐπὶ θάλασσαν, ὥστε τοῦ κλύδωνος ῥύσασθαι τὸ πλοῖον. ὁμοία δὲ τῇ „πάντα λίθον κίνει." τοῦ γὰρ Μαρδονίου ἡττηθέντος ἐν Πλαταιαῖς φήμη κατεῖχεν, ὡς ἐν τῷ περιβόλῳ τῆς σκηνῆς θησαυρὸν κατορύξας ἀπολελοίκοι. πριάμενος οὖν Πολυκράτης ὁ Ἀθηναῖος τὸν τόπον πολὺν χρόνον ἐζήτει· ὡς δὲ οὐδὲν ἐπέραινε, πέμψας εἰς Δελφοὺς ἐπηρώτα, πῶς ἂν εὕροι. τὸν δὲ Ἀπόλλωνα ἀποκρίνασθαί φασι „πάντα λίθον κίνει." καὶ ἐν ἐπιγράμματι

Καλλιμάχου τὸ τορευτὸν ἔπος
τόδε· δὴ γὰρ ἐπ' αὐτῷ
ἀνὴρ τοὺς Μουσέων πάντας
ἔσεισε κάλως.

φησὶν οὖν „πάντα κίνει πράγματα, καὶ πάντα μηχανῶ κατὰ τοῦ Κλέωνος, ἵνα αὐτοῦ περιγένῃ." (Eurip. Med. 263., notante K., ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων. Herc. fur. 749., φόνιον ἐξιεῖ κάλων, metaphora a venatione, ut Brodaeo videbatur. proprie Eurip. Troad. 94. ὅταν στράτευμ' Ἀργεῖον ἐξίῃ κάλως, *rudentes solverit.*) — θούριον δὲ λῆμα ὁρμητικὸν, ταχὺ, πηδητικὸν, πολεμικώτατον. καὶ θούριος Αἴας (Soph. Aj. 1129.), θούριος Ἄρης (Eurip. Phoen. 220., sed θοῦρος Ἄρης Suppl. 565., ut Iliad. ε, 35.). ποικίλος δὲ, ὁ ἐπὶ πολλὰ τὴν γνώμην ἄγων. S.

703. φορεῖν, ἔχειν, ut Plut. 1055. etc.

κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνους πορίζων. i. t. c.
πρὸς ταῦθ' ὅπως ἕξει πολὺς καὶ λαμπρὸς ἐς τὸν ἄνδρα.
ἀλλὰ φυλάττου, καὶ, πρὶν ἐκεῖνον προσικέσθαι σου πρότερον σὺ a. Arist.
τοὺς δελφῖνας μετεωρίζου, καὶ τὴν ἄκατον παραβάλλου.

ΚΛ. τῇ μὲν δεσποίνῃ Ἀθηναίῃ, τῇ τῆς πόλεως μεδεούσῃ,
εὔχομαι, εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων γεγένημαι
βέλτιστος ἀνὴρ μετὰ Λυσικλέα, καὶ Κύνναν, καὶ Σαλαβακχώ,
ὥσπερ νυνὶ, μηδὲν δράσας δειπνεῖν ἐν τῷ πρυτανείῳ·
εἰ δέ σε μισῶ, καὶ μὴ περὶ σοῦ μάχομαι μόνος ἀντιβεβηκὼς,

705. — ταῦτα παρὰ τὰ ἐν Προμηθεῖ Αἰσχύλου (59) δεινὸς γὰρ εὑρεῖν κἄξ ἀμηχάνων πόρους. S.

706. διὰ ταῦτα φρόντιζε, ὅπως ἐπεξελεύσῃ, καὶ λαμπρὸς (cf. 402.) δόξῃς εἶναι, πλήρης λόγων καὶ φρονήματος. ἀλλὰ φυλάσσου καὶ ἐπιτήρει. S. πολὺς, σφοδρὸς, acer, vehemens. vid., quem B. laudavit, Abresch. Diluc. Thuc. p. 683. cf. Eurip. Hipp. 421., Orest. 1172., Ran. 985., Av. 463. Demosth. annotante Be., or. contra Aristog., ed. Reisk. 1. p. 787., ὡς πολὺς παρ' ὑμῖν ἔπνει, καὶ λαμπρὸς ἦν etc.

708. δελφὶς ὄργανον ναυτικόν. μετεωρ. δὲ, τουτέστιν εἰς ὕψος αἶρε, ἐπεὶ καὶ τῶν θαλασσίων δελφίνων πηδήματα μετέωρα. μέμνηται δὲ καὶ Θουκυδίδης (7, 41.). — ἄλλως. σιδηροῦν κατασκεύασμα, ἢ μολίβδινον, εἰς δελφῖνα ἐσχηματισμένον. τοῦτο δὲ ἐκ τῆς κεφαλῆς τοῦ ἱστοῦ αἱ ναυμαχοῦσαι (νῆες) ἠφίεσαν εἰς τὰς τῶν πολεμίων, καὶ κατεδύοντο. — S. τὴν ἄκ. παραβάλλου. h. l. παραβάλλεσθαι non significat *ad littus appellere*, ut Ran. 180. et 262., sed *navem impellere in navem hostilem*, quod qui facturi erant, delphinos prius attollebant, ut eos in hostilem navem dejicerent. — Br. schol. Eurip. ad Hecub. 431.: ἄκατοι τὰ μικρὰ πλοῖα· ἐνταῦθα δὲ τὰς ναῦς ἁπλῶς λέγει. ita et h. l.

709. in re ridicula imitatur graves oratores etc. Cas. cf. S. ad 711.

710. βέλτ. ἀνήρ. εὔνους, ἄριστος. — μετὰ Λυσ. Λυσικλῆς ὡς προβατοκάπηλος διεβάλλετο· Κύνναν δὲ καὶ Σαλαβάκχα τῶν θαυμαζομένων ἑταιρίδων. S. de Lysicle supra 132., 685., de Cynna cf. Pac. 730., Vesp. 999. serio poëta Thesm. 805. καὶ μὲν δὴ καὶ Κλεοφῶν χείρων πάντως δήπου Σαλαβακχοῦς, quem locum laudavit Be.

712. μηδὲν δράσας. μηδὲν διαπραξάμενος ἔργον σπουδαῖον, καὶ μέγα. φησὶ γὰρ, ὅτι ἐπὶ μεγάλοις κατορθώμασι τὴν τιμὴν Ἀθηναῖοι παρεῖχον τοῖς ἀγαθόν τι εὐεργετήσασιν αὐτούς· νῦν οὖν σκώπτει τὸν Κλέωνα δι' ὧν αὐτὸν ὁμολογοῦντα ποιεῖ, ὅτι μηδὲν διαπραξάμενος τοιοῦτον ἔργον τῆς ἐν πρυτανείῳ σιτήσεως μετέσχεν. S.

713. ἀντιβ. ita Rav., Bekk., D., ut pridem Reisk. Eurip. Iphig. Aul. 919. ἦν δ' ἀντιβαίνῃ, πρὸς ἐμὲ σοι πορευτέον. S.: ἀνθιστάμενος τοῖς ἀδικεῖν σε προαιρουμένοις. „vulgatum ἀντιβεβληκὼς frustra tuetur Br., quod ipso metro arguitur. habet id tamen in lemmate alter scholiastarum, et ita explicat ἀντὶ τοῦ πρὸς βίαν ἀγωνιζόμενος. εἴρηται δὲ ἀπὸ τῶν τοὺς ἵππους ἐλαυνόντων, ἢ τῶν τούτους (? fort. τῶν τοὺς ἱππόντων. — διαπρισθείην. Cas.: „Alludit poëta ad supplicium serrae. legimus ap. vett.,

ἀπολοίμην, καὶ διαπρισθείην, διατμηθείην τε λέπαδνα.
ΑΛ. κἄγωγ', ὦ Δῆμ', εἰ μή σε φιλῶ, καὶ μὴ στέργω, κατατμηθεὶς
ἐψοίμην ἐν περικομματίοις· κεἰ μὴ τούτοισι πέποιθας,
ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ,
καὶ τῇ κρεάγρᾳ τῶν ἀρχιπέδων ἑλκοίμην ἐς Κεραμεικόν.
ΚΛ. καὶ πῶς ἂν ἐμοῦ μᾶλλόν σε φιλῶν, ὦ Δῆμε, γένοιτο πολίτης;
ὃς πρῶτα μέν, ἡνίκ' ἐβούλευόν σοι, χρήματα πλεῖστ' ἀπέδειξα
ἐν τῷ κοινῷ, τοὺς μὲν στρεβλῶν, τοὺς δ' ἄγχων, τοὺς δὲ μεταιτῶν,

mere (?) factum, ut serra dissecarentur homines, facto a capite exordio." vide interpp. Suetonii Calig. 27., Plinii H. N. 11, 37. etc.

714. λέπαδνα. οἱ στηθιαῖοι ἱμάντες, ἢ οἱ μασχαλιστῆρες τῶν ἵππων. τοῦτο δὲ ὡς βυρσοπώλης εἶπεν. ἄλλως. — λείπει δὲ ἡ εἰς, ἵν' ᾖ εἰς λέπαδνα. S. de hac ellipsi praepositionis εἰς cf. Fischer. Anim. ad Weller. 3, 1. p. 444. sequ., Schäfer. ad L. Bos. p. 683. B.

715. ἔπαιξε κἀνταῦθα τοιούτοις ὀνόμασι διὰ τὸ μάγειρον αὐτὸν εἶναι. — S.

716. ἐν περικ. τοῖς περιαιρήμασι τῶν κρεῶν. ὑφηθείην οὖν σὺν αὐτοῖς περικόμμασι. S. cf. 852.

717. — ἐπὶ ταυτησὶ εἶπε, τὴν τράπεζαν δεικνὺς τὴν μαγειρικήν. κατακν. καταξεσθείην εἰς ἰσχνὰ μέρη, καὶ ἀναλωθείην. καὶ τοῦτο δὲ ἀπὸ τῆς τέχνης παρείληπται τῆς αὐτοῦ. τῷ (τὸ) μυττωτῷ δὲ εἶπε παίζων ἴσως πρὸς τὸ Ὁμηρικόν. (?) ἔστι δὲ ὑπότριμμα διὰ σκορόδου. κατασκευάζεται δὲ ἀπὸ τυροῦ, καὶ σκορόδου, καὶ ὠοῦ, καὶ ἐλαίου, καὶ πράσου. S. cf. Pac. 246. sequ., Vesp. 63.

718. κρεάγρᾳ. εἶδος ἐργαλείου μαγειρικοῦ χειρὶ παρεοικός. (*Fleischgabel*, *Küchengabel* [sic Wiel.] B. Vess.: mit dem *Kreuel* etc.) — ὀρ. τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ἀφ' ἑστίας, ὡς καὶ αὐτὴν τὴν κόλακα προσαγόντων τῶν Ἀθηναίων. (?) εἰς Κεραμ. δῆμος Ἀττικῆς. δύο δὲ οἱ Κεραμεικοὶ Ἀθήνησιν· ὁ μὲν ἔνδον τῆς πόλεως, ὁ δὲ ἔξω, ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ, καὶ τοὺς ἐπιταφίους ἔλεγον. εἰσὶ δὲ ἔνθεν καὶ ἔνθεν στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις, ἔχουσαι ἐπιγραφὰς, ποῦ ἕκαστος τέθαπται. ἐν δὲ τῷ ἑτέρῳ [ἦσάν τε καὶ] πρωτοστήκεσαν αἱ πόρναι. S. cf. de Ceramico gemino Ran. 129.. Av. 381. urbanum intelligi putat Cas. propter voc. ὀρχιπέδων. vel, si alter dicatur, esse hanc figuram παρὰ προσδοκίαν, quemadmodum Seneca Apocol.: *Claudium unco tractum esse in coelum.* quae tamen in eo libello non invenit B. ceterum cf. Plut. 591. sequ.

720. ἐβούλευον, consulebam, *in senatu eram.* ἀπέδειξα. annotavit Be., ἀποδεικνύναι h. l. sic accipiendum esse, ut aliquando ἀποφαίνειν. glossae: ἀποφαίνω, *exhibeo*, *revelo.* Demosth. or. adv. Lept., ed. Reisk. t. 1. p. 480., πλέον ἢ δέκα καὶ ἑκατὸν τάλαντα ἀπέφηνεν (exhibuit) ἀπὸ τῶν πολεμίων. cf. Plut. 210. et Bährio in annot. ad Plut. Philopoem. 13. laudatum Wyttenbachium ad Platonis Phaedon. p. 181. sequ., ubi usum verbi ἀποδεικνύναι copiose illustravit.

721. στρεβλῶν. genus poenae: vid. annot. ad Ran. 581. ἄγχειν dicere videtur supplicium τοῦ βρόχου, de quo Pollux 8, 7, 71. improprie S. τοὺς δ' ἄγχων. δηλοῖ διὰ τούτων τῶν ὀνομάτων τὸ βίαιον

οὐ φροντίζων τῶν ἰδιωτῶν οὐδενὸς, εἴ σοι χαρισοίμην.
ΑΛ. τοῦτο μέν, ὦ Δῆμ', οὐδὲν σεμνόν· κἀγὼ γὰρ τωὐτό σε δράσω·
ἁρπάζων γὰρ τοὺς ἄρτους σοι τοὺς ἀλλοτρίους παραθήσω.
725 ὡς δ' οὐχὶ φιλεῖ σ', οὐδ' ἔστ' εὔνους, τοὐτ' αὐτό σε πρῶτα διδάξω,
ἀλλ' ἢ διὰ τοῦτ' αὖθ', ὅτιή σου τῆς ἀνθρακιᾶς ἀπολαύει.
σὲ γὰρ, ὃς Μήδοισι διεξιφίσω περὶ τῆς χώρας Μαραθῶνι,
καὶ νικήσας ἡμῖν μεγάλως ἐγγλωττοτυπεῖν παρέδωκας,
ἐπὶ ταῖσι πέτραις οὐ φροντίζει σκληρῶς γε καθήμενον οὕτως,

τῆς ἀπαιτήσεως, εἴ πως δύναιτο πεῖσαι τοὺς Ἀθηναίους μὴ εἶναι περὶ τὰς ἀπαιτήσεις τῶν πολιτικῶν χρημάτων βαρεῖς. μεταιτῶν. τοὺς μὴ ὀφείλοντας δηλονότι (apud alios mendicans.) —

728. οὐδὲν σεμνόν. est ap. Graecos proverb. de re vili οὐδὲν ἱερὸν, quod ex Homero usurpat Cic. in Epp. ad Att. (οὐδὲν ὑγιὲς Cic. ad Att. 15, 1., ubi v. Intpp. sed οὐδὲν ἱερὸν Theocr. Id. 5, 21. sequ. add. Erasm. Adag. p. 133. B.) pro eo etiam dicitur eodem sensu οὐδὲν σεμνὸν, ut hic. — *Cas.*

724. S.: — σκώπτει τὸν Κλέωνα ἀπὸ τῶν ἀλλοτρίων φιλοτιμούμενον. — S. cf. 55.

725. οὐχὶ φιλεῖ σε, ἀλλ' ἢ διὰ τοῦτο, *non amat te nisi propterea tantum.* Ran. 1065. ἀλλ' οὐδὲ πάντα ταῦτά γ' ἔστ' ἀλλ' ἢ τρία. cf. Pac. 465.

726. τῆς ἀνθρ. ὅτι τῶν σῶν ἀγαθῶν ἀπολαύει. χρησιμεύει γὰρ ἡ ἀνθρακιὰ τῷ χειμῶνι, καὶ τοὺς ἔχοντας οἱ ἄλλοι περικάθηνται, βουλόμενοι εἰσδῦναι. S. „— sic in Evangelio (Joh. 18, 18.) Petrus dicitur accedere ad ἀνθρακιάν. usus caminorum, qui est hodie, non ita olim erat frequens, sed arte calorem conciliabant suis cubiculis, ut aqua calida fluente per tubos, vel pruna illata in cubiculum." *Cas.* cf. Schneideri lex. gr. vol. 3. v. κάμινος.

727. ita primus Br. ἀμέτρως libri ἐν Μαραθ., quae est interpretatio. S.: διεξιφίσω. ἐπολέμησας πρὸς τοὺς Μήδους. τοῖς ξίφεσι κατ' αὐτῶν ἐχρήσω. *digladiatus es.* Cas.: Saepe Attici *Medos* nominant pro Persis (propter conjunctionem imperii), in quo etiam Latini eos imitantur. — de pugna Marathonia omnes historici et scriptores attici.

728. ἐγγλωττ· τὴν γλῶσσαν φορεῖν τὰ κατορθώματα. σεμνολογεῖν τὰ ἐκείνων, καὶ ἀεὶ ἐπὶ γλώττης ἔχειν.

729. ἐπὶ τ. πέτραις. sedilia saxea Pnycis dicit. — „Notat igitur poëta obiter, populum Athen. communem usum non habuisse pulvillorum, qui subjici solent, ut mollius sedeamus; postea luxus invexit: fuit enim res frequens Athenis, ut apparet ex Theophr. Charr. (scil. ap. Theophr. 2. de adulatore narratur, eum solere ipsum fautori suo subjicere pulvillum, quod famulus in theatrum apportaverit. at ex eo non colligas, frequentem Athenis tum fuisse usum pulvinorum: nam lucri gratia adulatores sese applicant ad divites ac potentes viros, quorum haud magnus esse solet numerus in civitate, quique quod sibi indulgent, non id statim in usum communem venire solet, quippe carius quam pro multorum facultate. Both.) in historia Rom. legimus, ad Caligulam non frequentem fuisse usum horum pulvinorum: eum imperatorem morem introduxisse senatoribus subjiciendi προσκεφάλαια, ὅπως μὴ ἐπὶ γυμνῶν σανίδων καθίζωνται, *ne super lignis nudis sederent*, ut notat diligentis-

730 *οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ' ἐπαναίρου,*
κἄτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι.
ΔΗ. ἄνθρωπε, τίς εἶ; μῶν ἔκγονος εἶ τῶν Ἁρμοδίου τις ἐκείνων;
τοῦτό γέ τοί σου τοὔργον ἀληθῶς γενναῖον καὶ φιλόδημον.
ΚΛ. ὡς ἀπὸ μικρῶν εὖνους αὐτῷ θωπευματίων γεγένησαι!
735 *ΑΛ. καὶ σὺ γὰρ αὐτὸν πολὺ μικροτέροις τούτων δελεάσμασιν εἶλες.*
ΚΛ. καὶ μὴν εἴ πού τις ἀνὴρ ἐφάνη τῷ δήμῳ μᾶλλον ἀμύνων, ἢ μᾶλλον ἐμοῦ σε φιλῶν, ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι.
ΑΛ. καί πῶς σὺ φιλεῖς, ὃς τοῦτον ὁρῶν οἰκοῦντ' ἐν ταῖς φιδάκναισι,

simus rerum Rom. scriptor Dio Cassius. (59, 7.)" *Cas.*

730. *παρεπιγραφή. δείκνυσι γὰρ αὐτῷ προσκεφάλαιον, ὃ φησι τῷ Δήμῳ παρασκευάσαι, ἵνα μὴ ἐπὶ ψιλοῖς τοῖς βάθροις ἐπικαθέζηται, ἀπ' ἀρχῆς τὴν περὶ τὸν δῆμον εὔνοιαν δεικνύς. ἀλλ' ἔπαν. ἐπανίστασο καὶ ἐπεγείρου, ἵνα ὑποθῶ τῷ καθίσματι τὸ προσκεφάλαιον.* S.

731. *ἵνα — Σαλαμ. ἵνα μὴ ἐντρίψῃς (ἐντρίβῃς), μηδὲ διαφθείρῃς τὴν ἐν Σαλαμῖνι καμοῦσαν πυγὴν ἐν ναυμαχίᾳ.* — S. ellipsis inusitata, quam assentiri miror scholiastae viros doctos. imo in *τὴν* intelligendum est *τρίβον* sive *ὁδόν* hac sententia: *ne vivas more Salaminio*; ne ita tecum agatur, ut apud Salaminem, h. e. misere, *ὑπολίσποις πυγιδίοις, contritis natibus*, ut ait infra 1265.

732. *— εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα τὸ γένος ἀνήνεγκεν αὐτοῦ, ἐπεὶ καὶ οὗτοι εὐνοίας πολλάκις ἐκπεφεύγκαντο δόξαν, ἐπιθέμενοι τοῖς τυράννοις* etc. S. notavit Cas., et ipsis et posteris ingens Athenis decus fuisse. cf. annot. ad Ach. 922., Bredowii *Handbuch der alten Gesch.* p. 306., et inprimis F. A. Wolf. Proleg. orat. Leptin. p. LXV. seq. *— ἐκείνων, illorum* celeberrimorum. cf. Av. 36.

733. sic Porson. praef. Hecubae p. LVIII., Bekk., D. cum priscae edd. praebuissent *τ. γέ σου τοὔργον ἀλ. γ. κ. φ.* et Rav. liber suppeditasset *τοί.*

734. *ἀπὸ μικρῶν θωπ.*, ut *ἀπὸ σμικρᾶς δαπάνης* supra 500. cf. Plut. 373.

735. *δελ., ἀπάταις. ἰδίως δὲ δέλεαρ καλοῦμεν τὴν τοῖς ἰχθύσιν ὑποβαλλομένην τροφὴν εἰς ἀπάτην τοῦ ἁγρευθῆναι. ἀπὸ μεταφορᾶς οὖν ἐκείνων φησίν. εἶλες δὲ ἤγρευσας, ὑποχείριον ἐποίησας.* S.

737. *περιδόσθαι. συνθήκην θεῖναι. — καὶ Ὅμηρος* (Iliad. *ψ'*, 485.) *δεῦρ' ἄγε νῦν τρίποδος περιδώμεθα.* S. cf. Nub. 644., Ach. 728.

738. atticam formam restitui: nam codd. *ἐν ταῖς πιθάκναισι*, vel *ἐν ταῖσι πιθάκναις.* S.: *πιθ. ὑποριστικῶς, μικροῖς πίθοις, πιθοκοίταις, ἑτοίμοις τόποις. ὅτι διὰ τὸν πόλεμον οἱ Ἀθηναῖοι ἐκ τῶν ἀγρῶν εἰσερχόμενοι ἐν ταῖς πιθάκναις ἢ ἐν τοῖς σπηλαίοις ᾤκουν τῇ σπάνει τῶν οἰκημάτων.* (Thuc. 2, 14, 17.) *οἱ δὲ παλαιοὶ φιδάκνην λέγουσι.* Br.: „Sic olim in Aristoph. textu scriptum fuisse, verba scho-

καὶ γυπαρίοις, καὶ πυργιδίοις, ἕτος ὄγδοον οὐκ ἐλεαίρεις,
740 ἀλλὰ καθείρξας αὐτὸν βλίττεις, Ἀρχεπτολέμου δὲ φέροντος
τὴν εἰρήνην ἐξεσκέδασας, τὰς πρεσβείας τ' ἀπελαύνεις
ἐκ τῆς πόλεως ῥαθαπυγίζων, αἳ τὰς σπονδὰς προκαλοῦνται;

ΚΛ. ἵνα γ' Ἑλλήνων ἄρξῃ πάντων. ἔστι γὰρ ἐν τοῖς λογίοισιν,
ὡς τοῦτον δεῖ ποτ' ἐν' Ἀρκαδίᾳ πεντώβολον ἡλιάσασθαι,
745 ἣν ἀναμείνῃ· πάντως δ' αὐτὸν θρέψω γὼ καὶ θεραπεύσω,
ἐξευρίσκων εὖ καὶ μιαρῶς, ὁπόθεν τὸ τριώβολον ἕξει.

ΑΛ. οὐχ ἵνα γ' ἄρξῃ μὰ Δί' Ἀρκαδίας προνοούμενος, ἀλλ' ἵνα μᾶλλον
σὺ μὲν ἁρπάζῃς, καὶ δωροδοκῇς, παρὰ τῶν πόλεων, ὁ δὲ δῆμος

liastae ostendunt, qui illius formae (φιδάκνη) non meminisset, nisi eam ob oculos habuisset, non enim solent vett. illi grammatici, si quam vocem interpretantur, aliarum ejusdem significationis, sed quae obsoluerint, mentionem injicere." — cf. Plut. 542., ubi itidem scribendum esse arbitror φιδάκνης. D. quoque in ed. Didot. φιδάκναισι.

739. γυπ. (Voss. *Geiergenist.*) ἀντὶ τοῦ ἐν φωλεοῖς καὶ καλιαῖς [καὶ στενοῖς χωρίοις]. Κρατῖνος δέ φησιν, ὅτι πᾶσαν στενὴν καταδυσιν οὕτως ὠνόμαζον. (proprie vocantur *caveae*, ubi habentur aves, grues, perdices et id genus: nam ab una specie fit nomen generale. *Cas.*) ἕτος ὄγδοον. τοσαῦτα γὰρ ἔτη εἶχον πολεμοῦντες. S. Sentit poëta de legatione, quam post Sphacteriam captam et abductos inde Lacedaemonios missam tradit Thuc. 4, 15. seqq. tum enim obstitit Cleon, ne pax fieret, ut idem auctor est ibidem c. 21.; atque ita recte Palmer. (Exercc. p. 727.) — *Duk.*

740. βλίττεις. ἀμέλγεις. βλίττειν ἐστὶ τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων, καὶ περιαίρειν, καὶ τὸ ψηλαφᾶν, καὶ τὸ ἐκπιέζειν, τὰ κηρία τῶν μελισσῶν θλίβειν. (*castrare apes, die Bienen seideln.* cf. Schneider. lex. gr. v. θάω.) S. — solent apes castrandae fumo abigi. hic contra dicitur Cleo populum, quem vult βλίττειν, continere per vim in suis tagurioliis, quasi in favis. *Cas.* verti-

tur: *fumo enecas*; qualis in istis angustis domiciliis plurimus fuit. B. de Archeptolemo dictum ad 312.

741. ἐξεσκ. ἀντὶ τοῦ διεστάραξας. — S.

742. ῥαθ. τῇ πυγῇ ῥόθον ποιεῖν, τουτέστι πυγὴν τῇ χειρὶ παίειν, ἢ τῷ ποδὶ τύπτειν. — γελοίου δὲ χάριν τούτῳ ἐχρήσατο. προκαλ. παρέχουσιν, εὐτρεπίζουσιν. εὐχαρῶς δὲ τῷ προκ. ἐχρήσατο, ἵνα μᾶλλον τοὺς Λακεδαιμονίους ἐπιδικαζομένους τῆς εἰρήνης δείξῃ [καὶ ἐπιθυμοῦντας]. — S.

743. de oraculis vide supra 61.

744. τοῦτον. (populum Athen.) νικήσαντα τοὺς Πελοποννησίους δικάσαι μέχρις Ἀρκαδίας, λαμβάνοντα μισθὸν πεντώβολον, ἀλλ' οὐ τριώβολον. (ut Athenis.) S. ἡλιάσασθαι hic valet *judicando acquirere*, *pro judicii mercede accipere*, ut ap. Hom. κάμνεσθαι, *labore acquirere* (Il. σ', 341. τὰς αὐτοὶ καμόμεσθα [ubi vid. Heyn. B.]), et ληΐζεσθαι, quod alias *praedari*, *depopulari* significat, quandoque etiam valet *praedando acquirere*. Il. σ', 28. δμωαὶ δ', ἃς Ἀχιλεὺς ληΐσαιτο. Br. περιαίρειν. dictum ut τριώβολον.

745. ἣν ἀν. ἐὰν ὑπομένῃ, καὶ πολεμῶν μὴ ὀκνήσῃ.

746. εὖ καὶ μιαρῶς. — ὅτι ἀνενδεῶς τὸ τριώβολον αὑτῷ (mercedem judicum) φροντίσω, καὶ ποιήσω λαμβάνειν, οὐ περιεργαζόμενος, οὔτε εἰ ἀπὸ δικαίου, οὔτε εἰ ἀπὸ ἀδίκου χωρισθήσεται τὰ πράγματα (χρήμα-

ὑπὸ τοῦ πολέμου, καὶ τῆς ὁμίχλης, ἃ πανουργεῖς, μὴ καθορᾷ σοι,
ἀλλ' ὑπ' ἀνάγκης ἅμα, καὶ χρείας, καὶ μισθοῦ πρός σε κεχήνῃ.
εἴ δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀπελθὼν εἰρηναῖος διατρίψῃ,
καὶ χίδρα φαγὼν ἀναθαῤῥήσῃ, καὶ στεμφύλῳ εἰς λόγον ἔλθοι,
γνώσεται, οἷων ἀγαθῶν αὐτὸν τῇ μισθοφορᾷ παρεκόπτου·

τα). S. alludit ad illud proverbiale καὶ δικαίως κἀδίκως. cf. 256. *E Be.*

749. ll. — μὴ καθ. σου, inutiliter illato, vel aegre explicando, pronomine, cum apertum sensum habeat soi familiare. — S.: ὑπὸ τοῦ πολ. κ. τῆς ὁμ. ὑπὸ τῶν περιεστώτων κακῶν, καὶ τῶν τοῦ πολέμου δυσχερῶν, συνεχόμενος, μὴ ἐλέγχῃ τὰ σὰ πανουργήματα. ὁμίχλη δὲ ἐπὶ τοῦ τεθολωμένου ἀέρος καὶ μὴ διαυγοῦς μηδὲ λαμπροῦ τάσσεται. (ἐν διὰ δυοῖν, nisi fallor: ὑπὸ τῆς τοῦ πολέμου ὁμίχλης, *propter nebulam ac caliginem belli*, per quam malis impunitis esse licet. sic 759. πρὸς Ἀθηναίους καὶ τὸν δῆμον, h. e. πρὸς τὸν δῆμον τὸν Ἀθηναίων, etc.) ὁ δὲ νοῦς ὅλος, ὅτι οὐ τῷ δήμῳ φίλα φρονῶν πείθεις αὐτὸν Ἀρκάσι πολεμεῖν, ἀλλ' ἵνα περὶ τὸν πόλεμον ἀσχολούμενος μὴ περιεργάζηται τὰ σὰ πανουργήματα, εἰς σὲ κεχήνῃ, εἰς σὲ ἀποβλέπῃ, καὶ πειθαρχῇ. S.

750. ὑπ' ἀνάγκης, *propter necessitatem fatalem*, qua factum est, ut tu tantum posses in civitate. καὶ χρείας, *ob usum tui*, qui habes ingenium tritum ad administrandam remp. καὶ μισθοῦ trioboli (746.) causa, vel potius stipendii militaris. vide 753., Vesp. 1152. et G. G. S. Köpkei librum germ. de re militari Graecorum p. 260. sequ. πρός σε κεχ. ut 600. *te spectet hiante ore.*

752. χίδρα. τινὲς ἄγρια λάχανα. εἰ δὲ τὰ ὄσπρια, ἢ τὰ ἐξ ὀσπρίων ἄλευρα, ἢ κρῆμνα, (? suspicor ponendum esse κρόμνα [Iliad. λ', 680.] sive κρόμμυα.) ἢ στάχυες νεογενεῖς. κυρίως δὲ τὰ ἀπὸ χλωρᾶς κριθῆς (imo χλωροῦ πυροῦ. sic etiam Pac. 575. erraverunt.) κρινόμενα, ὡς σεμίδαλις ἐφεικτά. χίδρα δὲ εἴρηται παρὰ τὸ χεῖσθαι. (Vett. tum alia multa contra nostram consuetudinem in deliciis habuerunt edulia, tum legumina et grana alia tosta. de cicere tosto et faba testantur latini scriptores: nam et inter missilia haec fuerunt. at χίδρα Graeci appellarunt frumenti recentis grana, quae moris erat torrere iisque uti. fuisse hoc genus deliciarum in pretio, praesertim ap. rusticos, apparet ex h. l. *Cas.* cf. Pacis l. l., Cas. ad Athen. 14, 16., Schneider. lex. gr. v. χίδρα. frustra Br. ἀναθαῤῥήσει et superiore versu διατρίψει.) καὶ στεμφ. καὶ προσομιλήσει τοῖς στεμφύλοις, ἢ πλησιάσει. (ridicule, quasi persona sit τὸ στέμφυλον) στέμφυλα δὲ ἐκάλουν οἱ παλαιοὶ τὰ τῶν ἐλαιῶν ἀποπιέσματα· περιπίσματα (περικτίσματα) δὲ τὰ τῶν ἀμπέλων. S.

753. sequ. παρεκ. παρῄρου, ἐλυμαίνου. ἀπὸ μεταφορᾶς τῶν παρακοπτομένων τὰ πτερὰ ὀρνέων. (cf. 799.) ἰδίως δὲ τὸν μισθὸν τῶν στρατευομένων οἱ παλαιοὶ μισθοφορὰν ἐκάλουν. φησὶν οὖν, ὅτι τοῦ πολέμου ἀπαλλαγέντες ἐπιγνώσονται τὴν βλάβην, ἣν διὰ τῆς μισθοφορᾶς αὐτοὺς ἔβλαπτες, πλείονα αὐτοὺς ἀγαθὰ παραιρούμενος, ὧν ἀπολαύειν ἠδύναντο εἰρήνην ἄγοντες. ἄγροικος δὲ ὀργῆς γέμων, τραχὺς τε. (perperam ll. — γέμων. τρ. δὲ, ψῆφον etc.) ψῆφον ἴχν., καταβιάσαι προτρεπόμενος. S. ἴχνεύειν est i. q. ἐρευνᾶν, ζητεῖν. v. Suid., Hesych. et Zon. 2, 1136. B. — minus recte libri Aristoph. et S. ἄγροικος. cf. 41. ἀγροῖκος, *rusticus*, denuo factus rusticus finito bello. Cas.: Cum accentu in prima haec vox ponitur pro ἄγριος, *agrestis, ferus*; cum circumflexo ἀγρόϊκος est, qui manet ruri.

εἶθ' ἥξει σοι δριμὺς ἀγροῖκος κατὰ σοῦ τὴν ψῆφον ἰχνεύων.
ἃ σὺ γιγνώσκων τόνδ' ἐξαπατᾷς, καὶ ὀνειροπολεῖς περὶ σαυτοῦ.

ΚΛ. οὔκουν δεινὸν δῆτ' ἐστὶ λέγειν ταυτί σ' ἐμὲ καὶ, διαβάλλειν πρὸς Ἀθηναίους καὶ τὸν δῆμιον, πεποιηκότα πλείονα χρηστὰ νὴ τὴν Δήμητρα Θεμιστοκλέους πολλῷ περὶ τὴν πόλιν ἤδη;

ΑΛ. ὦ πόλις Ἄργους, κλύεθ', οἷα λέγει! σὺ Θεμιστοκλεῖ ἀντιφερίζεις,
ὃς ἐποίησεν τὴν πόλιν ἡμῶν μεστὴν εὑρὼν ἐπιχειλῆ,
καὶ πρὸς τούτοις ἀριστώσῃ τὸν Πειραιᾶ προσέμαξεν,
ἀφελών τ' οὐδένα τῶν ἀρχαίων ἰχθῦς καινοὺς παρέθηκε;
σὺ δ' Ἀθηναίους ἐζήτησας μικροπολίτας ἀποφῆναι
διατειχίζων, καὶ χρησμῳδῶν, ὃ Θεμιστοκλεῖ ἀντιφερίζων.

755. 764. ὀνειρ. παρακρούῃ, καὶ παραλογίζῃ, καὶ παραπλανᾷς, [καὶ ὀνειροπολεῖς,] ὀνείρους ὁρῶν. (πολεῖν est *versare*, ὀνειροπολεῖν proprie *versari circa somnia*. respicit ad oracula, quae solitus de se jactare Cleon ap. populum (cf. 764. etc.), ut summum aliquod bonum ab ipso populus expectaret. *Cas.*) τὸ δὲ ὦ πόλις Ἄργους ἀπὸ Τηλέφου Εὐριπίδου (fragm. 20.). τὸ δὲ κλύεθ', οἷα λέγει ἀπὸ Μηδείας (161.). S. cf. Plut. 297., ubi eadem verba Tragici leguntur.

756. vulgo ο. δ. ταυτί σε λέγ. δῆτ' ἔστ' ἐμέ, dure trajectis (casu, opiner) verbis δῆτα et ἔστ'. longe lenius oratio fluit 766.

759. ἀντιφ. poëticum verbum, quemadmodum et ἰσοφαρίζειν ap. Hom., pro *aequare* vel *aequalem praedicare*. Cas.

760. ἐπιχειλῆ. ἐνδεᾶ. ἐπιχειλὲς γὰρ μέτρον λέγεται τὸ [καὶ] μὴ πλῆρες. — αἰνίττεται δὲ, ὅτι αὐτὸς (οὗτος) τὴν πόλιν ἐτείχισε. S. Suid. et Zon., quos laudant: ἐπιχειλές. οὕτω λέγεται μετρὸν τὸ μὴ πλῆρες, ἀλλ' ἀπολειπόμενον. Ἀριστοφ. τὴν πόλιν ἡμῶν κ. τ. λ. Hesych.: ἐπιχιλὲς (ἐπιχειλὲς), τὸ ἐλλιπές.

761. ἀριστ. *cum prandere*t, h. e. in prandium. addidit urbi Piraeum in prandium propter pisces. vide seqq. S.: προσέμαξεν. προσέθηκε, προσεκόλλησε. μάττειν γὰρ λέγεται τὸ ἀναμιγνύναι, καὶ φυρᾶν, καὶ εἰς ἓν συνάγειν. (Cas.: ait eum instar placentae Piraeum pinsuisse, et apposuisse prandenti populo.) ἐξῆς οὖν τὸ μάττειν προσήνεγκε διὰ τὸ προειρηκέναι ἀριστώσῃ. αἰνίττεται δὲ διὰ τούτων τὰ μακρὰ τείχη παρὰ τοῖς Ἀθηναίοις καλούμενα. μακρὰ δὲ ἐλέγοντο διὰ τὸ ἀπὸ τῆς πόλεως διήκειν μέχρι τοῦ Πειραιῶς. ἄλλως. ἐμπόριον ὁ Πειραιεὺς τῶν Ἀθηναίων παρὰ τῇ θαλάττῃ κείμενος ἀπὸ πέντε τῆς πόλεως σημείων (milliariorum).

762. ll. οὐδὲν. ἰχθ. καινούς. οἷον, ἐκ τοῦ Πειραιῶς ἐποίησεν αὐτὸν (αὐτὴν) ἰχθύας ἔχειν. τὸν γὰρ Πειραιᾶ Θεμιστοκλῆς προσέβαλε τῇ πόλει. S. cf. Thuc. 1, 93., Plut. Themistocle, et historicos.

763. μικροπ. διὰ τὴν ἐκ τοῦ πολέμου στενοχωρίαν τῶν ἀναλωμάτων, καὶ τὴν τῶν ἀνδρῶν σπάνιν. S. ἀποφ., ἀποδεῖξαι (720.), *reddere*, *efficere*. „Lysias or. fun. (Orr. gr. Reisk. 5. p. 119.) μεγάλην ἀντὶ μικρᾶς ἀπέδειξαν τὴν πόλιν, ὁμονοοῦσαν δὲ ἀντὶ στασιαζούσης ἀπέφηναν." *Be.*

764. διατειχ. συστέλλων τὰ τείχη. — S. imo *in muros sive urbem compellens*. B.: „Non male Wiel. einmauern. respicitur haud dubie eo, quod durante bello etiamnum oportebat multos Atticae incolas muris

765 κἀκεῖνος μὲν φεύγει τὴν γῆν· σὺ δ' Ἀχιλλείων ἀπομάττει.
ΚΛ. οὔκουν ταυτὶ δεινὸν ἀκούειν, ὦ Δῆμι', ἐστίν μ' ὑπὸ τούτου,
ὅτιή σε φιλῶ;
ΔΗ. παῦ' οὑτωσί, καὶ μὴ σκέρβολλε πονηρά·
πολλοῦ δὲ πολύν με χρόνον, καὶ νῦν, ἐλελήθης ἐγκρυφιάζων.
ΑΛ. μιαρώτατος, ὦ Δημακίδιον, καὶ πλεῖστα πανοῦργα δεδρακὼς,
770 ὁπόταν χασμᾷ, καὶ τοὺς καυλοὺς τῶν εὐθυνῶν ἐκκαυλίζων a. t.

Athenarum includi." cf. supra 738. seqq. χρησμῳδῶν. vide annot. ad 755.

765. φεύγει (pro ἔφυγε. B.) ἐξωστράκισε γὰρ τὸν Θεμιστοκλέα ὁ δῆμος. σὺ Ἀχιλλ. σὺ δὲ τῆς ἐν πρυτανείῳ σιτήσεως μετέχεις. ἐκαλοῦντο γὰρ Ἀχίλλειαί τινες κριθαὶ, ὡς εὐγενεῖς αὗται (οὖσαι). S. Graeci Achillem suum vehementer laudabant: unde ejus nomen transtulerunt ad alia, quae fortia et valida esse intelligi volebant. sic ap. Philosophum in Physicis argumentum firmum et validum appellatur Achilles, et hordei quoddam genus erat, sive potius placentarum hordeacearum, quas vocabant Achilleas. est autem proverb. de eo, qui laute vescitur, Ἀχιλλείων ἀπομάττεται, *hordeaceis Achilleis vescitur*, nempe placentis. (intelligi potest ἄλφιτων aut πλακούντων. vid. Bos. de Ellips. p. 28. et 354, et Schäf. B.) ap. Latinos hordeum non ita in frequenti usu. quare etiam illud moris fuit, ut militibus poenae loco hordeum exhiberetur pro frumento. inde *hordearii* milites (gladiatores: v. Plin. H. N. 18, 7. Both.) viles et non integrae famae. *Cas.*

767. οὑτωσὶ K., quod nec Bentlejo displicebat. codd. οὑτοσὶ proclivi lapsu. οὑτωσὶ, *sic*, dictis hisce, quae dixisti. similiter infra 789. ἐπίσχες ἐν ταῖς ἀσπίσιν, *subsiste in mentione clipearum*, ut reddidit Be. Terentius extremis Ad.: *in istac finem faciat.* — S.: μὴ σκέρβολλε. μὴ λοιδόρει. δηλοῖ δὲ [καὶ] κερτομεῖν. κεῖται δὲ νῦν (?) ἡ λέξις ἀντὶ τοῦ μὴ ποίκιλλε. καὶ Καλλίμαχος σκέρβολα μυθήσαντο. „Eustath. σκερβόλλειν, ἐς κέαρ βάλλειν, ἀποβολῇ τοῦ ε τῆς ἐς προθέσεως etc. *neve malis eum conviciis pete.*" *Be.* cf. Schneideri lex h. v.

768. πολλοῦ, *nimium*, *valde.* conferunt θρασὺς εἰ πολλοῦ Nub. 951. et ἐπὶ σοὶ πολλῇ πολλοῦ 'πικαθῆτο Ran. 985. S.: ἐγκρυφ. ἐμφωλεύων, καὶ ἀποκρύπτων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐλάνθανές με ῥᾳδιουργῶν περὶ πόλιν. ἀπὸ δὲ τοῦ ἐγκρυφίου ἄρτου μετήνεγκεν, οἷον, λανθάνων καὶ ἐγκρύπτων σεαυτόν.

769. μιαρ. ἐστιν ὁ Κλέων. — δημακίδιον a δήμαξ, ut μείραξ, στρατύλλαξ *imperatorculus.* E Cas. cf. Bos. ad Cic. Epist. ad Att. 16, 15., nos ad Plaut. Truc. 1, 3.

770. ὁπ. χασμᾷ. ὁπότε μετεωροφρονεῖς. οἷον, περὶ ἄλλα τὴν διάνοιαν ἔχεις. S. χασμᾶσθαι est *oscitare, pandiculari*, quae videntur esse hominis non attendentis. — *Cas.* S.: τῶν εὐθ. τῶν δικῶν παραλογισμῷ. (absurde ll. τῶν δικαίων παραλογισμῶν. παραλογισμῷ, *fraude.*) οἱ γὰρ χειρίσαντές τι τῶν κοινῶν καὶ διοικήσαντες τῶν ἀνηλωμένων χρημάτων εὐθύνας καὶ λογισμοὺς ἐδίδοσαν. ἐκκαυλ. ἀπὸ τῶν τὰ λάχανα ἀποκλώντων τῇ μεταφορᾷ ἐχρήσατο. οἷον, ἀνασπῶν καὶ ἀναιρῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι, μισθὸν λαμβάνων παρὰ τῶν διοικούντων τὰ κοινὰ ἐκκόπτει αὐτῶν τὰς δίκας, ἵνα μὴ ὁ δῆμος εὐθύνας λαμβάνειν παρ' αὐτῶν δύνηται. S. quod ad

ἀλλ' ἔστι τοῦτ', ὦ Δῆμε, μηχάνημ', ἵν', ἢν σὺ βούλῃ
τὸν ἄνδρα κολάσαι τουτονί, σοὶ τοῦτο μὴ 'κγένηται.
ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶν
νεανιῶν· τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι,
καὶ τυροπῶλαι· τοῦτο δ' εἰς ἓν ἐστι συγκεκυφός·
ὥστ', εἰ σὺ βριμήσαιο καὶ βλέψειας ὀστρακίνδα,
νύκτωρ καθαρπάσαντες ἂν τὰς ἀσπίδας θέοντες
τὰς εἰσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμῶν.
ΔΗ. οἴμοι τάλας! ἔχουσι γὰρ πόρπακας; ὦ πονηρέ,
ὅσον με παρεκόπτου χρόνον τοιαῦτα κρουσιδημῶν!
ΚΛ. ὦ δαιμόνιε, μὴ τοῦ λέγοντος ἴσθι, μηδ' οἰηθῇς
ἐμοῦ ποθ' εὑρήσειν φίλον βελτίον', ὅστις εἷς ὢν
ἔπαυσα τοὺς ξυνωμότας, καὶ μ' οὐ λέληθεν οὐδὲν

κος. ἀνετίθεσαν δὲ τὰ ἐκ τῶν πολέμων ὅπλα ἄνευ τῶν ὀχάνων, ἵνα μὴ ἑτοίμως ἔχωσιν αὐτοῖς χρῆσθαι. μηχάνημα δὲ στρατήγημα, πανοῦργημα.

791. μὴ 'κγέν., non liceat.

792. στῖφος. σύστημα, τάξις πολεμική, ἢ φάλαγξ, συστροφή, πλῆθος συστάσεων. τοῦτο δὲ ἔτερφεν 'ὁ Κλέων, ἵνα ἔχῃ, φησί, συνερχόμενον αὐτῷ πρὸς τὴν πολιτείαν. S.

794. συγκεκ. (proprie συγκύπτειν est una se inclinare ad aliquid, incumbere; hinc conjungi studiis et factis, conspirare. v. Wessel. ad Herod. p. 240, 91. erat autem gravissima ap. Athenn. accusatio tyrannidis affectatae. B.) — ὁμονοοῦν. ἀντὶ τοῦ συνελθόντες αὐτῷ συμπνέουσι. βριμήσαιο δὲ ὀργισθείης. βριμᾶσθαι γὰρ τὸ ὀργίζεσθαι καὶ ἀπειλεῖν. παρὰ δέ τισι καὶ τὸ ἧχον ἀποτελεῖν. — (cf. Schneideri lex. v. βρίμη.) ὀστρακίνδα. ἔστι μὲν ὄνομα παιδιᾶς. („Pollux 9, 110. sequ. p. 1096. sequ.: ἐρῶ δὲ καὶ ἄλλων παιδιῶν ὀνόματα ταὐτὸν ἐχουσῶν σχῆμα τῇ καταλήξει [τῶν ὀνομάτων], βασιλίνδα, ὀστρακίνδα, διελκυστίνδα, μυῖνδα, χυτρίνδα etc." Be.) Θέλει δὲ εἰπεῖν „θελήσεις αὐτὸν ἐξοστρακισθῆναι." — K.: βλέφ. ὀστρ. i. e. ostracismum vultu minaris. βλέπειν enim ap. Att. saepe ἀμεταβάτως de habitu vultus dicitur, ut βλέπειν μανικὸν etc.

797. τὰς εἰσβ. τῶν ἀλφίτων. aditus ad loca, ubi farina aut asservatur, aut venditur. — καταλαβεῖν est occupare. finguntur igitur fame subigere populum posse. Bs B.

798. ἔχ. γὰρ (germ. also.) πόρπακας; ὡς δέον τὰς ἀνατιθεμένας ἀσπίδας μὴ ἔχειν πόρπακας ὑπὲρ τοῦ μὴ ἐξεῖναι τοῖς ἐπιχειροῦσι κατὰ τοῦ δήμου ἐξ ἑτοίμου χρήσασθαι ταῖς ἀσπίσι. S.

799. παρεκόπτου. cf. 753. S.: κρουσιδημῶν. ἀντὶ τοῦ κρούων τῇ βουλῇ. (schol. Bekker. τῇ βοῇ, quod minus aptum.) ἐλυμαίνου τὸν δῆμον ἀπατῶν καὶ παρακρουόμενος [τῇ βοῇ]. ἔστι γὰρ παρακρουόμενον μέτρον, ὃ λέγεται ἐπὶ τῶν τοῖς μέτροις παραλογιζομένων etc. cf. Schneideri lex. h. v. et v. κρουσιμετρέω.

800. ὦ δαιμόνιε. vide Ran. 44. μὴ τοῦ λ. ἴσθι. noli sinere tibi persuaderi a quovis oratore. Soph. Oed. R. 864., annotante Be.: ἄλλ' ἔστι τοῦ λέγοντος, ἢν φόβους λέγῃ, ubi vide annotata, et cf. Hoogeveen. ad Viger. 5, 6, 12.

802. sequ. ξυνωμότας, ξυνιστάμενον. ita ll., et similiter aliis in locis; quam scripturam reliqui, cum fieri possit, ut metri causa σὺν ex eoque voces compositas hic illic usurpaverit Comicus.

ἐν τῇ πόλει ξυνιστάμενον, ἀλλ' εὐθέως κέκραγα.
ΑΛ. ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν·
ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
αἱροῦσι· καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς.
ἓν δ' εἰπέ μοι τοσουτονί. σκύτη τοσαῦτα πωλῶν
ἔδωκας ἤδη τουτωῖ κάττυμα παρὰ σεαυτοῦ
ταῖς ἐμβάσιν, φάσκων φιλεῖν;
ΔΗ. οὐ δῆτα, μὰ τὸν Ἀπόλλω.
ΑΛ. ἔγνωκας οὖν δῆτ' αὐτὸν, οἷός ἐστιν· ἀλλ' ἐγώ σοι
ζεῦγος πριάμενος ἐμβάδων τουτὶ φορεῖν δίδωμι.
ΔΗ. κρίνω σ', ὅσον γ' ἐγῷδα, περὶ τὸν δῆμον ἄνδρ' ἄριστον,
εὐνούστατόν τε τῇ πόλει καὶ τοῖσι δακτύλοισιν.
ΚΛ. οὐ δεινὸν οὖν δῆτ' ἐμβάδας τοσουτονὶ δύνασθαι,
ἐμοῦ δὲ μὴ μνείαν ἔχειν ὅσων πέπονθας, ὅστις
ἔπαυσα τοὺς βινουμένους, τὸν Γρύττον ἐξαλείψας.
ΑΛ. οὔκουν σε δῆτα ταῦτα δεινὸν ἐστι πρωκτοτηρεῖν,

803. ἐν τῇ π. ξυν. οὐδὲν τῶν κατὰ τῆς πόλεως λογιζομένων καὶ ὁμοῦ ἱσταμένων. S. Cas.: κέκραγα, pro κράζειν εἴωθα. sunt quaedam verba ap. Gr., quae in praeteritis, maxime medii, habent significationem praesentis, ut ἤγγικα pro ἐγγίζω, *appropinquo*.

805. ἡ λίμνη, lacus ille, in quo sunt anguillae. non est, quod certum quendam lacum intelligamus propter articulum, quod faciebat Cas., velut paludem Copaïdem in Boeotia, unde anguillae magni nominis Athenas deferebantur. S.: καταστῇ. κατάστασιν λάβῃ, ἐν εὐδίᾳ ᾖ. ἐπειδὴ αἱ ἐγχέλεις μὴ δυνάμεναι νήχεσθαι ἐν τῇ λυόῖ εἰσίν. οἱ οὖν θηρεύοντες τὸ ὕδωρ ταράττοντες ἀγρεύουσι [τὰς ἐγχέλεις].

809. κάττυμα. „vetus verbum est Graecorum τύειν, quod vett. Latt. dixerunt *tuere* vel *suere:* nam σ et τ passim confunduntur. (vid. Schneider. lex. v. κασσύω.) hoc verbo Graeci non utuntur, sed tantum composito formationis doricae καττύειν pro καττύειν, *suere, soleam suppingere calceo*, et κάττυμα; *solea.*" *Cas.* figurate dicitur superius 302.

810. ταῖς ἐμβ., *in calceos.* cf. Av. 1348., Matth. gr. §. 393.

812. πλείονα εὔνοιαν ἔδειξεν, ὅτι καὶ πριάμενος ἔδωκεν· ὁ δὲ ἔχων προῖκα οὐ δέδωκεν, οὐδ', εἴ τι χρήσιμον ἔχει, τῇ πόλει χαρίζεται. S.

813. κρίνω, judico, esse existimo. Terent. Ad. 4, 2, 25. *virum te judico*, etc.

814. καὶ τοῖσι δακτ. etiam quod attinet ad digitos pedum, h. e. is, qui vel digitis pedum Populi prospicit calceos donando. S.: τοῖσι δακτ. πρὸς τὸ μὴ πταίειν διὰ τὰς ἐμβάδας. Be. „Alexis ap. Athen. 15. p. 700. ὁ πρῶτος εὑρὼν μετὰ λυχνούχου περιπατεῖν Τῆς νυκτὸς, ἤν τις κηδεμὼν τῶν δακτύλων."

817. ἐξαλείφειν est delere ex indice civium atticorum, h. e. civium juribus, in his jure dicendi, privare; quod accidebat cinaedis. eamque legem migrantes supplicio afficiebantur. vide Meursii Them. att. 1, 6. et G. G. S. Köpkei librum germ. de legg. Gr. p. 514. B.: — „Ideo Gryttum cinaedum concionandi jure privaverat Cleo, ne ille, cui fortassis erat non vulgaris dicendi vis, ipsi officeret."

818. πρωκτ. πρωκτὸν ἐπιτηρεῖν τῶν πορνευομένων. S.

παῦσαί τε τοὺς βινουμένους; κοὐκ ἔσθ' ὅπως ἐκείνους
820 οὐχὶ φθονῶν ἔπαυσας, ἵνα μὴ ῥήτορες γένοιντο.
τονδὶ δ' ὁρῶν ἄνευ χιτῶνος ὄντα τηλικοῦτον
οὐπώποτ' ἀμφιμασχάλου τὸν Δῆμον ἠξίωσας,
χειμῶνος ὄντος· ἀλλ' ἐγώ σοι τουτονὶ δίδωμι.

ΔΗ. τοιουτονὶ Θεμιστοκλῆς οὐπώποτ' ἐπενόησε,
825 καίτοι σοφὸν κἀκεῖν', ὁ Πειραιεύς· ἔμοιγε μέντοι
οὐ μεῖζον εἶναι φαίνετ' ἐξεύρημα τοῦ χιτῶνος.

ΚΛ. οἵμοι τάλας, οἵοις πιθηκισμοῖς με περιελαύνεις!

ΑΛ. οὔκ, ἀλλ', ὅπερ πίνων ἀνὴρ πέπονθ', ὅταν χεσείῃ,
τοῖσιν τρόποις τοῖς σοῖσιν ὥσπερ βλαυτίοισι χρῶμαι.

830 ΚΛ. ἀλλ' οὐχ ὑπερβαλεῖ με θωπείαις· ἐγὼ γὰρ αὐτὸν
προσαμφιῶ τοδί· σὺ δ' οἵμωζ', ὦ πόνηρ'.

ΔΗ. ἰαιβοῖ,
οὐκ ἐς Κόρακας ἀποφθερεῖ, βύρσης κάκιστον ὄζων;

ΑΛ. καὶ τοῦτό γ' ἐπίτηδές σε περιήμπισχ', ἵνα σ' ἀποπνίξῃ,

820. ἵνα — γέν. acerbe in rhetores illius temporis: quasi, qui pueri cinaedi fuere, illi rhetores plerumque fiant. cf. supra 398. seqq.

822. ἀμφ. — ἑκατέρωθεν ἔχοντος χειρίδας οὐ μακράς, ἀλλ' ἕως τῶν μασχαλῶν, ἄλλως. μικροῦ (?) χιτωνίσκου. ἦν δὲ καὶ ἑτερομάσχαλος ὁ τῶν ἐργατῶν, οὗ τὴν μίαν μασχάλην ἐῤῥάπτου. Ex S.

823. ἀλλ' ἐγώ σοι. παρεπιγραφή. δίδωσι γὰρ αὐτῷ χιτῶνα. S.

825. κἀκεῖν'. etiam illud, quod dicturus sum, Piraeus. cf. 761.

826. οὐ μεῖζον ε. φαίν. ὅτι σοφίας δόξαν ἀπηνέγκατο ὁ Θεμιστ., σαφηνίσας Ἀθηναίοις τὸν δοθέντα χρησμόν· τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρυόπα Ζεύς. ἄλλων δὲ ἄλλα λεγόντων Θεμ. ἔφη τὰς τριήρεις λέγειν ξύλινον τεῖχος. καὶ τὸν Πειραιᾶ δὲ τειχίσας, ὡς εἴρηται (761.), καὶ τὰ μακρὰ τείχη ποιήσας τὰ διήκοντα ἀπὸ τῆς πόλεως μέχρι τοῦ Πειραιῶς, ἐπὶ πλέον ἔδοξε σοφός. S. φαίνετ', φαίνεται. vid. annot. ad. 697.

827. πιθ. ἀπαταῖς καὶ κολακεύμασιν. ἄλλως. μιμήμασιν, ὡς καὶ αὐτοῦ ταῦτα πεποιηκότος. S. περιελ. circumagis, exagitas, vexas.

828. ὅταν χέσ. οἱ ἀνιστάμενοι ἐκ τῶν συμποσίων πρὸς τὸ ἀποπατῆσαι πολλάκις τοῖς ἀλλοτρίοις ὑποδήμασιν, ἤτοι σκεύδοντες, ἢ καὶ ἀγνοοῦντες παρὰ (ll. mendo frequente περὶ) μέθην, ἐξέρχονται. S. Be.: In conviviis discumbentes exuebant soleas, ut hodienum Graeci et Turcae, si alicubi in collegio consident, soleas in propinquo deponunt etc.

829. βλαυτ. calceorum ap. vett. genera infinita erant, in his βλαυτία, quibus utebantur, cum ad coenationem veniebant. Latini soleas vocant. Cas. cf. Wolf. et interpp. Platonis ad Symp. 2, 3., item Schneideri lex. v. βλαῦται.

831. ita D. hiulce libri: ὦ πόνηρε. ΔΗ. αἰβοῖ. cf. Vesp. 1292. S.: πρ. τοδί. πρὸς οἷς ἔχει ἐνδύσω. παρεπιγραφὴ δέ· δίδωσι γὰρ ὁ Κλέων αὐτῷ χιτῶνα.

832. οὐκ ἐς Κόρ. ἀπ. vid. Plut. 390.

833. ita Duker. Be. et Elmsl. ad Eurip. Med. 1128. κ. τοῦτό γ' ἐπ. σε περιήμπισχεν, ἵν' ἀπ. plerique codd. metro nullo: καὶ τοῦτ' ἐπ. σε περιήμπισχ', ἵνα σ' ἀπ. B. Paris., Rav., Br.: καὶ τοῦτ' ἐπ. σε περιήμπισχέν (Rav. περιήμπισχεν) γ', ἵνα σ' ἀπ., numeris quidem deterioribus.

καὶ πρότερον ἐπεβούλευσέ σοι· τὸν καυλὸν οἶσθ' ἐκεῖνον
τοῦ σιλφίου, τὸν ἄξιον γενόμενον;
ΔΗ. οἶδα μέντοι.
ΑΛ. ἐπίτηδες οὗτος αὐτὸν ἔσπευδ' ἄξιον γενέσθαι,
ἵν' ἐσθίοιτ' ὠνούμενοι, κἄπειτ' ἐν ἡλιαίᾳ
βδέοντες ἀλλήλους ἀποκτείνειαν οἱ δικασταί.
ΔΗ. νὴ τὸν Ποσειδῶ καὶ πρὸς ἐμὲ τοῦτ' εἶπ' ἀνὴρ κόπρειος.
ΑΛ. οὐ γὰρ τόθ' ὑμεῖς βδεόμενοι δήπου 'γένεσθε πυῤῥοί;
ΔΗ. καὶ νὴ Δί' ἦν γε τοῦτο Πυῤῥάνδρου τὸ μηχάνημα.
ΚΛ. οἵοισι μ', ὦ πανοῦργε, βωμολοχεύμασιν ταράττεις;
ΑΛ. ἡ γὰρ θεός μ' ἐκέλευσε νικῆσαί σ' ἀλᾳζονείᾳ.
ΚΛ. ἀλλ' οὐχὶ νικήσεις· ἐγὼ γάρ φημί σοι παρέξειν,
ὦ Δῆμε, μηδὲν δρῶντι μισθοῦ τρυβλίον ῥοφῆσαι.
ΑΛ. ἐγὼ δὲ κυλίχνιόν γέ σοι καὶ φάρμακον δίδωμι

834. de silphio vide annott. ad Plut. 714., 921. eo nomine vulgo appellari plantam prorsus dissimilem illi, quae in mille nummis Cyrenaeorum conspicitur, demonstravit Böttigerus in dissertatione inserta Ephemeridibus vespert. Dresd. (*Dresdner Abendzeitung. Wegweiser im Gebiet der Künste u. Wiss. Nr.* 91. *folgg.*) Cas.: — Videtur Cleon dedisse operam, ut navigatio Cyrenaïca eo tempore vigeret: unde accidit, ut magna laserpitii copia esset Athenis; quod cum laudi deberet tribui Cleoni, utpote procuranti commoda et annonam, tamen isiciarius inde calumniam illi struit, sed futilem et vanam planeque comicam, i. e. cum obscoenitate conjunctam.

835. ἄξιον, *vilem.* cf. 594.

837. ἡλιαίᾳ. cf. 255.

838. ridicule id egisse dicitur Cleon, ut heliastae foetore laserpitii suffocarentur.

839. κόπριος. (sic, ut olim vulgati libri.) κηπουρὸς, παρὰ τὴν κόπρον. — ἢ τὸν κοπρολόγον λέγει. S. neutrum horum intelligam, sed recte, si quid sentio, Be. per prosopopoeiam τὴν κόπρον dici putat ἄνδρα κόπριον, ut significet Populus, sibi quoque, postquam silphium comederit, commotam fuisse alvum, ut pederet. Eccles. 339. ὁ δ' ἤδη τὴν θύραν' Επείχε κρούων ὁ κοπρεαῖος. ejusdem notae est personatus iste Pyrrhander in seqq., quem πονηρὸν καὶ συκοφάντην S. appellans suo more facit, cum ei aqua haeret. nam nihil facilius est quam confingere talia sine auctoritate.

840. Eccles. 352. τί τοῦτό σοι τὸ πυῤῥόν ἐστιν; οὔ τί που Κινησίας σου κατατετίληκέν ποθεν; Be.

842. βωμολ. κολακεύμασιν, ἢ ἀπάταις. βωμολόχοι δέ εἰσιν οἱ περὶ τοὺς βωμοὺς λοχῶντες, καὶ κρυφίως ὑποκαθήμενοι ἐπὶ τῷ ἁρπάζειν τὰ ἐπιτιθέμενα θύματα. (cf. Ran. 344.) — θεὸν δὲ τὴν Ἀθηνᾶν ἀκουστέον. (quam patriam deam jactare solent oratores attici.) S.

845. μισθοῦ τρυβλίον. ὀξύβαφον. ἀντὶ τοῦ εἰπεῖν ὁσπρίου ἢ ἄλλου τινὸς προσφαγίου, μισθοῦ εἶπε διὰ τὸν δικαστικὸν μισθόν. S. μηδὲν δρῶντι, *nihil agenti*, h. e. ei, qui neque concioni neque judiciis intersit, quae erant officia illorum, qui auferre cupiebant τὸ τριώβολον. cf. 1026.

846. κυλ., ἁλκύδρια, ὀφθαλμιδίω, deminutiva adulatoria. S.: κυλ., ἔκπωμα, ὃ νῦν λέγουσι πυξίδιον. ἔχουσι δὲ οἱ ἰατροὶ τὰ πυξίδια; ἐν οἷς προσβάλλουσι τὰ πάσματα. (i. e. τὰ γεύματα, *poliones* a πάσασθαι α brevi. v. Ammon. p. 109. ed. Valck.)

τὰν τοῖσιν ἀντικνημίοις ἑλκύδρια περιαλείφειν.
ΚΛ. ἐγὼ δὲ τὰς πολιάς γέ σου 'κλέγων νέον ποιήσω.
ΛΑ. ἰδοὺ, δέχου κέρκον λαγὼ τῷ θαλμιδίῳ περιψῆν.
ΚΛ. ἀπομυξάμενος, ὦ Δῆμ', ἐμοῦ πρὸς τὴν κεφαλὴν ἀποψῶ.
ΛΑ. ἐμοῦ μὲν οὖν.
ΚΛ. ἐμοῦ μὲν οὖν. i. d.
ἐγώ σε ποιήσω τριηραρχεῖν ἀναλίσκοντα τῶν i. t.
σαυτοῦ, παλαιὰν ναῦν ἔχοντ', i. d.
εἰς ἣν ἀναλῶν οὐκ ἐφέξεις, οὐδὲ ναυπηγούμενος· i. t.

847. Casaub. ad Theophrast. Charact. 29., ubi haec leguntur καὶ ἕλκη ἔχειν ἐν τοῖς ἀντικνημίοις: „Videtur haec δυσχέρεια," inquit, „frequens per illa tempora Athenis fuisse: nam etiam ap. Aristoph. in Eqq. quo loco certant adulationis certamen Cleon et Agoracritus, fartor ille impurus pyxidem unguenti pollicetur istiusmodi hominibus, quibus tibiarum ulcera sibi inungant. — haec sunt, quae vocat Plin. *tibiarum tetra ulcera* lib. 22, 10., alibi *tibiarum taedium*, quod respondet voci Theophr. ἀηδία. ita affectos Dioscorides appellat σαπρωκνήμους." solet autem in turbis, quales sunt judiciorum atque concionum, fieri illud, quod ait Comicus Plut. 779. νύττουσι καὶ φλῶσι τἀντικνήμια: inde, ni fallor, ista ulcera tibiarum.

848. ἐκλέγων. *capillos homini legere* dixit Phaedrus fab. 2, 2.

849. κέρκον. τὴν οὐράν. ἁπαλὸν δὲ καὶ τρυφερὸν τὸ τοῦ λαγοῦ ἔριον, ὥστε ἀντὶ σπόγγου χρήσασθαι διὰ (scrib.: χρήσασθαι. ἄλλως. διὰ) τὸ ἁπαλὸν εἶναι, ὥσπερ τὰς λήμας περιψῆν. περιψ. ἀντὶ τοῦ καταμάσσειν, ἀποσπογγίζειν. φιλονεικεῖ δὲ ἕκαστος ὑπερβαλεῖν ταῖς δωρεαῖς. S. περιψῆν διὰ τοῦ η, non περιψᾶν, scribi observat Phot. lex. p. 312. B. cf. Matth. gr. §. 194, 1.

850. turpissimum hoc et spurcum adulationis genus alteri se emungenti caput suum praebere, ut nares eo abstergat. *E K.* similiter spongia purgare judicum calceos dicitur Theorus Vesp. 574. sequ., et de adulatoribus Dionysii junioris, Syracusanorum tyranni, Athenaeus 6. cap. 56. ἀποπτύοντος δὲ τοῦ Διονυσίου πολλάκις παρεῖχον τὰ πρόσωπα καταπτύεσθαι, καὶ ἀπολείχοντες τὸν σίαλον, ἔτι δὲ τὸν ἔμετον, αὐτοῦ μέλιτος ἔλεγον εἶναι γλυκύτερον.

851. διπλῇ, καὶ εἴσθεσις εἰς ἀμοιβαῖον μέλος τῶν ὑποκριτῶν etc. S.

852. ἀπειλεῖ λειτουργίαν αὐτῷ· λειτουργία γὰρ παρὰ Ἀθηναίοις. δαπανηρὸν δὲ τὸ τριηραρχεῖν. (vid. Wolf. Prolegg. orat. Leptin. p. C. seqq.) ἔδει γὰρ τὴν τριήρη πάντα ἔχειν πρὸς τὸν πόλεμον εὐπρεπῆ, ἅπερ παρεσκεύαζεν ὁ τὴν λειτουργίαν ταύτην προβληθείς. ἄλλως. ἐπειδὴ οἱ στρατηγοί, εἴ τινα εἶχον ἐχθρὸν, εἰς τριηραρχίαν ἐνέβαλλον, ὅπως ἂν ὁ βίος αὐτοῦ ἀναλίσκοιτο. εἰ δέ τις ὑπερβαλλόντως ἀπεχθάνοιτο, παλαιὰς ναῦς αὐτῷ ἐδίδοσαν, ὅπως ἂν οἰκοθεν καινὰς ἀντ' αὐτῶν κατασκευάσῃ. καὶ πάντῃ ἄποροι ἐγίνοντο. οὐκ ἐφέξεις δὲ ἀντὶ τοῦ οὐ παύσῃ. διαμηχανήσομαι δὲ διαπράξομαι. S. — torpuerunt editores, cum, librariis se addicentes, quorum levis in hoc genere est auctoritas, haec in hunc modum digessere, nulla nec sententiarum, nec versuum, aut legum metricarum ratione habita:

ἐγώ σε — τριη-
ραρχεῖν — τῶν
σαυτοῦ — ἔχοντ',
εἰς — ἐφέ-
ξεις, o. ναυπ.
διαμ. θ' ὅπως
ἂν (primo versu) — λάβῃς.
ΧΟ. ἀνὴρ — παῦ'
ὑπερξ.· ὑφ.
τῶν δαδ., ἁπ.
τε (itidem primo versu!) — ταυτηί.

διαμηχανήσομαί θ', ὅπως ἂν ἱστίον σαπρὸν λάβῃς.
ΧΟ. ἀνὴρ παφλάζει. — παῦε, παῦ', ὑπερζέων! — i. tr.
ὠφελκτέον τῶν δᾳδίων, i. d.
ἀπαρυστέον τε τῶν ἀπειλῶν ταυτηΐ. i. tr.
ΚΛ. δώσεις ἐμοὶ καλὴν δίκην, ἱπούμενος ταῖς εἰσφοραῖς· i. t.
ἐγὼ γὰρ εἰς τοὺς πλουσίους σπεύσω σ' ὅπως ἂν ἐγγραφῇς.
ΑΛ. ἐγὼ δ' ἀπειλήσω μὲν οὐδέν, εὔχομαι δέ σοι ταδί·
τὸ μὲν τάγηνον τευθίδων ἐφεστάναι σίζον, σὲ δὲ
γνώμην ἐρεῖν μέλλοντα περὶ Μιλησίων, i. tr.
καὶ κερδανεῖν τάλαντον, ἢν κατεργάσῃ,
σπεύδειν, ὅπως τῶν τευθίδων ἐμπλήμενος

856. ἀνὴρ παφλ. ἐπειδὴ ἑώρα τὸν Κλέωνα πεπραγότα καὶ παφλάζοντα τῷ λόγῳ, τῇ μεταφορᾷ ἐχρήσατο τοῦ χαλκείου ἐν τῷ πυρὶ κειμένου. ἐπειδὲν γὰρ ἴδωμεν τοῦτο ὑπερζέον, τῶν ὑποκειμένων ξύλων ἀφαιροῦμεν καὶ τοῦ ὕδατος, ἵνα μὴ ὑπερχυθέντος τοῦ ὕδατος τὸ πῦρ σβεσθῇ. — S. παῦε (pro παύου vel παῦσαι), π., ὑπερζέων. dicit hoc Cleoni εἰρωνικῶς. temere Br. ὑπερζέον θ'.

857. ita Be. et Maltby Thesaur. prosod. pp. 111., 1007., Porsono aliisque probantibus. ἀμέτρως A et C Pariss. et Rav. δαδῶν. vulgo: ὑφ. δὲ τῶν ξύλων, cui scripturae facile est pretium statuere. S.: τῶν ξύλων. ἐν τοῖς πλείοσι τῶν δάδων. (sic.) —

858. ἀπαρ. ἀφαιρετέον. τῶν ἀπειλῶν δὲ εἶπεν ἀντὶ τοῦ εἰπεῖν τοῦ ζέματος, ἐπειδὴ τῶν ὑπερζεόντων ἀπαρύονται, ἵνα μή τι ὑποχέηται. μαγειρικῶς δὲ ταῦτα. ταυτηΐ. ἴσως ὠρεάγραν (imo ἀρυτῆρα, cochlearium,) ἔδειξεν, ὡς μαγείρῳ. S. nam isiciarius haec facere jubetur.

859. annotavit K., haec ap. Pollucem 7, 41. legi, sed Cratino tributa. Be.: „Vesp. 439.: ἀλλὰ τούτων μὲν τάχ' ἡμῖν δώσετον καλὴν δίκην." — εἰσφοραῖς. συμφοραῖς dixerat Cratinus, testibus Polluce l. l., Etymologo v. ἵκος, Suida v. ἱπούμενος, denique Zonara 2. p. 1118. mutavit vocab. pro instituto suo Aristoph. S.: ἱκούμενος. θλιβόμενος ταῖς συντελείαις, ταῖς ἀπαιτήσεσι (pressus tributis, collationibus. Duk. cf. F. A. Wolf. l. l. ad 852. p. XCIV. seqq.), πολλὰ εἰσφέρειν ἀναγκαζόμενος, πιεζόμενος. (ἱκούμενος, pressus, ab ἵκος, prelum.)

860. σπεύσω σε. σπεύσω εἰς σὲ καὶ σπουδάσω. (male. σπ. — ἐγγρ. dictum modo notissimo pro σπ. ὅπως σὺ ἂν ἐγγρ.) ἐπειδὴ οἱ στρατηγοί, ἐχθρούς τινας ἔχοντες πένητας ἐνέγραφον τῷ πρώτῳ τῶν πλουσίων τάγματι, ὅπως μὴ ἀρκοῦντες πρὸς τὰς μεγάλας ζημίας ἄποροι γενήσωνται. (vid. Wolf. l. l.) εὔχομαι δὲ καταρῶμαι. τάγηνον δὲ τήγανον. (Phot. lex. p. 415. τάγηνον. τοῦτο Ἰώνων τινὲς τήγανον λέγουσιν. add. Zonar. 2. 1713, intpp. Moer. p. 362. est sartago, Bratpfanne oder Tiegel. B.) τευθὶς δὲ εἶδος ἰχθύος εὐτελοῦς. (loligo. vid. Ach. 1086.) σίζον δὲ ποιὸν ἦχον ἀποτελοῦν. (notavit Cas., σίζειν [germ. zischen] ap. Hom. [Odyss. ι', 394. add. Zonar. 2. 1648. B.] dici ferrum candens in aquam conjectum, itaque vocabulo σίζος vel hunc vel similem sonum significari.) S.

862. τάγ. τευθίδων, ut χύτρα ἀθάφης Plut. 568. Be.

863. Μιλ. ὡς ἐκεῖθεν δωροδοκοῦντος. μέτοικοι δὲ Ἀθηναίων (imo Ionum ex Attica profectorum. B.) οἱ Μιλήσιοι. S. apparet ex h. l., Milesios Cleonem pretio corrupisse, ut in eorum (suam) gratiam aliquid ab Atheniensibus impetraret. Cas.

864. 867. ἢν κατ. ἐὰν διαπράξῃς ἅπερ αὐτοῖς ἐπηγγείλω. μεθήκοι δὲ μετέλθοι, καλῶν σε δηλονότι. S.

φθαίης ἔτ' εἰς ἐκκλησίαν ἐλθεῖν· ἔπειτα, πρὶν φαγεῖν, i. t.
ἀνὴρ μεθήκοι, καὶ σὺ, τὸ τάλαντον λαβεῖν i. tr.
βουλόμενος, ἐσθίων ἀποπνιγείης. as., 2 i. h.

ΧΟ. εὖ γε νὴ Δία, καὶ τὸν Ἀπόλλω, Aeol. t.
καὶ τὴν Δήμητραν! da. d. h.

ΔΗ. κἀμοὶ δοκεῖ καὶ τἄλλα γ' εἶναι καταφανῶς i. tr.
ἀγαθὸς πολίτης, οἷος οὐδείς πω χρόνου
ἀνὴρ γεγένηται τοῖσι πολλοῖς τοὐβολοῦ·
σὺ δ', ὦ Παφλαγὼν, φάσκων φιλεῖν μ' ἐσκορόδισας.
καὶ νῦν ἀπόδος τὸν δακτύλιον, ὡς οὐκ ἔτι
ἐμοὶ ταμιεύσεις.

ΚΛ. ἔχε· τοσοῦτον δ' ἴσθ', ὅτι,
εἰ μή μ' ἐάσεις ἐπιτροπεύειν, ἕτερος αὖ

868. versus clausulae loco usurpatus in fine τοῦ ἀμοιβαίου μέλους: tertia in ἀποπνιγείης corripitur: vide Pac. 10. etc.

869. ff. metro insolentiore εὖ γε νὴ τὸν Δία, κ. τ. Ἀ.

870. Δήμητραν. forma nota vel ex inscriptionibus hymnorum Homericorum. S., metrum hujus versiculi explicans: τὸ δὲ δεύτερον, inquit, πενθημιμερὲς κοινὸν δακτυλικὸν καὶ (ἢ) ἀναπαιστικόν: quibus verbis firmatur nostra emendatio. libri corrupte Δήμητρα (Δήμητρᾶ, Δήμητρα).

871. καὶ τἄλλα, etiam ceteris in rebus, h. e. plane, prorsus.

872. χρόνου, per tempus, h. e. per omne tempus. S.: οἷος οὐδεὶς ἄλλος γένοιτο ἂν ἐν παντὶ χρόνῳ. Soph. El. 451. μέτεισιν, ὦ τέκνον, οὐ μακροῦ χρόνου, h. e. interprete schol. κολάσει οὐ διὰ μακροῦ χρόνου. cf. Pac. 151.

873. τοῖσι κ. τοὐβ. τοῖς εὐώνοις, τοῖς Ἀθηναίοις. οὕτως γὰρ λέγεται ἐπὶ τῶν πολλῶν τοῦ ὀβολοῦ πωλουμένων. S. Cas.: periphrasis est Atheniensium, quorum in levitatem et imprudentiam jocatur. ait eos esse ejusmodi, qui steterint (stent) inter promercales, ut olim Sardi venales, nec pluris sint aestimandi, plures simul, quam obolo uno. sic gallice: *quatre pour un sol.* et latine: *non facio unius assis.*

874. ἐσκορ. ἀήθισας καὶ ἐπίκρανας, ἢ ἐδρίμυξας, ἢ πλαῦσα κεκοίηκας, [ἢ] ἀπὸ τῶν τὰ σκόροδα τριβόντων. S. hoc verum puto, nec negaverim, quod in mentem venit Bergelero, hoc vocabulo rideri τὴν συκοδάλμην, quam superius dixit 199.

875. sequ. S.: ἐμοὶ ταμ. ὡς οὐκέτι ἐπιμελήσῃ τῶν ἐμῶν χρημάτων, οὐδὲ ταμίας μοι ἔσῃ — . — ὁ δακτύλιος δὲ, ὃν ἐφόρει τῆς ἀρχῆς ὄντα σημεῖον. „ut in re privata annulus est symbolum dominii (unde ap. vett. morituri heredem designabant traditione annuli, cujus rei multa exempla ap. historicos et in Pandectis), sic in rebus publ. magistratus nomen jam olim fuit, cui graece nomen σφραγιδοφύλαξ, quasi custos annuli, qui publicum annulum in sua potestate habet. hic vero poëta alludit ad annulos privatarum domuum. nam ut ademtis clavibus uxor potestate sua privabatur, sic *promus condus* administratione penus privabatur ademtione annuli, et procurator domus administratione rationum heri privabatur ademto annulo signatorio.“ *Cas.* nempe Demos tanquam herus spectatur, cujus domesticis rebus Cleon at dispensator praefuerit. B. (cf. 698, 888.) de annulis signatoriis vidd. praeter alios Robortell. Annott. 2, 7. et Marcelli Donat. Dilucidd. in Sueton. c. 73., quae scripta leguntur in Lampadis Gruter. tomis 2. et 6.

πανουργότερος ἐμοῦ τις ἀναφανήσεται.
ΔΗ. οὐκ ἔσθ' ὅπως ὁ δικτύλιός ἐσθ' οὑτοσὶ
880 οὑμός· τὸ γοῦν σημεῖον ἕτερον φαίνεται,
ἀλλ' ἢ οὐ καθορῶ.
ΑΛ. φέρ' ἴδω, τί σοι σημεῖον ἦν;
ΔΗ. δημοῦ βοείου θρῖον ἐξωπτημένον.
ΑΛ. οὐ τοῦτ' ἔνεστιν.
ΔΗ. οὐ τὸ θρῖον; ἀλλὰ τί;
ΑΛ. λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.
885 ΔΗ. αἰβοῖ τάλας . . .
ΑΛ. τί ἐστιν;
ΔΗ. ἀπόφερ' ἐκποδών·
οὐ τὸν ἐμὸν εἶχεν, ἀλλὰ τὸν Κλεωνύμου.
παρ' ἐμοῦ δὲ τουτονὶ λαβὼν ταμίευέ μοι.
ΚΛ. μὴ δῆτά πω γ', ὦ δέσποτ', ἀντιβολῶ σ' ἐγώ,
πρὶν ἄν γε τῶν χρησμῶν ἀκούσῃς τῶν ἐμῶν.
890 ΑΛ. καὶ τῶν ἐμῶν νυν.
ΚΛ. ἀλλ' ἐὰν τούτῳ πιθῇ,
μολγὸν γενέσθαι δεῖ σε.
ΑΛ. κἄν γε τουτωΐ,
ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυῤῥίνου.

878. ll. deteriore loco posita voce καν., numerisque minus modulatis, ἐμοῦ πανουργότερός τις ἐπ. S.: ἐμοῦ παν. ἑαυτὸν διαβάλλει ὁ Κλέων, ἐκείνῳ ψόγον ἐπιφέρειν βουλόμενος.

881. ἀλλ' οὐ κ., nisi parum video, vel sed parum video. v. Herm. ad Viger. ann. 277.

882. παρὰ τὸν δῆμον ἐποίησε δημὸν ὀξυτόνως, ἐπειδὴ τῷ θρίῳ περιβάλλοντες τὸ λίπος ὤπτων. θρῖον δὲ τὸ τῆς συκῆς φύλλον. — λέγει δὲ καὶ ταῦτα, ἐπειδὴ ὡς ἐναίσθητον διαβάλλει τὸν δῆμον. S. cf. Ran. 134.

884. λάρος κ.τ.λ. τὸν Κλέωνα λέγει παρὰ τὸ ἁρπακτικόν. — καὶ ὁ λάρος γὰρ ζῶόν ἐστιν ἁδηφάγον. (vib. Av. 541.) τὴν δὲ πέτραν διὰ τὸ βῆμα τὸ ἐν τῇ Πνυκί. (cf. 700. etc.) S.

886. ὡς δακτυλιῶν, καὶ ἐν τρυφῇ ζῶντα (cf. 1189.), κωμῳδεῖ καὶ διαβάλλει τὸν Κλεώνυμον, καὶ ἅρπαγα· εἰκὼν γὰρ λάρος ἐπήνεγκε τὸν Κλεωνύμου.

889. de hisce oraculis vide annot. ad 61.

891. μολγόν. fellatorem. obscoenitatem hic latere, ostendit antagonistae responsio. E Br. cf. 926.

892. μέχρι τοῦ μυῤῥ. μέχρι τῆς κεφαλῆς, ἐπειδὴ οἱ ἄρχοντες (aliique, praesertim in conviviis,) μυῤῥίνῃ ἐστεφανοῦντο. ἢ ἀπὸ τοῦ σκολύφθαι τὸ αἰδοῖον εἰς τέλος, καὶ ὁλόκληρον. μύρτον δὲ πεποικιλμένον ἐκάλουν οἱ παλαιοὶ τὸ γυναικεῖον αἰδοῖον. S. est etiam ap. Suid. in ψωλός, ubi describitur S., et in Append. Vat. Prov. 4, 49. K., reprehendens Frischlini metaphrasin (hernionem te fieri oportet usque ad caput), ait vertendum fuisse: „nudandum tibi est veretrum usque ad

ΚΛ. ἀλλ' οἵ γ' ἐμοὶ λέγουσιν, ὡς ἄρξαι σε δεῖ
χώρας ἁπάσης, ἐστεφανωμένον ῥόδοις.
ΑΛ. οὐμοὶ δέ γ' αὖ λέγουσιν, ὡς ἀλουργίδα
ἔχων κατάπαστον καὶ στεφάνην ἐφ' ἅρματος
χρυσοῦ διώξεις Σμικύθην καὶ κύριον.
ΚΛ. καὶ μὴν ἔνεγκ' αὐτοὺς ἰών, ἵν' οὗτοσὶ
αὐτῶν ἀκούσῃ.
ΑΛ. πάνυ γε.
ΔΗ. καὶ σύ νυν φέρε.
ΚΛ. ἰδού.
ΑΛ. ἰδοὺ νὴ τὸν Δί'· οὐδὲν κωλύει.
ΧΟ. ἥδιστον φάος ἡμέρας ἔσται τοῖσι παροῦσι, pri. προῳδ.
καὶ τοῖσίν γ' ἀφικνουμένοις, ἣν Κλέων ἀπόληται,

myrtum" sive *pilos*, i. e. *a summo usque ad imum*. „nam μύῤῥινος," inquit, „quod idem est ac μυῤῥίνη, hic accipitur pro pilis, quibus inferior pars nervi obsita est." at Duk.: „velim scire, unde ipsi constet, verborum μύῤῥινος vel μυῤῥίνη hanc significationem esse ap. Gr., quam ego nusquam reperio. S. et Suid. itemque Cas. accipiunt de capite; quod etsi dure dictum est, tamen verius esse puto: nam est dictum παρὰ προσδοκίαν turpi joco, *nudandus tibi est penis ad usque caput* pro ad imam usque partem, quod expectari poterat."

895. ἀλ. πορφυρᾶν χλανίδα. — S. Zonar., annotante B., 1. p. 128.: ἀλουργίς: πορφυρᾶ χλανίς, ἐκ τοῦ ἅλς, ἁλὸς, καὶ τοῦ ἔργον, ἡ ἀπὸ τοῦ θαλασσίου κόχλου γινομένη.

896. κατάπαστον. cf. 466. Cas.: — hic poëta describit speciem quandam triumphi, cujus spem facit Atheniensibus allantopola ex suis oraculis. quanquam Graeci triumphos nullos noverunt, nisi quos ἱερονῖκαι agebant, post coronam partam redeuntes in patriam.

897. διώξεις. ambigue dictum. hostis tum fuisse Atheniensium videtur Smicythes, Thracum rex. eum igitur persequetur atque debellabit bonus vir Demus, si quid isiciario credendum est. sed etiam juridica vox est διώκειν, quo pertinent verba καὶ κύριον. S.: ὥσπερ ἐν ταῖς εἰσαγωγαῖς τῶν ἐγκλημάτων κηρύττειν εἰώθασιν, ἐπειδὰν γυναικὶ ἐπιφέρηται ἔγκλημα. οὕτω γὰρ προκαλεῖσθαι εἰώθασιν ἐν τῷ δικαστηρίῳ „ἦ δεῖνα καὶ ὁ κύριος," τουτέστιν ὁ ἀνήρ. ἅμα οὖν ὡς γυναικώδη τὸν Σμικύθην κωμῳδεῖ, καὶ ἔχοντα κύριον, ὡς αἱ θήλειαι. ὁ δὲ Σμικύθης Θρᾳκῶν βασιλεύς. —

900. ἰδού. vox obedientis. — his dictis uterque abit domum suam, oracula petiturus; Chorus autem carmine jocoso gratulatur civitati cladem imminentem Cleonis.

901. ad 912. etiam h. l. versiculos quam versus usurpare maluerunt cum librarii, tum editores, saepius quidem in duo distractis vocabulis invito Hephaestione. cf. 284., 354. etc. 901. D. τοῖσι παρ. πᾶσιν. qui etiam haec novissime in stropham et antistropham distribuit, quarum illa finitur vocabulo τορύνη. in libris nulla est distinctio.

902. ll. metro minus verisimili κ. τοῖσιν ἀφικνουμένοισιν. — S.: τοῖσιν ἀφικνουμένοις. ἢ τοῖς μετὰ ταῦτα ἐσομένοις, ἢ καὶ τοῖς ἐπιδημοῦσι τῶν ξένων, ἵν' ἐπιδεικνύῃ τὸν Κλέωνα πᾶν τοὐτῳ πονηρὸν, ὅτι μηδὲ τούτων φείδεται, ἀλλ' ἐπίσης ἅπαντας συκοφαντεῖ.

καίτοι πρεσβυτέρων τινῶν ἐν τῷ Δείγματι τῶν δικῶν οἵων
ἀργαλεώτατον
as., 3 gl. στ. ά.
ἤκουσ' ἀντιλεγόντων, pherecr.
905 ὡς, εἰ μὴ 'γένεθ' οὗτος ἐν τῇ πόλει μέγας, οὐκ ἂν ἦστην
σκεύη δύο χρησίμω,
δοίδυξ, οὐδὲ τορύνη.
ἀλλὰ καὶ τόδ' ἔγωγε θαυμάζω τῆς ὑομουσίας as., 2 gl.
στ. β'.
αὐτοῦ· φασὶ γὰρ αὐτὸν οἱ παῖδες, οἳ ξυνιφοίτων, pri.
τὴν δωριστὶ μόνην ἂν ἁρμόττεσθαι θαμὰ τὴν λύραν,
ἀντ. β', 1.
910 ἄλλην δ' οὐκ ἐθέλειν λαβεῖν· κἄτα τὸν κιθαριστὴν

903. vulgo κ. πρ. τ. οἵων ἀργαλεωτάτων ἐν τῷ δείγματι τῶν δικῶν ἤκ. ἀντιλ., in quibus nec probandum est ἀργαλεωτάτων, et verba ἐν τῷ Δείγματι ita trajecta sunt (per hallucinationem, puto, librarii), ut aegre intelligas, quid sibi velint. ordo: καίτοι ἤκουσ' ἐν τῷ Δ. πρ. τιν. οἵων ἀργαλεώτατον (i. e. ἀργαλεωτάτως) ἀντιλ. τῶν δικῶν (i. e. τὰς δίκας, *quod attinet ad lites*, in litibus). in loco illo Piraei se audivisse Chorus ait senes quosdam acerrime litigare solitos, qui tamen in hoc consentirent, ὡς, εἰ μὴ etc. S.: — ἐν τῷ δείγματι, ἐν τῷ Πειραιεῖ, ὅπου δικάζουσιν, (?) ἐπεὶ ἐκεῖ οἱ ἔμποροι τὰ δείγματα τῶν πωλουμένων ἐτίθεσαν. (de hoc loco praeter Jungermannum ad Polluc. 9, 34. aliosque exposuit Boeckh. in libro germ. *Staatsh. der Athener* 1. p. 64.) ἅμα δὲ ἔσκωψε τὸ φιλόδικον τῶν Ἀθηναίων. (quod etiam in Vespis deridetur.)

905. codd. metro nullo γένοιθ'. Suid. MS. in δοίδυξ: μήγεθ'. — „sensus est: si Cleon in rep. non fuisset, reip. carendum fuisset *pistillo* et *trua*, quae sunt vitae duo utilia instrumenta." — *Cas.* Zonar. 1, 560. δοίδυξ, κοχλιάριον. παρὰ τὸ δαδύσσω (δοιδύσσω), τὸ ταράσσω. add. Etym. p. 289. nostris *Mörserkeule*, et τορύνη *Rührkelle*. (S.: τορύνη δὲ τὸ κινητήριον τῆς χύτρας.) B. conferri jussit Be. similia de Cleone Pace, 268. seqq., et illa de sycophanta, qualis et ille fuit, Ach. 883. τριπτὴρ δικῶν, — καὶ κύλιξ τὰ πράγματ' ἐγκυκᾶσθαι. vide etiam Pac. 625. seqq.

907. — τῆς ὑομ. τῆς χοιρωδείας, τῆς ἀπαιδευσίας. καὶ ὑηνία ἡ μωρία, ὡς ἀλλαχοῦ Ἀριστ. (Pac. 874.) ἵνα μὴ γένηται θεαγένους ὑηνία. — S.

908. οἳ ξυν. οἱ συμμαθόντες. S.

909. codd. hiante versu μόνην ἁρμ. D., nescio unde, ἐναρμόττεσθαι. „τὴν δωρ. scil. ἁρμονίαν. *lyram soli harmoniae doricae aptare consuevisse.*" — K. S.: τῷ ὀνόματι παίζει διὰ τὸ δωροδοκεῖσθαι. — δώριος δὲ [οὕτω] καλεῖται μία τῶν ἁρμονιῶν. ὡς καὶ λύδιος, καὶ φρύγιος, καὶ βοιώτιος. (?) vidd. Boeckh. de metris Pindari lib. 3. c. 8. et Thiersch. isagog. ad Pindari interp. germ. p. 39. seqq.

910. λαβεῖν Suid. in δωριστὶ et τὴν δωριστὶ, quod commendatum a Porsono in ordinem recepit Dind. vulgo μαθεῖν, ut 912., quo aberravisse Porsono videtur oculus librarii. pridem monuerat Duk., Graecos λαμβάνειν dicere pro μανθάνειν.

ὀργισθέντ' ἀπάγειν κελεύειν, ὡς ἁρμονίαν ὁ παῖς ἀντ. β', 2.
οὗτος οὐ δύναται μαθεῖν, ἢν μὴ δωροδοκιστί.

912. δωριστὶ, δωροδοκιστί. παρήχησις. ita Suid. v. δωριστὶ, quod merito placuit Bentlejo et Schneidero in lex. gr. v. δωροδοκιστὶ, quamvis inusitatum est verbum δωροδοκίζειν, ridicule illud fictum, a quo derivaretur δωροδοκιστὶ, h. e. more τῶν δωροδοκιζόντων, quemadmodum δωριστὶ, βαρβαριστὶ, ἑλληνιστὶ, a δωρίζειν, βαρβαρίζειν, ἑλληνίζειν. δωροδοκηστὶ 3 MSS. et edd. primariae, temere Brunckio aliisque audientibus. — de duabus unius strophae antistrophis cf. Ran. 767. seqq., Ach. 792. seqq. etc.

ΚΛΕΩΝ. ΑΛΛΑΝΤΟΠΩΛΗΣ. ΔΗΜΟΣ. ΧΟΡΟΣ.

ΚΛ. Ἰδοὺ, θέασαι· κοὐχ ἅπαντας ἐκφέρω. i. tr.
ΑΛ. οἴμ', ὡς χεσείω· κοὐχ ἅπαντας ἐκφέρω.
ΔΗ. ταυτὶ τί ἐστι;
ΚΛ. λόγια πάντ'.
ΔΗ. ἐθαύμασα.
ΚΛ. καὶ νὴ Δί' ἔτι γε μοῦστι κιβωτὸς πλέα.
ΑΛ. ἐμοὶ δ' ὑπερῷον καὶ ξυνοικία δύο.
ΔΗ. φέρ' ἴδω, τίνος γάρ εἰσιν οἱ χρησμοί ποτε;
ΚΛ. οὑμοὶ μέν εἰσι Βάκιδος.
ΔΗ. οἱ δὲ σοὶ τίνος;
ΑΛ. Γλάνιδος, ἀδελφοῦ τοῦ Βάκιδος γεραιτέρου.
ΔΗ. εἰσὶν δὲ περὶ τοῦ;
ΚΛ. περὶ Ἀθηνῶν, περὶ Πύλου,

913. κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. — ὁ δὲ Κλ. ἔξεισιν ἐπὶ τῶν μεταφρένων ἀγγεῖον φέρων πεπληρωμένον χρησμῶν, καὶ λέγει, ὅτι τοσοῦτον ἄχθος βαστάζων ὅμως ἅπαντας ἐξάγειν οὐκ ἠθυνήθην τοὺς χρησμούς. καὶ ὁ ἕτερος ὁμοίως τὸ αὐτὸ ποιεῖ· τοῦτο γὰρ ἐπηγγελμένοι εἰσῆλθον, ἐξοίσειν τοὺς χρησμούς, οὓς ἔχουσι περὶ τοῦ δήμου. S. cf. 61., 116. etc.

914. ὡς χεσείω. aliquid τῶν εἰωθότων, quae ipse contemnit initio Ranarum.

915. sequ. vulgo: — *ΚΛ.* λόγια. *ΔΗ.* πάντ'; *ΚΛ.* ἐθαύμασας; καὶ νὴ Δί' etc., putide quidem quaerente Populo πάντα; recte autem respondente Cleone λόγια πάντα, eoque audito Populus ἐθαύμασα, quod eleganter dictum pro θαυμάζω (v. Herm. ad Viger. ann. 162., Matth. gr. §. 506.) cum non intelligerent scribae mutaverint. certe friget ἐθαύμασας; neque apte cohaeret cum verbis καὶ — πλέα.

917. ὑπερ. ἀνώγαιον. gl. Victor. S.: δυϊκῶς ἐπήγαγε τὰ ξυνοικία. λέγονται δὲ ξυνοικίαι καὶ (ἢ) αἱ μικραὶ (?) οἰκίαι καὶ ἀποστάσεις, ἢ οὓς νῦν φανόπτας φαμέν. cf. Schneideri lex. vv. συνοικία et φανόπτης.

919. de Bacide vide 123.

920. Γλάνιδος. ἔπαιξε πρὸς τὴν κατάληξιν τὸν Βάκιν καὶ τὸν Γλάνιν

περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων.
ΔΗ. οἱ σοὶ δὲ περὶ τοῦ;
ΛΑ. περὶ Ἀθηνῶν, περὶ φακῆς,
περὶ Λακεδαιμονίων, περὶ σκόμβρων νέων,
925 περὶ τῶν μετρούντων τἄλφιτ' ἐν ἀγορᾷ κακῶς,
περὶ σοῦ, περὶ ἐμοῦ. — τὸ πέος οὗτοσὶ δάκοι.
ΔΗ. ἄγε νυν ὅπως αὐτοὺς ἀναγνώσεσθέ μοι,
καὶ τὸν περὶ ἐμοῦ Ἀχεῖνον, ᾧπερ ἥδομαι,
ὡς ἐν νεφέλῃσιν ἀετὸς γενήσομαι.
930 ΚΛ. ἄκουε δὴ νῦν καὶ πρόσεχε τὸν νοῦν ἐμοί.
Φράζευ, Ἐρεχθείδη, λογίων ὁδὸν, ἣν σοι Ἀπόλλων hex. her.
ἔαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων.
σώζεσθαί σ' ἐκέλευσ' ἱερὸν κύνα καρχαρόδοντα,
ὃς πρὸ σέθεν χάσκων, καὶ ὑπὲρ σοῦ δεινὰ κεκραγὼς,

εἰπών. ἔστι δὲ εἶδος ἰχθύος ὁ γλάνις. (ex genere piscium rapacium, *silurus glanis* Linn., *der Wallerfisch*, francogall. *silure*, angl. *shad-fish*. vide *Müllers Natursystem* 4. Th. S. 290.) — S.

923. φακῆς. iste Allantopola, ut commendet sua oracula, esse scripta ait de variis edulibus, ut de lente, scombris etc. lentem Athenn. valde amabant, et fere ex Aegypto allata utebantur. *Cas.*: cf. Plut. 192. et Billerbeck. Flor. class. p. 191.

924. εἶδος ἰχθύων οἱ σκόμβροι, παρόμοιοι τοῖς μικροῖς θύννοις. (*scomber scomber* Linn., *die Makreele*, fr. *maquereau*, angl. *mackerel*. vidd. Müller. l. l. p. 257., Camus ad Aristot. H. A. t. 2. p. 496.) νέων δὲ νεωστὶ τεταριχευμένων. (?) ἔπαιξε δὲ, ὡς μάγειρος. S.

926. τὸ πέος τὸ ἐμὸν οὗτοσὶ δάκοι. optat isiciarius, ut ore sibi morigeretur Cleon; quod genus spurcae libidinis adamasse dicitur improbus homo supra 890. nostratis quis plebeculae haud impudentius n — s sibi l — e adversarium jussisset.

928. sequ. de hoc oraculo celeberrimo cf. 1003. sequ., Av. 915., 924. „Aristides in Panathenaïco circa finem (ed. Jebb. 1. p. 196.) ἀετόν τε ἐν νεφέλαις αὐτὴν ὁ Θεὸς καλεῖ πρὸς τἄλλα πολίσματα." — *Be.*

Ἐρεχθ. notum, ita vocari Athenn. ab Erechtheo, antiquissimo eorum rege, sicut Cecropidas a Cecrope, Aegidas ab Aegeo, etc. cf. inferius 971., 983. Soph. Ajac. 199., Eurip. Med. 787. etc. Cas.: praeclare poëta imitatur et verba et stilum Apollinis Loxiae etc. Be. conferri jussit Herod. 8, 20. oraculum Cadmo datum, quod servavit S. ad Ran. 1249. (1160.) et Euripidis ad Phoen. 603., ita incipit: φράζεο δή μοι μῦθον, Ἀγήνορος ἔκγονε Κάδμε, etc. K.: „λογίων ὁδόν. modum et rationem oraculorum." — ita ὁδὸν λόγων Pac. 708. et alia sexcenta dicuntur, quae fere sunt intelligenda περιφραστικῶς: nam eodem propemodum sensu dixisset λόγιον, ὅ σοι Ἀπόλλων etc.

932. ἔαχεν, *edidit.* proprie vox dicitur Ran. 216. Cas.: ἄδυτον intelligit specum, in quam descendebant prophetissae etc. S.: — ἐριτίμων δὲ πάνυ τιμίων. τὸ γὰρ ἐρι ἐπίῤῥημά ἐστιν ἐπιτάσεως, ὡς τὸ ἐριβώλακα καὶ ἐρικυδέα, τὴν μεγάλως ἔνδοξον. —

933. καρχ. τραχεῖς ὀδόντας ἔχοντα. — S.

934. πρὸ σέθεν, ut πρὸ σοῦ γὰρ ἀπόν 939. ita scribendem esse (nam libri πρόσθεν), jam olim significavimus, adstipulante Dobraeo; nec aliter amicus Porsoni, Bekk., D. χάσκων, quod idem τῷ χαίνων, Rav.;

σοι μισθὸν ποριεῖ. κἂν μὴ δρᾷς ταῦτ', ἀπολεῖται·
πολλοὶ γὰρ μίσει σφε κατακρώζουσι κολοιοί.
ΔΗ. ταυτὶ μὰ τὴν Δήμητρ' ἐγὼ οὐκ οἶδ' ὅ τι λέγει· i. tr.
τί γάρ ἐστ' Ἐρεχθεῖ καὶ κολοιοῖς, καὶ κυνί;
ΚΛ. ἐγὼ μέν εἰμ' ὁ κύων· πρὸ σοῦ γὰρ ἀπύω·
σοὶ δ' εἶπε σώζεσθαί μ' ὁ Φοῖβος τὸν κύνα.
ΑΛ. οὐ τοῦτό φησ' ὁ χρησμὸς, ἀλλ' ὁ κύων ὁδί,
ὥσπερ θύρας, σου τῶν λογίων παρεσθίει.
ἐμοὶ γὰρ ἔστ' ὀρθὸς περὶ τούτου τοῦ κυνός.
ΔΗ. λέγε νυν· ἐγὼ δὲ πρῶτα λήψομαι λίθον,
ἵνα μή μ' ὁ χρησμὸς ὁ περὶ τοῦ κυνὸς δάκῃ.
ΑΛ. Φράζευ, Ἐρεχθείδη, κύνα Κέρβερον ἀνδραποδιστὴν, hex. her.
ὃς κέρκῳ σαίνων σ', ὁπόταν δειπνῇς, ἐπιτηρῶν
ἐξέδεταί σου τοὔψον, ὅταν σύ που ἄλλοσε χάσκῃς·
ἐσφοιτῶν τ' ἐς τοὐπτάνιον λήσει σε κυνηδὸν
νύκτωρ τὰς λοπάδας καὶ τὰς νήσους διαλείχων.
ΔΗ. νὴ τὸν Ποσειδῶ πολύ γ' ἄμεινον, ὦ Γλάνι! i. tr.

C Paris., quem librum sequitur Br., λάσκων: vulgo δάκνων, quod superscriptum in C codice. cf. 948. Br. ἐπὲρ σέο.

935. etiam hic vulgatum δρᾷ emendavimus, itidem probante Dobraeo. inepte canis dicitur periturus, nisi ipse haec faciat, ἐὰν μὴ δρᾷ ταῦτα: sed aptum κἂν μὴ δρᾷς ταῦτα, *et nisi haec facias*, nisi eum serves, *peribit*.

936. S.: — οἱ ἄλλοι ῥήτορες κράζουσι, καὶ θορυβοῦσι. B.: proprium graculorum est κρώζειν. vide Av. 2.

938. *quid enim rei est Erechtheo cum graculis et cane?* B. Ἐρεχθεῖ, quasi ipse Erechtheus appellatus fuerit 931.

939. — πρὸ σοῦ ἀπύω, ἀντὶ τοῦ ὑπὲρ σοῦ ὑλακτῶ. S.

942. ὥσπερ θύρας. (genit.) οἱ γὰρ ἀποκλειόμενοι κύνες τὰς θύρας παρεσθίουσι, βουλόμενοι ἑαυτοῖς ποιῆσαι ἔξοδον. ὁ χρησμὸς δ' ὁ περὶ τοῦ κυνὸς ἀντὶ τοῦ ὁ ἐν τῷ χρησμῷ κύων. S. sensus: quemadmodum canes ad fores vincti solent arrodere postes, praesertim irritati, sic iste oracula de te arrodit, neque integra tibi proponit. *Cas.*

943. ὀρθὸς χρησμός. obscure ll. ὀρθῶς.

944. Consimilis jocus est Plauti Asin. 2, 2. in fine: *Nimis vellem habere perticam, — qui verberarem Asinos, si forte occoeperint clamare hinc ex crumena.* Br.

946. ἀνδραπ. σωματέμπορον, τοὺς ἐλευθέρους καταδουλούμενον. (Voss.: *den Seelenverkäufer.*) S. notavit Be., etiam in Pace 313. Cleonem Cerberum appellari, quod eo aptius nomen h. l. propterea, quia se ipse canem esse dixit.

949. ἐς τοὐπτ. ἀντὶ τοῦ ἐπὶ τὸ πρυτανεῖον εἰπεῖν, εἶπεν ἐς τοὐπτανεῖον, τουτέστι τὸ μαγειρεῖον. S.

950. καὶ τὰς νήσους διαλ. ὅτι ἀντὶ τοῦ εἰπεῖν τὰς χύτρας (ut τὰς λοπάδας, *patinas*: vid. Plut. 808.), παρ' ὑπόνοιαν εἶπε τὰς νήσους, τουτέστι τοὺς τῆς πόλεως πόρους διαρπάζων, καὶ τοὺς νησιώτας διασείων. S.

ΚΛ. ὦ 'τὰν, ἄκουσον, εἶτα διάκρινον τότε.
Ἔστι γυνὴ, τέξει τε λέονθ' ἱεροῖς ἐν Ἀθήναις, hex. her.
ὃς περὶ τοῦ δήμου πολλοῖς κώνωψι μαχεῖται,
ὥστε περὶ σκύμνοισι βεβηκώς· τὸν σὺ φύλασσε,
τεῖχος ποιήσας ξύλινον πύργους τε σιδηροῦς.
ταῦτ' οἶσθ' ὅ τι λέγει;
ΔΗ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔκ. i. tr.
ΚΛ. ἔφραζεν ὁ θεός σοι σαφῶς σώζειν ἐμέ·
ἐγὼ γὰρ ἀντὶ τοῦ λέοντος εἰμί σοι.
ΔΗ. καὶ πῶς μ' ἐλελήθης Ἀντιλέων γεγενημένος;
ΑΛ. Ἓν οὐκ ἀναδιδάσκει σε τῶν λογίων ἑκών,
ὃ μόνον σιδηροῦν τεῖχός ἐστι καὶ ξύλων,
ἐν ᾧ σε σώζειν τόνδ' ἐκέλευσ' ὁ Λοξίας.
ΔΗ. πῶς δῆτα τοῦτ' ἔφραζεν ὁ θεός;
ΑΛ. τουτονὶ
δῆσαί σ' ἐκέλευε πεντεσυρίγγῳ ξύλῳ.
ΔΗ. ταυτὶ τελεῖσθαι τὰ λόγι' ἤδη μοι δοκεῖ.
ΚΛ. μὴ πείθου (φθονεραὶ γὰρ ἐπικρώζουσι κορῶναι), hex. her.
ἀλλ' ἱέρακα φίλει μεμνημένος ἔν φρεσὶν, ὅς σοι

952. ὦ 'τάν. vid. annot. ad Plut. 66.

954. κώνωψι. τοῖς ῥήτορσιν. — S. περὶ pro ὑπὲρ epicae dictioni inprimis est proprium. v. Fisch. et Kuin. Anim. ad Well. 4, 216. B.

955. ὡς (sic) περὶ σκ. ὡς λέων ὑπερμαχῶν σκύμνων. S. B.: sensus: *veluti catulos suos defendens.* ita ἀμβιβεβηκέναι ap. Hom.

956. τεῖχος ξύλινον, ut in oraculo illo ap. Herod. 7, 141. S.: — οὗτος δὲ ὁ χρησμὸς ἐπιόντος τοῦ βαρβάρου ἐδόθη. ἀγνοούντων δὲ αὐτῶν, καὶ βουλομένων ξυλίνῳ τείχει τὴν πόλιν τειχίσαι, Θεμιστοκλῆς ὁ στρατηγὸς νοήσας τὸν χρησμὸν εἶπε τεῖχος τὰς ναῦς λέγειν. ἐστὶ δὲ ὁ χρησμὸς τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς κ. τ. λ. πύργους σιδηροῦς τὰ ὅπλα λέγει. (sed h. l. vox proprie intelligenda est. *turrim aheneam* dixit Flaccus Od. 3, 16, 1. nec τεῖχος ξύλινον aliud est quam valli, quibus leonem istum cingi ac bene servari jubet oraculum.)

957. ταῦτ' ο. ὅ τι λέγει haec verba, quae sub Demi, vel isiciarii, nomine legebantur, Cleoni tribuit Dind. auctore Passovio. cf. locum simillimum 986. Bekk.: ΔΗ. τ. ο. ὅ τι λέγει; ΑΛ. μὰ — οὔ. ΚΛ. ἔφραζεν etc.

960. Ἀντιλέων, οὗτος πονηρὸς κωμῳδεῖται, καὶ πολυπράγμων. — S. homo alias incognitus, et fortasse fictum nomen ridiculi causa.

962. ξύλων A Paris. et B. a manu 1.; S. in lemmate ξύλινον, quae est interpretatio verbi ξύλων. vulgo ξύλον.

965. πεντεσυρ. πέντε ὀπὰς ἔχοντι, δι' ὧν οἵ τε πόδες, καὶ αἱ χεῖρες, καὶ ὁ τράχηλος ἀνεβάλλετο. S. cf. Petit. ad Legg. att. p. 870. et G. G. S. Köpkei librum germ. de legg. Gr. p. 723.

967. — κορώνας φησὶ τοὺς ἐχθροὺς (sicut supra κολοιοὺς et κώνωπας 937., 954.), ἑαυτὸν ἱέρακα. — S. similia Pindari Ol. 2, 154. seqq. laudavit Be.

968. μεμνημένος cum accus., ut

ἤγαγε συνδήσας Λακεδαιμονίων κορακίνους.
ΑΛ. τοῦτο γέ τοι Παφλαγὼν παρεκινδύνευσε μεθυσθείς.
Κεκροπίδη κακόβουλε, τί τοῦθ' ἡγεῖ μέγα τοὔργον;
καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη,
ἀλλ' οὐκ ἂν μαχέσαιτο· χέσαιτο γὰρ, εἰ μαχέσαιτο.
ΚΛ. ἀλλὰ τόδε φράσσαι, πρὸ Πύλου Πύλον ἦν σοι ἔφραζεν·
Ἔστι Πύλος πρὸ Πύλοιο...
ΔΗ. τί τοῦτο λέγει πρὸ Πύλοιο;
ΑΛ. τὰς πυέλους φησὶν καταλήψεσθ' ἐν βαλανείῳ.
ΔΗ. ἐγὼ δ' ἄλουτος τήμερον γενήσομαι. i. tr.
ΑΛ. οὕτως γὰρ ἡμῶν τὰς πυέλους ἀφαρπάσει.
ἀλλ' οὗτοσὶ γάρ ἐστι περὶ τοῦ ναυτικοῦ
ὁ χρησμὸς, ᾧ σε δεῖ προσέχειν τὸν νοῦν πάνυ.
ΔΗ. προσέχω· σὺ δ' ἀναγίγνωσκε, τοῖς ναύταισί μου

saepius: vide Matth. gr. §. 325. annot.

969. S.: κορακῖνος εἶδος ἰχθύος (genus piscium gregalium, quales sunt thynni, aleces, aliique. vide Aristot. H. A. 9, 2. et ejus interpp. Gaza in interp. lat. vocat corvulos vel gracilos; sed retinent fere Latini nomen gr.) ἔπαιξε δὲ ἀντὶ τοῦ κούρους. (?) quemadmodum supra 560. Corinthios cum cancris comparavit, ita h. l. per ridiculum captos Lacedaemonios vocat coracinos, ut quos velut pisces ceperit in insula Sphacteria. nescio cur nonnulli malint intelligi corvorum pullos, quos poëta dixisset, puto, κορακίσκους. de istis captivis v. argum. comoediae.

970. παρεκινδ. πέρας γὰρ ὑπέθετο τοῖς Ἀθηναίοις ὁ Κλέων κατορθῶσαι τὸν ἐν Πύλῳ πόλεμον ἕως ἡμερῶν κ', καὶ θαυμάσαντες πάντες ἔλεγον αὐτὸν μεθύειν. καὶ Θουκυδίδης δέ φησιν (4, 39. cf. 28. extrem.), ὅτι τῇ ἀπονοίᾳ (fort. τὴν ἀπόνοιαν) τῆς ὑποσχέσεως ἐθαύμαζον οἱ Ἀθηναῖοι καὶ ἐγέλων. S.

971. Κεκρ. cf. 932. de Atheniensium κακοβουλίᾳ vide, quos laudarunt, ipsum hunc nostrum Nub. 571., Eccles. 137. et Eustath. ad Iliad. β'. p. 185. in fine; quibus addi possunt Acharn. 595., ubi audiunt ταχύβουλοι, Eurip. Suppl. 307., Heracl. 147.

972. — ταῦτα λέγει διὰ τὰ ἐν Πύλῳ, ἃ Δημοσθένης μὲν προήνυσεν, οὗτος δὲ (Cleon) ἰδιοποιήσατο. S.

974. revocat Atheniensibus in mentem Cleon oraculum vetus ἔστι Πύλος πρὸ Πύλοιο· Πύλος γε μέν ἐστι καὶ ἄλλη. (erant 3 urbes hujus nominis. vid. Steph. Byz. in Κορυφάσιον, quem locum indicavit K. Be.) hoc ideo, ut immoretur sermoni rerum a se gestarum ad Pylum; sed isiciarius Πύλον et πύελον confundens salse traducit Cleonem. — Cas. S.: πρὸ Πύλου Πύλον. πρὸς τὴν καταίληξιν ἔπαιξεν, ὅτι ἀεὶ προσκορής ἐστι περὶ Πύλου λέγων. cf. 1060.

976. τὰς πυέλους. τὰς ἐμβάσεις. πύελος γὰρ ὄρυγμα, (ἢ) ἐμβατὴ, ἔνθα ἀπολούονται (excerpsit haec Phot. p. 349. alia habent Etym. p. 696. et Zonar. 2, 1594., ut annotavit B. eine Badewanne.) ἀντὶ τοῦ τὴν ἐν Πύλῳ πρᾶξιν Δημοσθένους. S. B.: „καταλήψεσθαι est se occupaturum, itaque populo praecepturum."

978. Rav., Bekk., D. οὗτος γ. — ἀφήρπασεν. sed languet οὗτος, et modo hoc futurum esse dixit 976.

ὅπως ὁ μισθὸς πρῶτον ἀποδοθήσεται.
ΑΛ. Αἰγείδη, φράσσαι κυναλώπεκα, μή σε δολώσῃ, hex. her.
λαίθαργον, ταχύπουν, δολίαν, κερδὼ πολυϊδρίν.
οἶσθ' ὅ τί ἐστιν τοῦτο;
ΔΗ. Φιλόστρατος, ἡ κυναλώπηξ.
ΑΛ. οὐ τοῦτό φησιν, ἀλλὰ ναῦς ἑκάστοτε i. tr.
αἰτεῖ ταχείας ἀργυρολόγους ὑστοσί·
ταύτας ἀπαυδᾷ μὴ διδόναι σ' ὁ Λοξίας.
ΔΗ. πῶς δὴ τριήρης ἐστὶ κυναλώπηξ;
ΑΛ. ὅπως;
ὅτι ἡ τριήρης ἐστὶ χὠ κύων ταχύ.
ΔΗ. πῶς οὖν ἀλώπηξ προσετέθη πρὸς τῷ κυνί;
ΑΛ. ἀλωπεκίοισι τοὺς στρατιώτας ἧκασεν,
ὅτιὴ βότρυς τρώγουσιν ἐν τοῖς χωρίοις.
ΔΗ. εἶεν·
τούτοις ὁ μισθὸς τοῖς ἀλωπεκίοισι ποῦ;
ΑΛ. ἐγὼ πριῶ καὶ τοῦτον ἡμερῶν τριῶν.
ἀλλ' ἔτι τόνδ' ἐπάκουσον, ὃν εἶπέ σοι, ἐξαλέασθαι, hex. her.

982. ὁ μισθὸς ἀπ. ὡς τοῦ Κλέωνος ἀποστεροῦντος. — S.

983. sequ. — ἀπὸ τῶν ζώων διαβάλλει τὸν Κλέωνα ὡς ἀναιδῆ καὶ πανοῦργον. μή σε δολ. μή σε δόλῳ ὑπέλθῃ. λαίθ. λαίθαργοι κύνες λέγονται αἱ λάθρα προσιοῦσαι καὶ δάκνουσαι. πολυΐδριν δὲ, ὅτι πολύπειροι αἱ ἀλώπεκες, καὶ παροιμία, πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα. παρὰ δὲ τὴν παροιμίαν ἔπαιξε, σαίνεις δάκνουσα, καὶ κύων λαίθαργος εἶ. κερδὼ δὲ ἡ ἀλώπηξ παρὰ τὴν κερδοσύνην, τουτέστι τὴν πανουργίαν, ὡς Εἰδοθέα Εἰδώ, καὶ Τυπτύλη Τυπώ. S.

985. S.: Φιλ. ἡ κυν. οὕτως ἐκαλεῖτο ὁ Φιλόστρατος. λέγει δὲ αὐτὸν (Lysistr. 892. sequ.) καὶ πορνοβοσκὸν, καὶ καλλωπιστήν. S.

986. ναῦς. τὰς ἐκπεμπομένας ἀπὸ τῶν νήσων ἀναπράττεσθαι τοὺς φόρους. οἱ δὲ ἐκπεμπόμενοι πολλὰ ἐκέρδαναν. S. illas naves proprio nomine ἀργυρολόγους dictas esse annotavit Cas. „occurrunt in historia ejusdem anni, quo haec fabula acta est, ap. Thuc. 4, 50. add. ib. c. 75." B.

988. isiciarius κυναλώπεκα intellexit Cleonem; Demos perperam accepit de nave, et, quae ejus est simplicitas, quaerit, quomodo navis ita appellari possit. isiciarius non corrigit Demi errorem, sed lepide eo utitur. *Wiel.*

989. ταχύ τι, res velox.

992. ἐν τοῖς χωρ. in agris, vel vinetis K.

993. εἶεν. ἄγε δή. cf. Ran. 568. etc.

995. ἡμ. τριῶν. εἰώθασιν εἰς τὸν πόλεμον ἐξιόντες οἱ στρατιῶται λαμβάνειν τροφὴν ἡμερῶν τριῶν. S. cf. Ach. 197.

996, 7. hyberbaton. gl. Vict. ἐξαλ. ἐκκλίνειν. verbum poëticum. — Κυλλήνη πόλις (imo mons) ἐστὶ τῆς Ἀρκαδίας. διότι καὶ ἐχρήσατο τῷ ὀνόματι, δῆλον ἀπὸ τῶν ἑξῆς, ἵνα παρονομάσῃ τὴν πυλλὴν χεῖρα, εἰς δωροδοκίαν καὶ διασεισμὸν διαβάλλων τὸν Κλέωνα. οἱ γὰρ διασείοντές τινας, καὶ δωροδοκοῦντες, κοιλαίνουσι τὴν χεῖρα, καὶ ὑποβάλλοντες ὑπὸ τὸ ἱμάτιον αἰτοῦσι. S. — „alibi dixit, summum probrum fuisse manum cavam excipiendae alicui rei porrigere." *Cas.*

χρησμὸν Λητοΐδης, Κυλλήνην, μή σε δολώσῃ.
ΔΗ. ποίαν Κυλλήνην;
ΑΛ. τὴν τούτου χεῖρ' ἐποίησε
Κυλλήνην ὀρθῶς, ὁτιὴ φήσ' „Ἔμβαλε κυλλῇ."
ΚΛ. οὐκ ὀρθῶς ῥᾴζεις· τὴν Κυλλήνην γὰρ ὁ Φοῖβος
εἰς τὴν χεῖρ' ὀρθῶς ᾐνίξατο τὴν Διοπείθους.
ἀλλὰ γὰρ ἔστιν ἐμοὶ χρησμὸς περὶ σοῦ πτερυγωτὸς,
αἰετὸς ὡς γίγνει, καὶ πάσης γῆς βασιλεύσεις.
ΑΛ. καὶ γὰρ ἐμοί· καὶ γῆς, καὶ τῆς ἐρυθρᾶς γε θαλάσσης,
χὥτι γ' ἐν Ἐκβατάνοις δικάσεις λείχων ἐπίπαστα.
ΚΛ. ἀλλ' ἐγὼ εἶδον ὄναρ, καί μοι δόκει ἡ θεὸς αὐτὴ
τοῦ δήμου κατακεῖν ἀρυταίνῃ πλουθυγίειαν.
ΑΛ. νὴ Δία, καὶ γὰρ ἐγώ· καί μοι δόκει ἡ θεὸς αὐτὴ
ἐκ πόλεως ἐλθεῖν, καὶ γλαῦξ αὐτῇ παθῆσθαι·
εἶτα κατασπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ

998. ἐποίησε, *indusit in versum*, *oraculum*. sic Ran. 886. ἐν τραγῳδίαις ἀλεκτρυόνα ποιῆσαι. vid. Bentl. in epist. ad Mill. p. 62. *Duk.*

999. — interpretans oraculum isiciarius ait denotari Cleonem, qui turpiter munera captans solitus sit habere in ore haec verba ἔμβαλε κυλλῇ, subaudi χειρί. (*cavae manui.*) *Cas.* habet hoc speciem proverbii. de voc. κυλλὸς cf. seqq. et Av. 1287. — joca frigida, ut hominum inhumanorum.

1001. Διοπ. σεσίνωτο τὰς χεῖρας, καὶ ἦν κυλλὸς ὁ Διοπείθης, τουτέστι πεπηρωμένος. κυλλοὺς δὲ Ἀττικοὶ καλοῦσιν ἐπὶ ποδῶν καὶ χειρῶν ὁμοίως, καὶ χωλοὺς (καὶ) τοὺς χεῖρα πεπηρωμένους. Εὔπολις ὅτι χωλὸς εἶ σὺ τὴν χεῖρα σφόδρα. κατὰ καιρὸν δὲ διαβάλλει αὐτὸν, ὡς κλέπτην. ἦν δὲ καὶ Νικίου ἑταῖρος. S.

1002. πτερ. πρὸς τὸν ἀετὸν ἐχρήσατο τῷ πτερυγωτῷ. — S. cf. 928. sequ.

1004. cf. Relandi dissert. de mari rubro in ejus Dissertt. miscell. t. 2., et Mannert. Geogr. der Gr. u. R. t. 5. p. 541. B. „est hoc plane alienum ab omni probabilitate, Athenn., qui vix paucarum insularum imperium retinebant, quondam potituros maris rubri, i. e. regionum ad mare rubrum sitarum; sed poëta imitatur vanitatem oraculorum. — *Cas.*

1005. ἐν Ἐκβατ. ἐν τῇ βαρβάρων χώρᾳ. Σοῦσα γὰρ καὶ Ἐκβάτανα τῆς περσίδος χώρας πόλεις. ὧν ἐν μὲν τῇ ἑτέρᾳ ἐχείμαζε βασιλεὺς ὁ μέγας, ἐν δὲ τῇ ἑτέρᾳ ἐθέριζεν. (cf. Ach. 64.) ἄρξεις οὖν, φησὶν, οὐχ Ἑλλήνων μόνον, ἀλλὰ καὶ βαρβάρων. λείχων ἐπ. — πλακοῦσι γὰρ ἐπέπασσον ἁλμυρὰ, καὶ ἐκ τούτων ἠναγκάζοντο πίνειν πολλά. (cf. 103.) S. δικάσεις dictum εἰρωνικῶς propter Atheniensium φιλοδικίαν.

1006. ἡ θεὸς, Minerva.

1007. ἀρύταινα χαλκοῦν σκεῦος, ᾧ τὸ ἔλαιον ἐγχέουσιν εἰς λύχνους. (*haustrum* dicas. interpretantur *situlam*. „memorat e Comico Eustath. in Il. Σ. p. 1159, 59. et Od. Θ. p. 1599, 50., ubi λεκανίδος εἶδος esse ostendit ex alio loco Comici. plura de hac voce vid. ap. Cas. ad Theophr. Char. c. 10. p. 225." *Duk.* paulo aliter Zonar. 1. p. 300., ut annotavit B., laudato etiam Polluce 7, 166. et 10, 63.) S. πλουθ. cf. Av. 698.

1009. ἐκ. πολ. ἐκ τῆς ἀκροπόλεως (vid. Br. ad Lys. 245.) γλαῦξ δὲ ἱερὸν ὄρνεον Ἀθηνᾶς, ἐπιχωριάζον ἐν Λαυρείῳ τῆς Ἀττικῆς etc. S.

1010. ἀρυβ. πλεκτόν τι βαλάν-

ἀμβροσίαν κατὰ σοῦ, κατὰ τούτου δὲ σκοροδάλμην.
ΔΗ. ἰοὺ, ἰού! i.
οὐκ ἦν ἄρ' οὐδεὶς τοῦ Γλάνιδος σοφώτερος· i. tr.
καὶ νῦν ἐμαυτὸν ἐπιτρέπω σοὶ τουτονὶ
γερονταγωγεῖν κἀναπαιδεύειν πάλιν.
ΚΛ. μήπω γ', ἱκετεύω σ', ἀλλ' ἀνάμεινον, ὡς ἐγὼ
κριθὰς ποριῶ σοι καὶ βίον καθ' ἡμέραν.
ΔΗ. οὐκ ἀνέχομαι κριθῶν ἀκούων· πολλάκις
ἐξηπατήθην ὑπό τε σοῦ καὶ Θουφάνους.
ΚΛ. ἀλλ' ἄλφιτ' ἤδη σοι ποριῶ σκευασμένα.
ΑΛ. ἐγὼ δὲ μαζίσκας γε διαμεμαγμένας,
καὶ τοὖψον ὀπτόν. μηδὲν ἄλλ' εἰ μὴ σθιε.
ΔΗ. ἀνύσατέ νυν, ὅ τί περ ποιήσεθ', ὡς ἐγὼ,
ὁπότερος ἂν σφῶν εὖ με μᾶλλον ἂν ποιῇ,
τούτῳ παραδώσω τῆς Πνυκὸς τὰς ἡνίας.
ΚΛ. τρέχοιμ' ἂν ἤδη πρότερος.
ΑΛ. οὐ δῆτ', ἀλλ' ἐγώ.

τιον, ὅπερ ἑλκόμενον κλείεται καὶ ἀνοίγεται, παρὰ τὸ ἀρύειν καὶ βάλλειν. (similiter Zon. 1. p. 294. sed etiam poculi quoddam genus hoc vocabulo significatur, idque hoc ipso loco. Athen. 11., p. 783., notante K.: ποτήριον κάτωθεν εὐρύτερον, ἄνωθεν δὲ συνηγμένον, ὡς τὰ συσπαστὰ βαλάντια, ἃ καὶ αὐτὰ διὰ τὴν ὁμοιότητα ἀρυβάλλους τινὲς καλοῦσιν.) χεῖσθαι δὲ (imo σπένδειν) λέγεται οὐ μόνον τὰ ὑγρὰ, ἀλλὰ καὶ στερεὰ, ὃ καὶ νῦν ἐπὶ ἀμβροσίας ἔταξεν. S. σκοροδ. cf. 199.

1014. τουτονὶ, huncce, me. cf. Vesp. 256.

1015. γερονθ. ἔπαιξε παρὰ τὸ παιδαγωγεῖν. τοῦτο δὲ λέγει ὁ Δῆμος, ὡς τοῦ Κλέωνος κατεγνωσμένου. ὅλον δὲ τὸ ἰαμβικὸν παρῴδησεν ἀπὸ τοῦ Πηλέως Σοφοκλέους. (fragm. 1. ex Clem. Al. Strom. 6. p. 748.: Πηλέα τὸν Αἰάκειον οἰκονρὸς μόνη Γερονταγωγῶ κἀναπαιδεύω πάλιν· Πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ.) ὃ δὴ καὶ ἐν Νεφέλαις (1357) παρέθημεν ἐν τῷ δὶς παῖδες οἱ γέροντες. S. ἀναπαιδεύειν, iterum educare, tanquam puerum. B.

1019. Θουφ. (nomen quale Thumantis infra 1157. et similia. cf. Cas. et Matth. gr. §. 49.) ὡς κόλακα κωμῳδεῖ τοῦτον, καὶ ἀπατεῶνα, καὶ τῷ Κλέωνι συνόντα διὰ κολακείαν. ἦν δὲ ὑπογραμματεύς. διαμεμαγμένας δὲ πεφυρμένας. S.

1021. μαζ. deminutivum blandientis. cf. 1059.

1022. μηδὲν — ἔσθιε. S. μόνον τῷ ἐσθίειν σχόλαζε· τοιαύτην γὰρ ἐγώ σοι ἀφθονίαν παρέξω. cf. 845.

1025. Πνυκὸς Bekk., D., Dobr., Porson. Advers. p. 75., alii. Bekkeri lex. Sangerm. p. 299.: πνυκὸς, διὰ δὲ τὴν εὐφωνίαν ἐστὶ πυκνός. at ambiguitatem vocabuli ut mittamus, quaenam est illa εὐφωνία, cujus in hac voce rationem Graeci habuerint, in tot aliis similibus non habuerint? etiam Steph. Byz. v. Πνὺξ et Πυκνὸς eos dixisse ait, laudato h. l. Equitum, et Πυκνὶ, Πύκνα, Πυκνίτης: sed novimus morem grammaticorum, quorum alter alterum certatim exscribere solet incogitans. nec me movet solus Rav., qui semper πυκνὸς etc., cum ceteri codd. tueantur vulgatam scripturam ἀναλογικήν.

ΧΟ. ὦ Δῆμε, καλὴν γ' ἔχεις ἀρχὴν, ὅτε πάντες ἄνθρωποι δε-
δίασί σ', ὥσπερ ἄνδρα τύραννον· as., 3 ion. a ma. d. c. et sim. br. μονοστ., περίοδ. ά.
ἀλλ' εὐπαράγωγος εἶ, θωπευόμενός τε χαίρεις κἀξαπατώ-
μενος, πρὸς τόν τε λέγοντ' ἀεὶ as., 4 ion. a ma. d. c.
κέχηνας· ὁ νοῦς δέ σου παρὼν ἀποδημεῖ. as., ion. a ma. d. c. et sim. br.
ΔΗ. νοῦς οὐκ ἔνι ταῖς κόμαις ὑμῶν, ὅτι μ' οὐ φρονεῖν νομίζετ'·
ἐγὼ δ' ἑκὼν ταῦτ' ἠλιθιάζω. περίοδ. β'.
αὐτός τε γὰρ ἥδομαι βρύλλων τὸ καθ' ἡμέραν, κλέπτοντά
τε βούλομαι τρέφειν ἕνα προστάτην·
τοῦτον δ', ὅταν ᾖ πλέως, ἄρας ἐπάταξα,
ΧΟ. χοὔτω μὲν ἂν εὖ ποιοῖς, εἴ σοι πυκνότης ἔνεστ' ἐν τῷ
τρόπῳ, ὡς λέγεις, τούτῳ πάνυ
πολλή· περίοδ. γ'.

1027. in hoc intervallo, cum e scena secesserint et Cleon et ejus aemulus, poëta sub persona Chori sive Equitum Populum hortatur, ut imperium sibi vindicet, nec sinat se duci a demagogis. *Cas.* sed respondet Populus, se non stulte facere, ut putetur.

1027, 28. versus asynart. τετράκωλοι, quorum ridicula emphasi hic noster παρῳδεῖ Tragicos. dissecuerunt haec quoque, ut solent. vide ann. ad 770. — εὐπαρ., εὐπειθής, ut interpretatur Zonaras 1, 901., ubi hunc versum laudat.

1029. παρὼν ἀπ., *praesens abest.*

1030, 31. ταῖς κόμαις. οἷον ἐν τῷ ἐγκεφάλῳ ὑμῶν, ὅτι ἐκόμων οἱ ἱππεῖς. „ἐγκέφαλος οὐκ ἔστιν ὑμῖν, οὐδὲ ἐστὲ φρενήρεις." — ἠλιθ. ἀναισθητῶ, προσποιοῦμαι ἠλίθιος εἶναι· ἀναίσθητοι γὰρ οἱ λίθοι. (dubia notatio.) ἢ ἀντὶ τοῦ ἀνοηταίνω. βρύλλων. ἐξαπατώμενος ὑπό τινων, (? v. Schneider. lex. h. v.) καὶ μεθύων. Σύμμαχος δὲ, ὑποπίνων, ἐκ μιμήσεως τῆς τῶν παίδων φωνῆς. (Nub. 1327.) εἰ μέν γε βρῦν εἶπης, ἐγὼ γνοὺς ἂν πιεῖν ἐπέσχον. — Βε. προστ. τὸν προϊστάμενον τοῦ δήμου, τουτέστι δημαγωγόν. S. — τρέφειν, ἔχειν.

1032. πλέως. — τουτέστιν ὅταν ηὐξῆσθαι δοκῇ, καὶ μέγας εἶναι. (eadem mens olim Vespasiani, (et hodie regum Turcarum et barbarorum. *Both.*) cum suos procuratores rapaces *spongias* vocaret [quas exprimeret humentes.] *Cas.* vid. Suet. Vespas. c. 16. ἄρας, sublatos, ut tanto majore vi illidantur solo. (cf. 1251.) notavit Cas.) ἐπάτ. κατέβαλον, ἐκ μεγάλου καὶ λαμπροῦ ταπεινὸν ἐποίησα (facere soleo), τουτέστιν ἐάσας πλουτῆσαι ὕστερον πένητα ἐποίησα. S.

1033, 4. πυκν. σύνεσις, φρόνησις. S. ἐν τῷ τρόπῳ τούτῳ, *in hoc modo agendi.* — ὥσπερ δημ. λείπει βοῦς ἢ ταύρους, ἢ ἄλλο τι τοιοῦτον θῦμα. (ἄλλως.) δημοσίους δὲ τοὺς λεγομένους φαρμακοὺς, οἵπερ καθαίρουσι τὰς πόλεις τῷ ἑαυτῶν φόνῳ. ἢ [hoc fuerit ἦγ, i. e. ἦγουν.] τοὺς δημοσίᾳ καὶ ὑπὸ τῆς πόλεως τρεφομένους. ἔτρεφον γάρ τινας Ἀθην. λίαν ἀγεννεῖς καὶ ἀχρήστους, καὶ ἐν καιρῷ συμφορᾶς τινος ἐπελθούσης τῇ πόλει, λοιμοῦ λέγω ἢ τοιούτου τινὸς, ἔθυον τούτους ἕνεκα τοῦ καθαρθῆναι τοῦ μιάσματος. οὓς καὶ ἐπωνόμαζον καθάρματα. καὶ ἐν Βατράχοις (686.) οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως

εἰ τούσδ' ἐπίτηδες ὥσπερ δημοσίους τρέφεις ἐν τῇ Πυκνὶ,
κἄθ', ὅταν μή σοι τύχῃ ὄψον ὄν,
τούτων, ὃς ἂν ᾖ παχὺς, θύσας ἐπιδειπνεῖς.

ΔΗ. σκέψασθε δέ μ', εἰ σοφῶς αὐτοὺς περιέρχομαι, τοὺς οἰομένους φρονεῖν, κἄμ' ἐξαπατύλλειν. περίοδ. δ'.
τηρῶ γὰρ ἑκάστοτ' αὐτοὺς, οὐδὲ δοκῶν ὁρᾶν, κλέπτοντας·
ἔπειτ' ἀναγκάζω πάλιν ἐξεμεῖν,
ἅττ' ἂν κεκλόφωσί μου, κημὸν καταμηλῶν.

ἐχρήσατ' ἄν. (vid. ibi annott. recte, ut opinor, Cas., non multum refragante Duk.: „Alludit," inquit, „ad morem tribuum, quae inter se certabant, ecquae opimiorem victimam die festo exhiberent. unde non solum alebantur a victimariis magna cura hostiae, sed etiam illis mactatis artem adhibebant, quo pinguiores viderentur, spiritu per tubos quosdam immisso; quod patet Aristotele in Sophisticis Elenchis in principio" etc. eo pertinet τὸ θύσας 1036. et prior interpretatio scholiastarum.) ὅταν — τύχῃ. τροπικῶς. ὅταν μή σοι τυχὸν πόρος χρημάτων ᾖ. S.

1035. παχὺς. πλούσιος, ἀπὸ μεταφορᾶς τῶν χοίρων. (aliorumque animalium. Suid., annotante K.: παχεῖς οἱ Ἀθην. τοὺς πλουσίους καλοῦσι συνήθως. cf. Pac. 617. etc.) ἐπιδειπνεῖς δὲ δημεύεις αὐτῶν τὰς οὐσίας. — (proprie) ἐπὶ τῷ θῦσαι δειπνεῖς. S.

1036. περιέρχομαι. ἐνεδρεύω, ἐξαπατῶ. — S. dicitur ut lat. circumvenire. cf. Sturz. lex. Xenoph. 3. p. 520. B.

1037. ἐξεμεῖν, ut Ach. 6. τοῖς πέντε ταλάντοις, οἷς Κλέων ἐξήμεσε. similiter supra 376. E Be.

1038. κημόν. κημὸς ὁ κάδος τῶν δικαστικῶν (δικαστῶν), ἔνθα ἔβαλλον τὰς ψήφους. ἄλλως. κημὸς ὁ ἐπὶ τοῦ καθίσκου, εἰς ὃν τὰς ψήφους καθίεσαν (ἐν) τοῖς δικαστηρίοις. (cf. Vesp. 99., 955.) — καταμηλοῦν ἐστι τὸ τὴν μήλην (specillum, die Sonde,) καθίεσθαι ὑπὸ τοῦ ἰατροῦ εἰς τὸν λαιμὸν (vel in aliam partem corporis), ὡς ποιοῦσι καὶ οἱ ἐμοῦντες. (Zonar. 2, 1357. μήλη, ἰατρικὸν ἐργαλεῖον, δι' ἧς ψηλαφᾶται τὰ πονούμενα. (cf. Etym. p. 583., Foës. Oecon. Hippocr. p. 412. B.) τὸ ὅλον οὖν βούλεται, ὅτι καταψηφιζόμενος αὐτῶν, καὶ δικάζων, ἀναγκάζω ἐμεῖν τὰς κλοπάς. S.

ΚΛΕΩΝ. ΑΛΛΑΝΤΟΠΩΛΗΣ. ΔΗΜΟΣ. ΧΟΡΟΣ.

ΚΛ. Ἄπαγ' ἐς μακαρίαν ἐκποδών!

ΑΛ. σύ γ', ὦ φθόρε!

ΚΛ. ὦ Δῆμ', ἐγὼ μέντοι παρεσκευασμένος
τρίπαλαι κάθημαι, βουλόμενός σ' εὐεργετεῖν.

ΑΛ. ἐγὼ δὲ δεκάπαλαί γε, καὶ δωδεκάπαλαι,
καὶ χιλιόπαλαι, καὶ πρόπαλαι, πάλαι, πάλαι.

ΔΗ. ἐγὼ δὲ προσδοκῶν γε τρισμυριόπαλαι
βδελύττομαί σφω, καὶ πρόπαλαι, πάλαι, πάλαι.

ΑΛ. οἶσθ' οὖν ὃ δρᾶσον;

ΔΗ. εἰ δὲ μή, φράσεις γε σύ.

ΑΛ. ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονί,
ἵνα σ' εὖ ποιῶμεν ἐξ ἴσου.

ΔΗ. δρᾶν ταῦτα χρή.

1039. constituitur hic Actus 4. scenae 1. initium. Cleon., Isiciarius, Demos, Chorus in scena sunt. illi sua dona ferunt Populo. B. — γράφεται ἔδοξ' εἰς μακ. κατ' εὐφημισμὸν ἀντὶ τοῦ εἰς ὄλεθρον, ἐπεὶ καὶ οἱ τεθνεῶτες μακαρῖται λέγονται. (velut ap. Menandrum, teste Photio lex. p. 178. B. ita plebs nostras, malum alicui imprecans, *ich wünsche dir das ewige Leben.*) — φθόρε δὲ ὄλεθρε, φθαροποιέ. S.

1042. etiam Philonides Comicus ap. Athen. 1. p. 23., annotante Be.: κατάκειμαι (κατάκειμ'), ὡς ὁρᾶτε, δεκάπαλαι. observavit Cas., poëtam licentia comica similes voces fingere insuitatas.

1045. Populus istos quam maxime exsecratur, quod eum tam diu morantur et expectare jubent. aviditas donorum accipiendorum egregie describitur. B.

1046. οἶσθ' οὖν ὃ δρᾶσον. ἀττικὸν ἀντὶ τοῦ δράσεις. S. cf. Av. 54., Pac. 1000. etc.

1047. ἀπὸ βαλβ. μετήνεγκεν ἀπὸ τῶν περὶ δρόμους ἀμιλλωμένων ἐν τοῖς ἀγῶσι. βαλβὶς δὲ καλεῖται τὸ ἐν τῇ ἀρχῇ τοῦ δρόμου κείμενον ἐγκαρσίως ξύλον, ὃ καὶ ἀφετηρίαν καλοῦσιν, ὅπερ μετὰ τὸ ἑτοιμασθῆναι τοὺς δρομεῖς εἰς τὸ δραμεῖν ἀφαιρούμενοι ἀφίεσαν τρέχειν. S. carceres ita dicuntur, seu cancelli, h. e. lora alligata duobus fustibus, quibus arcebantur equi aut cursores in stadio, ne prius quam signum datum esset currerent. vid. Zonar. 1. p. 378. B.

ἄπιτον.
ΑΛ. ἰδού.
ΔΗ. θέοιτ' ἄν.
ΚΛ. ὑποθεῖν οὐκ ἐῶ.
ΔΗ. ἀλλ' ἢ μεγάλως εὐδαιμονήσω τήμερον
ὑπὸ τῶν ἐραστῶν, νὴ Δί', ἢ 'γὼ θρύψομαι.
ΚΛ. ὁρᾷς; ἐγώ σοι πρότερος ἐκφέρω δίφρον.
ΑΛ. ἀλλ' οὐ τράπεζαν, ἀλλ' ἐγὼ προτεραίτερος.
ΚΛ. ἰδού, φέρω σοι τήνδε μαζίσκην ἐγώ,
ἐκ τῶν ὁλῶν τῶν ἐκ Πύλου μεμαγμένην.
ΑΛ. ἐγὼ δὲ μυστίλας μεμυστιλημένας
ὑπὸ τῆς θεοῦ τῇ χειρὶ τηλεφαντίνῃ.
ΔΗ. ὡς μέγαν ἄρ' εἶχες, ὦ πότνια, τὸν δάκτυλον!
ΚΛ. ἐγὼ δ' ἔτνος γε πίσινον εὔχρων, καὶ καλόν·
ἐτόρυνε δ' αὐτὴ Παλλὰς ἡ Πυλαιμάχος.
ΑΛ. ὦ Δῆμ', ἐναργῶς ἡ θεός σ' ἐπισκοπεῖ,
καὶ νῦν ὑπερέχει σου χύτραν ζωμοῦ πλέαν.
ΔΗ. οἴει γὰρ οἰκεῖσθ' ἄν ἔτι τήνδε τὴν πόλιν,
εἰ μὴ φανερῶς ἡμῶν ὑπερεῖχε τὴν χύτραν;
ΚΛ. τουτὶ τέμαχός σοὔδωκεν ἡ Φοβεσιστράτη.

1049. ὑποθεῖν. cf. 688.

1051. θρύψομαι. — τρυφήσω καὶ σεμνυνοῦμαι. (Cas.: θρύπτεσθαι proprie dicuntur, qui amantur, cum sui copiam facere recusant.) μαζίσκην δὲ ἄρτον πεφυραμένον. S.

1053. προτ. comparativus fortasse ridiculi causa fictus ab Aristophane, vid. tamen Matth. gr. §. 136.

1055. ὅλαι αἱ μεθ' ἁλῶν μεμιγμέναι κριθαί, καὶ τοῖς θύμασιν ἐπιβαλλόμεναι. πάλιν δὲ εὐφυῶς (imo ἀφυῶς. cf. 974.) ὑπομιμνήσκει τῶν ἐν Πύλῳ. S. alias dicuntur οὐλαὶ sive οὐλοχύται, de quo vid., quem Cas. laudavit, Dion. Halic. 7, 72.

1056. μυστ. cf. 771.

1057. τηλεφ. monuit B., intelligi eburneam statuam Minervae, a Phidia factam, in acropoli.

1058. dicit haec Demos, quia panis ita erat excavatus, ut praeter crustam parum superesset: ita populus decipiebatur. B. cf. 1010. seqq.

1060. ll. frigide ἐτορ. δ' αὐθ' ἡ Παλλὰς ἡ Π. S.: — πάλιν δὲ τὸ ἐν Πύλῳ κατόρθωμα διὰ τοῦ Πυλαιμάχος. (*quae Pylis pugnavit*, aut *quae Pylas expugnavit*. B.) non magis mihi quam Dukero hac appellatione significari videtur Pallas, quae dicebatur πυλαία seu πυλαΐτις, quod ejus simulacra in portis urbium statuebantur; quae Spanhemii sententia est ad Callim. h. in Pall. 53. — ἐτόρυνε, *tudiculavit*. Cas.: quod notat Festus de voce *trua* (p. 9. Lindem.), τορύνῃ convenit: instrumentum esse, quo moveantur, quae coquuntur.

1062. χύτραν. jocus inexpectatus. S. ad 1065.: τὴν χύτραν. ἀντὶ τοῦ εἰπεῖν χεῖρα. solent enim Graeci dicere, deos juvare aliquem, ὑπερέχοντας τὴν χεῖρα, ut Cas. annotavit.

1065. Φοβ. Minervam sic dixit, quasi *fugantem exercitus*, φοβοῦσαν τοὺς στρατούς. erat enim dea praeses etiam armorum. *Cas.*

ΑΛ. ἡ δ' Ὀβριμοπάτρα γ' ἐφθὸν ἐκ ζωμοῦ κρέας,
καὶ χόλικος ἠνύστρου τε, καὶ γαστρὸς τόμον.
ΔΗ. καλῶς γ' ἐποίησε, τοῦ πέπλου μεμνημένη.
ΚΛ. ἡ Γοργολόφα σ' ἐκέλευε τουτονὶ φαγεῖν
ἐλατῆρος, ἵνα τὰς ναῦς ἐλαύνωμεν καλῶς.
ΑΛ. λαβὲ καὶ ταδί νυν.
ΔΗ. καὶ τί τούτοις χρήσομαι
τοῖς ἐντέροις;
ΑΛ. ἐπίτηδες αὖτ' ἔπεμψέ σοι
εἰς τὰς τριήρεις ἐντερόνειαν ἡ θεός·
ἐπισκοπεῖ γὰρ περιφανῶς τὸ ναυτικόν.
ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο.
ΔΗ. ὡς ἡδύς, ὦ Ζεῦ, καὶ τὰ τρία φέρων καλῶς!
ΑΛ. ἡ Τριτογενὴς γὰρ αὐτὸν ἐνετριτώνισε.
ΚΛ. λαβὲ νῦν πλακοῦντος πίονος παρ' ἐμοῦ τόμον.
ΑΛ. παρ' ἐμοῦ δ' ὅλον γε τὸν πλακοῦντα τουτονί.
ΚΛ. ἀλλ' οὐ λαγῷ' ἕξεις ὁπόθεν δῷς, ἀλλ' ἐγώ.

1066. Ὀβρ. cognomen Minervae notum ex Homero: vide Il. ε', 747., ubi scholia minora: ὄβριμον καὶ γενναῖον πατέρα ἔχουσα, Il. Θ', 391., Odyss. α', 101., quae loca laudavit Duk. observavit Wiel., ridicule gravia illa epitheta usurpari in rebus levissimis.

1067. χόλικες τὰ παχέα ἔντερα. χόλικος δὲ καὶ ἠνύστρου ἐκ παραλλήλου τὸ αὐτό. ταῦτα δὲ ἐγκατώδη κρέα. τόμον δὲ, οἷον τέμαχος. ἤνυστρον δὲ ἡ κάτω κοιλία. (cf. 340.) S.

1068. τοῦ πέπλου μεμν. memor pepli, quem ei consecro. (cf. 521.) recte mihi has gratias pro peplo retulit. E Be.

1069. Γοργ., terribili crista praedita, a γοργὸς et λόφος: neque enim hic agitur caput Gorgonis, quod in clipeo gestasse dicitur Minerva.

1070. ἐλατ. Zonar. 1, 681.: πλακουντῶδες πέμμα πλατύ, ein Auflauf. — B. Suidas, quem Br. laudavit: ἐλατήρ: πλακουντῶδες πέμμα πλατὺ, ὅθεν καὶ ἡ ἐπωνυμία, παρὰ τὸ ταῖς χερσὶν ἐλαύνεσθαι εἰς πλάτος etc. cf. Ach. 232. S.: — ἔπαιξε δὲ τοῖς ὀνόμασι διὰ τὴν περὶ τὰ ναυτικὰ τῶν Ἀθηναίων ἐμπειρίαν.

1073. ἐντερ. τὰ ἐγκόλια τὰ ἀπὸ τῆς τρόπιδος ἀνερχόμενα ξύλα ἐντερόνεια καλεῖται. (costae seu statumina. Br.) S.

1075. τρία καὶ δύο. τρία μέρη ὕδατος ἐπιδεχόμενον, οἴνου δὲ δύω. ἀρίστη δὲ κρᾶσις οἴνου δύω μέρη καὶ ὕδατος τρία. S. cf. Plut. 1228.

1076. vinosus Populus: v. 1032.

1077. ἐνετριτ. εὐκαίρως τῷ ἐπιθέτῳ ἐχρήσατο, ἵνα παίξῃ παρὰ τὰ τρία καὶ δύο. βούλεται δὲ δηλοῦν, ὅτι καὶ ἡ Ἀθηνᾶ τοιοῦτον αὐτὸν ἐποίησεν, ὡς δύνασθαι τρία μέτρα φέρειν ὕδατος. (ἄλλως.) ἢ ὡς ἀπὸ Τρίτωνος ποταμοῦ (imo paludis) Λιβύης, παρ' ᾧ ἐτέχθη ἡ Ἀθηνᾶ. βωμολόχον δὲ (1083.) πανοῦργον, ληστρικόν. S.

1080. λαγῷα. sic dicunt Gr. absolute leporinas, i. e. lep. carnes; et quoniam in pretio erant carnes leporinae, propterea natum proverb. ἐν πᾶσι λαγῴοις. (Vesp. 679.) proprie est invitantis, qui lautae mensae spem faciens leporinam affatim affuturam dicat. Cas.

ΑΛ. οἴμοι, πόθεν λαγῷά μοι γενήσεται;
ὦ θυμέ, νυνὶ βωμολόχον ἔξευρέ τι!
ΚΛ. ὁρᾷς τάδ', ὦ κακόδαιμον;
ΑΛ. ὀλίγον μοι μέλει·
ἐκεινοῖ γὰρ ὡς ἔμ' ἔρχονται.
ΚΛ. τίνες;
ΑΛ. πρέσβεις ἔχοντες ἀργυρίου βυλάντια.
ΚΛ. ποῦ, ποῦ;
ΑΛ. τί δὲ σοὶ τοῦτ'; οὐκ ἐάσεις τοὺς ξένους; —
ὦ Δημίδιον, ὁρᾷς τὰ λαγῷ', ἃ σοι φέρω;
ΚΛ. οἴμοι τάλας, ἀδίκως γε τἄμ' ὑφήρπασας!
ΑΛ. νὴ τὸν Ποσειδῶ· καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου.
ΔΗ. εἶπ', ἀντιβολῶ, πῶς ἐπενόησας ἁρπάσαι;
ΑΛ. τὸ μὲν νόημα τῆς θεοῦ, τὸ δὲ κλέμμ' ἐμόν.
ΚΛ. ἐγὼ δ' ἐκινδύνευσ', ἐγὼ δ' ὤπτησά γε.
ΔΗ. ἄπιθ'· οὐ γὰρ ἀλλὰ τοῦ παραθέντος ἡ χάρις.
ΚΛ. οἴμοι κακοδαίμων, ὑπεραναιδεσθήσομαι!
ΑΛ. τί οὐ διακρίνεις, Δῆμ', ὁπότερός ἐστι νῷν
ἀνὴρ ἀμείνων περὶ σὲ καὶ τὴν γαστέρα;
ΔΗ. τῷ δῆτ' ἂν ὑμᾶς χρησάμενος τεκμηρίῳ
δόξαιμι κρίνειν τοῖς θεαταῖσιν σοφῶς;
ΑΛ. ἐγὼ φράσω σοι. τὴν ἐμὴν κίστην ἰὼν

1083. sequ. haec secum isiciarius. cf. Ach. 447. etc. Eurip. Med. 1000.; μὴ δῆτα, θυμὲ. μὴ σὺ γ' ἐγράσῃ τάδε etc.

1083. ὁρᾷς τάδε; τὰ λαγῷα δείκνυσιν αὐτῷ, καὶ χλευάζει, ὡς οὐκ ἔχοντα. S.

1085. ita Bekk. et D. Rav. ἐκεῖνοι. vulgo: ἀλλὰ γὰρ ἐκεῖνός γ' ὡς etc.

1086. τί δὲ σοὶ τοῦτο; quid hoc ad te? — οὐκ ἐ. τ. ξένους: minaci vultu circumspexisse videtur Cleon, quasi accessu prohibiturus legatos istos. quod dum facit, interea leporinam ei surripit isiciarius et ad Populum defert.

1089. καὶ — Πύλου. ἥρπασας δηλονότι ἀπὸ Δημοσθένους τοῦ στρατηγοῦ. S.

1091. — οὕτω γὰρ οἱ δημαγωγοὶ ἀστειζόμενοι ἔλεγον τὰς ἑαυτῶν ἐπινοίας τῆς θεοῦ. S. cf. 108. Be.

1092. ἐγὼ δ' ὤπτ. γε. male haec sub isiciarii persona leguntur in codd. Cleonem dicere, vel ex proxima Demi oratione intelligas. verba ἐγὼ δὲ repetuntur παθητικῶς.

1093. τοῦ παρ., ejus, qui cibum apposuit.

1094. ὑπεραν. τῇ ἀναιδείᾳ νικηθήσομαι. οἷον ἀναιδέστερός μου φανήσεται. S. his dictis Cleon aliquamdiu obvoluto capite consedisse in angulo videtur consternatus, fere ut ipse Populus 1243. et sequ.

1096. καὶ τὴν γαστέρα praeter expectationem dicit pro hoc vel quodam simili καὶ τὴν πόλιν. — B.

1099. τὴν ἐμὴν κίστην. τὴν κιβωτόν. ταύτῃ δὲ διενήνοχεν, ὅτι ἡ μὲν εἰς ὑποδοχὴν ἐστιν ἐδεσμάτων, ἡ δὲ ἱματίων καὶ χρυσοῦ, ἡ κιβωτός. S. „Phot. tamen, notante B., p. 124. κίστη: ἀγγεῖον, ἐν ᾧ τὰ βράμματα κεῖται, ἢ ἱματιά τινα.

ξύλλαβε σιωπῇ, καὶ βασάνισον, ἅττ' ἔνι,
καὶ τὴν Παφλαγόνος, κἀμέλει κρινεῖς καλῶς.
ΔΗ. φέρ' ἴδω, τί οὖν ἐνεστιν;
ΑΛ. οὐχ ὁρᾷς κενὴν,
ὦ παππίδιον; ἅπαντα γάρ σοι παρεφόρουν.
ΔΗ. αὕτη μὲν ἡ κίστη τὰ τοῦ δήμου φρονεῖ.
ΑΛ. βάδιζε γοῦν καὶ δεῦρο πρὸς τὴν Παφλαγόνος. — ὁρᾷς νυν;
ΔΗ. οἴμοι τῶν ἀγαθῶν, ὅσων πλέα!
ὅσον τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο,
ἐμοί δ' ἔδωκεν ἀποτεμὼν τυννουτονί!
ΑΛ. τοιαῦτα μέντοι καὶ πρότερον εἰργάζετο·
σοὶ μὲν προσεδίδου σμικρὸν ὧν ἐλάμβανεν,
αὐτὸς δ' ἑαυτῷ παρετίθει τὰ μείζονα.
ΔΗ. ὦ μιαρέ, κλέπτων δή με ταῦτ' ἐξηπάτας;
ἐγὼ δέ τν ἐστεφάνιξα κἀδωρησάμιαν.
ΚΛ. ἐγὼ δ' ἔκλεπτον ἐπ' ἀγαθῷ γε τῇ πόλει.
ΔΗ. κατάθου τάχεως τὸν στέφανον, ἵν' ἐγὼ τουτωΐ αὐτὸν περιθῶ!
ΑΛ. κατάθου ταχέως, μαστιγία!
ΚΛ. οὐ δῆτ', ἐπεί μοι χρησμός ἐστι Πυθικὸς,

add. interpp. Thomae Mag. p. 532." B. Ammon. ed. Valck. p. 82. κιβωτὸς κ. κίστη διαφέρει· κιβ. μὲν γάρ ἐστιν ἡ ξυλίνη, διὸ καὶ ἀντίπηξ καλεῖται, κίστη δὲ ἡ πλεκτή. Pollux 10, 150. σοροποιοῦ σκευή σορὸς, πύελος, κιβωτὸς, ληνός.

1107. τὰ τοῦ δ. φρονεῖ, *populo favet*, h. e. secundum B.: dominus ejus unice populo consulit studetque. vide Sturz. lex. Xenoph. 4, 491.

1108. τὸ χρ. τοῦ πλ. periphrasis attica. cf. Nub. 2. „Plautus similiter *rem voluptatum* dixit Amph. 2, 2, 1." Cas. ἀποτίθεσθαι est *reponere, recondere*. B.

1109. τυνν. συλλαβὼν τοὺς δακτύλους, φησὶ Φάεινος, ἀντὶ τοῦ μικρόν. S.

1114. τὸ τὺ δωρικῶς ἀντὶ τοῦ σέ. — τὸ δὲ ἐστεφάνιξα ἀντὶ τοῦ στεφάνοις ἐτίμησα. (dorice loquitur, rem apud Dores sive Lacedaemonios gestam, scil. Sphacteriae expugnationem, quam identidem jactat Cleon, significaturus ironice.) δημοσίᾳ γὰρ ἐτιμήθη ὁ Κλέων στεφάνῳ. (coronam auream vel aeneam intelligo, quibus bene meriti de rep. donari solebant ap. Athenn. Corn. Nepos Alcibiad. 6.: *illum unum omnes prosequebantur, et, id quod nunquam antea usu venerat nisi Olympiae victoribus, coronis aureis aeneisque vulgo donabatur*. Plut. Alcib. 23. παρελθὼν ὁ Ἀλκιβιάδης [εἰς τὴν ἐκκλησίαν] στεφάνοις μὲν ἐστεφανώθη χρυσοῖς. vide interpp. ad utramque locum, inprimis Bährium ad Plutarchi l. l.) μισεῖται δὲ τοὺς εἰλώτας, ὅταν στεφανῶσι τὸν Ποσειδῶνα. S.

1117. μαστ. Cleonem *mastigiam*, h. e. hominem nequam, vocat. vid. annott. ad Ran. 466. E B.

φράζων, ὑφ' οὗ 'δέησέ μ' ἥττᾶσθαι μόνου.
ΑΛ. τοὐμόν γε φράζων ὄνομα, καὶ λίαν σαφῶς.
ΚΛ. καὶ μήν σ' ἐλέγξαι βούλομαι τεκμηρίῳ,
εἴ τι ξυνοίσεις τοῦ θεοῦ τοῖς θεσφάτοις.
καί σου τοσοῦτο πρῶτον ἐκπειράσομαι·
παῖς ὢν ἐφοίτας ἐς τίνος διδασκάλου;
ΑΛ. ἐν ταῖσιν εὐστραις κονδύλοις ἡρμοττόμην.
ΚΛ. πῶς εἶπας; — ὡς μου χρησμὸς ἅπτεται φρενῶν!
εἶεν.
ἐν παιδοτρίβου δὲ τίνα πάλην ἐμάνθανες;
ΑΛ. κλέπτων ἐπιορκεῖν, καὶ βλέπειν ἐναντία.
ΚΛ. ὦ Φοῖβ' Ἄπολλον Λύκιε, τί ποτέ μ' ἐργάσει;
τέχνην δὲ τίνα ποτ' εἶχες ἐξανδρούμενος;
ΑΛ. ἠλλαντοπώλουν καὶ . . .
ΚΛ. τί;
ΑΛ. καβινεσκόμην.
ΚΛ. οἴμοι κακοδαίμων, οὐκέτ' οὐδέν εἰμ' ἐγώ!

1118. sic Bentl. et Burneius in *Monthly Rev.* Febr. 1796. ἀμέτρως codd. δεήσει. D., nescio qua fide, ed. Weidmann. ὑφ' οὗ χρεὼν ἔμ' ἡ. μ., et ed. Didot. ὑφ' οὗ με χρή στιν ἡ. μ.

1119. scit hoc Allantopola ex praelectione Demosthenis 197. *Be.*

1121. εἴ τι ξυν. εἰ συμφωνήσεις, εἰ μεθέξῃ. S. „Soph. Aj. 401. αἰαῖ, τίς ἄν ποτ' ὦεθ' ὧδ' ἐπώνυμον Τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς; ubi schol.: ξυνοίσειν. ξυνδραμεῖν καὶ συνενεχθῆναι, καὶ εἰς ταὐτὸν ἐλθεῖν.“ *Be.*

1122. ἐκπειρ. praegnans verbum, pro *interrogando periculum facere.* Cas.

1124. εὔστραις. ἀντὶ τοῦ φλογίστραις, ὅπου τὰ ἱερὰ θύεται. λέγει δὲ, ὡς μάγειρος. ἄλλως. ἐν τοῖς μαγειρείοις. εὔστρα γὰρ τὸ μαδιστήριον, ἀπὸ τοῦ εὔειν καὶ φλογίζειν τοὺς χοίρους. τὸ δὲ ἡρμοττόμην, ὡς πρὸς μουσικὴν (915.), ἀντὶ τοῦ ἐπαιδευόμην. S. Vesp. 254. κονδύλοις νουθετήσεθ' ἡμᾶς. — *Be.* annotavit, uno verbo id dici κονδυλίζεσθαι secundum Thom. Mag. p. 545. sequ.

1127. ἐν παιδ. scil. γυμνασίῳ. — corporis ludum Gr. proprie γυμνάσιον appellarunt, quia in illis nudi se exercebant; et praefectus ei ludo dictus γυμναστής, vel παιδοτριβής etc. *E Cas.*

1128. ὁ στίχος ἐκ Τηλέφου Εὐριπίδου. S. Λύκιε. vid. Pausan. Corinth. 19., Rhes. 222. etc., ubi Brodaeus: „Lycii Apollinis, ait Festus (p. 89 Lindem.), oraculum maximae claritatis fuit ob luporum interfectionem. Virg. (Aen. 4, 346.) *Italiam Lyciae jussere capessere sortes.* quidam Lycium cognominatum opinantur, quod in Lycia natus cultusque praecipue sit; nonnulli, quod ei λύκος sacrum sit animal“ etc. igitur fieri potest, ut per jocum Cleon invocaverit Apollinem Λύκιον, tanquam eum, cujus in tutela sit, etiam ipse lupus seu lupo similis rapacitate.

1130. ita primus Schäfer. ad schol. Apoll. Rhod. 2. p. 175., qui etiam restitui jussit vet. lectionem καὶ βινεσκόμην, omitti ratus in hac formula augmentum imperfecti; sed tutius mihi visum est scribi κἀβινεσκόμην secundum Br. vulgo: ἠλλαντοπώλουν. ΚΛ. καὶ τί; ΑΛ. καὶ βιν.

λεπτή τις ἐλπὶς ἐστ', ἐφ' ἧς ὀχούμεθα,
καί μοι τοσοῦτον εἰπέ· πότερον ἐν ἀγορᾷ
ἠλλαντοπώλεις ἑτεὸν, ἢ 'πὶ ταῖς πύλαις;
ΑΛ. ἐπὶ ταῖς πύλαισιν, οὗ τὸ τάριχος ὤνιον.
ΚΛ. οἴμοι, πέπρακται τοῦ θεοῦ τὸ θέσφατον!
κυλίνδετ' εἴσω τόνδε τὸν δυσδαίμονα!
ὦ στέφανε, χαίρων ἄπιθι, κεί σ' ἄκων ἐγὼ
λείπω· σὲ δ' ἄλλος τις λαβὼν κεκτήσεται,
κλέπτης μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
ΑΛ. Ἑλλάνιε Ζεῦ, σὸν τὸ νικητήριον!
ΔΗΜΟΣΘ. ὦ χαῖρε, καλλίνικε, καὶ μέμνησ', ὅτι
ἀνὴρ γεγένησαι δι' ἐμέ· καί σ' αἰτῶ βραχύ,
ὅπως ἔσομαί σοι Φανὸς, ὑπογραφεὺς δικῶν.

1132. ὀχεῖσθαι ἐπ' ἐλπίδος ita dici ut ὀχεῖσθαι ἐπ' ἀγκύρας et inde translatum esse ait Porson. ad Eurip. Or. 68. *E B.*

1134. ἑτεὸν, re vera. cf. 679.

1135. interrogatus a Cleone Agoracritus, utrum farcimina in *foro* (inter legitimos isiciarios, *im Metzgerschrannen*,) an ad *portas urbis* vendidisset, respondet *ad portas urbis*, hoc ipso pristinae conditionis suae vilitatem indicans. solebant enim olim vilissimae sortis homines merces suas frivolas ad portas urbium venum exponere; quoe hodieque adhuc fieri quotidie videmus. cf. 1287. K. S.: ὤνιον. εὔωνον. ὅπου τὸ ταριχοπωλεῖον, ἀντὶ (τοῦ) ὅπου τὰ εὐτελῆ πωλεῖται. Cas.: jungit salsamenta cum nullius pretii mercibus suis isiciarius, quia salsamenta erant tenuiorum cibus.

1136. πέπρ. oraculum ratum factum est, eventum habet. B.

1137. κυλ. εἴσω. ἑαυτὸν λέγει ὁ Κλ. ταῦτα δὲ (verba οἴμοι — θέσφατον intelligam potius quam hunc versum minime tragicum, quem significari putant.) ἐκ Βελλεροφόντου Εὐριπίδου. τὸ δὲ κυλίνδετ' ἀντὶ τοῦ κομίζετε. S. Cleon ita perterritus est oraculi eventu, ut vix pedibus consistere, nedum abire possit: itaque se alios, qui forte adstabant, intro volvere jubet ope machinae scenicae [vide Thesm. 272., Ach. 375.]; id quod postea factum est. annotavit B.

1138. κεί, ll. καί.

1140. εὐτυχής. μᾶλλον εὐτ., sive εὐτυχέστερος. S.: — παρῴδησε τὰ ἐξ Ἀλκήστιδος Εὐριπίδου. (175.) ἔχει δὲ οὕτως σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται, Σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως. S. cf. Soph. Ajace, 521.

1141. habent haec colorem tragoediae. S.: Ἑλλάνιος Ζεὺς ἀπὸ τοῦ ἐν Αἰγίνῃ αὐχμοῦ ποτὲ γενομένου, ὅτε Αἰακὸς συναγαγὼν τοὺς Πανέλληνας ἐξιλεώσατο τὸν Δία. τοῦτο δὲ λέγει ὁ ἀλλαντοπώλης, εἰληφὼς τὸν στέφανον. (ἄλλως,) Ἑλλάνιος δὲ Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ. S. legati Atheniensium ap. Herodotum 9, 7.: ἡμεῖς δὲ Δία τε Ἑλλήνιον αἰδεσθέντες, καὶ τὴν Ἑλλάδα δεινὸν ποιεύμενοι προδοῦναι, οὐ καταινέσαμεν etc. Cas.: — „νικητ., praemium victoriae. *palma* Latinis generale nomen est.“

1143. βραχὺ est ὀλίγον, ut Zonar. 1. p. 407., hunc locum respiciens, interpretatur, *exiguum, modicum*. B.

1144. Φανός. Σύμμαχος· φαίνεταί τις γραμματεὺς οὗτος τῶν πάνυ σπανίων. (ἄλλως.) ὄνομα κύριον· κωμῳδεῖ δὲ αὐτὸν, ὡς φιλόδημον. — ἐπὶ δήμου δὲ ὑπογραφεὺς ἐλέγετο· ὁ δὲ τοῦ βουλευτη-

ΔΗ. ἐμοὶ δέ γ', ὅ τι σοι τοὔνομ', εἰπέ.
ΑΛ. Ἀγοράκριτος.
ἐν τἀγορᾷ γὰρ κρινόμενος ἐβοσκόμην.
ΔΗ. Ἀγορακρίτῳ τοίνυν γ' ἐμαυτὸν ἐπιτρέπω,
καὶ τὸν Παφλαγόνα παραδίδωμι τουτονί.
ΑΓ. καὶ μὴν ἐγώ σ', ὦ Δῆμε, θεραπεύσω καλῶς,
ὥσθ' ὁμολογεῖν σε μηδέν' ἀνθρώπων ἐμοῦ
ἰδεῖν ἀμείνω τῇ Κεχηναίων πόλει.
ΗΜ. Τί κάλλιον ἀρχομένοισι, amphibr. tr. στ.
καὶ καταπαυομένοισιν, da. tr.
ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν; Aeol. pent.
μηδὲν ἐς Λυσίστρατον, t. d. c.
*μηδὲ Θούμαντιν ἀνέστιον αὖ

ρίου ἀντιγραφεύς. S. cf. Vesp. 1183.

1146. κριν. *litigator*, *sycophanta*, *accusator*, qui accusationibus et delationibus victum sibi quaerit. nam κρινόμενος Graecis dicitur tam de accusatore, quam de reo. Lucian. Anach. p. 281. ed. Graev.: δέδοται λόγος ἑκατέρῳ τῶν κρινομένων etc. *E Duk.*

1147. ll. claudicante versu τοίνυν ἐμαυτόν. vid. annot. ad Ran. 313.

1148. τὸν Παφλ. cf. annot. ad 2. παραδ., *arbitrio tuo subjicio*, *trado in custodiam*. τουτονί. Cleonem, qui adhuc adstiterat in scena.

1151. Κεχην. Ἀθηναίων, ὡς ληρούντων αὐτῶν. (ἄλλως.) ἔκαξε παρὰ τὸ Ἀθηναίων. ἀπὸ δὲ τοῦ κεχηνέναι ἔλαβε τὸ ὄνομα, ὡς μετέωρα τῶν Ἀθηναίων φρονούντων. S. cf. annot. ad 703.

1152. Ex Pindaro sumtus versus, cujus est sententia, *et incipientem et absolventem aliquod suave opus esse bonos laudare*. ceterum multi velut proverbialem hunc versum usurparunt, Arist. hic, Dionysius Chalcus in Elegiis, et ex eo Athen. lib. ult. (extr.) hic autem poëta Equites laudat, qui partibus suis favebant; malos contra aliquos acerbe vituperat, paupertatem et sordes aliis objiciens, aliis flagitia, aliis scelera. Cas. S.: τοῦτο ἀρχὴ προοιμίου Πινδάρου. ἔχει δὲ οὕτως τί κάλλιον ἀρχομένοισιν, ἢ (imo καὶ, siquidem ἢ incommodum est, cum sequatur alio sensu in verbis ἢ βαθ. etc.; nec raro ἢ et καὶ confusa in libris.) καταπαυομένοισιν, ἢ βαθύζωνόν τε Λατὼ, καὶ θοᾶν ἵππων ἐλάτειραν ἀείσαι; vulgo ἐλατῆρας (Rav. ἐ—ρος), quod Aristophaneae quidem sententiae convenit; at equis invectam Dianam sive Lunam novimus ex Pausania Eliac. prior. p. 324. [?], quem laudavit Hederich. in lex. mythol. p. 914. ed. Lips. ab I. I. Schwabe curatae 1770. cf. Hirtii *Bilderbuch für Mythol.* 1. p. 41. —

1155. μηδὲν ἀείδωμεν. S.: οὗτοι πένητες διεβάλλοντο· καὶ ὁ μὲν Λυσίστρατος, ὡς κόλαξ (cf. Ach. 804., Vesp. 757.), ὁ δὲ Θούμαντις, ὡς [πένης καὶ] μάντις. (macrum eum fuisse patet. Athen. 12. p. 551. citat Hermippi Comici locum: βοΐδια Λεωτροφίδου λεπτότερα καὶ Θουμάντιδος. Be.) δεῖ οὖν, φησὶ, τοὺς μὲν ἱππέας ἐπαινεῖν, ἐκείνους δὲ τοὺς πένητας μὴ διαβάλλειν.

1156. metra non congruunt. τὸν ἀνέστιον Rav. et Suid. vv. ἀνέστιος, Θούμαντις, Λυσίστρατος, quod probarunt Bentl. Dobr. et Dind. verum ne id quidem proficit, nisi etiam versus ἀντίστροφος mutetur; quod fecit Bentl., scribens ibi φασὶ μὲν γάρ. sed, si verum fateri volumus, caute admittenda sunt ejusmodi ad-

λυπεῖν ἑκούσῃ καρδίᾳ· i. d.
καὶ γὰρ οὗτος, ὦ φίλ' Ἄπολλον, gl. pol. h.
πεινῇ, θαλεροῖς δακρύοισιν a. par.
σᾶς ἁπτόμενος φαρέτρας ion. a ma. d.
*Πυθῶνι ἐν διὰ τὸ κακῶς πένεσθαι.

ΧΟ. Λοιδορῆσαι τοὺς πονηροὺς οὐδέν ἐστ' ἐπίφθονον, t. t. c., ἐπίῤῥ.
ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται.
εἰ μὲν οὖν ἄνθρωπος, ὃν δεῖ πόλλ' ἀκοῦσαι καὶ κακά,
αὐτὸς ἦν ἔνδηλος, οὐκ ἂν ἀνδρὸς ἐμνήσθην φίλου·
νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται,
ὅστις ἢ τὸ λευκὸν οἶδεν ἢ τὸν ὄρθιον νόμον,

ditamenta solius metri gratia excogitata. quare malim legi, usurpato asyndeto: *μὴ Θούμαντιν ἀνέστιον ἀῦ. Θούμαντιν ἀν.*, ut *Ἀριφράδης πονηρὸς* 1171. etc. *μὴ* hujus non inelegantis *μηδὲ* videtur esse interpretatio, qui fons est uberrimus corruptionis. ita versus fuerit dactylicus trim. hypercat. — *ἀνέστιον. ἄοικον.* gl. Vict. *ἀῦ* valet *δέι* v. ann. ad Iliad. *ε'*, 1.

1157. *ἑκ. καρδίᾳ. ἑκοντὶ*, nisi ipse nos provocaverit.

1158. — *ὦ φίλ. Ἄπ.* ridicule, quia curae sunt Apollini vates.

1159. *θαλ. δακρ. ἀντὶ τοῦ μετὰ δακρύων ἱκετεύει σε τῆς πενίας ἕνεκεν, ἀπαλλαγῆναι ταύτης ἀξιῶν. ἱκετεύει δὲ ἁπτόμενος τῆς σῆς φαρέτρας διὰ τὸ κακῶς πένεσθαι.* S.

1161. frustra Rav. *διὰ κακῶς πέν.* laborat h. l. et strophae, et antistrophae, neque obscura est causa depravationis, cum iamborum amantes sint librarii, propterea que *ἐν* h. l. et *καὶ* in versu *ἀντιστοίχῳ* addidisse videantur. (de hoc cf. 1213.) certe nullo modo ferendum est *Πυθοῖ ἐν*, nec placent Bentleji, Bekkeri, Dindorfii, conjecturae *Πυθοῖ' ἰὼν*, *Πυθῶνι ἐν δίᾳ*, *Πυθ. δίᾳ.* scribendum duce scholiasta:

Πυθῶνι διὰ τὸ κακῶς πένεσθαι.
asyn., 2 i. h.

1163. *ὅστις εὖ λογ. quicunque recte judicat*, h. e. apud aequos judices.

1164. *πολλὰ καὶ κακά.* vid. Matth. gr. §. 444, 4.

1165. *αὐτὸς*, ille quem nominaturus sum, Arignotus. ordo: *εἰ μὲν οὖν αὐτὸς ἦν ἔνδηλος ἄνθρωπος, ὃν δεῖ* etc. si cognitus esset Arignotus pravitate, digna conviciis, non meminissem ejus, qui amicus sit meus; nunc autem omnes enim norunt, qualis sit, h. e. vir probus habilisque artifex.

1166. de Arigneto citharoedo et ejus fratribus, praesertim Ariphrade, cf. Vesp. 1232. seqq.

1167. *Ἀρίσταρχος „παρὰ τὸ λεγόμενον εἴ τις οἶδε τὸ λευκὸν ἢ τὸ μέλαν.“ οἱ δὲ λέγουσιν Ἀρίγνωτον κιθαρῳδὸν, ὡς* (male codd. *ὃς*) *ᾠδὲ τὸν ὄρθιον καλούμενον νόμον, καὶ τὸν λευκὸν, (?!) οἵτινες ἐθαυμάζοντο τῷ τότε χρόνῳ. ἄλλως. παροιμία ἐπὶ τῶν πάνυ φανερῶν.* (nostrates quoque solent dicere *er kann nicht Weiss und Schwarz unterscheiden.*) *ὃ οὖν θέλει εἰπεῖν, τοιοῦτόν ἐστιν „οὐδείς ἐστιν, ὅστις οἶδε τὸ λευκὸν ἢ τὸ μέλαν, ὁ μὴ ἐπιστάμενος.“* S. recte hic schol., neque audiendus alter, qui legit in suis libris *τὸν λευκόν.* facete et praeter expectationem pro *ἢ τὸ μέλαν* dixit *ἢ τὸν ὄρθιον νόμον*, quo *νόμῳ* celeberrimo inprimis cognitus fuisse putandus est ille citharoedus,

---

ἔξελθε· σύγγνωθι τῇ τραπέζῃ. metri genus usitatissimum.

ταῖς δὲ δόξαι δεινὸν εἶναι τοῦτο, κοὐκ ἀνασχετὸν,
καί τιν' εἰπεῖν, ἥτις ἀνδρῶν ἄσσον οὐκ ἐληλύθει·
„Ἀποτρόπαι', οὐ δῆτ' ἐμοῦ γ' ἄρξει πότ', ἀλλ', ἐάν με χρῇ,
ὑπὸ τερηδόνων σαπεῖσ' ἐνταῦθα καταγηράσομαι,
οὐδὲ Ναυφάντης γε, τῆς Ναύσωνος, οὐ δῆτ', ὦ θεοί,
εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην.
ἦν δ' ἀρέσκῃ ταῦτ' Ἀθηναίοις, καθῆσθαί μοι δοκῶ
εἰς τὸ Θησεῖον πλεούσαις, ἢ 'πὶ τῶν σεμνῶν θεῶν·
οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει,
ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς Κόρακας, εἰ βούλεται,
τὰς σκάφας, ἐν αἷς ἐπώλει τοὺς λύχνους, καθελκύσας.

1194. ἥτις — ἐληλ. ἥτις ἦν οὔπω δεδομένη τριηράρχῳ, μηδὲ πλεύσασα, ἀλλὰ νεωστὶ κατασκευασθεῖσα, ἣν ἄνω εἶπε παρθένον. S.

1195. Ἀποτρ., Ἀπόλλον ἀποτρόπαιε, qui Athenis colebatur. vide Plut. 355. — ἐάν με χρῇ, si mihi necesse sit, wenn ich muss.

1196. τερηδ. σηπεδόνων, ἢ σκωλήκων? S.

1197. nomen navis *Ναυφάντη*, et ejus patris *Ναύσων*, de quo quidem Duk. evolvi jubet Suidam in *Ναύσων* et Schottum ad Vatic. App. Prov. 2, 96. loquitur de nave Nauphante, tanquam de intima, cujus fortunas ab suis separari nolit.

1198. κἀγὼ, etiam ego, ut ceterae naves. sensus totius orationis hic est: *non perferam istud malum, si navis sum.* si vir esset, dixisset: *si vir sum.* S.: ὡσανεὶ ἔλεγεν „εἰπερ ἐξ ἀνθρώπων εἰμὶ κἀγώ."

1200. εἰς τὸ Θησ. ἐνταῦθα οἱ καταφεύγοντες τῶν οἰκετῶν ἀσυλίαν εἶχον. (πλεούσαις, navigantibus, h. e. navigabunt naves, cum solvet Hyperbolus.) ἐπὶ τῶν σ. θ. εἰς τὸ Ἐριννύων ἱερόν. καὶ ἐνταῦθα δὲ οἱ σῖκέται ἔφευγον. S. de asyli jure, Theséo et Eumenidum templo cf. Petit. Comm. de legg. att. p. 79. seqq. et not. ad eum. add. Phot. v. Θησεῖον p. 72. B. nunc inprimis hac de re evolvendus est doctissimi Henr. Walloni liber „Du droit d' asyle," Paris., 1837.

1201. ἐγχαν. καταπτύσειεν, ἐνυβρίσειεν. (ἐγχαίνειν est irridendi alicujus causa hiare, vel sannam illi facere. *Cas.* v. Nub. 1376., Zonar., 1, 610. B.) σκάφας δὲ τὰ ξύλινα ἀγγεῖα. (imo cymbas, naviculas, ita dictas per contemtum.) πάλιν δὲ ὡς λυχνοπώλην αὐτὸν διαβάλλει. S. καθελκ. *in mare deducens.* K.

1202. πλείτω active, ut Eurip. Iph. Taur. 377. cf. Matth. gr. §. 496, 2. — εἰ βούλ. formula non curantis, quid alter faciat.

ΑΓΟΡΑΚΡΙΤΟΣ. ΧΟΡΟΣ. ΔΗΜΟΣ.

ΑΓ. Εὐφημεῖν χρὴ, καὶ στόμα κλείειν, καὶ μαρτυριῶν ἀπέχεσθαι, a. Arist.
καὶ τὰ δικαστήρια συγκλείειν, οἷς ἡ πόλις ἥδε γέγηθεν,
ἐπὶ καιναῖσιν δ' εὐτυχίαισιν παιωνίζειν τὸ θέατρον.
ΧΟ. ὦ ταῖς ἱεραῖς φέγγος Ἀθήναις, καὶ ταῖς νήσοις ἐπίκουρε,
τίν' ἔχων φήμην ἀγαθὴν ἥκεις, ἐφ' ὅτῳ κνισῶμεν ἀγυιάς;
ΑΓ. τὸν Δῆμον ἀφεψήσας ὑμῖν καλὸν ἐξ αἰσχροῦ πεποίηκα.
ΧΟ. καὶ ποῦ 'στι τὸ νῦν, ὦ θαυμαστὰς ἐξευρίσκων ἐπινοίας;

1204. constituitur hic actus 5. scena. 1. B. εὐφ. χρή. velut in sacris. festum et justitium indicit Agoracritus propter recoctum ab se Populum.

1205. συγκλείειν, simul claudere; ridicule, quia dixit στόμα κλείειν. S.: οἷς — γέγηθεν. (gaudere solet.) ὅτι φιλόδικοι ἦσαν Ἀθηναῖοι. παιωνίζειν δὲ ὕμνον [παιᾶνα] ἄδειν.

1207. ταῖς ἱεραῖς. cf. 537.

1208. ἐφ. ὅτῳ κν. ἀγ. — ἔθος ἦν τοῖς ἐν ἀγυιαῖς ἱσταμένοις θεοῖς ἐπὶ ταῖς ἐρχομέναις ἀγγελίαις θύειν, ὡς ἂν, εἰ ἀγαθαὶ εἶεν, ἐπινεύσαιεν ταύταις, εἰ δὲ τοὐναντίον, ἀποτρέψαιεν. S. cf. Av. 1150.

1209. ἀφεψ. καλῶς, ὡς μάγειρος, ὥσπερ ἡ Μήδεια λέγεται, ὡς μὲν Αἰσχύλος ἱστορεῖ, τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασα ἀνανεάσαι ποιῆσαι μετὰ τῶν ἀνδρῶν αὐτῶν (in Nutricibus Bacchi. vide fr. 1, p. 26. nostrae ed.)· ὡς δ' ὁ τοὺς Νόστους ποιήσας καὶ τὸν Αἴσονα, λέγων οὕτως αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα, Γῆρας ἀποξύσασ' ἰδυίῃσι πραπίδεσσι, Φάρμακα πολλ' ἔψουσ' ἐπὶ χρυσείοισι λέβησι. Φερεκύδης δὲ καὶ Σιμωνίδης τὸν Ἰάσονα. S.

1210. numeri inertes sunt vulgatae scripturae κ. ποῦ 'στιν νῦν etc.

ΑΓ. ἐν ταῖσιν ἰοστεφάνοις οἰκεῖ, ταῖς ἀρχαίαισιν Ἀθήναις.
ΧΟ. *πῶς ἂν ἴδοιμεν, ποίαν ἔχει σκευήν, καὶ ποῖος γεγένηται;
ΑΓ. οἷός περ Ἀριστείδη πρότερον καὶ Μιλτιάδη ξυνεσίτει.
ὄψεσθε δέ· καὶ γὰρ ἀνοιγνυμένων ψόφος ἤδη τῶν προπυλαίων.
ἀλλ' ὁλολύξατε φαινομέναισιν ταῖς ἀρχαίαισιν Ἀθήναις,
καὶ θαυμασταῖς, καὶ πολυύμνοις, ἵν' ὁ κλεινὸς Δῆμος ἐνοικεῖ.
ΧΟ. ὦ ταὶ λιπαραί, καὶ ἰοστέφανοι, καὶ ἀριζήλωτοι Ἀθῆναι,
δείξατε τὸν τῆς Ἑλλάδος ἡμῖν καὶ τῆς γῆς τῆσδε μόναρχον!
ΑΓ. ὃδ' ἐκεῖνος ὁρᾷν τεττιγοφόρας, ἀρχαίῳ σχήματι λαμπρὸς,

plerique codd. καὶ ποῦ 'στι νῦν. rapuit articulum — τι praecedens.

1111. *ἰοστ.* cf. Ach. 603.

1212. laboranti metro alii alio modo sucurrerunt. Br. *π. ἂν ἴδ.* (libri male *ἴδωμεν*), *τίν' ἔχει σκ., καὶ ποῖός τις γεγ.*; rectius, alios ut omittam, Dind.: *π. ἂν ἴδ., ποίαν τιν' ἔχει σκ.; ποῖος γεγ.* malim tamen poni, quod verisimilius elegantiusque est, *ποίαν ἄρ' ἔχει σκ., ποῖος γεγ.*, vel — *π. ἄρ' ἔχων σ. π. γ.*;

1213. *ξυνεσίτει.* respicit ad convivia in prytaneo agitari solita. *Cas.*

1214. *προπ.* intelligendae, ni fallor, fores vestibuli, quibus apertis conspiciebatur interior domus Populi. minus verisimile est, quod Casaubono videbatur, in theatro machinam fuisse exstructam, quae veteris urbis Athenarum imaginem monstraret.

1217. S.: *ἀπὸ Πινδάρου παρῴδηται.* (idem ad Nub. 296.: *λιπαρὰν εὐθαλῆ.* (cf. 498.) — *Πίνδαρος λιπαραὶ καὶ ἀοίδιμοι, Ἑλλάδος ἕρεισμα, κλειναὶ Ἀθᾶναι.*) *ἀριζ. κλήρεις ἢ γέμουσαι κατορθωμάτων.*

1218.—1220. *μόναρχον.* adulatorie dictum (quo deleniait populum, male acceptum in hac fabula): nunquam enim factum, ut totius Graeciae principatum obtinerent Athenn. *Cas.* his dictis in scenam prodit Demus, in adolescentem ex sene mutatus et ornatu illo splendens. — B.

1219. libri *τεττιγοφόρος*, claudicante versu, nec bene Br. *τῷ ἀρχαίῳ.* Porson. ap. Dobr.: „cum in his versibus dithyrambicas ampullas affectet Comicus, lege cum Hesychio MS. *τεττιγοφόρας, ἀρχ.* vid. Valck. ad Eurip. Phoen. 120.“ S.: *τεττ. ἔθος ἦν τοῖς Ἀθηναίοις τοπάλαι τέττιξι χρυσοῖς ἀναδεῖσθαι τὴν κόμην, ὡς Θουκυδίδης* (1, 6.). *οὕτως οἱ εὐγενεῖς ἐφόρουν παῖδες, καὶ ἄνδρες, ἐμπλέκοντες τῇ κεφαλῇ.* S. Nub. 955.: *ἀρχαῖά γε καὶ Διπολιώδη, καὶ τεττίγων ἀνάμεστα.* ibi S. inter alia: *οἱ ἀρχαιότατοι τῶν Ἀθηναίων τέττιγας χρυσοῦς ἐν τοῖς τῶν τριχῶν πλέγμασιν εἶχον, διότι οἱ τέττιγες μουσικοὶ ὄντες ἀνάκεινται τῷ Ἀπόλλωνι, ὃς ἦν πατρῷος τῇ πόλει. τὰ δὲ Διπόλεια τῶν ἀρχαιοτάτων ἑορτῶν, τὰ καὶ Διάσια.* (ἄλλως.) *τοὺς δὲ τέττιγας παρέλαβον, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσῷ ἐχρῶντο τέττιγι, τεκμήριον, ὅτι αὐτόχθονες ἦσαν οἱ Ἀθην., ὡς οἱ τέττιγες.* καὶ Θουκυδ. (1, 6.) *καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων διὰ τὸ ἀβροδίαιτον οὐ πολὺς χρόνος ἐπειδὴ γιτῶνάς τε λινοῦς* (H. Voss. in annot. ad h. l. Equitum: *altväterisch glänzendes Anzuge*, d. h. in weisser

οὐ χοιρινῶν ὄζων, ἀλλὰ σπονδῶν, σμύρνῃ κατάλειπτος.
ΧΟ. χαῖρ', ὦ βασιλεῦ τῶν Ἑλλήνων! καί σοι ξυγχαίρομεν ἡμεῖς·
τῆς γὰρ πόλεως ἄξια πράττεις καὶ τοῦ Μαραθῶνι τροπαίου.
ΔΗ. ὦ φίλτατ' ἀνδρῶν, ἐλθὲ δεῦρ', Ἀγοράκριτε. i. tr.
ὅσα με δέδρακας ἀγάθ' ἀφεψήσας!
ΛΓ. ἐγώ;
ἀλλ', ὦ μέλ', οὐκ οἶσθ', οἷος ἦσθ' αὐτὸς πάρος,
οὐδ' οἷ' ἔδρας· ἐμὲ γὰρ νομίζοις ἂν θεόν.
ΔΗ. τί δ' ἔδρων πρὸ τοῦ, κάτειπε, καὶ ποῖός τις ἦ.
ΛΓ. πρῶτον μέν, ὁπότ' εἶποι τις ἐν τῇκκλησίᾳ,
„Ὦ Δῆμ', ἐραστής εἰμι σὸς, φιλῶ τέ σε,
καὶ κήδομαί σου καὶ προβουλεύω μόνος,"
τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις,
ἀνωρτάλιζες, κἀκερουτίας.
ΔΗ. ἐγώ;
ΛΓ. εἶτ' ἐξαπατήσας σ' ἀντὶ τούτων ᾤχετο.
ΔΗ. τί φής; τοιαῦτά μ' ἔδρων, ἐγὼ δ' οὐκ ἠσθόμην;

zottiger Leintracht, womit Einige Athens fabelhaften Ursprung zu begründen meinten.) ἐπαύσαντο φοροῦντες, καὶ χρυσῶν τεττίγων ἐνίρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν. plura de his cicadis referentes, praeter Thucydidis interpp., laudantur Aelianus V. H. 4, 22., Athen. et grammatici, item Scal. ad Virg. Catal. p. 55. et Lennep. ad Coluth. p. 55.

1220. χοιρ. ὅτι χοιρίναις ἐχρῶντο πρότερον πρὸ τῶν ψήφων, εἰσὶ δέ τινες κόγχαι θαλάσσιαι. σπονδῶν δὲ, τῶν τῆς εἰρήνης. S. κατάλ. κατάστακτος, ἀπὸ τοῦ καταλείβω. gl. Vict. — σμύρνα est amyris Kataf Linn., myrrha, der arab. Balsamstrauch. vid. Billerbeck. Flor. class. p. 98.

1221. καί σοι ξυγχ. ἡμεῖς. hyperbaton pro καὶ ἡμεῖς ξυγχαίρομέν σοι.

1225. αὐτὸς, ipse per te, quod attinet ad speciem et habitum, quibus opponuntur facta.

1230. μόνος, solus, praeter ceteros.

1232. ἄνωρτ. ἐμετεωρίζου καὶ μέγα ἐφρόνεις. ἢ ἀντὶ τοῦ ἀνεκουφίζου, ὠρχοῦ, ἐκήρου, καὶ ταχέως ἐπίστευες, πρὶν δοκιμάσῃς. ὀρταλίζειν δὲ (ἀρ) λέγεται ἐπὶ τῶν ἀρχομένων ἀναπτερύσσεσθαι ὀρνίθων. ἄλλως. δρω ἔστι ῥῆμα βαρύτονον· ἔνθεν (Iliad. μ', 279.) ὅτε τ' ὦρετο μητιέτα Ζεύς. ἀφ' οὗ ὄνομα ῥηματικὸν ὄρτος, καὶ ὀρτῶ ῥῆμα. τὸ δὲ ὀρτῶ ῥῆμα ποιεῖ τὸ ὀρτίζω, καὶ πλεονασμῷ τῆς αἰ συλλαβῆς ὀρταλίζω. δηλοῖ δὲ τὸ ὀρταλίζειν τὸ ἀναῤῥιπτεῖν τὰ νήπια τῶν παιδίων, οἷον ὀρούειν ποιεῖν εἰς ὕψος. — κἀκερ. τὴν κεφαλὴν ἀνέτεινας δίκην τῶν κερατοφόρων ζώων, ὅτι εὐειδῆ. — δηλοῖ δὲ τὸ γαυριᾶν. ὡς ἔλαφος, φησὶν, ἡγάλλου τοῖς κέρασιν. — S.

1233. ἀντὶ τούτων. ἀντὶ τοῦ φιλεῖν σε καὶ κήδεσθαί σου. S.

1234. mendose Rav. τί φής; ταυτί μ' ἔδρων, ἐγὼ δὲ τοῦτ' οὐκ ᾔδειν; nec probabiliter D.

ΑΓ. τὰ δ' ὦτα γάρ σου νὴ Δί' ἐξεπετάννυτο,
ὥσπερ σκιάδειον, καὶ πάλιν ξυνήγετο.
ΔΗ. οὕτως ἀνόητος ἐγεγενήμην, καὶ γέρων;
ΑΓ. καὶ νὴ Δί' εἴ γε δύο λεγοίτην ῥήτορε,
ὁ μὲν ποιεῖσθαι ναῦς μακρὰς, ὁ δ' ἕτερος αὖ
καταμισθοφορῆσαι τοῦθ', ὁ τὸν μισθὸν λέγων
τὸν τὰς τριήρεις παραδραμὼν ἂν ᾤχετο. —
οὗτος, τί κύπτεις; οὐχὶ κατὰ χώραν μενεῖς;
ΔΗ. αἰσχύνομαί τοι ταῖς πρότερον ἁμαρτίαις.
ΑΓ. ἀλλ' οὐ σὺ τούτων αἴτιος (μὴ φροντίσῃς),
ἀλλ' οἵ σε ταῦτ' ἐξηπάτων. νῦν δὴ φράσον.
ἐάν τις εἴπῃ βωμολόχος ξυνήγορος
„Οὐκ ἔστιν ὑμῖν τοῖς δικασταῖς ἄλφιτα,

τί φῄς;
ταυτί μ' ἔδρων, ἐγὼ δὲ τοῦτ' οὐκ ᾐσθόμην;

longe elegantiora sunt vulgata; neque id praeteriit Beckium.

1236. σκιάδ. σκέπασμά τι, ὅπερ αἱ γυναῖκες (αἱ κανηφόροι Victor.) παρὰ τοῖς Ἀθηναίοις ἔχουσι θέουσαι (εἰς τὰ Ἐλευσίνια Victor.) ὑπὲρ τοῦ μὴ καίεσθαι τὰς ὄψεις ὑπὸ τοῦ ἡλίου. ἐκτείνεται δὲ καὶ συστέλλεται πρὸς τὸν κατεπείγοντα καιρόν. S. cf. Av. 1405., 1447., Thesm. 781, 787. Cas.: convicium in marrucinos et stupidos *habet asininas aures*. (eo Persius spectans sat. 1, 121.: *auriculas asini Mida rex habet.*) id convicium de populo Athen. palam enunciare poëta non est ausus: figura igitur usus est. ait populum habuisse aures umbellae similes, i. e. admodum vastas; et, quemadmodum umbellae modo contrahuntur, modo expanduntur, cum illis utimur, sic ait populum Athen. modo usum, modo non usum esse suis auribus.

1237. καὶ γέρων. h. e. *καίπερ γέρων, idque senex*, quem prudentem esse convenit?

1238. ita Dobr., D. vulgo κ. νὴ Δία γ' εἰ δύω λεγ. ῥ., cum δύω non sit atticum. δύο plures codd. Br. et Bekk. καὶ νὴ Δία γ' εἰ δύο σοι λ. ῥ. numeris parum venustis, nec bene collocato verbo δύο.

1239. ναῦς μακράς, *naves longas* (nam sic etiam Latini), h. e. bellicas. cf. 1264.

1240. ita membr. Paris., et recte. τοῦτο, τὸ δαπάνημα εἰς τὰς ναῦς, ut interpretatur Br. perperam alii libri καταμ., τοῦτον ὁ τὸν etc. S.: καταμ. εἰς μισθὸν ἀναλῶσαι, μισθὸν διδόναι ἐν τῇ ἐκκλησίᾳ καὶ τοῖς δικαστηρίοις, τὸν δικαστικὸν καὶ ἐκκλησιαστικόν. παραδραμὼν δὲ παρευδοκιμήσας. hoc dicit, si alter oratorum rogaverit populum, ut triremes aedificare jubeat, quibus vel maxime opus ad bellum; alter autem eo argento mercedem judicum aut concionalem augendam esse dicat, quo minime opus facto, tamen ejusmodi nugatorem solitum esse vincere non sine detrimento reip.

1242. τί κύπτεις; ὡς αἰσχυνθέντος αὐτοῦ. δεῖ δὲ νοεῖν, ὅτι ὁ Δῆμος ἀκηκοὼς ταῦτα ὑπὸ αἰδοῦς κατέκυπτε, καὶ εἰς τὴν γῆν ἀτενῶς ἀπέβλεπεν, αἰδούμενος ἐφ' οἷς ἐδόκει μὴ καλῶς πράττειν. S. οὐχὶ — μενεῖς; his verbis manere jubet Populum aufugientem pudore. cf. 1094.

1244. μὴ φρ., *ne solicitus sis*. nota formula.

1246. βωμ. συκοφαντικός. cf. Nub. 888. etc. gl. Victor.: ξυνήγορος. προστάτης ὑπέρ τινων λέγων.

εἰ μὴ καταγνώσεσθε ταύτην τὴν δίκην,"
τοῦτον τί δράσεις, εἰπέ, τὸν ξυνήγορον;
ΔΗ. ἄρας μετέωρον ἐς τὸ βάραθρον ἐμβαλῶ,
ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας Ὑπέρβολον.
ΑΓ. τουτὶ μὲν ὀρθῶς καὶ φρονίμως ἤδη λέγεις·
τὰ δ' ἄλλα φέρ' ἴδω πῶς πολιτεύσει φράσον.
ΔΗ. πρῶτον μέν, ὁπόσοι ναῦς ἐλαύνουσιν μακράς,
καταγομένοις τὸν μισθὸν ἀποδώσω 'ντελῆ.
ΑΓ. πολλοῖς γ' ὑπολίσφοις πνγιδίοισιν ἐχαρίσω.
ΔΗ. ἔπειθ' ὁ πολίτης ἐντεθεὶς ἐν καταλόγῳ
οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται,
ἀλλ' ὥσπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.
ΑΓ. τοῦτ' ἔδακε τὸν πόρπακα τοῖ Κλεωνύμου.

1248. εἰ μὴ κατ. εἰ μὴ καταχειροτέτε, καὶ καταδικάσετε. S. Cas.: tacite docet poëta, delatoribus (imo rabulis adimendam esse potestatem vexandorum bonorum; quae vel praecipua semper fuit cura Imperatorum proborum, tunc autem Athenis solitus pop. a quadruplatoribus impelli ad condemnationem reorum spe publicationis bonorum. (ξυνήγοροι non delatores erant, sed tum causarum patroni, tum magistratus, qui in concione dicebant. — B. sed in hoc tamen illi similes delatoribus, quod lucri causa condemnabant reos.)

1250. βαρ. τόπος Ἀθήνησι βαθὺς, ὅπου καὶ τοὺς Δαρείου πρέσβεις ἔβαλλον. — S. cf. Plut. 427.

1251. ὅταν γὰρ κατεπόντουν τινὰς, βάρος ἀπὸ τῶν τραχήλων ἤφεμον. ἀντὶ δὲ τοῦ εἰπεῖν λίθον, Τπέρβολον εἶπε. (stuporem hominis significans. cf. Nub. 1156.) φαίνεται δὲ ὁ Τπ. ἤδη εἰσβὰς τὴν πολιτείαν. λέγεται δὲ καὶ φάρυγξ.

1254. ναῦς μακράς. πολεμίας, ταῖς τριήρεις δέ φησι. τὰ δὲ στρογγύλα πλοῖα φορτηγά εἰσιν. S. cf. 1251.

1255. κατ. appellentibus, portum subeuntibus. contra qui solvunt o portu, dicuntur ἀνάγεσθαι, ut notavit Cas.

1256. ὑπολίσποις. — ὑπόλισπα τὰ τετριμμένα. κοινῶς γοῦν τοὺς Ἀθηναίους λισπόκνγάς φασι. — νῦν δὲ οἰκείως εἶπεν ἐπὶ τῶν ἠρεσσόντων διὰ τὴν καθέδραν λεπτοκώλων ὄντων. — S. recte Br. et D. ed. Didot. ὑπολίσφοις. Moeris p. 145.: λίσφους ἀττικῶς· ἀπύγους ἑλληνικῶς. Ran. 779. quidem λίσπη γλῶσσ', ut in chorico cantico; „sed in senariis," inquit, „alia res est, in quibus non solet Comicus ab usu suae dialecti recedere." cf. Phrynich. Lobeck. p. 113.

1257. ἐν κατ. [ἐν τῷ καταλόγῳ,] ἐν τοῖς πίναξιν, ἐφ' ὧν ἐνέγραφον τῶν στρατευομένων τὰ ὀνόματα. ἐκαλοῦντο γὰρ κατάλογοι. κατὰ σπουδὰς δὲ κατὰ ἄλλον σπουδήν. S. in historicis Athenn. passim fit mentio hujus catalogi, in quo descripti erant, quicunque nomen militiae dedissent; et κατάλογον sic dixerunt, ut Latini illud album sive latercalum appellarunt numeros. ibi erat descriptus quisque, prout militabat. militiae autem multi sunt gradus, alii honestiores, alii minus: unde locus fraudi, quam hic Arist. tangit, cum exempli causa qui erat centurio adscriptus, postea studio alicujus improbi inter praefectos manipulorum rescriptus fuerat, aut contra. *Cas.*

1260. τὸν πόρπ. δειλὸς γὰρ καὶ ῥίψασπις ὁ Κλεώνυμος, οὐ καὶ ἐν Νεφέλαις (347.) μέμνηται. S. est manubrium clipei, sed hic clipeum

ΔΗ. οὐδ' ἀγοράσει γ' ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ.
ΑΓ. ποῦ δῆτα Κλεισθένης ἀγοράσει, καὶ Στράτων;
τὰ μειράκια ταυτὶ λέγω τἀν τῷ μύρῳ,
ἃ στωμυλεῖται τοιαδὶ καθήμενα
„Σοφός γ' ὁ Φαίαξ, δεξιῶς τ' οὐκ ἀπέθανε·
ξυνερκτικὸς γάρ ἐστι, καὶ περαντικός,
καὶ γνωμοτυπικός, καὶ σαφῆς, καὶ κρουστικός,
καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ."
οὔκουν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ;
ΔΗ. μὰ Δί', ἀλλ' ἀναγκάσω κυνηγετεῖν ἐγὼ
τούτους ἅπαντας, παυσαμένους ψηφισμάτων.
ΑΓ. ἔχε νυν ἐπὶ τούτοις τουτονὶ τὸν ὀκλαδίαν,
καὶ παῖδ' ἐνόρχην, ὅσπερ οἴσει τόνδε σοι·

totum intelligit. sensus est: si nullus sit locus gratiae, Cleonymum, qui honestum locum in catalogo obtinebat, relatum iri inter probrosos. erat enim hic ignavia infamis. *Cas.* — multis in locis timiditatem ei Comicus exprobrat. Br. cf. 1182., Pac. 648. seqq. etc.

1261. *ἀγενείους* (proprie imberbes. Zon. 1. p. 22. *ἀγένειος: μειράκιον.* B.) hic accipio impudicos, quibus non licuisse concionari tradit S. 817. nam tales erant Clisthenes et Straton, ut hic S.

1262. *Κλ. καὶ Στράτων. γύννιδες οὗτοι καὶ πιττούμενοι τὰ γένεια, λεῖοι δὲ* (malim *δὴ*) *καὶ μαλακοί.* S.

1263.—1268. falso haec sub Populi persona legnntur in codicibus. — *ἐν τῷ μύρῳ. οὕτως ἀττικῶς (Ἀττικοὶ) ἀντὶ τοῦ ἐν μυροπωλείῳ, ἀπὸ τῶν πωλουμένων τοὺς τόπους καλοῦντες.* S. cf. Ran. 1007.

1264. *ἃ στωμ.* Ran. 1050. *τῶν μειρακίων στωμυλλομένων. Bs.*

1265. *δεινὸς ῥήτωρ ὁ Φαίαξ οὗτος, ὡς καὶ ἀποφεύγειν ἐπὶ θανάτῳ, ἐπ' αὐτοφώρῳ κρινόμενος. κωμῳδεῖται δὲ ὡς παρακρούων τὰ μειράκια, καὶ ἐξαπατῶν.* S. de Phaeace Plut. Alcib. 13.: *ἦν γάρ, ὡς Εὔπολίς φησι, λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν,* ad quem locum vid. Bähr. „— quae sequuntur, sunt pleraque ambiguae significationis, et ad obscoenum sensum auditorum mentem deflectebant." *Br. secundum Cas.* — ceterum B Paris. *δεξιὸς ὁ Φαίαξ καὶ σοφῶς οὐκ ἀπ.*, et similiter codex C, quae videtur esse *διττογραφία.*

1266. seqq. *συνερκτικός.* (vid. Schneider. lex. gr. h. v.) *συνείρειν τοὺς λόγους καὶ συντιθέναι δυνάμενος εὐκάλως.* (quasi legisset *συνειρκτικός. συνειρστικὸς* habetur ap. Suid. in *Φαίαξ*) *περαντ. δὲ πέρας ἐπιτιθεὶς τοῖς λόγοις. κρουστ. τὰ ὦτα τῶν ἀκροωμένων κρούων τῇ σφοδρότητι τῶν λόγων.* (ad dicendi artem referuntur *κροῦσις καὶ καταλήψις* Nub. 312. *Bs.*) *καταληπτ. προκαταλαμβανόμενος τοὺς ἀκούοντας, ὥστε θόρυβον μὴ κινῆσαι.* S. „de voce *γνωμ.*, *sententias cudens*, v. ad Ran. 830." B.

1269. *καταδακτυλίζειν* verbum est nequam. Hesych. *σιφνιάζειν, καταδακτυλίζειν. διαβέβληνται γὰρ οἱ Σίφνιοι ὡς παιδικοῖς χρώμενοι.* — *Br.*

1272. *ἐπὶ τούτοις, hac conditione. ὀκλαδίας συγκεκλασμένος δίφρος, καὶ ποτὲ μὲν ἐντεινόμενος, ποτὲ δὲ συστελλόμενος.* (*ein Feldstuhl.*) S. Phot. p. 238. *ὀκλαδίας: δίφρος, ὃν οἱ ἀκόλουθοι τοῖς πλουσίοις εἰς ἀγορὰν ἠκολούθουν φέροντες.* add. Zonar. 2, 1438. B.

1273. *ἐπειδὴ παρὰ τοῖς βαρβάροις σπάδωνες, οὗτος ἐνόρχην δίδωσι.* S.

κἄν που δοκῇ σοι, τοῦτον ὀκλαδίαν ποίει.
ΔΗ. μακάριος ἐς τἀρχαῖα δὴ καθίσταμαι!
ΑΓ. φήσεις γ', ἐπειδὰν τὰς τριακοντούτιδας
σπονδὰς παραδῶ σοι. δεῦρ' ἴθ', αἱ Σπονδαί, ταχύ!
ΔΗ. ὦ Ζεῦ πολυτίμηθ', ὡς καλαί! πρὸς τῶν θεῶν,
ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι;
πῶς ἔλαβες αὐτὰς ἐτεόν;
ΑΓ. οὐ γὰρ ὁ Παφλαγὼν
ἀπέκρυπτε ταύτας ἔνδον, ἵνα σὺ μὴ λάβοις;
νῦν οὖν ἐγώ σοι παραδίδωμ' εἰς τοὺς ἀγροὺς
αὐτὰς ἰέναι λαβόντα.
ΔΗ. τὸν δὲ Παφλαγόνα,
ὃς ταῦτ' ἔδρασεν, εἶφ' ὅ τι ποιήσεις κακόν.
ΑΓ. οὐδὲν μέγ', ἀλλ' ἢ τὴν ἐμὴν ἕξει τέχνην,
ἐπὶ ταῖς πύλαις ἀλλαντοπωλήσει μόνος,
τὰ κύνεια μιγνὺς τοῖς ὀνείοις — πράγμασι,
μεθύων τε ταῖς πόρναισι λοιδορήσεται,
κἀκ τῶν βαλανείων πίετ' ἂν τὸ λούτριον.

1275. ἐς τἀρχαῖα καθ., in pristinum statum ac dignitatem, quae olim fuit, restitutus sum. „dicit haec Demus, dum sellam occupat" etc. B.

1276. ita D. libri minus bene φήσεις δ'. S. τριακ. πόρνας εἰσφέρει. (εἰσάγει.) διὸ καὶ φησὶν ἔξεστιν αὐτῶν κατατρ., τοντέστιν εἰς συνουσίαν λαβεῖν. S. harum tricennalium induciarum et Thucydidem 1, 115., 2, 2., et Diodorum Sic. 12, 2. aliosque meminisse ait Cas. cf. S. ad 1282. „sic et in Pace 681. seqq. Oporam et Theoriam quasi meretrices introducit." Be.

1281. λάβοις Br., Bekk., D., recte, quia haec horum est sententia: occultavit, ne tu acciperes. libri solito errore λάβῃς, quasi Inducias illas non acceperit Demus. S.: μετὰ τὴν Κλέωνος καὶ Βρασίδου τελευτὴν σπονδαὶ τοῖς Πελοποννησίοις καὶ Ἀθηναίοις ἐγένοντο τριακοντούτιδες. οὗτοι γὰρ ἠναντιοῦντο τῇ εἰρήνῃ· ἀποθανόντων δὲ αὐτῶν ἐγένοντο σπονδαί. (Olymp. 89, 3., ante Chr. nat. 422.)

1286. asyndeton ἐπεξηγητικόν. — ἐπὶ ταῖς πύλαις. cf. 1136.

1288. συμφύρων τὰ τῆς πόλεως πράγματα, ὅτι καὶ οἱ μάγειροι τὰ κρέα μιγνύουσιν. ἔθος γὰρ αὐτοῖς μιγνύειν κρέα προβάτων τε καὶ αἰγῶν, καὶ προτιθέναι ὡς μόνων προβάτων, καὶ ἐξαπατᾶν τοὺς ἀφελεστέρους. S. annotavit Cas., veteres esitasse et asini et canis carnes, quarum etiam medici mentionem faciant; ipsumque Hippocratem passim commendare carnem catulinam. „pro κρέασι praeter expectationem dixit πράγμασιν, ut simul ad impudentiam et stultitiam ejus in rebus gerendis alluderet." B.

1289. vulgo κ. τ. βαλ. αὖ τὸ λοῦτρον πίεται. αὖ, rursus. at hoc antea non fecit Cleo, quod sciamus. nec λοῦτρον apta rei vox est, sed λούτριον. Hesych. λούτριον, τὸ ὑγιαρὸν ὕδωρ etc. Lucian., quem Duk. laudavit, Lexiph. ed. Reitz. 2. p. 326.: καὶ δέος μὴ ἐν λουτρίῳ ἀπολουσώμεθα. igitur D. κἀκ τῶν βαλ. πίεται τὸ λούτριον. sed verosimile est, ἂν forte in αὖ mutatum esse, ut

ΔΗ. εὖ γ', ἐπενόησας, οὗπέρ ἐστιν ἄξιος,
πόρναισι καὶ βαλανεῦσι διακεκραγέναι·
καί σ' ἀντὶ τούτων ἐς τὸ πρυτανεῖον καλῶ,
ἐς τὴν ἑδραν θ', ἵν' ἐκεῖνος ἦν ὁ φαρμακός.
ἔπου δὲ ταυτηνὶ λαβὼν τὴν βατραχίδα·
κἀκεῖνον ἐκφερέτω τις ὡς ἐπὶ τὴν τέχνην,
ἵν' ἴδωσιν αὐτὸν, οἷς ἐλωβᾶθ', οἱ ξένοι.

ΧΟ. (λείπει κομμάτιον τοῦ Χοροῦ.)

alias non semel. ceterum librarii videntur trajecisse verba, ex quo scriptum fuit λοῦτρον pro λούτριον, ut versus restitueretur.

1291. διακ. *identidem* (quae vis est praepositionis διὰ in compositione, ut notavit K.) *clamare*, h. e. maledicere atque conviciari.

1293. ὁ φαρμακός. cf. ann. ad 1034. Ran. 686. S.: φαρμακοῖσιν, τοῖς λεγομένοις καθάρμασι.

1294. βατρ. εἶδος ἐσθῆτος ἀνθινῆς, ὅμοιον τῷ ὀνόματι ἐχούσης τὸ χρῶμα. S. cf. annot. ad 434.

1295. ἐκφερ. αἰρόμενος ἐκφέρεται ὁ Κλέων. — S.

1296. οἷς Rav., Bekk., D. vulgo οὕς.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΑΙ.

ΥΠΟΘΕΣΙΣ.

Πρεσβύτης τις Στρεψιάδης, ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς, δεῖται τούτου, φοιτήσαντα ὡς τὸν Σωκράτην μαθεῖν τὸν ἥττονα λόγον, εἴ πως δύναιτο τὰ ἄδικα λέγων ἐν τῷ δικαστηρίῳ τοὺς χρήστας νικᾶν, καὶ μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδοῦναι. οὐ βουλομένου δὲ τοῦ μειρακίσκου διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν, μαθητὴν τοῦ Σωκράτους ἐκκαλέσας τινὰ, διαλέγεται. ἐκλυθείσης δὲ τῆς διατριβῆς οἵ τε μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται, καὶ αὐτὸς ὁ Σωκράτης ἐπὶ κρεμάθρας αἰωρούμενος, καὶ ἀποσκοπῶν τὰ μετέωρα, θεωρεῖται. μετὰ ταῦτα τελεῖ παραλαβὼν τὸν πρεσβύτην, καὶ τοὺς νομιζομένους παρ' αὐτῷ θεοὺς, Ἀέρα [1]), προσέτι δὲ καὶ Αἰθέρα [1]), καὶ Νεφέλας [1]), κατακαλεῖται. πρὸς δὲ τὴν εὐχὴν εἰσέρχονται αἱ Νεφέλαι ἐν σχήματι Χοροῦ, καὶ, φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους, ἀποκαταστᾶσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ δὲ ταῦτα ὁ μὲν πρεσβύτης διδασκόμενος ἐν τῷ φανερῷ τινα τῶν μαθημάτων γελωτοποιεῖ, καὶ, ἐπειδὴ διὰ τὴν ἀμαθίαν ἐκ τοῦ φροντιστηρίου ἐκβάλλεται, ἄγων πρὸς βίαν τὸν υἱὸν συνίστησι τῷ Σωκράτει. τούτου δὲ ἐξαγαγόντος αὐτῷ ἐν τῷ θεατρῷ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, διαγωνισθεὶς πρὸς τὸν δίκαιον λόγον, καὶ παραλαβὼν αὐτὸν, ὁ ἄδικος λόγος ἐκδιδάσκει [2]). κομισάμενος δὲ αὐτὸν ὁ πατὴρ ἐκπεπονημένον ἐπηρεάζει τοῖς χρήσταις, καὶ, ὡς κατωρθωκότος, εὐωχεῖ παραλαβών. γενομένης δὲ περὶ τὴν εὐωχίαν ἀντιλογίας πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς βοὴν ἵστησι, καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδὸς, ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν ἀντιτύπτεσθαι, ὑπεραλγῶν διὰ τὴν πρὸς τὸν υἱὸν σύγκρουσιν ὁ γέρων κατασκάπτει καὶ ἐμπίπρησι τὸ φροντιστήριον τῶν Σωκρατικῶν [3]). τὸ δὲ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων.

Annotationes. 1) rationem horum naminum Comicus aperuit fabulae versibus 1395. seqq.

2) ταυτολογικῶς ll. διαγων. ὁ ἄδικος πρὸς etc.

3) Bekk. ex Rav., ut videtur, τῶν Σωκρατιστῶν.

ΝΕΦΕΛΩΝ ΠΡΟΘΕΩΡΙΑ.

Τὸ δρᾶμα τὸ τῶν Νεφελῶν κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπιτηδες, ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθήνησι, τῶν Κωμικῶν πρὸς τοὺς φιλοσόφους ἐχόντων τινὰ ἀντιλογίαν· οὐχ, ὥς τινες, δι' Ἀρχέλαον τὸν Μακεδόνων βασιλέα, ὅτι προὔκρινεν αὐτὸν Ἀριστοφάνους κ. τ. λ. [4]).

4) de consilio Aristophanis, cum scriberet atque doceret Nubes, multi multa disseruerunt, quae hic non repetam, sed hoc unum affirmaverim, ea in re Comicum et communi odio isto ductum videri, quo philosophiam ac studia litterarum persequi solet vulgus, et propria quadam simultate, quam credibile est ei intercessisse cum Socrate propter morum ingeniique diversitatem. Scilicet ubique suo modo de rebus divinis atque humanis disputabat hominesque eruditebat Socrates; quod invisum multitudini imperitae, praesertim Atheniensium. Ἀθηναίοις γάρ τοι, ὡς ἐμοὶ δοκεῖ, inquit philosophus ap. Platonem Euthyphrone 3., *οὐ σφόδρα μέλει, ἄν τινα δεινὸν οἴωνται εἶναι, μὴ μέντοι διδασκαλικὸν τῆς αὐτοῦ σοφίας· ὃν δ' ἂν καὶ ἄλλους οἴωνται ποιεῖν τοιούτους, θυμοῦνται, εἴτ' οὖν φθόνῳ, ὡς σὺ λέγεις, εἴτε δι' ἄλλο τι.* Parmenides Platonicus dialogo cognomini p. 135, D.: *ἕλκυσον δὲ σαυτὸν καὶ γύμνασον μᾶλλον διὰ τῆς δοκούσης ἀχρήστου εἶναι καὶ καλουμένης ὑπὸ τῶν πολλῶν ἀδολεσχίας.* dicit autem philosophiam, cujus partem eam, quae in definitionibus notionibusque rerum capiendis versatur (logica appellant), nisi a puero, quod dubitatur (vide Welckeri interpret. germ. hujus fabulae p. 202. et Wolfianae praefationem p. X. seqq.), certe provectus aetate praecipue colens Socrates oratoriam regebat ac firmabat, itaque placuit Critiae, Alcibiadi et demagogis, displicuit autem non solum plebi rudiori, sed etiam viris fortibus et probis, qui redire cuperent tempus Marathonium, infame illud quidem, sed gloriosum; et inprimis optimatibus metum incussit, ne sibi artibus illis clavus reip. eriperetur. cui parti studuisse Aristophanem, pretio etiam corruptum, cum alii docti suspicati sunt, tum Wielandius l. l. ad argumenta Equitum. quanquam sic quoque Aristophani cum vulgo sentiendum fuit, ne ejus gratiam corrumperet, qui ipsius comoediis totoque hoc genere maxime delectaretur. nam viri graves nobilesque minus probare solebant petulantiam Comicorum, magisque capiebantur tragoediis, a quibus ipsis omnique poesi recentiore abhorruisse videtur Socrates, qui fere solas Euripidis fabulas, Aristophanis saepissime sparsas salibus, spectaret, ut auctor est Aelianus V. H. 2, 13. hisce igitur de causis fieri potuit ut alienior ab Socrate esset Comicus; nec tamen propterea eidem Aeliano aliisque scriptoribus inconsultis, velut illi, qui posterius argumentum fabulae conscripsit, hoc assentiendum est, eum conspirasse cum Anyto et Melet$ in mortem Socratis, quae accidit Olymp. 95, 1., h. e. 23. anno post actas Nubes; sed ridebat poëta philosophum, ut ante fecerant Eupolis et Amipsias, quorum ille Socratem etiam οἰνοχόην furatum esse scripsit, quemadmodum hic Noster Nub. 180. pallium ex palaestra; qualia finxisse Comicos putat Hermannus praefatione hujus fabulae p. XXXIII., ut paupertatem Socratis notarent. cf. inprimis Welckeri dissertatio de Nubibus, quae fabulae ab ipso germanice versae subjecta est. capient quoque fructum lectores ex libro Süverniano (*Ueber Aristoph. Wolken.* Von J. W. Süvern. 1826. pagg. 89, 4.) ejusque censura, quam Bibliothecae crit. scholasticae a. 1828. vol. 1. nr. 31. et 32. inseruit Seebodeus. Mire tamen Süvernius existimat, poëtam Phidippidis personam induisse Alcibiadi, et patri ejus

Α Λ Λ Ω Σ.

Φασὶ τὸν Ἀριστοφάνην γράψαι τὰς Νεφέλας ἀναγκασθέντα ὑπὸ Ἀνύτου καὶ Μελήτου, ἵνα διασκέψωνται, ποῖοί τινες εἶεν Ἀθηναῖοι, ἀκούοντες κατὰ Σωκράτους· ηὐλαβοῦντο γὰρ, ὅτι πολλοὺς εἶχεν ἐραστὰς, καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην, οἳ καὶ ἐπὶ τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητήν. ὁ δὲ πρόλογός ἐστι τῶν Νεφελῶν ἁρμοδιώτατα καὶ δεξιώτατα συγκείμενος. πρεσβύτης γάρ ἐστιν ἄγροικος, ἀχθόμενος παιδὶ ἀστικοῦ φρονήματος γέμοντι, καὶ τῆς εὐγενείας εἰς πολυτέλειαν ἀπολελαυκότι. ἡ γὰρ τῶν Ἀλκμαιωνιδῶν οἰκία, ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος, ἐξ ἀρχῆς, ὡς φησιν Ἡρόδοτος (l. 6. c. 125. v. ibi Valck. et Pind. Pyth. 7. B.), *τεθριπποτρόφος ἦν, καὶ πολλὰς ἀνῃρημένη νίκας, τὰς μὲν Ὀλυμπιάσι, τὰς δὲ Πυθοῖ, ἐνίας δὲ Ἰσθμοῖ, καὶ Νεμέᾳ, καὶ ἐν ἄλλοις ἀγῶσιν. εὐδοκιμοῦσαν οὖν ὁρῶν ὁ νεάνισκος ἀπέκλινε πρὸς τὸ ἦθος τῶν πρὸς μητρὸς προγόνων. —*

Α Λ Λ Ω Σ.

Αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν ἐν ἄστει ἐπὶ ἄρχοντος Ἰσάρχου [5]), *ὅτε Κρατῖνος μὲν ἐνίκα Πυτίνῃ, Ἀμειψίας δὲ Κόννῳ. διόπερ Ἀριστοφ. ἀποῤῥιφεὶς παραλόγως ᾠήθη δεῖν ἀναδιδάξας τὰς*

Climae Strepsiadis. de quo commente Droysen. Aristoph. 3. p. 20.: „Freilich wird man von Kleinias nicht nachweisen können, dass er ein alter Bauersmann gewesen, auch war er bereits geraume Zeit vor den Wolken gestorben; indess würden sich diese und ähnliche Unpasslichkeiten noch ertragen lassen. Dagegen wäre A., wenn er den in den Wespen schon verspotteten und genannten Alkibiades gemeint hätte, über das zweideutige und gewiss stadtbekannte Verhältniss des Sokrates zu dem schönsten der Jünglinge wohl schwerlich ohne einige Anspielungen hinweggegangen. Überhaupt aber ist in Phidippides' Eigenthümlichkeit nichts, was ausschliesslich den Alkibiades bezeichnen könnte, sondern es sind die wesentlichsten Charakterzüge der damaligen Jugend überhaupt, so dass immerhin der Zuschauer sagen mochte: „Der Alkibiades ist auch so einer!" — Memorabilis est A. Jayi dissertatio francogall., quam inscripsit *Dix-septième Consolation. Platon. — Socrate. — M. Cousin.* (Les Hermites en prison, par E. Jouy et A. Jay etc. Cinquième edition, à Paris, 1823., v. 1. pag. 255—284.) qua in dissertatione vir elegans probare conatur, id quod negaverat Cousinus, ipsius ut verbis utar p. 277.: „que ce fut la passion, la haine, les calomnies du parti fanatique d'Athènes, qui condamnèrent Socrate, et non l'esprit du temps."

5) Olymp. 89, 1., bello Pelop. 8., ante Chr. nat. 424. — *ἐν ἄστει*, ineunte vere. vide annott. ad argum. Pacis.

δευτέρας [6]) καταμέμφεσθαι τὸ θέατρον. ἀτυχὼν δὲ πολὺ μᾶλλον καὶ ἐν τοῖς ἔπειτα [7]) οὐκέτι τὴν διασκευὴν εἰσήγαγεν. αἱ δὲ δεύτεραι Νεφέλαι ἐπὶ Ἀμεινίου ἄρχοντος. (ἄλλως.) τοῦτο δὲ (οὐ) ταὐτό ἐστι τῷ προτέρῳ [8]), διεσκεύασται δὲ ἐπὶ μέρους, ὡς ἂν δὴ ἀναδιδάξαι μὲν αὐτὸ τοῦ ποιητοῦ προθυμηθέντος, οὐκέτι δὲ τοῦτο δι' ἥντινα ποτε αἰτίαν ποιήσαντος. (ἄλλως.) καθόλου μὲν οὖν σχεδὸν παρὰ πᾶν μέρος γεγενημένη διόρθωσις· τὰ μὲν γὰρ περιῄρηται, τὰ δὲ ἐπιπέπλεκται, καὶ ἐν τῇ τάξει, καὶ ἐν τῇ τῶν προσώπων διαλλαγῇ, μετεσχημάτισται, ἃ δὲ ὁλοσχερῆ τῆς διασκευῆς τοιαῦτα ὄντα τετύχηκεν. αὐτίκα ἡ παράβασις τοῦ Χοροῦ ἥμειπται, καὶ ὅπου ὁ δίκαιος λόγος πρὸς τὸν ἄδικον λαλεῖ, καὶ τελευταῖον ὅπου καίεται ἡ διατριβὴ Σωκράτους [9]). —

6) probari certis argumentis non potest, iterum Nubes docuisse Aristophanem; idque factum esse archonte Aminia, manifesto falsum est: nam is proximo anno magistratum gessit, quo quidem anno Vespae actae sunt, ut Palmerius aliique ostenderunt. illud apparet, parabasin illam 503. seqq. scriptam esse a poëta post actas Nubes, ut in qua de malo successu fabulae queratur apud populum, et mentionem faciat Maricae, editae ab Eupolide comoediae post mortem Cleonis, qui obiit Olymp. 89, 3., archonte Alcaeo, ut ex scholio ad 534. intelligitur. a quo demum tempore etiam Hyperbolus inclaruit, qui et ibi commemoratur, et 853. eam parabasin vel ipse Aristophanes, vel aliquis διασκευαστής, inseruit fabulae Nubium, quae res opinionem attulit bis actae, cum tamen quae ex secundis Nubibus prolata esse ait Athenaeus p. 299. et 345., in vulgatis exemplaribus legantur, 544. et 954., fierique possit, ut illi versiculi *Εὐριπίδης δ' ὁ τὰς τραγῳδίας ποιῶν Τὰς περιλαλούσας οὗτός ἐστι, τὰς σοφάς*, et *κείσεσθον ὥσπερ πηνίῳ βινουμένω*, quos ad Nubes referunt Diogenes Laërt. Socrate 2, 18. et Suidas v. *πηνίον*, vel forte exciderint, vel ex industria deleti sint ab emendatore, quisquis fuit. vidd. Wieland. annot. VII. ad germ. ejus interpretationem Nubium, quae legitur in Museo att. 2, 3. p. 67. seqq., et Hermannus praefatione fabulae p. XIX. seqq.

7) nugae grammaticorum. contrario modo ineptiens Aelianus V. H. 2, 13.: *οὐ μόνον*, inquit, *τοῖς ἐν τῇ πολιτείᾳ καὶ ταῖς ἀρχαῖς, ἀλλ' ἔτι καὶ πλέον τοῖς εὐδοκιμοῦσιν ἢ ἐν λόγοις ἀγαθοῖς, ἢ ἐν βίου σεμνότητι, ἄκουσμα ἔδοξεν ἥδιστον αἵδε αἱ Νεφέλαι, καὶ ἐκρότουν τὸν ποιητὴν ὡς οὔ ποτε ἄλλοτε, καὶ ἐβόων νικᾶν, καὶ προσέταττον τοῖς κριταῖς ἄνωθεν Ἀριστοφάνην, ἀλλὰ μὴ ἄλλον, γράφειν.* quae mendacia ipse Comicus refellit parabasi.

8) significat, non totum mutatum esse, sed partes tantum fabulae emendatas. verum ne id quidem quisquam hodie praestiterit. longe tamen ineptius iste in proximis, qui tantum non omnia incudi reddidisse ait Aristophanem.

9) haec dubia sunt, quamvis non dissimilia annotatis in scholiis ad parabases locis pluribus, quos commemoravit Hermannus praef. Nubium p. XXI.

ΥΠΟΘΕΣΙΣ ΕΜΜΕΤΡΟΣ.

Πατὴρ τὸν υἱὸν σωκρατίζειν βούλεται,
καὶ τῆς περὶ αὐτὸν ψυχρολογίας διατριβὴ
ἱκανὴ, λόγων τ' ἀπόνοια πρὸς τοὐναντίον
χορὸς δὲ Νεφελῶν, ὡς ἐπωφελὴς, λέγων,
καὶ τὴν ἀσέβειαν Σωκράτους διεξιών·
ἄλλαι τε τἀνδρὸς καὶ κατηγορίαι πικραὶ,
* *καὶ τῶν μαθητῶν εἰς πατραλοίας ἐκτόπως·*
εἶτ' ἐμπυρισμὸς τῆς σχολῆς τοῦ Σωκράτους.

Argumenti metrici versu 4. ll. ἐπωφελῇ. probabiliter Herm. ὡς ἐπωφελὴς, scil. ἐστὶν ἡ ἀπόνοια λόγων. 6. iidem mendose et hiante versu ἄ. θ' ὑπ' ἀνδρὸς κατηγ. π. corruptior etiam 7. fortasse Aristophanes Byzant., vel quisquis hic est, dixit κ. τ. μ. ε. π. ἐκτροπή (*aberratio*).

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΣΤΡΕΨΙΑΔΗΣ.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ΘΕΡΑΠΩΝ ΣΤΡΕΨΙΑΔΟΥ.
ΜΑΘΗΤΑΙ ΣΩΚΡΑΤΟΥΣ.
ΣΩΚΡΑΤΗΣ.
ΧΟΡΟΣ ΝΕΦΕΛΩΝ.
ΔΙΚΑΙΟΣ ΛΟΓΟΣ.
ΑΔΙΚΟΣ ΛΟΓΟΣ.
ΠΑΣΙΑΣ, δανειστής.
ΑΜΥΝΙΑΣ, δανειστής.
ΜΑΡΤΥΣ.
ΧΑΙΡΕΦΩΝ.

Conspiciuntur in scena Strepsiadis et Socratis domus vicinae, quarum illius initio fabulae aperta., cf. Welcker annotata ad interpretationem Nubium germ. p 120. sequ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΑΙ.

ΣΤΡΕΨΙΑΔΗΣ. ΦΕΙΔΙΠΠΙΔΗΣ. ΘΕΡΑΠΩΝ. ΜΑΘΗΤΗΣ. ΣΩΚΡΑΤΗΣ. ΧΟΡΟΣ.

ΣΤ. Ἰοὺ, ἰού! i.
ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον i. tr.
ἀπέραντον! οὐδέποθ' ἡμέρα γενήσεται;
καὶ μὴν πάλαι γ' ἀλεκτρυόνος ἤκουσ' ἐγώ.
οἱ δ' οἰκέται ῥέγκουσιν· ἀλλ' οὐκ ἂν πρὸ τοῦ.

Annotationes ad Nubes. Actus primus. expergiscitur Strepsiades senex primo diluculo, sollicitudine cruciatus. prope dormiunt Phidippides, filius ejus, et servi. Vers. 1. *ἰοὺ, ἰού.* σχετλιαστικὸν ἐπίῤῥημα. διὰ τὸ ἐγρηγορέναι καὶ ἀγρυπνεῖν δυσφορῶν ἀναβοᾷ· συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσι μάλιστα μεγάλας τὰς νύκτας νομίζειν. ἠγρύπνει δὲ ὁ Στρεψιάδης, μὴ δυνάμενος ὑπνώττειν ὑπὸ τῆς τῶν χρεῶν φροντίδος. — S.

2. *ὦ Ζεῦ βασιλεῦ.* sic idem infra 153. colebatur hoc nomine Jupiter cum alibi, tum Athenis. vide annot. ad Plut. 1091. S.: *οὐκ ἀργῶς χρὴ τοῦτο νομίζειν τὸν ποιητὴν εἰρηκέναι· ἔχεται γὰρ ἱστορίας τοιαύτης. τοῖς Ἀθηναίοις Πυθόχρηστον ἐγένετο καταλῦσαι μὲν τὰς βασιλείας, προστήσασθαι δὲ καὶ σέβειν Δία βασιλέα. — εἰώθασι δὲ ἐπὶ τὰς συμφορὰς ἀναβοᾶν τὸν Δία, ὡς παρὰ τῷ ποιητῇ* (Iliad. κ', 15.) *Ἀγαμέμνων προθελύμνους ἕλκετο χαίτας Τρώδ' ἐόντι Διΐ.* „Hippocrates epist. 12.: *ὦ Ζεῦ βασιλεῦ, λέγοντες, βοήθει, θεράπευσον.* et iterum eadem epist.“ *Be.* — *τὸ χρ. τῶν νυκτῶν.* solitus Atticorum pleonasmus, de quo interpp. conferri jubent Ran. 1209., Ach. 150. etc.

5. *οἱ δ' οἰκ. ῥέγκουσιν.* *οὕτως Ἀττικοὶ διὰ τοῦ κ.* („Moeris ῥέγκει ἐπὶ τῶν κοιμωμένων ἀττικῶς· ῥέγχει ἑλληνικῶς. cf. Thom. Mag. v. ῥέγκω.“ *Spank.*) *οἰκέτας δὲ νῦν οὐ τοὺς θεράποντας μόνον λέγει, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκίαν. καθεύδουσιν οὖν πάντες, ὡς τῶν ἄλλων μὲν ἐμεριμνώντων, αὐτοῦ δὲ φροντίζοντος* etc. S. *ἀλλ' οὐκ ἂν πρὸ τοῦ. οὕτως ἔρεγκον.* S.: *ἀλλ' οὐκ ἂν πρότερον. ἐν γὰρ τῇ εἰρήνῃ,*

ἀπόλοιο δῆτ', ὦ πόλεμε, πολλῶν οὕνεκα,
ὅτ' οὐδὲ κολάσ' ἔξεστί μοι τοὺς οἰκέτας.
ἀλλ' οὐδ' ὁ χρηστὸς οὗτοσὶ νεανίας
ἐγείρεται τῆς νυκτὸς, ἀλλὰ πέρδεται
ἐν πέντε σισύραις ἐγκεκορδυλημένος. —
ἀλλ', εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι. —
Ἀλλ' οὐ δύναμαι δείλαιος εὕδειν, δακνόμενος
ὑπὸ τῆς δαπάνης, καὶ τῆς φάτνης, καὶ τῶν χρεῶν,
διὰ τουτονὶ τὸν υἱόν· ὁ δὲ κόμην ἔχων

φησὶν, ἐξέπεμπον αὐτοὺς ἐργασομένους, ὡς ὑπὸ τῆς περὶ τὴν γεηπονίαν ἀσχολίας μὴ ἀνέτως μηδὲ οὕτω βαθέως δύνασθαι καθεύδειν.

7. Frischlinus, quasi legisset ὅτι τ' οὐδέ: *Male pereas, o Bellum, tum propter alia Multa mala, tum quod mihi pulsare servulos Per te non licet.* et pars quidem librorum ὅτι οὐδὲ, Br. annotatione ὅτι τ' οὐδὲ, vel ὅτι δ' οὐδὲ, quod olim Schützio, Hermanno, nobisque placuit, cum satis bene habeat vulgata. ὅτε *quandoquidem.* cf. 34. etc. S.: — *Ἀθηναίοις καὶ Λακεδαιμονίοις πόλεμος ἦν.* (et prope erant hostes.) *οὐκ ἤθελον οὖν Ἀθηναῖοι τοὺς δούλους κολάζειν, εἴ τι πταίσαιεν, δεδιότες μὴ πρὸς Λακεδαιμονίους αὐτομολήσωσι.* — Idcirco inter eos, quibus commodum est bellum, servos recenset Pac. 441., ut Br. annotavit. — κολασ' pro κολάσαι. cf. 42.

8. ὁ χρηστὸς ironice dictum. vid. S. et cf. 61.

10. σισύραις, *stragulis.* schol. ad Vesp. 708.: σισύρα καλεῖται παρὰ μέν τισιν ἡ βαπτή. (βαΐτη.) ἔστι δὲ περιβόλαιον ἐκ δερμάτων συνεῤῥαμμένων προβάτων (fort. σ — μένον προβατικῶν), ἐχόντων τὰ ἔρια. et h. l.: ἐν πέντε σισ. στερεὰ περιβλήματα παχέα, ταῖς νῦν καλουμέναις ἐμφερῆ σύραις. ἔστι δὲ φαῦλα καὶ μικρὰ περιβλήματα. (cf. Ran. 1386., Av. 122. etc. Moeris: σισύρα, αἴγειον στέγαστρον τετριχωμένον. ἔστι δ' ὅτε καὶ τὸ τραχὺ καὶ ἄγναπτον ἱμάτιον, ὡς καὶ Ἀριστοφ. ἐν πέντε σισ. ἐγκ. similiter alii lexicographi. cf. Valck. Animadv. ad Ammon. p. 205. ἱστέον, ὅτι λήγοντος τοῦ χειμῶνος, ἀρχομένου δὲ τοῦ ἔαρος, γίνεται τὰ Διονύσια, ὥστε διὰ τὸ κρύος αὐτοὺς εἰκὸς καθεύδειν, τοιούτῳ σχήματι τὴν κεφαλὴν περιβεβλημένους, καὶ πέντε περιβόλαια περιβεβλῆσθαι τὸν υἱόν. ἐγκεκορδ. ἐγκεκρυμμένος. κορδύλην γὰρ οἱ Κύπριοι λέγουσι τὸ περιείλημα τῆς κεφαλῆς.

11. παρεκιγραφή. ποιήσας γὰρ ἀσχήμονα τὴν ὄψιν, καὶ τὸ σχῆμα τοῦ νεανίσκου μιμησάμενος, ὥσπερ ἐκεῖνος ἐκάθευδεν, ἀποστραφεὶς καὶ αὐτὸς πειρᾶται ὅθεν καθεύδειν, ἐγκρύψας τὴν κεφαλὴν τοῖς περιείλήμασι. S. εἰ δοκεῖ, *quandoquidem placet*, quandoquidem dormiendum est, ut vos facere video. Voss.: *Nun, wenn es sein soll, schnarchen wir auch eingehüllt.*

12. δακν., *mortus*, figurate dictum est, ut passim. Voss.: *ha mich nagt die Verschwendung.* S.: ἐνοχλούμενος ὑπὸ τῶν τῆς ἱπποτροφίας ἀναλωμάτων. δοκεῖ γὰρ δαπανηρὸν εἶναι ἵππους τρέφειν· ὅπερ καὶ τῇ Λακωνικῇ προσέζευκται κατάρα. καὶ γὰρ δὴ καὶ τοῦτο οἱ Λακεδαιμόνιοι ἐν κατάρας ἔθεσαν μέρει. („habet Suidas in δακνόμενος, Οἰκοδομά σε λάβοι, καὶ ἀμβολία, ὅ τε ἵππος, Καὶ ἁ (Χἆ γε) γυνά τοι μοιχὸν ἔχοι." H.) — εἴρηκε δὲ ἀπὸ τῶν κόρεων. (cf. 37.) τὸ δὲ χρεῶν νῦν περισπαστέον· δηλοῖ γὰρ τῶν ὀφλημάτων. — S.

14. κόμην ἔχων. ἐκόμων γὰρ οἱ περὶ ἱππικὴν ἔχοντες. κἂν τοῖς Ἱππεῦσι (537.) μὴ φθονῆθ' ἡμῖν κομῶσι, μηδ' ἀπεστλεγγισμένοις. S. praeterea Be. annotavit, homines liberos comam aluisse. Av. 852. ἔπειτα δῆτα δοῦλος ὢν

ἱππάζεταί τε, καὶ ξυνωρικεύεται,
ὀνειροπολεῖ θ' ἵππους· ἐγὼ δ' ἀπόλλυμαι,
ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας·
οἱ γὰρ τόκοι χωροῦσιν. — ἅπτε, παῖ, λύχνον,
κἄνεγκε τὸ γραμματεῖον, ἵν' ἀναγνῶ λαβών,
ὁπόσοις ὀφείλω, καὶ λογίσωμαι τοὺς τόκους. —
φέρ' ἴδω, τί ὀφείλω; δώδεκα μνᾶς Πασίᾳ. —
τοῦ δώδεκα μνᾶς Πασίᾳ; τί ἐχρησάμην; —
ὅτ' ἐπριάμην τὸν κοππατίαν. οἴμοι τάλας,

κόμην ἔχεις; hinc κομᾷν accipi pro *superbiendo* Plut. 170. et alibi.

15. νῦν μὲν ἐπὶ κέλητος, νῦν δὲ ἐπὶ ξυνωρίδος [ἅρματος] ὀχούμενος ἄνω καὶ κάτω βακχεύει. ξυνωρὶς δὲ τὸ μὴ πλῆρες ἅρμα (quadriga), ἀλλ' ἐκ δυοῖν ἵππων συνεστώς· ὃ νῦν δίφρον καλοῦμεν. — S.

17. ἐπεὶ ἡ σελήνη ἐν ἡμέραις εἰκοσιεννέα τελεῖται, τὰ δὲ ϰ' τῶν εἰκοσιεννέα ἐγγύς. ἐδίδοντο δὲ ἐν τῷ τέλει τῆς σελήνης (tempore plenilunii) οἱ τόκοι· διὰ τοῦτο εἰκάδας εἶπεν. (ἄλλως.) ἢ τὸ εἰκάδας μὴ νόει διὰ μόνα τὰ εἴκοσιν, ἀλλὰ καὶ διὰ τὰ ἑφεξῆς. τούτου γὰρ ἕνεκα πληθυντικῶς εἴρηται. *Ex S.* εἰκάδας. cum non nisi 10 dies restant, et reddendum est foenus (drachma pro mina in mensem), aut summa. nam in mensem (fere) locabant foeneratores argentum. vide infra 737. et alibi. *Be.* cf. Corsini Fast. att. 1. p. 59. seqq., Ideler. *histor. Untersuchungen über die astronomischen Beobachtungen der Alten* p. 183. seqq. B. de foenore diurno ad 1239.

18. ἅπτε. ad internoscendos homines luna, sublustris poterat sufficere; ad cognoscendas rationum tabulas non item. idcirco a servo lucernam (cf. 56.) accendi jubet. *Schütz.* (interpretatio Nubium germ., a Christiano Godofr. Schützio confecta, iterum prodiit Halae 1798.)

19. τὸ γραμμ., *das Rechnungsbuch.* Schütz. *das Hausbuch.* Wolf., Voss. S.: ταῦτα πάντα παρεγκεκλήματά ἐστι. δεῖ γὰρ τὸν οἰκέτην τὰ προσταχθέντα ποιῆσαι, ἄψασθαι τὸν λύχνον, καὶ δοῦναι τὸ βιβλίον.—

21. δώδ. μν. *Π.* haec e tabulis legit Strepsiades. tum quaerit secum, cur debeat. 12 minae efficiunt fere 250 imperiales. B.

22. τοῦ ἕνεκα vel ἀντί. cf. 31. *E K.* plenius 1175. τοῦ χρήματος; *Be.* Gloss.: τί ἐχρ. ἐς τί; κατὰ τί; cf. 202. etc.

23. τὸν κοππ. S.: κοππατίας ἵππους ἐκάλουν, οἷς ἐγκεχάρακται (ita H. secundum Suid. v. κοππατίας. libri ἐγκεχάρακτο.) τὸ Ϙ σημεῖον, (ll. τὸ κ στοιχεῖον. sequor Hermannum, qui σημεῖον accepit a Salmasio Exerc. Plin. p. 626.) ὡς σαμφόρας τοὺς ἐγκεχαραγμένους τὸ Ϙ. τὸ γὰρ C καὶ (malim κατὰ) τὸ Π χαρασσόμενον σαμπῖ ἔλεγον. αἱ δὲ χαράξεις αὗται καὶ μέχρι τοῦ νῦν σώζονται ἐπὶ τοῖς ἵπποις. (ἄλλως.) — οὐ γὰρ (malim δὲ) βουκεφάλους ἵππους (nobiles Thessalicos) καλοῦμεν διὰ τὸ μορφὴν τοιαύτην αὐτοὺς ἔχειν, ἀλλὰ διὰ τὸ οὕτως ἐγκεχαράχθαι, ὡς καὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος ὁ ἵππος ἦν, ὃς τελευτήσαντος τοῦ βουκεφάλου Ἀλεξάνδρειαν (imo oppidum Indiae Bucephalon: vide Curt. 9, 3. aliosque.) ἔκτισεν, ἐντάφιον αὐτῷ τῆς ἀρετῆς χαριζόμενος πόλιν. H. Voss.: Vorzüglichen Pferden ward ein Zeichen in die Hüfte gebrannt. Ein Stierhaupt trug Alexanders Ross Bukefalos. (imo imaginem plantae *βούκρανον* seu *βουκράνιον*, quam ad incantamenta efficacem putabant. vide Dioscor. et Theophr. praeterea Bucephalus fuit nigro colore, cum alba macula in fronte. solebant autem Thessali ejusmodi nomina imponere equis nobilibus. haec *Wolfius*, cum Nubes publice exponeret Berolini 1809. vul-

εἰθ' ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν λίθῳ!

ΦΕΙ. Φίλων, ἀδικεῖς! ἔλαυνε τὸν σαυτοῦ δρόμον!

ΣΤ. τοῦτ' ἐστὶ, τοῦτο τὸ κακὸν, ὅ μ' ἀπολώλεκεν·
ὀνειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν.

ΦΕΙ. πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια;

ΣΤ. ἐμὲ μὲν σὺ πολλοὺς τὸν πατέρ' ἐλαύνεις δρόμους. —
ἀτὰρ τί χρέος ἔβα με μετὰ τὸν Πασίαν;
τρεῖς μναῖ διφρίσκου καὶ τροχοῖν Ἀμυνίᾳ.

ΦΕΙ. ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε.

ΣΤ. ἀλλ', ὦ μέλ', ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν,
ὅτε καὶ δίκας ὤφληκα, χἄτεροι τόκου

garem tamen illam opinionem etiam Freinshem. secutus est Supplem. in Q. Curtium lib. 1. c. 4.) Gewöhnlich wählte man die Zeichen *Koppa* u. *San* oder *Sampi*. —

24. ἔπαιξε τὸ ἐξεκόπην παρὰ τὸν κοππατίαν. — S.

25. ὁ νεανίσκος Φειδιππίδης τοῦτο καθεύδων ὑποφθέγγεται (ἐπιφθ.), ὡς τινα συνηνιοχοῦντα μεμφόμενος, ὅτι δέον αὐτὸν ἐλαύνειν μὴ ὑποσκελίζοντα, μηδ' ὑποθέοντα τὰς τῶν ἵππων ὁδούς, ὡς ἀνεπικωλύτως θέοιεν, ὁ δ' ὑποθέει, καὶ ἐμποδίζει προλαμβανόμενος τῶν ἵππων τῶν ἐκείνου τὸν δρόμον. (Iliad. φ'., 417. — 441. conferri jussit W.) — S. apud eundem recte quidam Philonem intelligunt τὸν κύριον ἡνιόχου.

28. τὰ πολεμ. κατά τινας ἀγῶν Ἀθήνησιν ἱππικον δρόμον. ἕνα δὲ δρόμον ἐκεῖ τρέχουσιν, ὥστε τὰ ἀμιλλητήρια πληθυντικῶς εἶπεν ὁ νέος σφαλλόμενος ἐκ τοῦ ὀνειροπολεῖν. πολεμ. καλεῖται καὶ τὰ πολεμικὰ ἅρματα, ἐφ' ὧν ὁ ὁπλίτης ἐπιβέβηκεν ἅμα τῷ παραβάτῃ. ταῦτα δὲ (quae hic dicuntur) ἐξεῦρεν ὁ Θησεύς. — S. Wolf.: *Wie viele Gänge jagt das Kriegeswagenspiel?*

30. ἀτὰρ τί. τί δὴ (δὲ) μετὰ ταῦτα ὀφλημά με κατέλαβεν. Εὐριπ. τί χρέος ἔβα δῶμα; S. Eurip. Herc. fur. 494., notante Br.: γύναι, τί καινὸν ἦλθε δωμάτων χρέος; alio sensu Eurip. dixit χρέος, alio Aristoph. ἔβα pro ἔβη, dorice. W.: Doch *was für Schuld befiel mich* nach dem Pasias?

31. διφρ. δίφρος καλεῖται τὸ σκεῦος, ἐν ᾧ οἱ ἡνίοχοι ἑφεστῶτες ἐλαύνουσιν. ὑποκοριστικῶς δὲ εἶπε τοὺς διφρίσκους διὰ τὸ μικροὺς εἶναι καὶ κούφους τοῖς ἀγωνιζομένοις πρὸς τοὺς μὴ (ita Herm. vulgo abest μή.) ἀγωνιστικούς. S. observavit B., διφρίσκον h. l., quoniam a duabus rotis (τροχοῖν) discernitur, esse ipsam sedem in curru, *der Rumpf des Wagens*, *das Obergestell*. — Ἀμυνία. nomen rhedarii seu plaustrarii.

32. καὶ τοῦτο ὀνειροπολούμενος ὁ νεανίσκος λέγει. ἐξαλίσας δὲ ἐκκυλισθῆναι ποιήσας. καὶ τὸν τόπον, ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν, ἁλινδήθραν ἐκάλουν, ὥς που καὶ ἐν τοῖς Βατράχοις (855.) ὁ αὐτὸς ποιητὴς ἁλινδήθρας τὰ ἐγκυλίσματα. (ita H.*) libri: ἁλινδ. τε καὶ ἐγκυλ.) S. intelligenda equorum volutatio in arena. W.: Man hatte eigene Wälzplätze für die Pferde, ἁλινδήθρας oder ἐξαλίστρας. Die ungeheuere Anstrengung der Pferde auf den Rennbahnen machte ihnen das Wälzen nöthig.

34. δίκας ὤφλ. damnatus sum ad solvenda debita. *Ex B.* laudatur Pierson. ad Moer. v. ὤφειλε δίκην, p. 426. S.: χἄτ. τόκου. ἀντὶ τοῦ καὶ ἄλλοι ἀττικῶς εἶπε. λείπει ἡ ὑπέρ· „καὶ ἕτεροι ὑπὲρ τόκου ἐνέχυρα παρ' ἐμοῦ λήψεσθαί φασι.“

*) sic nos deinceps G. Hermannum significabimus, et W littera Welckerum.

35 ἐνεχυράσεσθαί φασιν.
ΦΕΙ. ἑτεὸν, ὦ πάτερ,
τί δυσκολαίνεις, καὶ στρέφει τὴν νύχθ' ὅλην;
ΣΤ. δάκνει με δήμαρχός τις ἐκ τῶν στρωμάτων.
ΦΕΙ. ἔασον, ὦ δαιμόνιε, καταδαρθεῖν τί με.
ΣΤ. σὺ δ' οὖν κάθευδε· τὰ δὲ χρέα ταῦτ' ἴσθ' ὅτι
40 εἰς τὴν κεφαλὴν ἅπαντα τὴν σὴν τρέψεται. —
φεῦ!
εἶθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα!
ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος,
εὐρωτιῶν, ἀκόρητος, εἰκῇ κείμενος,

35. ἐνεχ. cf. 241. ἑτεὸν, revera, in der That, ut W. reddidit. cf. 93., Ach. 295., Equ. 682. etc. S.: ταῦτα οὐκέτι ὀνειροπολούμενος, ἀλλ' ἐγρηγορὼς λέγει, ἑωρακὼς τὸν πατέρα ὠδυρόμενον.

36. Idem: τί περιστρέφῃ συνεχῶς; συμβαίνει δὲ τοῖς ἀγρυπνοῦσι τοῦτο πάσχειν, τῇδε κἀκεῖσε ῥίπτειν ἑαυτοὺς καὶ μεταβάλλειν.

37. δήμαρχός τις. παίζων τὸν κόριν ἢ τὴν ψύλλαν καλεῖ. (cf. 12.) οἱ δὲ δήμαρχοι οὗτοι τὰς ἀπογραφὰς (ita Bekk. et H., auctore Wolf., pro ὑπογραφάς.) ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων· (ita Suid. et Harpocr. S. χρεῶν. vid. Boeckh. de Oec. Ath. 2. p. 47.) καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ' αὐτοῖς ἦν· συνῆγόν τε τοὺς δήμους, ὅτε δέοι, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν (sic iidem, probante H. S.: ἐπεδίδοσαν.) καὶ ἐνεχυρίαζον. Ἀριστοτέλης δὲ περὶ Κλεισθένους φησὶ „κατέστησε καὶ δημάρχους τὴν αὐτὴν ἐλόντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις.“ (ita Bekk., H., et mox ναυκραριῶν, cum legeretur ναυκλάροις, ναυκλαρίων. vide Schneideri lex. gr. v. ναύκραροι.) καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν (ita H. pro αὐτῶν) ναυκραριῶν ἐποίησεν. S.

38. ὦ δαιμ. vide inferius 793., Ran. 44. etc.

41. parodiam hanc putant primi versus Medeae Eurip. εἶθ' ὤφελ' Ἄργους μὴ διαπτᾶσθαι σκάφος, quem versum ipse Eurip. recitat, tanquam ἐπιδεικτικὸν, Ran. 1308. S.: ἡ προμν. ἡ προνοήσασα τῶν γάμων προμνήστρια καλεῖται, ἡ νῦν προξενήτρια. (cf. Xenoph. Mem. Socr. 2, 6, 36.)

42. γῆμ' ἐπ. (ita libri, quemadmodum alibi quoque τὸ αι eliditur. v. index.) κυρίως τὸ ἀνεχαύνωσεν, ἀνεκούφισεν, ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν τὴν γυναῖκα· καταχρηστικῶς δὲ ἀνέπεισεν.

44. sequ. εὐρωτ. ἀντὶ τοῦ ἰδρῶν. — ἐπεὶ τοῖς ἀμελῶς κειμένοις ἱδρὼς προσίζει, τουτέστι νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος· ὁ γὰρ αὐτῶν οἶκος πυρῶν καὶ θερμάτων μεστὸς ὢν οὐδεμίαν ἔχει τῶν τοιούτων πραγμάτων εὐθεσίαν, ἀλλ' ἄλλο ἀλλαχῇ κεῖται, ὡς ἔτυχε. (haud inepta explicatio, qua probata repudiabimus conjecturam, quam quidam fecit, scribendum esse facili mutatione εὐρωστέων.) τὸ δὲ ἀκόρητος ἀκαλλώπιστος. κορεῖν γὰρ καλλωπίζειν· ὅθεν καὶ νεωκόρος. (μελίττ. pretiosum mel atticum. vide Pac. 252. seqq.) καὶ στεμφ. στέμφυλα κυρίως λέγεται τὰ ἀποπιέσματα τῶν ἐλαῶν (fraces, Oeldrusen)· περιπίσματα δὲ („vide Schneideri lex. h. v.“ H.) τὰ ἐκ τῶν σταφυλῶν ἀποπιεζόμενα. εὐρίσκεται δὲ καὶ ἀνάπαλιν τὰ στέμφυλα ἐπὶ τῶν σταφυλῶν, καὶ τὰ περιπίσματα ἐπὶ τῶν ἐλαῶν. (Attici de oleo dicunt. vide, quos laudant, Thom. Mag., Tim. lex. Plat., Phrynichum, et cf. schol. ad Equ. 755.) S. Voss.: *Wie war mein*

βρύων μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις·
ἔπειτ' ἔγημα Μεγακλέους τοῦ Μεγακλέους
ἀδελφιδῆν, ἄγροικος ὤν, ἐξ ἄστεος,
σεμνὴν, τρυφῶσαν, ἐγκεκοισυρωμένην.
ταύτην δ' ἐγάμουν, ξυγκατεκλινόμην ἐγὼ
ὄζων τρυγὸς, τρασιᾶς, ἐρίων, περιουσίας·
ἡ δ' αὖ μύρου, κρόκου, καταγλωττισμάτων,
δαπάνης, λαφυγμοῦ, Κωλιάδος, Γενετυλλίδος.

***Landmannsleben einst so wohlgemut,
Im Wust der Wirthschaft, ungeputzt,
wirr hingelegt, Schwerreich an Bienen, reich an Schafzucht und Gepress!*** et in annot.: Der ungeordnete Wust und Wirwar beweist die Hüll' und Fülle des Ertrags, wofür der Gesegnete kaum Platz finden kann. *Gepress*, Oel und Wein.

46. τοῦ Μεγ. ἐδιπλασίασε τὸ ὄνομα εἰρωνευόμενος. τοῦ Ἀλκμαιωνιδῶν δὲ οὗτοί εἰσι γένους. αὐτὸς δὲ διεβάλλετο, ὡς δοῦλος. (certe Coesyra ὡς δούλη: vide 64. sed haec dubia.) ὁ πρῶτος οὖν Μεγακλῆς Κοισύρας ἦν υἱὸς, ἥτις ἦν ὑπερβαίνουσα γένει καὶ πλούτῳ, ἦν δὲ ἐξ Ἐρετρίας. διὸ καὶ κοισυρεῖσθαι τὸ μέγα φρονεῖν παρ' Ἐρετριεῦσιν. S. Megaclidarum Athenis familia, utpote stirps Alcmaeonidarum, fuit antiquissima et nobilissima, e qua etiam Pericles et Alcibiades genus duxerunt. *Wieland.* vid. Herodot. 1, 59. seqq., 5, 70 seqq., 6, 125.

48. σεμνήν. οὐ τὴν σώφρονα· οὐ γὰρ ἐπαινεῖ αὐτήν. (ἄλλως.) ἀλαζόνα, καὶ ὑπέρογκον, καὶ σοβαρὰν τῷ εἴδει, τρυφῶσαν δὲ ἱματίοις καὶ τῇ ἄλλῃ δαπάνῃ. ἐγκεκοισ. περισσῶς κεκοσμημένην. — ἢ τὰ τῆς Κοισύρας φρονοῦσαν. (781.) ἔστι δὲ Ἐρετριακὸν τὸ ὄνομα. οὗτοι δὲ εἰς τρυφὴν διαβάλλονται. αὕτη δὲ ἐγαμήθη Πεισιστράτῳ, ἐπιχειρήσαντι τυραννεῖν. S. memoravit Br., secundum alios Coesyram Alcmaeonis uxorem fuisse, siquidem Ach. 579. Megacles appellatur ὁ Κοισύρας. vidi ibi schol. et interpp. item ad 64. Be.: *Coesyrae moribus imbutam.* Wieland.: *mit einer eingefleischten Kösyra.*

50. τρυγός. νέου οἴνου, ἢ τῆς ὑποστάθμης. τρασιὰ δὲ λέγεται ὁ τόπος, ὅπου ψύχεται τὰ σῦκα καὶ ταριχεύεται, ἢ σανίς. — (τρασιᾶς. ξύλου, ἐν ᾧ τὰς ὀπώρας ἐξήραινον. gloss.) ἐρίων περ. ἀντὶ τοῦ πλούτου.) ex hac interpretatione intelligas, scholiasten distinxisse post voc. ἐρίων, secus ac vulgo fit. quare delenda est vox ἐρίων in lemmate. Frischlinus quoque: *Ego quidem olens fecem, ficum, lanas, opes.* et Wolf.: *Rock ich nach Trestern, Wolle, Feigen, Ueberfluss.* placuit haec interpunctio etiam Reiskeo atque Schützio.) τοιοῦτος δὲ ὁ γεωργικὸς βίος. — S. cf. 45., 978.

51. μύρου. cf. Plut. 525. κρόκου. intelligit unguentum crocinum, de quo Plin. H. N. 21, 20. cf. Billerbeck. Flor. class. p. 11. sequ. Plautus Curc. 1, 2, 6.: *nam omnium unguentûm odos prae tuo nautea est; Tu mihi stacte, tu cinnamum, tu rosa, Tu crocum et casia, tu bdellium es.* S.: καταγλωτ. αἰσχρῶν φιλημάτων, καὶ περιεργοτέρων. Plautus Asin. 3, 3, 105. *fac proserpentem bestiam me, duplicem ut habeam linguam.* Wolf.: *Zungenküsschen.* Voss.: *Liebeszüngelei.*) — εἰκότως δὲ ταῦτα καταλέγει, δεικνὺς, ὅτι αἱ εὐγενεῖς γυναῖκες ὑπὸ τῆς ἄγαν τρυφῆς τοιαῦτα πράττουσιν. (ita H. e scholio MS. ap. Br. vulgo haec leguntur sequente annot. post locum Homericum.)

52. λαφ. τῆς περὶ τὰ ἐδέσματα πολυτελείας, τουτέστιν ἀσωτίας. λαφυγμὸν γὰρ λέγει τὸ ἁπλήστως ἐσθίειν. (alius schol.: ἔστι γὰρ λάπτω καὶ λαφύσσω τὸ ῥοφῶ, κυρίως ἐπὶ κυνῶν, καὶ χοίρων.) Εὔπολις ἐν Κόλαξι λαφύσσεται λαφυγμὸν ἀνδρεῖον πάνυ. Ὅμηρος (Il. ϰ',

οὐ μὴν ἐρᾷ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα.
ἐγὼ δ' ἄν, αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ
πρόφασιν, ἔφασκον „Ὦ γύναι, λίαν σπαθᾷς!"
ΘΕ. ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ.
ΣΤ. οἴμοι, τί γάρ μοι τὸν πότην ἤπτες λύχνον;
δεῦρ' ἔλθ', ἵνα κλάῃς.
ΘΕ. διὰ τί δῆτα κλαύσομαι;
ΣΤ. ὅτι τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων. —

176., ϙ', 64.) ἔγκατα πάντα λαφύσσει. Κωλιάδος. οἱ μὲν Κωλιάδα τὴν θεὸν καλοῦσι, νεανίου ἀττικοῦ ἀποδράντος ἀπὸ ληστῶν συμμαχίᾳ τῆς θεοῦ, καὶ οὕτως αὐτὴν ὀνομάσαντος, καθάπερ αὐτὸς δεθεὶς τῶν κώλων ἀπελύθη ὑπὸ γυναικός, οἱ δὲ θυγατρὸς τοῦ ἀρχιλήστου, δι' ἔρωτα. οἱ δὲ τόπον ἐοικότα κώλοις ἀνδρὸς, ἔνθα ἡ θεὸς τιμᾶται. (vide Herodot. 8, 96., Dionys. Perieg. 592.) ἔνιοι δὲ Ἴωνος θύοντος κόρακα ἁρπάσαι κωλῆν, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἀποθέσθαι· ὅθεν οὕτως ὠνομάσθη. (notationes ineptae visae viris doctis, nec immerito. vid. W., cui quod placet, potius repetendam esse originem hujus cognominis a κωλῇ, quo sensu ea vox legitur 960. Nubium, nobis quoque verisimile videtur. „Pausan. 1, 1.: ἀπέχει δὲ (τοῦ Φαλήρου) σταδίους εἴκοσιν ἄκρα Κωλιὰς (Κωλιάδος δέ ἐστιν ἐνταῦθα Ἀφροδίτης ἄγαλμα), καὶ Γενετυλλίδες ὀνομαζόμεναι θεαί. v. Suid. et Hesych. Lucianus Pseudolog. p. 438. (c. 11.): εἰκέ μοι, πρὸς Πανδήμου, καὶ Γενετυλλίδος, καὶ Κυβήβης. notat Graev., in MS. esse *Γενετυλλίδων*, (ita etiam alii codd. v. Schmieder. not. ad t. 2. p. 381. *Κωλιάδες* et *Γενετυλλίδες* memorantur ap. eundem Amor. c. 42., ubi v. interpp. B.) sed tamen h. l. in singulari quoque legi." — *Duker.*) — Γενετυλλίδος. Γενετυλλὶς, ἡ τῆς γενέσεως ἔφορος Ἀφροδίτη. S. notus Veneris Genitricis, deae similis, cultus ap. Romanos, de quo Spanh. ad h. l. cf. de his numinibus Lys. 2. et Thesm. 129.

53. seqq. πρὸς τὸ ἀργὸς ἐσπάθα, καὶ τοῦτο εἰρωνευόμενος· περὶ γυναικὸς δὲ λέγει ἀντὶ τοῦ κατηνάλισκε, κατήσθιε, καὶ διὰ τοῦτο οὐκ ἀργὸς ἦν. Ἀττικοὶ δὲ ἐπὶ τῶν θηλυκῶν ἀρσενικῶν ὀνομάτων κέχρηνται καταλήξεσιν („legebatur λέξεσιν. vide Koen. ad Gregor. Cor. p. 25." *H.*), ὡς ἐνταῦθα καὶ παρ' Ὁμήρῳ (Il. β', 742.) κλυτὸς Ἱπποδάμεια, καὶ Εὐριπίδῃ ἐν Ἑκάβῃ (566.) τὸ δ' αὖ λίαν παρεῖλες ἀγγελθεῖσά μοι Γενναῖος. (vide K. ad h. l., nos ad Soph. Phil. 97., Matth. gr. §. 436, 2.) σπαθᾶν δὲ τὸ ἀφειδῶς καταναλίσκειν, καὶ παρὰ τοῖς ῥήτορσιν εἴρηται πολλάκις, οἰκείως δὲ νῦν τῇ λέξει χρῆται ἐπὶ γυναικός· καὶ γὰρ ἐπὶ ὑφαινομένων ἱματίων σπαθᾶν, τὸ ἄγαν κρούειν τὴν κρόκην. δύναται μὲν οὖν τὸ σπαθᾶν ἐπ' ἀμφοτέρων νοεῖσθαι· ὅτι δὲ νῦν ἐπὶ τοῦ πολλὰ δαπανᾷν παρείληπται, (ita Herm. secundum Suidam. libri: ἐπὶ τοῦ πολλοῦ παρείλ.) δῆλον ἐκ τοῦ ἐπιφερομένου ἐγὼ δ' ἄν — σπαθᾷς. — λίαν σπαθᾷς. ἐργάζῃ. εἰρωνικῶς καὶ τοῦτο· δεικνὺς γὰρ αὐτῇ τὸ ἱμάτιον παραῤῥᾳγὲν ἔλεγε τοῦτο αὐτῇ. S. Voss.: „Nicht sag' ich, dass sie müssig war: sie *settelte*. Ich hab' ihr manchmal diesen Mantel wol gezeigt Zum Schein, und gesagt: Mein Herzchen, tüchtig *zettelst* du. et in annot. subjecta: *Zetteln*, weben und verthun." sed hoc potius dicendum est *verzetteln*, quem admodum Wieland. reddidit: du *verzettelst* mehr Als nöthig ist.

59. τῶν παχ. θρ. vide, si tanti est, de hoc genit. Matth. gr. §. 356. S.: θρυαλλ. ἀπὸ τοῦ θρύου (ex junco v. Billerbeck. Flor. class. p. 48.) τὸ παλαιὸν τὰ ἐλλύχνια.

Μετὰ ταῦθ', ὅπως νῷν ἐγένεθ' υἱὸς οὗτοσί,
ἐμοί τε δὴ καὶ τῇ γυναικὶ τἀγαθῇ,
περὶ τοὐνόματος ἐντεῦθεν ἐλοιδορούμεθα.
ἡ μὲν γὰρ ἵππον προσετίθει πρὸς τοὔνομα,
Ξάνθιππον, ἢ Χάριππον, ἢ Καλλιππίδην·
ἐγὼ δὲ τοῦ πάππου 'τιθέμην Φειδωνίδην.
τέως μὲν οὖν ἐκρινόμεθ'· εἶτα τῷ χρόνῳ
κοινῇ ξυνέβημεν, κἀθέμεθα Φειδιππίδην.
* τοῦτον τὸν υἱὸν λαμβάνουσ' ἐκορίζετο·
„Ὅταν σὺ μέγας ὢν ἅρμ' ἐλαύνῃς πρὸς πόλιν,

61. τἀγαθῇ codd. Paris. A et C, quos secutus est D. vulgo: τῇ 'γαθῇ. ironice dictum, ut χρηστὸς 8.

62. Rav., π. τ. δὴ 'ντεῦθεν ἐλ. sed idem liber superiore versu ἐμοί τε καὶ τῇ etc., ex quo intelligere mihi videor, δὴ inde huc immigrasse. mendose etiam alii codd. π. τ. δὴ ταῦτ' ἐλ., Elbing. autem π. τ. ταῦτ' ἐλ., ne vestigio quidem relicto τοῦ δή, quod parum placet brevi intervallo repetitum sine emphasi. quare id delevi.

63. Ἵππον. ἵππου ὄνομα.

64. ὁ Ξάνθιππος Περικλέους ἦν πατὴρ, τοῦ τῶν Ἀλκμαιωνιδῶν γένους. („quae hic vulgo sequebantur, vide ad 70." *H.*) Καλλίας δὲ ὁ δαδοῦχος (v. schol. ad Eurip. Phoen. 1298.) προσελθὼν ἐν τῇ ἱερᾷ στολῇ κατὰ Περσῶν ἐν Μαραθῶνι, καὶ ἀριστεύσας [κατὰ βαρβάρων], καὶ τρίτον Ὀλύμπια νικήσας ἅρμασι, τὸν υἱὸν Ἱππόνικον ὠνόμασε. λέγεται δὲ, τοῦτον πλουτῆσαι (ita Palmer. et Gron. vid. K. vulgo: νικῆσαι. *Herm.*) μάλιστα, αἰχμαλώτου τινὸς ἐν τῇ μάχῃ τῶν βαρβάρων προσελθόντος αὐτῷ, καὶ μηνύσαντος θησαυρόν· καὶ αὐτὸν ὕστερον ἀπέκτεινεν ὁ Καλλίας. Ξάνθιππος μὲν οὖν ἐγένετο Περικλέους πατήρ. οὐδὲν δὲ νῦν πρὸς αὐτὸν ἐπικοινωνεῖ τὸ λεγόμενον, πλὴν εἰ μὴ ἄρα διὰ Κοισύραν, ἣν ἔφαμεν βούλην οὖσαν μητέρα γενέσθαι τοῦ Μεγακλέους, τὸ ὄνομα τὸ Ξανθίππου εἰλήφει. — S. cf. 48. Ernest.: Apte ea nomina fingit poëta, quod Megacles olim ἱπποτροφια nobilis fuerat, ii autem, qui ea excellerent, libenter nomina ab equis imponebant liberis, ut Calliae exemplo docet schol.

65. τοῦ πάππου. more Atheniensium et Graecorum. vide Spanh. h. l. et Sturzii comment. 4., a. 1802. editam, de nominibus Graecorum p. 11. sequ., quam evolvi jussit B. Φειδων. nomen a parsimonia ductum (similia vide ap. Sturz. Comm. 6. p. 5. B.) erat plebejum. nomen Phidippidae, de quo convenit tandem Strepsiadi cum uxore, medium fuit inter nobile et plebejum, ideoque ridiculum. *Wieland.*

66. τέως, μέχρι τινός. τῷ χρόνῳ, μόλις (*tandem*). Gloss.

67. ξυνέβ. ὡμονοήσαμεν. E S. κἀθ. scil. ὄνομα. est autem θέσθαι verbum propr. hac in re, *imponere nomen.* B.

68. segre careo nomine, quo clarius quam participio λαμβάνουσα significetur mater pueri, suspicorque, Comicum dixisse T. T. *TION 'H ΛΑΒΟΤΣ' EK.* forte τῷ *H* offecerit *N* littera similis, quae antecedit, deinde metri gratia scripserint λαμβάνουσ'. ἐκορ. ἐκολάκευεν, οἷα τοῖς παιδίοις συμβαίνει τοῖς μικροῖς. S. est idem quod ὑποκορίζεσθαι, blande et infantum more balbutiendo alloqui. sequenti orationi (uti et Strepsiadis) deest apodosis; *lactabor* aut tale quid est supplendum. *Ex Br.* μέγας. sic etiam Germani. Wiel.: wenn du *gross* bist.

69. Ὅταν — ἔχον. et in his verbis, et in illis, quae sequuntur,

ὥσπερ Μεγακλέης, ξυστίδ' ἔχων" . . . ἐγὼ δ' ἔφην·
„Ὅταν μὲν οὖν τὰς αἶγας ἐκ τοῦ Φελλέως,
ὥσπερ ὁ πατήρ σου, διφθέραν ἐνημμένος" . . .
ἀλλ' οὐκ ἐπείθετο τοῖς ἐμοῖς οὐδὲν λόγοις,
ἀλλ' ἵππερόν μου κατέχεεν τῶν χρημάτων.
νῦν οὖν ὅλην τὴν νύκτα φροντίζων ὁδοῦ
μίαν εὗρον ἀτραπὸν δαιμονίως ὑπερφυᾶ,
ἣν ἢν ἀναπείσω τουτονί, σωθήσομαι.
ἀλλ' ἐξεγεῖραι πρῶτον αὐτὸν βούλομαι.
πῶς δῆτ' ἂν ἥδιστ' αὐτὸν ἐπεγείραιμι, πῶς;
Φειδιππίδη, Φειδιππίδιον!
ΦΕΙ. τί, ὦ πάτερ;
ΣΤ. κύσον με, καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν!
ΦΕΙ. ἰδού. τί ἔστιν;
ΣΤ. εἰπέ μοι, φιλεῖς ἐμέ;

Ὅταν — ἐνημμένος, videtur supplendum esse καλῶς ἔχει, vel ejusmodi aliquid, etsi rarior est haec ellipsis, ubi non sequitur εἰ δὲ sive ἐὰν δὲ in posteriore oratione. v. ann. ad Plut. 466. alioqui majore mutatione ponendum esset Ὡς ἂν — ἐλαύνοις κ. τ. λ., Ὡς ἂν μὲν etc., de quo v. Odyss. o', 545., Homer. h. in Ap. Del. 51., Matth. gr. §. 513., ann. 1. talia gestu adjuvanda sunt.

70. ξύστιδα προπαροξύνουσιν. ἦγουν πορφυρίδα. καὶ γὰρ μέχρι νῦν οἱ εἰσελαύνοντες ἀθληταὶ τοιούτῳ κοσμηθέντες σχήματι [καὶ ἅρματος ἐπιβάντες] διὰ μέσης πομπεύουσι τῆς πόλεως, ᾧ καὶ οἱ βασιλεῖς χρῶνται. ἄλλως. — ἐσεμνύνετο δὲ τὸ γύναιον θείῳ Μεγακλεῖ, τρίτον νικήσαντι Ὀλύμπια, καὶ δι' ἱπποτροφίαν κατελθόντι ἐκ τῆς φυγῆς. ἐδίωξε γὰρ αὐτὸν ὁ Πεισίστρατος, ὃν καὶ μετεπέμψατο παραχωρήσαντα αὐτῷ τὸ τῆς νίκης πήρυγμα. (ita H. in libris verba ἐσεμνύνετο — κήρυγμα leguntur ad 64.) — S.

71. Phelleus mons Atticae, teste Steph. Byz. et schol. ad Ach. 256.

72. διφθ. ἐν. ἐνδεδυμένος. ποιμενικὸν δὲ περιβόλαιον ἡ διφθέρα. Ἀττικοὶ δὲ λέγουσιν, ἣν νῦν ἰσάλην καλοῦμεν. ἔστι δὲ ἐκ δέρματος. S. cf. Eccles. 80.

74. ἵππερον. ἔπαιξε παρὰ τὸν ἵκτερον. νόσημα δὲ ὁ ἵκτερος, ὃ περιχεῖται ταῖς ὄψεσι τῶν νοσούντων· διὸ καὶ τὸ κατέχεε κατὰ λόγον ἐπήγαγεν. οὕτω δὲ καὶ τοῖς χρήμασιν αὐτοῦ ἐπιβεβλῆσθαί φησιν ἵππερον, οἷον ἱππικὸν ἔρωτα, νόσον ἱππικήν, διὰ τὸ πολλὰ δεδαπανηκέναι. (*Pferdesucht.*) S.

75. φροντίζων ὁδοῦ, *cogitans de via*, qua eundum est; sollicitus de consilio, quod capiam.

76. δαιμονίως in bonam partem, ut plerumque. v. Spanh. ad Plut. 674. (670.) gl. cod.: ἐπιτηδείως. est tamen et in malam partem ap. Lysiam p. 442. ed. Tayl. *Ernest.* — ὑπ., *excellentem.*

77. *quam ut ingrediatur, si huicce* (filium monstrat) *persuasero.* B.

79. πῶς — ἄν etc. nota formula loquendi. cf. Thesm. 22. sic reddas licet: *utinam eum quam suavissime expergefaciam! utinam quidem!* Wieland.: *Ich will ihn also wecken*; — *aber leise, leise, damit er mir nicht übler Laune wird.* et in annot.: „Ein vielsagendes Pröbchen, im Vorbeigehn, wie der schwachherzige einfältig-schlaue Streps. seinen halbadligen Jungen erzog. Es werden

ΦΕΙ. νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν ἵππιον.
ΣΤ. μὴ μοί γε τοῦτον μηδαμῶς τὸν ἵππιον·
οὗτος γὰρ ὁ θεὸς αἴτιός μοι τῶν κακῶν·
ἀλλ' εἴπερ ἔμ' ἐκ τῆς καρδίας ὄντως φιλεῖς,
ὦ παῖ, πίθου.
ΦΕΙ. τί οὖν πίθωμαι δῆτά σοι;
ΣΤ. ἔκστρεψον ὡς τάχιστα τοὺς σαυτοῦ τρόπους,
καὶ μάνθαν' ἐλθὼν ἃν ἐγὼ παραινέσω.
ΦΕΙ. λέγε δή, τί κελεύεις;
ΣΤ. καί τι πείσει;
ΦΕΙ. πείσομαι,
νὴ τὸν Διόνυσον.
ΣΤ. δεῦρό νύν γ' ἀπόβλεπε.
ὁρᾷς τὸ θύριον τοῦτο καὶ τῳκίδιον;
ΦΕΙ. ὁρῶ. τί οὖν τοῦτ' ἐστὶν ἑτέον, ὦ πάτερ;

uns deren noch mehrere aufstossen. Auch musste eine solche Erziehung vorhergegangen sein, wenn der sofistische Sokrates dieses Stücks einen solchen Taugenichts aus ihm sollte machen können, wie er sich uns am Ende darstellen wird."

83. — κυρίως νῦν ὁ νεανίσκος ὄμνυσι τὸν Ποσειδῶνα, θεὸν ἱππικὸν ὄντα, ἅτε καὶ αὐτὸς περὶ ἵππους ἐσπουδακώς. διὰ τοῦτο καὶ ὁ πρεσβύτης τῷ ὅρκῳ ἀκολούθως ἄχθεται. (male verba διὰ — ἄχθεται extrema annotatione leguntur in libris.) τουτονὶ δὲ τῷ κοινῷ τῶν ἀνθρώπων ἔθει χρώμενον αὐτὸν δεῖ νομίζειν εἰρηκέναι. εἰώθασι γὰρ ὀμνύντες λέγειν μὰ τοῦτον τὸν θεὸν, μὰ τοῦτον τὸν Ἀσκληπιόν. (merito hanc explicationem probabat Wolfius, comparabatque illud Plauti Amph. 1, 1, 305.: *quod* ille *faciat Jupiter*, qui tamen usus latini pronominis latius, ni fallor, patet. vide G. Canteri Nov. Lect. 3, 26., nos ad Plaut. Amph. prol. 46. ed. 1.) ἄλλοι δὲ, ἀφίδρυμα ἔχοντα Ποσειδῶνος. (hoc ineptum esse sensit Schütz.) S.

84. μή μοί γε. μὴ ἐκπῃς μοι, φησὶ, τὸν ἵππιον· οὐ γὰρ ἀνέχομαι τὸ τῶν ἵππων ἀκούειν ὄνομα, δι' οὓς ἀπολωλέκειν τὰ χρήματα. S.

86. hoc monstrat Rav., in quo legitur ἀ. εἴπερ μ' ἐκ etc. V.: ἀ. εἴπερ ἐκ τῆς κ. μ' ὄ. φ. ἐμὲ, me, patrem tuum, ἐμφατικῶς. cf. 82.

88. ἔκστρ. ἀντὶ τοῦ μετάβαλε, ἀπὸ μεταφορᾶς τῶν ὑπονυμένων ἱματίων, καὶ ἐκστρεφομένων. ἐκστρέφει δὲ ἱμάτιον τὸ ἀλλάξαι τὸ πρὸς τὸ ἔσω μέρος ἔξω. ἄλλαξον οὖν, φησὶ, τοὺς τρόπους σου, καὶ μεταβαλοῦ. S. cf. Plut. 716.

91. ἐπεὶ οὐκ ἐπιτρέπει (ἐπιτρέπεται) τὸν Ποσειδῶνα ὀμνύναι, μεταβαλὼν τὸν Διόνυσον ὄμνυσιν. S.

92. τῳκίδιον. τὸ οἰκίδιον, ὑποκοριστικῶς. σμικρύνει δὲ, καὶ τοῖς ὀνόμασιν αὐτοῖς τὸ εὐτελὲς τῆς φιλοσοφίας εἰς πάντα δεικνύς. — ἤγαγε δὲ δῆθεν αὐτὸν ἐπὶ τὴν Σωκράτους οἰκίαν. S. H. Voss.: Sokrates hatte ein Häuschen, welches, mitsamt dem Hausgeräth, er auf 5 Minen schätzte. 12 Minen hatte das Koppaross (23.) gekostet. In einem ähnlichen Häuschen schulhaltert der komische Sokrates; der wirkliche Sokrates war den Tag über nicht zu Hause, sondern verkehrte in Gymnasien, und wo er sonst die meisten Menschen antraf.

93. ἑτέον. cf. 35.

ΣΤ. ψυχῶν σοφῶν τοῦτ' ἐστὶ φροτιστήριον.
ἐνταῦθ' ἐνοικοῦσ' ἄνδρες, οἳ τὸν οὐρανὸν
λέγοντες ἀναπείθουσιν ὡς ἔστιν πνιγεύς,
κἄστιν περὶ ἡμᾶς οὗτος, ἡμεῖς δ' ἄνθρακες.
οὗτοι διδάσκουσ', ἀργύριον ἤν τις διδῷ,
λέγοντα νικᾶν καὶ δίκαια κἄδικα.

94. friget τοῦτ' inculcatum sine emphasi, ut verear ne hic noster dixerit ψ. σοφιστῶν ἐστὶ φρ., et σοφῶν sit glossema. v. 325. et de usu substantivi pro adjectivo Matth. gr. §. 429, 4. Euripides Suppl. 876. οὐκ ἐν λόγοις ἦν λαμπρὸς, ἀλλ' ἐν ἀσκίδι Δεινὸς σοφιστὴς, πολλὰ τ' ἐξευρεῖν σοφά. — ψυχῶν σοφῶν. ἤγουν ἀνδρῶν φιλοσόφων. φροντ. οἱονεὶ βουλευτήριον, ἢ σύνοδός τις καὶ θᾶκος σοφῶν. θᾶκος δὲ καλεῖται ὁ τόπος ἀττικῶς, ἔνθα πολλοὶ συνέρχονται συεφόμενοι. — S. B.: φροντιστήριον dicitur schola Socratis, quod philosophi ibi φροντίζουσιν, h. e. meditantur. verbum φροντιστήριον ab Aristophane vel alio Comico procusum esse videbatur Wolfio ad eos irridendos; quo quidem nomine Neograecos serio appellare dicebat gymnasia, quae similiter studia vocata fuerint aevo medio. J. Brodaeus Misc. 5, 18., Lamp. Gruter. 2, 540.: „Interpres," inquit: „φροντ. οἱονεὶ βουλευτήριον exponit, quem sane non carpo, in hoc tamen Socratem traduci censeo, qui φροντιστὴς cognominatus est, Xenoph. in Symp. (c. 7.): ἆρα σὺ, ὦ Σώκρατες, ὁ φροντιστὴς ἐπικαλούμενος; (cf. Plat. Symp. 3, 2.; 36, 1, 2.) Galen.: αἱ γάρ τοι διανοήσεις ὀνομάζονται φροντίδες· ὅθεν καὶ τὸν Σωκράτη φροντιστὴν ἐκάλουν, καὶ φροντίδας τὰ σοφὰ βουλεύματα τἀνδρὸς ὠνόμαζον. nec sine morsu ψυχῶν dixit, non ἀνθρώπων: nam Socrates animam hominem esse disputavit, cum tamen ex anima et corpore constet." etc. laxe vocab. φροντ. vertunt *schola;* melius W. *ein Speculiergemach.* Wolf. *Das ist ein Studienhaus von weisen Geistern.* Droysen. *Das ist 'ne Denkanstalt von weisen Geistern.* Wieland. graecam vocem (*Frontisterion*) retinuit, tanquam eam, quae commode exprimi verbo germanico non posset.

96. πνιγεύς, ἡ τῶν ἀνθράκων κάμινος. διὸ ἐπιλέγει ἡμεῖς δ' ἄνθρακες, διὰ τὸ ὑπὸ ἡλίου θερμαίνεσθαι. κυρίως δὲ πνιγεύς, ἔνθα οἱ ἄνθρακες ἔχονται, καὶ πνίγονται. ταῦτα δὲ πρότερος Κράτης ἐν Πανόπταις περὶ Ἱππῶνος τοῦ φιλοσόφου (Pythagorei), κωμῳδῶν αὐτὸν, λέγει etc. S. conferunt Av. 937., ubi similiter Meton de aëre: αὐτίκα γὰρ ἀήρ ἐστι τὴν ἰδέαν ὅλος Κατὰ πνιγέα μάλιστα. W. *ein Dämpfofen.* („*Bratofen* ist unrichtig übersetzt: denn die Kohlen sind ja nicht in diesem" etc.) Voss.: *ein Stülpkamin*, eine Stülpe, worunter man glühende Kohlen barg. Nach der sinnlichen Vorstellung der Alten war die Erde eine vom Okeanos umströmte Scheibe, und der Himmel ein metallenes Gewölbe auf dem Rande ruhend. Seit Thales zwar ward von einigen Weltweisen der Himmel als eine Hohlkugel gedacht, in deren Mitte die runde Erdfläche auf Wasser oder gepresster Luft schwebte; gleichwol blieb die alte Vorstellung bei dem Volk und in den Schulen die herrschende. —

98. καὶ τοῦτο ψεῦδος διαβολῆς χάριν· οὐδεὶς γὰρ μισθὸν ἐτέλει Σωκράτει, ἐπεὶ ἐκεῖνος ἔφασκε μηδὲν εἰδέναι· διόπερ καὶ ὑπὸ Πυθίου σοφὸς ἐκρίθη etc. S. „Sophistae ἐρασιχρήματοι non nisi pro pecunia docebant illam artem, quam quis discendo quidlibet posset perficere, quae dicitur rhetorica" etc. *Be.*, collatis Hecubae Eurip. 773. seqq. „Socrates nunquam mercedem ab auditoribus accepit. (ad victum tamen ei collatum esse narrant Aristoxenus ap. Diog. Laërt 2, 20. et Quintilian. 12, 17. cf. Xenoph. Apol.

100 ΦΕΙ. εἰσὶν δὲ τίνες;
ΣΤ. οὐκ οἶδ' ἀκριβῶς τοὔνομα·
μεριμνοφροντισταὶ καλοί τε κἀγαθοί.
ΦΕΙ. αἰβοῖ, πόνηροί γ'! οἶδα· τοὺς ἀλαζόνας,
τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις,
ὧν ὁ κακοδαίμων Σωκράτης, καὶ Χαιρεφῶν.

Socr. §. 17., et, qui hos testes citavit, W. p. 127. sequ.) idem a vanitate plurimum aberat. valetudini quoque inserviebat, adeo ut pallidus minime dici posset. verum Aristoph. omnia Sophistarum vitia in Socratem transtulit" etc. *Schütz.* cf. annot. ad 246.

101. μεριμνοφρ. dicuntur illi, qui cogitationes rerum, praesertim abstrusarum, inter se agitant, *Studierspeculanten*, vel *Ideenforscher*, ut reddiderunt W. et Wolfius. vox comica, qua itidem irridentur Socrates et philosophi: nam μέριμνα idem quod φροντὶς utraque significatione. serio μεριμνητὰς λόγων dixit Eurip. Med. 1170., ut Be. annotavit. — „καλοί τε κἀγαθοί. formula frequens in ore Socratis, sed etiam Aristophani aliisque usitata. vide Ran. 672., Vesp. 1214., Equ. 185." etc. *W.* „*Fein' und Gute.* Ein Lieblingsausdruck des Sokrates und seiner Schule; die durch Geburt, Reichthum und feinere Bildung Ausgezeichneten sollten nach den Tendenzen der Schule eine politische Macht gegen die Demokratie gewinnen." *Droysen.*

102. αἰβοῖ, *vae.* Wolf.: *O weh*, Voss.: *Ahah!* S.: ἀλαζόνας ἰδίως τοὺς ψεύστας ἐκάλουν· εἰκότως δὲ καὶ τοὺς φιλοσόφους ἀλαζόνας καλεῖ, ἐπεὶ λέγειν ἐπαγγέλλονται περὶ ὧν οὐκ ἴσασιν. ἢ ὅτι σεμνὲ ἔχοντες ἤθη ἀλαζόνες δοκοῦσιν. ὠχριῶντες δὲ καὶ ἀνυπόδητοι, ἐπεὶ μόνης ἀρετῆς φροντίζοντες, καὶ οὐ τρυφῆς, διώκουσι τὸ ἀπέριστον. (cf. 812. seqq.) πόνηροι δὲ, ἀντὶ τοῦ ἐπίπονοι, ἄθλιοι. S. Color pallidus in philosophis praecipue notari solebat. Lucianus Jove Trag. c. 1.: ὠχρὸς περιπατῶν, φιλοσόφου τὸ χρῶμ' ἔχων. — cum pallore conjungit ἀνυποδησίαν. solebant enim philosophi austeriores, praesertim Cynici, et adstrictioris vitae homines, discalceati incedere; quod Socratem fecisse discimus ex 357., itemque e Xenoph. Memor. Socr. 1, 6, 2. Plut. vita Catonis Uticensis c. 6.: ἀνυπόδητος. καὶ ἀχίτων, πολλάκις ἐπὶ τὸ βῆμα (ad tribunal praetor) προσερχόμενος. idem de Phocione vita ejus c. 4.: κατά γε τὴν χώραν καὶ τὰς στρατείας ἀνυπόδητος ἀεὶ καὶ γυμνὸς ἐβάδιζεν. Agesilaus jam senex ἀνυπόδητος πολλάκις καὶ ἀχίτων προῆει, teste Aeliano V. H. 7, 13. *E M.* praeterea Spanh. ad Callim. h. in Cer. 125. annotavit, ritum ἀνυποδησίας cum ap. Ethnicos, tum ap. Hebraeos, vulgo usurpatum esse in sacris et in solemnibus deorum pompis, item in luctu et gravi calamitate. de philosophis ἀνυποδήτοις Duker. praeter Spanh. l. l. conferri jussit Brod. Misc. 5, 18. et Salmas. ad Tertull. de Pallio p. 417. vide etiam Sturzii lex. Xenoph. 1. p. 276. sequ. Ern. tamen non omnino discalceatos dici putat, sed eos, qui non utuntur calceis cavis, qui proprie sunt ὑποδήματα, quibus elegantiores utebantur, severiores autem soleis.

104. Χαιρ. ἑταῖρος Σωκράτους ὁ Χαιρεφῶν· (Socrat. ap. Plat. Apol. Socr. c. 5. de Chaerephonte: ἐμὸς ἑταῖρος ἦν ἐκ νέων. annot. *Spanh.*) ὃς ἐκαλεῖτο καὶ Νυκτερὶς διὰ τὸ μέλας εἶναι, καὶ λεπτόφωνος. S. idem ad 492.: ἡμιθνὴς γεγήσομαι. ἐπεὶ ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρ., ἅτε φιλοσοφίᾳ συντεταγκώς· παρὸ ἐκαλεῖτο νυκτερὶς, καὶ πτέρνος. cf. 114. seqq., Av. 1209., 1456. Plato l. l.: καὶ ἴστε δή, οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ τι ὁρμήσειε. μανικὸν appellat Charmide sub initium, ut W. annotavit.

ΣΤ. ἠῆ, σιώπα! μηδὲν εἴπῃς νήπιον,
ἀλλ' εἴ τι κήδει τῶν πατρῴων ἀλφίτων,
τούτων γενοῦ μοι, σχασάμενος τὴν ἱππικήν.
ΦΕΙ. οὐκ ἂν μὰ τὸν Διόνυσον, εἰ δοίης γ' ἐμοὶ
τοὺς φασιανοὺς, οὓς τρέφει Λεωγόρας.
ΣΤ. ἴθ', ἀντιβολῶ σ', ὦ φίλτατ' ἀνθρώπων ἐμοὶ,
ἐλθὼν διδάσκου!
ΦΕΙ. καὶ τί σοι μαθήσομαι;
ΣΤ. εἶναι παρ' αὐτοῖς φασιν ἄμφω τὼ λόγω,
τὸν κρείττον', ὅστις ἐστὶ, καὶ τὸν ἥττονα·
τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥττονα,
νικᾷν λέγοντά φασι τἀδικώτερα·
ἢν οὖν μάθῃς μοι τὸν ἄδικον τοῦτον λόγον,
ἃ νῦν ὀφείλω διὰ σὲ, τούτων τῶν χρεῶν
οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί.
ΦΕΙ. οὐκ ἂν πιθοίμην· οὐ γὰρ ἂν τλαίην ἰδεῖν
τοὺς ἱππέας τὸ χρῶμα διακεκναισμένος.
ΣΤ. οὔκ ἄρα μὰ τὴν Δήμητρα τῶν γ' ἐμῶν ἔδει,
οὔτ' αὐτὸς, οὔθ' ὁ ζύγιος, οὔθ' ὁ σαμφόρας,

105, 6. ἠῆ, ei ei. scripsimus ἠῆ, ut αἰαῖ, ὑῦ Plut. 891. et similia. D. ἠή. vulgo ἢ ἤ. S.: μηδὲν ε.ν. μηδὲν εὔηθες, μηδὲ μειρακιῶδες, [μήδ' ἀνόητον] εἴπῃς. κήδει. ἤγουν φροντίζεις. πατρῴων δ' ἀλφίτων ἀντὶ τοῦ τῶν χρημάτων ἢ τῆς πατρῴας οὐσίας. (cf. 176.) Be. „Ach. 965.: ἀλλ' εἴ τι κήδει Δερκέτου Φυλασίου. praeter expectationem dixit ἀλφίτων pro ἀλγέων (Eurip. Suppl. 1111.) vel quodam simili verbo."

107. σχασ. στήσας, καταπαύσας. σχάσαι γὰρ τὸ κωπηλατοῦντα στῆσαι τὴν κώπην. S. cf. 721.

109. τοὺς φασ. οἱ μὲν ἵππους, οἱ δὲ ὄρνεα. (recte phasianas intelligit Athen. 9, 9, p. 387. A., planeque confictum esse videtur quod alius quidam tradit in scholiis, ἔνιοι δ' ἵππους χάραγμα ἔχοντας φασιανοῦ, ὡς ἀλεκτρυόνος.) — Λεωγόρας δὲ τρυφερός τις, ὁ Ἀνδοκίδου πατήρ. Πλάτων Περιαλγεῖ· ὦ θεῖε Μόρυχε, νῦν γὰρ εὐδαίμων ἔφυς, Καὶ Γλαυκέτης, ἡ ψῆττα, καὶ Λεωγόρας, Οἳ ζῆτε τερπνῶς, οὐδὲν ἐνθυμούμενοι. Εὔπολις ἐν Αὐτολύκῳ β', ὡς καὶ διὰ Μυῤῥίναν ἑταίραν τὰ χρήματα ἀποβέβληκε [φησίν]. — S. cf. Pac. 951., Ach. 834., Vesp. 1227. sequ. phasianae jam tum ad luxum et magnificentiam alebantur.

115. τἀδικ. sic MSS. interpretis videtur esse, quod alibi legitur, τἀδικώτατα, nisi forte permixtae fuerint hae formae, ut fit in librit. ceterum parvi refert, utrum τἀδικώτερα pro positivo, an pro superlativo (quae vulgaris ratio est) dictum accipias. vid. Matth. gr. §. 457.

120. διακ. ἠμαυρωμένος, αἰσχρὸς καὶ διεφθαρμένος γενόμενος. Ex S. Pac. 251. οἵα πόλις τάλαινα διακναισθήσεται. cf. Ran. 1163., quae loca Spanh. laudavit, uti et Aeschyli atque Euripidis, in quibus legitur haec vox. cf. Blomf. ad Aeschyl. Prom. 94. et Agam. 64. Hesych. διακναιόμενον: διαπονούμενον, φθειρόμενον.

122. ζύγιοι ἵπποι καλοῦνται οἱ

ἀλλ' ἐξελῶ σ' ἐς Κόρακας ἐκ τῆς οἰκίας.
ΦΕΙ. ἀλλ' οὐ περιόψεταί μ' ὁ Θεῖος Μεγακλέης
ἄνιππον. ἀλλ' εἴσειμι, σοῦ δ' οὐ φροντιῶ.
ΣΤ. ἀλλ' οὐδ' ἐγὼ μέντοι πεσών γε κείσομαι,
ἀλλ' εὐξάμενος τοῖσιν θεοῖς διδάξομαι
αὐτὸς, βαδίζων εἰς τὸ φροντιστήριον. —
πῶς οὖν γέρων ὤν, κἀπιλήσμων, καὶ βραδὺς,
λόγων ἀκριβῶν σχινδαλάμους μαθήσομαι; —
Ἑταῖρε. τί ταῦτ' ἔχων στραγγεύομαι,
ἀλλ' οὐχὶ κόπτω τὴν θύραν; παῖ, παιδίον!

ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ, τουτέστιν ὁ μέσος δεξιὸς καὶ ὁ μέσος ἀριστερός. (duo jugales in quadriga.) — S. ὁ σαμφ. cf. annot. ad 23.

123. ἐς Κόρ. vide 133., Plut. 390., Pac. 19. etc.

124. Μεγ. εἰκὸς γὰρ ἦν, καὶ τοῦτον, σεμνυνόμενον ἐπὶ ταῖς τρισὶ νίκαις τοῦ πατρὸς, ἥδεσθαι, τὸν νεανίσκον ὁρῶντα μετερχόμενον τὰ προγονικὰ ἐπιτηδεύματα. S.

125. εἴσειμι, introibo. his dictis introit, superbe abrupto colloquio. cf. 781, 82.

126. ἀλλ' οὐδ' ἐγὼ μέντοι ἀθυμήσω, διότι μὴ πέπεικα τὸν υἱὸν, οὐδὲ τέλεον ἀφίξομαι τῆς γνώμης τῆς προκειμένης. — S. „metaphora a luctatoribus, qui nisi ter dejecti essent, pro victis non habebantur." Br. W. *Und ich will auch nicht liegen bleiben* (κείσομαι) *von dem Fall.* et similiter Voss. lepide Wolf. interpretatione liberiore: *Das ging mir schief; wer aber fiel, steht wieder auf.*

129. ταῦτα καθ' ἑαυτὸν λογίζεται ἐν τῷ ἀπιέναι. τὸ δὲ βραδὺς οὐκ ἐπὶ τῆς τοῦ σώματος κινήσεως παρείληφεν, ἀλλὰ τὸ μὴ ἀγχίνουν καὶ νωθὲς τῆς διανοίας δηλοῦν θέλει. ita H. secundum Suid. in βραδύς. legebatur: ἀγχίνους εἶναι. ἄνωθεν δὲ τὰ τῆς διαν. δ. θ.) S.

130. ita Br. et alii, cum in libris vel σκινδαλάμους legeretur, vel corrupto numero σκινδαλμούς. atticam formam esse σχινδάλαμος, novimus ex Moeride. Hesych. σκινδάλαμος: σκόλοψ. τινὲς δὲ διὰ τοῦ χ σχινδάλαμος· ἄλλοι σκινδαλμός. S.: — σκινδαλμοὺς δὲ λεπτολογίας, ἀπὸ τῆς σχίσεως τῶν καλάμων. — ἰδίως γὰρ σκινδαλμοὺς καλοῦμεν τὰ λεπτότατα τῶν ξύλων, καὶ τὰ τῶν καλάμων ξύσματα. — cf. Ran. 772. vertas licet *die feinen Redesplitter.* alia usus metaphora Wolf.: *Doch wird ein Graukopf meiner Jahre, vergesslich, stumpf, Die Spinneweben lernen von solcher Redekunst?* W.: „Hippias bei Platon S. 304., A. Socratis methodum docendi vocat κνίσματα καὶ περιτμήματα τῶν λόγων κατὰ βραχὺ διηρημένα, kurz geschnittene u. gekniffene Bröckchen u. Mikrologien, die wie Possen und Geschwätz aussähen."

131. τί ἔχων. vid., qui subtiliter de hoc pleonasmo disputavit, Weiske de pleon. Gr. p. 106. sequ. B. cf. 497., Thesm. 441., 810., Matth. gr. §. 567. simile τί παθοῦσαι inferius 334. gl. Br. στραγγ., ἀναβάλλω κ. διατρίβω, βραδύνω. schol. Junt. — πιέζομαι, καὶ συνθλίβομαι. στραγξ δέ ἐστιν ὁ διὰ λεπτοτάτης ὀπῆς σχολῇ κατιὼν σταλαγμός. (stillicidium.) cf. Schneiderl lex. gr. v. στράγγω.

132. — τοῦτο δὲ παρεγκύκλημα. (imo παρεκκύκλημα. v. 184, 218, cum subito versa per machinas scena aliam picturae faciem ostendit. v. Serv. ad Virg. Georg. 3, 24., Vitruv. 5, 7., Vesp. 669. etc.) δεῖ γὰρ αὐτὸν ἐλθεῖν, καὶ κόψαι τὴν θύραν Σωκράτους. παρατηρητέον δὲ, ὅτι

ΜΑ. βάλλ' ἐς κόρακας! τίς ἔσθ' ὁ κόψας τὴν θύραν;
ΣΤ. Φείδωνος υἱὸς Στρεψιάδης Κικυννόθεν.
ΜΑ. ἀμαθής γε νὴ Δί', ὅστις οὕτωσὶ σφόδρα
ἀπεριμερίμνως τὴν θύραν λελάκτικας,
καὶ φροντίδ' ἐξήμβλωκας ἐξευρημένην.
ΣΤ. ξύγγνωθί μοι· τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.
ἀλλ' εἰπέ μοι τὸ πρᾶγμα τοὐξημβλωμένον.
ΜΑ. ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσιν λέγειν.
ΣΤ. λέγε νυν ἐμοὶ θαρρῶν· ἐγὼ γὰρ οὑτοσὶ
ἥκω μαθητὴς εἰς τὸ φροντιστήριον.
ΜΑ. λέξω. νομίσαι δὲ ταῦτα χρὴ μυστήρια.
ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης

ἐπὶ μὲν τῶν ἔξωθεν κρουόντων κόπτειν λέγουσιν, ἐπὶ δὲ τῶν ἔσωθεν φοφεῖν. ἱκανῶς δὲ διέστειλε Μένανδρος (Fr. 208. ed. Meinekei), ἐπὶ μὲν τῶν ἔξω κόψω τὴν θύραν εἰπών, ἐπὶ δὲ τῶν ἔσω ἐψόφησε τὴν θύραν Ἐξιών. S. καῖ, καιδίον. vocat janitorem, quem quia non habet Socrates hic pauperrimus, pro eo discipulus aliquis philosophi proximus januae respondet.

133. βάλλ' ἐς κόρακας. ἄπιθι ἐς κόρακας. ἔστι δὲ παροιμία ἐπὶ κατάρας λεγομένη ἀντὶ τοῦ εἰς ἀπώλειαν καὶ εἰς φθοράν. — S. cf. 123.

134. Κικ. ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς Κικύννα, ἔνθα ἄγεται καὶ τὰ Ἀπολλώνια. S. cf. infra 210.

135, 6. ἀμαθής. ἰδιώτης, καὶ ἀπαίδευτος. ἀπεριμερίμνως. ἀμαθῶς, καὶ ἀπείρως καὶ, ἀνεπιστημόνως. — S.

137. ἐξήμβλ. ἐξέσωσας, ἐξέβαλες. ἐξαμβλῶσαι δὲ ἰδίως (imo κυρίως) ἐπὶ τῶν γυναικῶν λέγεται τῶν ἀποτικτουσῶν θᾶττον ἢ κατὰ τὸν τῶν ὠδίνων καὶ τῆς κυοφορίας νόμον. — ἰδίως δὲ νῦν ἐπὶ φιλοσόφων τὴν φροντίδα, ἐπεὶ καὶ μεριμνοφροντιστὰς ἐκάλουν αὐτούς, ὡς προεῖπε (101.). τοῦ δὲ Σωκράτους λέγοντος, ὅτι τέχνην ἔχω τὴν μαιευτικήν, καὶ διὰ ταύτης ποιῶ τοὺς νέους ἀποτίκτειν τὰ νοήματα ἐν τῇ ἑαυτῶν ψυχῇ (vide, monstrante Spanh., Plat. Theaetet. c. 17.), τοῦτο νῦν κωμῳδεῖ Ἀ. διὰ τοῦ ἐξήμβλωκας. S. Socrates erat obstetricis filius, et dicere solebat, se quoque artem maternam exercere quodammodo, educentem foetus ingenii in cerebro conceptos. — Be.

138. τῶν ἀγρῶν. ἀντὶ τοῦ ἐν τοῖς ἀγροῖς. — S. vide Matth. gr. §. 318. reprehensus ob rusticitatem excusat agrestem vitam suam.

141. ἐγὼ γὰρ οὐτ. *denn ich, wie du mich hier siehst.* Schütz.

143. ita Bekk. et D. ex Rav. potissimum, ut videtur; nec aliter codex Venetus et regius Paris. ille, quem Ern. usurpavit. alius νομ. σε δέ. vulgo νομ. δέ σε. — μυστήρια, arcana non divulganda. Aristaenetus, annotante Be., Epist. 2, 5.: μυστήριά σοι ταῦτα γεγράφθω. Aelian. Ep. 1. ταῦτά σοι πρὸς τοῦ Πανὸς μυστήρια τὰ μεγάλα ἔστω. cf. 801.

144. Χαιρ. τῶν πάνυ γνωρίμων Σωκράτους ὁ Χαιρεφῶν. (cf. 104., 808.) οὐδὲν δὲ αὐτοῦ διασέσωσται τῶν συγγραμμάτων. δοκεῖ δὲ γενέσθαι περίθερμος, καὶ σφόδρα ἐχθρεύσας τῷ ἀδελφῷ. καί φησι Ξενοφῶν (Mem. Socr. 2, 3.), Σωκράτην ξυνάγοντα αὐτοὺς λέγειν, ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφωνοῖεν, οὐδὲ χειρῶν, οὐδὲ ποδῶν. δήμου δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος. (idem ad 156.: Σφήττιος. ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς. ubi Be.: Strepsiades Cicynnensis est tribulis Chaerephontis

ψύλλαν, ὁπόσους ἄλλοιτο τοὺς αὐτῆς πόδας.
δακοῦσα γὰρ τοῦ Χαιρεφῶντος τὴν ὀφρὺν
ἐπὶ τὴν κεφαλὴν τὴν Σωκράτους ἀφήλατο.
ΣΤ. πῶς τοῦτο διεμέτρησε;
ΜΑ. δεξιώτατα.
κηρὸν διατήξας, εἶτα τὴν ψύλλαν λαβών,
ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε,
κἄτα ψυγείσῃ περιέφυσαν περσικαί·
ταύτας ὑπολύσας ἀνεμέτρει τὸ χωρίον.
ΣΤ. ὦ Ζεῦ βασιλεῦ, τῆς λεπτότητος τῶν φρενῶν!
ΜΑ. τί δῆτ' ἄν, ἕτερον εἰ πύθοιο Σωκράτους
φρόντισμα;
ΣΤ. ποῖον; ἀντιβολῶ, κάτειπέ μοι!
ΜΑ. ἀνήρετ' αὐτὸν Χαιρεφῶν ὁ Σφήττιος,
ὁπότερα τὴν γνώμην ἔχοι τὰς ἐμπίδας

Sphettii: nam Cicynna et Sphettus erant ambo pagi Acamantidis tribus. Steph. Byz.: *Σφηττὸς δῆμος Ἀκαμ. φυλῆς.*) *τούτῳ καὶ ἡ Πυθὼ δοκεῖ τὸν περὶ Σωκράτους χρησμὸν εἰπεῖν* (vid. Plato l. l. ad 104.) *σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης, Ἀνδρῶν δὲ πάντων* (*ἁπάντων* Justin. Mart. Cohort. ad Gr. p. 32. Mar., Lucian. Amor. 2. p. 418. ed. Tauchnitz., Diog. Laërt. 2, 37., ut Duker. annotavit.) *Σωκράτης σοφώτατος.* —

145, 46. *ψύλλαν.* nota constructio. cf. Av. 458. etc. S.: *ψύλλαν μὲν ἀττικῶς, ὃν ἡμεῖς ψύλλον καλοῦμεν.* (cf. Moeris. v. *ψύλλα*, et alii lexicographi. Phrynichus Lobeck. p. 332. *ψύλλος βάρβαρον· ἡ δὲ ψύλλα δόκιμον, ὅτι* [vulgo *ὅτι*] *καὶ ἀρχαῖον.*) *τὸ δὲ λεγόμενον τοιοῦτο, τὸ πήδημα τῆς ψύλλης διαμετρῆσαι τοῖς αὐτῆς τῆς ψύλλης ποσίν, ὁπόσους τούτους πηδήσεις. δῆλον δὲ, ὅτι ταῦτά, φησι διασῦραι βουλόμενος τὰ τῶν φιλοσόφων ζητήματα, ὡς ἰσχνὰ καὶ λόγου μηδενὸς ἐχόμενα. — τοῦ Χαιρ. τὴν ὀφρῦν. ἰστέον, ὅτι αὐτοπροσώπως εἰσῆγον τοὺς κωμῳδουμένους, καὶ ὅτι γελοίου χάριν παρείληφε τοῦτο. αὐτίκα γοῦν οὐδὲ ἄλλου τινὸς ἐμνημόνευσε μέρους τοῦ σώματος ἢ τοῦ ἐν ἑκατέρῳ γελοίου· ὁ μὲν γὰρ μεγάλας εἶχε τὰς ὀφρῦς ὁ Χαιρεφῶν, ὁ δὲ φαλακρὸς ἦν ὁ Σωκράτης.*

148. sic vel similiter meliores libri. vulgo *π. δῆτα τοῦτ' ἐμέτρησε;* quemadmodum, observante Br., multis in locis librarii simplicia verba pro compositis invexerunt.

150. *δυσκόν τῷ πόδε ἐπὶ τῆς ψύλλης κακῶς· λέγεται γὰρ ἐξ ἕξειν πόδας.* (ad ne id quidem scire fingitur stolidus ille Socraticus.) *ψυγείσῃ δὲ ἀντὶ τοῦ θανούσῃ.* (imo *refrigeratae.*) S. de hoc commento vide, quem laudant interpp., Xenoph. Symp. c. 6. §. 8. ibique Schneiderum. non minus ridicule Mercier. in *Le Nouveau Paris* vol. 3. p. 47. ed. Vieweg. a. 1798.: *Qu'est-ce donc que ce misérable esprit qui anime les trois quarts des littérateurs? Il vit de misères, il se nourrit d'inutilités, il dispute sur des riens*, „il pèse des pattes de mouches" etc., quod proverbii loco dici solet apud Francogallos.

151. *περσικαί.* calceamenti genus muliebris, de quo ad Lys. 229. Ernest.: — „Aptissime *περσικαί*: sunt enim calcei muliebres, cavi, albi et tenues, quae omnia conveniunt calceis pulicis e cera." —

157. *ὁπ. τ. γν. ἔχοι. ἀντὶ τοῦ*

κατὰ τὸ στόμ᾽ ᾄδειν, ἢ κατὰ τοὐρρόπύγιον.
ΣΤ. τί δῆτ᾽ ἐκεῖνος εἶπε περὶ τῆς ἐμπίδος;
ΜΑ. ἔφασκεν εἶναι τοὔντερον τῆς ἐμπίδος
στενόν· διὰ λεπτοῦ δ᾽ ὄντος αὐτοῦ τὴν πνοὴν
βίᾳ βαδίζειν εὐθὺ τοὐρρόπυγίου,
ἔπειτα κοῖλον πρὸς στενῷ προσκείμενον
τὸν πρωκτὸν ἠχεῖν ὑπὸ βίας τοῦ πνεύματος.
ΣΤ. σάλπιγξ ὁ πρωκτός ἐστιν ἄρα τῶν ἐμπίδων.
ὦ τρισμακάριος τοῦ διεντερεύματος!
ἦ ῥᾳδίως φεύγων ἂν ἀποφύγοι δίκην,
ὅστις δ᾽ οἶδε τοὔντερον τῆς ἐμπίδος.
ΜΑ. πρώην δέ γε γνώμην μεγάλην ἀφηρέθη
ὑπ᾽ ἀσκαλαβώτου.
ΣΤ. τίνα τρόπον; κάτειπέ μοι.
ΜΑ. ζητοῦντος αὐτοῦ τῆς σελήνης τὰς ὁδοὺς
καὶ τὰς περιφορὰς, εἶτ᾽ ἄνω κεχηνότος,
ἀπὸ τῆς ὀροφῆς νύκτωρ γαλεώτης κατέχεσεν.

πῶς διανοεῖται, καὶ διαλογίζεται, περὶ τῶν ἐμπίδων. τὸ δὲ ὁπότερα ἀντὶ τοῦ ὁποτέρως. ἐμπίδας δὲ, οὓς ἡμεῖς κώνωπας καλοῦμεν· οἱ δὲ εἶδος κώνωπος παραποτάμιον, ζώνην ἔχοντος. (*Steckfliegen.* cf. Av. 246. et Suid. v. ἐμπὶς, quae loca monstravit H. quia tamen illae non canunt, quod sciam, potius intelligendi sunt κώνωπες, *culices*, *Schnaken* vel *Mücken*, ut loquuntur in Germania septentrionali.)

160. τῆς ἐμπίδος. per ridiculum frequentius iterat hoc nomen, velut in gravi argumentatione.

162. εὐθὺ cum genitivo, ut Av. 1328., Equ. 254., Eccl. 835. vide, quos laudavit Ernest., Valck. ad Ammon. p. 90., et Hemsterhus. ad Lucian. t. 1. p. 437.

162. τοὐρρόπ. ani. cf. Vesp. 1040.

165. σάλπιγξ. τοιαύτη γὰρ ἡ σάλπιγξ, κατὰ μὲν τὸ ἀνώτατον καὶ πρὸς τὸ ἄκρον κοίλη, τὸ κάτω δὲ στενή· διὸ καὶ ὀξὺ ᾄδει. (perperam libri: τοιαύτη γάρ. κατὰ — κοίλη ἡ σάλπιγξ, τὰ κάτω δὲ στ.)

165. διεντ. τῆς περὶ τοῦ ἐντέρου λεπτολογίας, καὶ φυσιολογίας. gloss. Br. *Darmdurchforschung.*

169. γν. μεγ. ἀφ. *magno invento privatus est.* Be.

170. ἀσκαλ. est *lacerta geco* Linn. vide Schneider. in Ind. ad Eclogas phys. h. v. — B. at hoc animal in Indiae fruticetis vivere dicitur. quare malim intelligi *stellionem* (*lacertam stellionem* Linn., *die Dorneidechse*), qui non solum in India reperitur, sed etiam in Aegypto et Graecia. habitat id genus ruinas rimasque veterum aedificiorum, quorum muros solet percurrere, praesertim in sole. vide Wilmsenii *Handbuch der Naturgesch.* 2. Th. S. 78., Welckerum, et, quos K. testes citavit, Salmasium ad Solin. p. 532. ed. Ultraj., et Bochart. Hieroz. 1, 4, 6. et 7. annotavit Br., ἀσκαλάβωτον vocari etiam κωλώτην et γαλεώτην. cf. 173.

173. καὶ ἀρσενικῶς ὁ ὄροφος, καὶ θηλυκῶς ἡ ὀροφή, ὡς τὸ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ περσικὰ ἐν Λυσιστράτῃ (229.), καὶ ἐν Σφηξὶν (1178.) ὀροφὴν θέασαι.

ΣΤ. ἥσθην γαλεώτῃ καταχέσαντι Σωκράτους.
ΜΑ. ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας.
ΣΤ. εἶεν. τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο;
ΜΑ. κατὰ τῆς τραπέζης καταπάσας λεπτὴν τέφραν,

174. ἥσθην, *gaudeo*, ut reddidit Frischlinus. cf. Equ. 645., infra 1188. etc.

175. λεληθότως σκάπτει τὸν τῶν φιλοσόφων βίον, ὡς ἐπίπονον καὶ ταλαίπωρον. διὰ τοῦτο εἰς αὔξησιν καὶ τῷ καιρῷ συνεχρήσατο, εἴγε μέχρι τῆς ἑσπέρας ἀναμένοντες φαγεῖν οὐδὲ τότε παρεσκευασμένον οὐδὲν εἶχον. S. Ruhnken. h. l. famem Socrati exprobrari censet. nimirum plura garrit homo quam necesse erat, et ea etiam effutit, de quibus non erat quaesitum, observante Wielandio. B.

176. εἶεν. nota formula, de qua cf. infra 1041. πρὸς τἄλφιτ', ad *victum* quaerendum cf. 106. et, annotante Be., infra 631. B.: παλαμᾶσθαι est *moliri, excogitare aliquid*.

177. seqq. praestigiatorum artibus usum fingit personatum istum Socratem: nam quemadmodum praestigiatores aliud agunt, aliud agere videntur, saepeque mira celeritate nihil suspicantibus aliquid vel auferre, vel inserere in sinum, solent, sic ille in palaestra, postquam cinere conspersit mensam ad describendum figuras geometricas, velut mutato consilio veru alicubi arreptum incurvavit, tum rursus propositum se tenere fingens circinum in manus sumsit, mirantibusque spectatoribus, quid sibi vellet, et de his rebus, praesertim insuetis eo loco, inter se colloquentibus, dum minus observatur, victimam aliquam ex minoribus, velut agnellum, gallum, anserem, humi jacentem prope mensam, fortasse lanii, veru impacto, tanquam uncino, surripuit et in sinum condidit, deinde, circino descripta et explicata figura geometrica, ubi primum potuit, se subduxit cum praeda sua. ea horum sententia est, quam θυμάτιον ponendo pro vulgato θοιμάτιον, ingeniosa et verisimillima mutatione, restituit H. Droysen.: — „und schlug so unter ein schön Stück Opferfleisch." Duker.: — „Solebant geometrae in abaco pulvere consperso lineas describere. v. Brod. 1. Miscell. 1., Salmas. ad Tertull. de pall. p. 469." S.: κάμψας. καμπύλον ποιήσας, ὥσπερ ὄγκινον (male libri ὀγκίνων) εἶδει. ὀρθοὶ γὰρ οἱ ὀβελίσκοι. — ἀλλ' ἐπειδὴ ἔδεσμα ἦν οὐδὲν πρὸς τὸ ὀβελίσκον δεῖσθαι, πρὸς δὲ τὸ λαβεῖν (ita H., nisi quod δὲ particulam omisit. libri: λαθεῖν. vide annot. ad 516.), καὶ ἁρπάσαι τι, καὶ κατασχεῖν τὸ καμφθῆναι τοῦτον ἦν χρήσιμον. — ἐκ τῆς παλ. ὅμοιον τῷ ὑπὸ Εὐπόλιδος ῥηθέντι περὶ Σωκράτους Στησιχόρου πρὸς τὴν λύραν οἰνοχόην ἔκλεψεν. (de hoc metro Anacreonteo vide Hephaest. c. 15. p. 100. seqq. ed. Gaisford.) ἐμφαίνει δὲ διὰ τούτου, ὅτι παίδων ἦρα ὁ Σωκράτης· ἐν ταῖς παλαίστραις γὰρ τὰ πολλὰ ἐξητάζετο (ita H., cum in libris legatur ἐξητάζοντο.), ἵνα αὐτοὺς ὀρφῇ. S. refellit hoc crimen Wielandius, viros probos sobriosque Athenis sine ulla suspicione palaestras adiisse dicens, et vere quidem, ipsaque sua praesentia impudicitiam aliorum coërcuisse; inprimis autem pictores atque statuarios, quorum ipse aliquando fuit Socrates, artis suae causa palaestras et gymnasia frequentasse. De furtis illis non male W. (*Des Aristoph. Wolken*, p. 200.): „Wahr braucht nicht alles Einzelne gewesen zu sein, aber die Grundzüge gewiss. — Sokrates' Mikrologie, seine Vergleichungen mit dem Gemeinsten und Alltäglichsten, und mehr von seiner Methode erkennen wir auf das bestimmteste wieder, bis in dem selbstgenügsamen, trocknen, mit originellen Argumenten siegenden, Ton des Strepsiades gegen die Schuldner, einem Ton, den Sokrates sogar gegen die Obrigkeit führte. (Xenoph. Denkw. 1, 2. 35 ff.)" — „sacrifica-

κάμψας ὀβελίσκον, εἶτα διαβήτην λαβών,
ἐκ τῆς παλαίστρας θυμάτιον ὑφείλετο.
ΣΤ. τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν;
ἄνοιγ', ἄνοιγ' ἀνύσας τὸ φροντιστήριον,
καὶ δεῖξον ὡς τάχιστά μοι τὸν Σωκράτην!
μαθητιῶ γάρ. ἀλλ' ἄνοιγε τὴν θύραν! —
ὦ Ἡράκλεις, ταυτὶ ποδαπὰ τὰ θηρία;
ΜΑ. τί ἐθαύμασας; τῷ σοι δοκοῦσιν εἰκέναι;
ΣΤ. τοῖς ἐκ Πύλου ληφθεῖσι, τοῖς λακωνικοῖς.

tum esse in palaestris, satis constat vel ex his Platonis in Lyside p. 206. D. καὶ ἅμα λαβὼν τὸν Κτήσιππον προσῄειν εἰς τὴν παλαίστραν· — εἰσελθόντες δὲ κατελάβομεν αὐτόθι πεθυκότας τε τοὺς παῖδας, καὶ τὰ περὶ τὰ ἱερεῖα σχεδόν τι πεποιημένα. Hermaea illi agebant." — *Herm.*

180. τὸν Θαλῆν. οὗτος ἐγένετο τῶν ἑπτὰ Σοφῶν εἷς, Μιλήσιος· ὃς πρῶτος τὰ περὶ οὐρανὸν ἐξεῦρε. (magis eum admiratus fuerit Strepsiades propterea, quod philosophiam ad usum vitae accommodavit. Cic. de Div. 1, 49.: [Milesius Thales] *ut objurgatores suos convinceret, ostenderetque*, etiam philosophum, si ei commodum esset, pecuniam facere posse, *omnem oleam, antequam florere coepisset, in agro Milesio coëmisse dicitur. animadverterat fortasse quadam scientia, olearum ubertatem fore.* idem Thaletem sapientissimum in Septem vocat de Legg. 2, 11. ipse Aristoph. Av. 946. *ἄνθρωπος Θαλῆς! vir hic est Thales*, h. e. optimus geometra. Plautus Capt. 2, 2, 24., annotante Be.: *Eugepae, Thalem talento non emam Milesium: Nam ad sapientiam hujus* ille *nimius magator fuit*, quo loco vidd. Avellinius et interpp.) παρατηρητέον δὲ, ὅτι ἀπ' εὐθείας τῆς ὁ Θαλῆς Θαλῆν, ὡς Ἑρμῆς Ἑρμῆν, (perverse libri: — ὁ Θαλῆς, ὡς Ἑρμῆς, Ἑρμῆν, Θαλῆν,) καὶ Ἑρμέας, ὡς Θαλέας. διχῶς δὲ τοὔνομα ἐκφωνητέον· βαρύτονον μὲν Θάλης, ὡς Χρέμης, οὗ ἡ γενικὴ Θάλητος, ὡς Χρέμητος, Θάλητι, Θάλητα, ὡς τὸ Θάλητα χρημάτων ἐλεύθερον· ἔτι δὲ καὶ περισπωμένως Θαλῆς, ὡς Ἑρμῆς, καὶ Θαλοῦ, ὡς Ἑρμοῦ. (cf. Matth. gr. §. 91, 1.) S.

181. ἀνύσας. cf. Plut. 345. etc.

183. μαθ. ἀντὶ τοῦ μαθεῖν ἐπιθυμῶ. S. lepide Wieland., more Silesiorum: denn *mich schülert* ganz entsetzlich. et similiter ceteri interpp. Germanorum.

184. hic versus novam scenam incipit. apertis enim a Socratis discipulo foribus ostenditur spectatoribus φροντιστήριον ejus, seu schola; ubi primum magistrum sublimem in corbe pendentem; deinde complures discipulos studiis intentos; postremo varia litterarum instrumenta hic illic disposita videbant. nondum autem introire audet Streps., sed in limine haerens introspicit, deque his, quae ibi videt, discipulum interrogat. *Schütz.* S.: ὁρᾷ δὲ, ὡς φιλοσόφους, κομῶντας, στραφέντος τοῦ ἐκκυκλήματος. (ita H. pro ἐγκυκλ., quod habent libri. vide annot. ad Ach. 375.) conspectis illis philosophis barbatis et comam alentibus (cf. 809, Av. 1195.), qui feris quam hominibus similiores erant, invocat Herculem ἀλεξίκακον. cf. 1317., Ach. 94., Creuzeri Symbol. et Myth. 2. p. 268. 1. ed.

185. εἰκέναι pro vulgato ἐοικέναι Br. et recentiores. Moeris: εἰκὼς ἀττικῶς· ἐοικὼς ἑλληνικῶς. Bentlejo placebat δοκοῦσ' ἐοικέναι. cf. 335.

186. de istis captivis vide argum. Equitum. S.: — εἰκὸς οὖν τούτους καὶ διὰ τὸν αἰχμαλωτισμοῦ φόβον, καὶ διὰ τὸ πολλαῖς μὲν ἡμέραις πεπολιορκῆσθαι ἐν ἐρήμῳ νήσῳ, καὶ

ἀτὰρ τί ποτ' ἐς τὴν γῆν βλέπουσιν οὗτοι;
ΜΑ. ζητοῦσιν οὗτοι τὰ κατὰ γῆς.
ΣΤ. βολβοὺς ἄρα
ζητοῦσι. μή νυν τουτογὶ φροντίζετε·
ἐγὼ γὰρ οἶδ', ἵν' εἰσὶ μεγάλοι, καὶ καλοί.
τί γὰρ οἴδε δρῶσιν, οἱ σφόδρ' ἐγκεκυφότες;
ΜΑ. οὗτοι γ' ἐρεβοδιφῶσιν ὑπὸ τὸν Τάρταρον.
ΣΤ. τί δῆθ' ὁ πρωκτὸς ἐς τὸν οὐρανὸν βλέπει;
ΜΑ. αὐτὸς καθ' αὑτὸν ἀστρονομεῖν διδάσκεται. —
ἀλλ' εἴσιθ', ἵνα μὴ 'κεῖνος ἡμῖν ἐπιτύχῃ.
ΣΤ. μήπω γε, μήπω γ', ἀλλ' ἐπιμεινάντων, ἵνα
αὐτοῖσι κοινώσω τι πραγμάτιον ἐμόν.
ΜΑ. ἀλλ' οὐχ οἷόν τ' αὐτοῖσι πρὸς τὸν ἀέρα
ἔξω διατρίβειν πολὺν ἄγαν ἔσται χρόνον.
ΣΤ. πρὸς τῶν θεῶν, τί γὰρ τάδ' ἐστίν; εἰπέ μοι.
ΜΑ. ἀστρονομία μὲν αὕτηί.
ΣΤ. τουτὶ δὲ τί;

ἀφ' ἧς οὐδὲν τῶν ἐπιτηδείων ἦν λαβεῖν, πολλῷ δὲ καὶ μετὰ τὴν ἅλωσιν συγκεκλεῖσθαι χρόνῳ δεδεμένους ἐν ξύλῳ, ὠχρούς τε, καὶ ἰσχνούς, καὶ δυσώδεις γεγονέναι. — τοῖς λακωνικοῖς dictum pro τοῖς Λάκωσι, ut Pac. 212. et alias. vid. H.

188. βολβούς. bulbos edules. cf. Eccles. 1087. de proverbio *bulbos quaerere* vide Erasmi Ad. p. 702. ed. Rob. Steph.

189. μὴ νυν pro μὴ νῦν Schütz. τουτογὶ Porson. ad Eurip. Hecub. 1206., Wolfio et D. adstipulantibus. ll. sic, vel similiter, τοῦτό γε, τοῦτ' ἔτι. H. Reisig. et τοῦτό γ' ἔτι.

192. ἐρεβ. τὰ ὑπὸ ἔρεβος διφῶσι, τουτέστι τὰ ὑπὸ γῆν ζητοῦσι. S. *tenebras perscrutantur sub Tartaro.* vox comica.

195. κατὰ τὸ σιωπώμενον ἄλλων ἐξεληλυθότων ἐκ τοῦ φροντιστηρίου, τοῖς φιλοσόφοις φησὶν, ὅτι εἴσιτε, ἀντὶ τοῦ εἰσέλθετε, ἵνα μὴ ὁ Σωκράτης ενρῃ ἡμᾶς ἐνταῦθα διατρίβοντας. τὸ δ' ἐκεῖνος κατ' ἐξοχήν. ἄλλως. τὸ ἐκεῖνος, (καὶ) τὸ αὐτὸς, ἀντὶ ὀνομάτων παραλαμβάνουσι. — καὶ παρὰ Πυθαγορείοις τὸ αὐτὸς ἔφα, τουτέστιν ὁ Πυθαγόρας. καὶ ἐν τοῖς ἑξῆς (219.) αὐτὸς, ἤγουν ὁ Σωκράτης. S. ita servi atque discipuli et, qui hos imitabantur, parasiti et adulatores, cum dominos magistros regesque suos significarent. vide K. cum h. l., tum ad 219. et, quem laudavit, Casaub. ad Theophr. Char. cap. περὶ κολακείας §. 2.

196. ἐπιμ. ἐπιμεινάτωσαν.

198. sequ. Scil. ut tanto pallidiores, atque doctiores, videantur, inclusi aedibus tenentur. *Wieland.*

199. ἔσται. Rav. ἐστί. vulgo ἔστιν, quod friget, quippe sic intelligendum, ut 217. et passim.

200. εἰσελθὰν ὁ πρεσβύτης ὁρᾷ τὰ τῶν φιλοσόφων συσύη, ἄβακα, ἢ σφαῖραν, ἢ γεωγραφίαν (ita H. pro ζωγραφίαν), καὶ ἐρωτᾷ, τί ἐστι. S.

201. ἀστρον. σφαῖραν δείκνυσι. gloss. Br. Pertinet ad reprehendendum Socratem, qui studium geometriae et astronomiae commendabat suis. Xenoph. Mem. Socr. 4, 7. Ern. sed modum illis studiis adhibuit. Xenoph. l. l.: ὧν δὲ προσήκει ἀνδρὶ καλῷ κἀγαθῷ εἰδέναι ὅ τι μὲν αὐτὸς εἰδείη, πάντων προθυμότατα ἐδίδασκεν, ὅπου δὲ αὐτὸς ἀπειρότε-

ΜΑ. γεωμετρία.
ΣΤ. τοῦτ' οὖν τί ἐστι χρήσιμον;
ΜΑ. γῆν ἀναμετρεῖσθαι.
ΣΤ. πότερα τὴν κληρουχικήν;
ΜΑ. οὔκ, ἀλλὰ τὴν ξύμπασαν.
ΣΤ. ἀστεῖον λέγεις·
205 τὸ γὰρ σόφισμα δημοτικὸν, καὶ χρήσιμον.
ΜΑ. αὕτη δέ σοι γῆς περίοδος πάσης. ὁρᾷς;
αἵδε μὲν Ἀθῆναι.
ΣΤ. τί σὺ λέγεις; οὐ πείθομαι,
ἐπεὶ δικαστὰς οὐχ ὁρῶ καθημένους.
ΜΑ. ὡς τοῦτ' ἀληθῶς ἀττικὸν τὸ χωρίον.
210 ΣΤ. καὶ ποῦ Κικυννῆς εἰσὶν οὑμοὶ δημόται;
ΜΑ. ἐνταῦθ' ἔνεισιν. ἦ δέ γ' Εὔβοι', ὡς ὁρᾷς,

ρος εἴη, πρὸς τοὺς ἐπισταμένους ἦγεν αὐτούς. ἐδίδασκε δὲ καὶ μέχρι ὅτου δέοι ἔμπειρον εἶναι ἑκάστου πράγματος τὸν ὀρθῶς πεπαιδευμένον. αὐτίκα γεωμετρίαν μέχρι μὲν τούτου ἔφη δεῖν μανθάνειν, ἕως ἱκανός τις γένοιτο, εἴ ποτε δεήσειε, γῆν μέτρῳ ὀρθῶς ἢ παραλαβεῖν, ἢ παραδοῦναι, ἢ διανεῖμαι, ἢ ἔργον ἀποδείξασθαι. — τὸ δὲ μέχρι τῶν δυσξυνέτων διαγραμμάτων γεωμετρίαν μανθάνειν ἀπεδοκίμαζεν. ὅ τι μὲν γὰρ ὠφελοίη ταῦτα, οὐκ ἔφη ὁρᾶν· καίτοι οὐκ ἄπειρός γε αὐτῶν ἦν. — ἐκέλευε δὲ καὶ ἀστρολογίας ἐμπείρους γίγνεσθαι, καὶ ταύτης μέντοι μέχρι τοῦ νυκτός τε ὥραν, καὶ μηνός, καὶ ἐνιαυτοῦ δύνασθαι γιγνώσκειν ἕνεκα πορείας τε, καὶ πλοῦ, καὶ φυλακῆς, καὶ ὅσα ἄλλα ἢ νυκτὸς, ἢ μηνὸς, ἢ ἐνιαυτοῦ πράττεται, πρὸς ταῦτ' ἔχειν τεκμηρίοις χρῆσθαι, τὰς ὥρας τῶν εἰρημένων διαγιγνώσκοντας etc.

202. τί. κατὰ τί.

203. πότερα τὴν κληρ.; (Wolf.: *Vielleicht Colonisten-Land?*) ὡς ἄγροικος ταῦτά φησι. τὴν ἰδιωτικὴν, τὴν ὑπὸ κλήρου δεδομένην, τὴν τελοῦσαν (fort. τὴν μὴ τελ., non vectigalem, certe in tempus)· ἐκειδὴ οἱ Ἀθηναῖοι λαμβάνοντες πόλιν πολεμίαν, καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, κλήρῳ τὴν γῆν αὐτοῖς διένεμον. — S. plebem bello Pelop. iratam Pericles pecuniarum largitionibus placavit, καὶ κληρουχίαν ἀνέγραψεν, auctore Plut. Pericle c. 34., quem laudavit Spanh., itemque Thucydidem 1, 114.; 3, 50., Aristot. Rhet. 2, 6., Harpocr. v. κληροῦχοι, etc. cf. S. ad 213.

204. ἀστ. λέγεις. ridicule: nam nihil hic faceti, sed utile facetum vocat senex avarus. similiter Plautus Capt. 1, 2, 71.: *quia mi est natalis dies, Propterea te vocarid ad coenam volo.* ER. Facete dictum.

205. οἴεται τῶν πρὸς γεωργίαν εἶναι τοῦτο ἐβάκιον, ἢ τοιοῦτόν τι δημωφελές. S.

206. σοὶ familiare. cf. Ran. 1054.

207. αἵδε μὲν Ἀθ. χωρογραφίαν δείκνυσιν αὐτῷ. — S.

208. κατηγορεῖ Ἀθηναίων ἐνταῦθα, ὡς περὶ τὰ δικαστήρια μόνα ἠσχολημένων, καὶ τοῦ στρατεύειν ἀμελούντων. τοῦτο δὲ καὶ Δημοσθένης ἔστιν ὅτε ποιεῖ. S. — perstringit hic quoque τὸ φιλόδικον Atheniensium, qua de re ex professo edidit Vespas, ut Be. annotavit. Wieland. tantam fuisse dicit judicum Athenis multitudinem, ut fere quartam civium partem efficerent.

209. ὡς (*atqui* Be.) dictum ut ap. Soph. Phil. 283., 539. etc.

210. Κικ. cf. 134.

ἡδὶ παρατέταται μακρὰ πόρρω πάνυ.
ΣΤ. οἶδ'· ὑπὸ γὰρ ἡμῶν παρετάθη, καὶ Περικλέους.
ἀλλ' ἡ Λακεδαίμων ποῦ 'στιν;
ΜΑ. ὅπου 'στίν; αὐτηί.
ΣΤ. ὡς ἐγγὺς ἡμῶν! τοῦτο μέγα φροντίζετε,
ταύτην ἀφ' ἡμῶν ἀπαγαγεῖν πόρρω πάνυ.
ΜΑ. ἀλλ' οὐχ οἷόν τε, νὴ Δί'.
ΣΤ. οἰμώξεσθ' ἄρα.
φέρε, τίς γὰρ οὗτος οὑπὶ τῆς κρεμάθρας ἀνήρ;

212. sequ. παρατ. διὰ τὸ σχῆμα. λέγει δὲ τὸ ἐπίμηκες τῆς θέσεως, διὸ καὶ Μάκρις ἐκλήθη· ἐπιμήκης γάρ [ἦν]. — ὑπὸ γὰρ ἡμῶν παρ. εἰς φόρον ἐξετάθη, πλείονα φόρον παρέχουσα. — ἐκληρούχησαν δὲ Ἀθηναῖοι, κρατήσαντες αὐτῆς. (cf. annot. ad 203.) — ἐπολιόρκησαν δὲ αὐτὴν Ἀθηναῖοι μετὰ Περικλέους, καὶ μάλιστα Χαλκιδίας, καὶ Ἐρετριέας. (Ol. 83, 3., ante Chr. nat. 446. vid. Thuc. 1, 114.) — S.

215. ita Be., Br., aliique, secundum S. vulgo: τοῦτο πάνυ φροντ., nonnulli autem codd.: πάνυ μέγα φρ., cum mendosae voci emendatam adscripsissent librarii, non deleta illa, ut solent. S.: — γράφεται μέγα ἀντὶ τοῦ μεγάλως. (ut 220., 288., etc.) — recte Be.: Illud πάνυ ex glossemate irrepsit, et invenuste profecto, cum mox sequatur πόρρω πάνυ.

217. οἰμ. ἄρα. *plorabitis igitur*, h. e. plorate, abite in malam rem, si id non potestis efficere, ut longius a nobis amoveatur Lacedaemon.

218. φέρε. ἀντὶ τοῦ ὑπόθου. (ita Herm. secundum Suidam, qui sic: φέρε. οἷον ὑπόθου, ἄγε οὖν. S. ἀντὶ τῆς ὑπό.) ἀττικὴ δὲ ἡ σύνταξις. (male Suid. ἀρχαία ἡ σύνταξις. correxit H.) — κρεμάθρα δὲ λέγεται διὰ τὸ μετέωρον εἶναι αὐτὴν κρεμωμένην. ἔστι δὲ σκεῦος, εἰς ὃ τὰ περιττεύοντα ὄψα εἰώθαμεν ἀποτίθεσθαι. ἄλλως. παρεγκύκλημα. scrib. παρεκκ. v. 132.) δεῖ γὰρ κρεμᾶσθαι τὸν Σωκράτην, ἐπὶ κρεμαστῆ καθήμενον etc. annotaverunt, κρεμάστραν dici ap. Aristot. Rhet. 3, 11. §. 5. et Pollucem 10, 156. sed Moeris p. 242.: κρεμάθρα ἀττικῶς· κρεμάστρα ἑλληνικῶς. Be.: „Per machinam ostenditur Socr. ridiculi causa sublimis in corbe pensili. glossae: κρεμάστρα, *carnalium*. S. dicit esse *vas*, *in quo reliquias obsoniorum solemus reponere*. Comicus ipse mox (226.) ταῤῥὸν vocat. glossae: ταῤῥὸς, *crates*." perperam Divus *cistam* intellexit, Frischlinus *calathum*. Be.: „age, quis vero est vir iste in carnario? *corbe pensili*." Wielandio κρεμάθρα est *Käsekorb*, Vossio *Hängekorb*, Droyseno *Hange*. W. reddidit *Hängematte*, W. *Schwunggestell*. W. in annot.: Die Hange war vermuthlich kein Korb, wie Carstens auf einer in Weimar befindlichen Zeichnung von dieser Scene angebracht hat, sondern eine geflochtene Horde. Das Schweben oder eigentlich Wandeln in der Luft soll von der innern Absicht, sich über das gemeine Leben empor zu heben, eine begleitende äusserliche Darstellung sein. — Nicht anders ist das tiefe Bücken der die unterirdischen Dinge Studierenden zu verstehn. Auf der Bühne musste das Schweben sehr gute Wirkung thun, weil man gewohnt war, in der Tragödie die Götter so herabschweben zu sehen ἀπὸ μηχανῆς, was in der Komoedie κράδη hiess (Jul. Pollux 4, 129.), d. i. Feigenbaum, vermuthlich wegen der plumpen Gestalt, welche die tragische μηχανὴ parodierte." cf. de hac machina 846. et Ach. 375.

ΜΑ. αὐτός.
ΣΤ. τίς „αὐτός;“
ΜΑ. Σωκράτης.
ΣΤ. ὦ Σώκρατες! —
ἴθ', οὗτος, ἀναβόησον αὐτόν μοι μέγα.
ΜΑ. αὐτὸς μὲν οὖν σὺ κάλεσον· οὐ γάρ μοι σχολή.
ΣΤ. ὦ Σώκρατες, i.
ὦ Σωκρατίδιον!
ΣΩ. τί με καλεῖς, ὦ 'φήμερε; i. tr.
ΣΤ. πρῶτον μέν, ὅ τι δρᾷς, ἀντιβολῶ, κάτειπέ μοι.
ΣΩ. ἀεροβατῶ, καὶ περιφρονῶ τὸν ἥλιον.
ΣΤ. ἔπειτ' ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς,

219. αὐτός. τιμῶν τὸν διδάσκαλον οὐκ εἶπε πρῶτον τὸ ὄνομα. S. sic etiam dominus et domina dici solent αὐτὸς, αὐτὴ, ipse, ipsa. v. 1041., fragm. Lemn. 5, 6., Casaub. ad Plaut. Cas. 4, 2, 11. Wieland.: Dies „Er selbst — wer selbst? — wer sonst als Sokrates?“ gehört unter die unbezahlbaren komischen Züge, die nur ein Mann von Genie findet, wiewohl, sobald sie auf dem Papier stehen, Jedermann glaubt, er hätte sie auch gefunden. Sie sind das stehende Ei des Kolumbus.“ ὦ Σώκρατες admirantis est, et defixi stantis conspecto philosopho, necdum appellantis eum, ut 222. animadvertit Br.

220. τῷ μαθητῇ λέγει ὁ Στρεψ. καὶ τοῦτο. οἷον οὐκ ἤκουσέ μου· αὐτὸς σὺ βόησον. S. μέγα. cf. 215.

221. quoniam nunc magister adest, discipulus, cui antea multum erat otii ad nugandum, se occupatum fingit. Wieland.

223. ὦ 'φήμερε. ἀντὶ τοῦ ὦ θνητὲ, ὦ ἐφήμερα φρονῶν. — ἅμα δὲ ὡς ὑπερηφανοῦντος τοῦ Σωκράτους τὰ ἀνθρώπινα, καὶ ἐν θεοῖς ὄντος αὐτοῦ, διότι μετεωρολέσχης ἦν, οὕτως ἐφήμερον ἐποίησεν αὐτὸν καλοῦντα τὸν γέροντα. S. ita Silenus Pindaricus, Olympum allocutus, ap. S. h. l.: ὦ τᾶλας ἐφήμερε etc. (vide Pindar. Pyth. 8, 135., ed. Thiersch. vol. 2. p. 300.); similiterque Aeschylus Prom. 83. aliisque locis ejus tragoediae, et Euripides Oreste 948., homines vocat ἐφημέρους, ut Be. annotavit cf. Av. 654.

225. ὅτι περιφρονῶ εἶπε, καὶ οὐ περισκοπῶ; ἴν', ἐπειδὴ τὸ περιφρονῶ διπλοσήμαντόν ἐστι, καὶ ἀντὶ τοῦ περισκοπῶ (ut infra 722., ubi S.: περιφρόνει, ἐρεύνα. B. conferri jussit Fischerum ad Aeschin. Socr. 3, 3, 17.), καὶ ἀντὶ τοῦ ὑπερφρονῶ (ita H. pro περιφρονῷ), ἀμφότερα εἰς τὸν Σωκράτην νοῶνται, ὅτι τε ἀέρα, καὶ ἥλιον, καὶ νεφέλας, καὶ ὅσα τοιαῦτα, ἐφρόντιζε, καὶ ἐφιλοσόφει, καὶ ὅτι αἰθέριον ἑαυτὸν ἡγεῖτο, καὶ ὑπὲρ αὐτὸν (scrib. ὑπὸ ἑαυτὸν, sub ipso) μονονοὺ τὸν ἥλιον. ὁ Στρεψ. δὲ ἀντὶ τοῦ καταφρονῶ μόνον ἐνόησεν. S. lepide haec παρῳδεῖ senex inferius 1440.

226. ἔπειτ' admirantis est non sine aliqua indignatione. vide annot. ad Plut. 45. B.: enimvero reddidit Ern., et attice ita dici ait, ut 1197., non aliter quam εἶτα 1162. cf. 259. — ταρροῦ. ἀττικῶς τὰ ἐξ οἰσύων πλέγματα οὕτω καλεῖται (τοὺς γὰρ καλάθους τοὺς γεωργικοὺς ταλάρους καλοῦσι)· νῦν δὲ τὴν κρεμάθραν οὕτω ἐκάλεσεν, ἐφ' ἧς Σωκρ. ἐκρέματρ. ἄλλως. ταρροῦς μετέωρόν τι ἱκρίον, ἐφ' ᾧ ἀλεκτορίδες κοιμῶνται. ἔφη δὲ ὑπερφρονεῖς ἀντὶ τοῦ εἰκεῖν περιγινοεῖς, καὶ περισκοπεῖς, ἵνα διαβάλῃ τὸν Σωκράτην ὑπερφρονοῦντα τῶν θεῶν. S.

ἀλλ' οὐκ ἀπὸ τῆς γῆς, εἴπερ;

ΣΩ. οὐ γὰρ ἄν ποτε
ἐξεῦρον ὀρθῶς τὰ μετέωρα πράγματα,
εἰ μὴ κρεμάσας τὸ νόημα, καὶ τὴν φροντίδα
λεπτὴν καταμίξας ἐς τὸν ὅμοιον ἀέρα.
εἰ δ' ὧν χαμαὶ τἄνω κάτωθεν ἐσκόπουν,
οὐκ ἄν ποθ' εὗρον· οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ
ἕλκει πρὸς αὑτὴν τὴν ἰκμάδα τῆς φροντίδος.
πάσχει δὲ ταὐτὸ τοῦτο καὶ τὰ κάρδαμα.

ΣΤ. τί φής;
ἡ φροντὶς ἕλκει τὴν ἰκμάδ' εἰς τὰ κάρδαμα;
ἴθι νυν, κατάβηθ', ὦ Σωκρατίδιον, ὡς ἐμέ,
ἵνα με διδάξῃς, ὧνπερ ἕνεκ' ἐλήλυθα.

ΣΩ. ἦλθες δὲ κατὰ τί;

ΣΤ. βουλόμενος μαθεῖν λέγειν.
ὑπὸ γὰρ τόκων, χρήστων τε δυσκολωτάτων,

227. εἴπερ ὑπερφρονεῖς τοὺς θεούς. *si quidem* (id facis). vide Matth. gr. §. 608, 4, b.

228. τὰ μετ. τὰ ὑψηλὰ, καὶ οὐράνια. — S.

230. τὸν ὅμ. ἀέρα. pertinet hoc ad opinionem Ionicorum de anima, quam inde ab Anaximene dicebant ἀεροειδῆ, auctore Plut. de Plac. Phil. 4, 3. *Ern.*

232. οὐ γὰρ ἀλλ', ἀντὶ τοῦ καὶ γὰρ, ἀττικῶς. Καλλίμαχος (fragm. 92.)· ἀκούσαθ' Ἱππώνακτος· οὐ γὰρ ἀλλ' ἦκω. ἀντὶ τοῦ καὶ γὰρ ἦκω. S. cf. Ran. 58., Eccl. 385., Viger. 7, 13, 4. etc.

233. τὴν ἰκμάδα. τουτέστι τὸ νοητικὸν (imo νοτικὸν, h. e. νότιον, sive νοτερὸν,) καὶ γονιμώτατον τῆς ψυχῆς. — S.

234. πάσχει. pro ποιεῖ accipit S., nec male: vide K., infra 645., Plut. 599., Vesp. 981., etc. τὰ κάρδαμα. *nasturtium.* seu lepidium sativum Linn., germ. *Kresse.* cf. Vesp. 441., Thesm. 581. S.: — ταῦτα δὲ τῶν περὶ αὐτὰ φυομένων λαχάνων τὴν δύναμιν ἐπισπᾶται, καὶ πᾶν τὸ ἐν ἐκείνοις ὑγρὸν ἐπισπώμενον αἴτιον τοῦ ξηραίνεσθαι καθίσταται.

235. „τί φής; hoc inter versus ἐπιφώνημα adjectum est." H. cf. 1212., etc.

238. ita Be., Wolf., D., et alii. vulgo, numeris invenustis: ὥνπερ οὕνεκ' ἐλ. unus codex Dobraei εἵνεκ'.

239. ἦλθες δὲ κατὰ τί; similiter Pac. 192.: ἥκεις δὲ κατὰ τί; etc.

240. χρήστων. ὅτι χρήστας Ἀ. τοὺς δανειστὰς λέγει. (cf. 428.) ἡ μὲν γὰρ συνήθεια τοὺς χρεωφειλέτας χρήστας καλεῖ· Ἀθηναῖοι δὲ τοὺς μὲν δανειστὰς χρήστας λέγουσι, τοὺς δὲ ὀφειλέτας χρεωφειλέτας, καὶ χρεώστας. Φωκυλίδης ἐν μὲν τοῖς αὐτοῦ ποιήμασι κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων οὕτως· χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς Φεῦγε, μή σ' ἀνιήσειε διδοὺς, παρὰ καιρὸν ἀπαιτέων. (metra restituens H. auctore Reizio φεῦγε posuit ante χρήστης, deinde scripsit, μή τί σ' ἀνιήσει ὁ διδούς, cum Ernestio, Reizioque placuisset hoc μή σέ γ' ἀνιήσειε διδ. malim equidem legi salva consecutione temporum χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς Φεύγειν, μή σ' ἀνιήσει δούς π. κ. ἀ. ceterum haec non habentur in valgato carmine νουθετικῷ Phocy-

ἄγομαι, φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι.
ΣΩ. πόθεν δ' ὑπόχρεως σαυτὸν ἐλαθες γενόμενος;
ΣΤ. νόσος μ' ἐπέτριψεν ἱππικὴ δεινὴ φαγεῖν.
ἀλλά με δίδαξον τὸν ἕτερον τοῖν σοῖν λόγοιν,
τὸν μηδὲν ἀποδιδόντα. μισθὸν δ', ὅντιν' ἂν
πράττῃ μ', ὁμοῦμαί σοι καταθήσειν τοὺς θεούς.
ΣΩ. ποίους θεοὺς ὀμεῖ σύ; πρῶτον γὰρ θεοὶ
ἡμῖν νόμισμ' οὐκ ἔστι.
ΣΤ. τῷ γὰρ ὄμνυτ'; ἢ
σιδαρέοισιν, ὥσπερ ἐν Βυζαντίῳ;
ΣΩ. βούλει τὰ θεῖα πράγματ' εἰδέναι σαφῶς,

lidis illius recentioris.) ἐν ἐκείνῳ μέντοι (vers. 30.) ἀντὶ τοῦ δανειστὴς λαμβάνεται μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι. S.

241. ἄγομαι, φέρομαι. „formula proverbialis, quam etiam Latini usurpant.“ *Be.* secundum Gell. 2, 6. cf. Harlesio laudatum J. F. Gronovium Observv. 3, 22. Hesych.: ἄγειν καὶ φέρειν: τὸ ληστεύειν, καὶ ἁρπάζειν. Eurip. Troad. 1247.: ΕΚ. ἀγόμεθα, φερόμεθ' . . . ΧΟ. ἕλιγος, ἄλιγος βοᾷς. ΕΚ. Δούλιον ὑπὸ μέλαθρον. ΧΟ. ἐκ πάτρας γ' ἐμᾶς. S.: τὰ χρ. ἐνεχ. τουτέστιν εἰς ἐνέχυρον ἁφαιροῦμαι τὴν ἐνυπάρχουσαν οὐσίαν, οἷον ἱμάτια, καὶ σκεύη, καὶ ἄλλα. S. cf. 35.

246. πράττῃ μ', *a me exigas.* cf. Be. et h. l. et ad Ran. 523., B. testem citavit Thomam M. v. πράττω etc. δίδακτρον quidem non exegisse Socratem more Sophistarum, nemo ignorat. vide annot. ad 98. et, quos Harles. commemorat, Xenoph. Mem. Socr. 1, 2, 7., Sympos. 1, 6., Plat. Apol. 24., et alibi, item Menone vol. 4. p. 371. seqq. ed. Bip.; quibus locis W. ad 90. addidit Xenoph. Mem. Socr. 1, 2, 60.; 6, 3, 11., Plat. Euthyphr. 3, D., Hipp. maj. p. 300, D. idem ad 98. multos donis Socratem donare studuisse refert auctore Xenoph. Apol. Socr. §. 17. „Vielleicht,“ inquit vir sagacissimus, „nahm er Lebensmittel an, so dass ihm Streps. unten nicht umsonst den Backtrog anzufüllen verspricht, u. ihm nachher wirklich einen Sack Mehl bringt, was ausserdem seine baüerliche Natur so wohl kleidet. So nahm nach Xenophons Denkw. 2, 9. der dürftige Archedemos, der zu stolz war, sich für Reden und Geschäfte von andern bezahlen zu lassen, von Kriton Lebensmittel (et alia ad vitam necessaria. Xenoph. l. l. §. 4.: τούτῳ οὖν ὁ Κρίτων, ὁπότε συγκομίζοι ἢ σῖτον, ἢ ἔλαιον, ἢ οἶνον, ἢ ἕρια, ἢ ἄλλο τι τῶν ἐν ἀγρῷ γιγνομένων χρησίμων πρὸς τὸν βίον, ἀφελὼν ἔδωκε, καὶ, ὁπότε θύοι, ἐκάλει etc.) geschenkt an, und diente ihm dafür.“

248. νόμισμ' ambigue dictum est: nam *morem* Socrates intelligit, senex *monetam.* accusaverunt autem Socratem, ὡς θεοὺς διδάσκοντα μὴ νομίζειν, οὓς ἡ πόλις νομίζει, ἕτερα δὲ δαιμόνια καινά, ut ait Plato Apol. Socr. c. 14. cf. Xenoph. Mem. Socr. 1, 1.

249. σιδ. νομίσμασι. S.: — λεπτοῖς δὲ νομίσμασι φαίνονται κεχρῆσθαι Βυζάντιοι. διὸ (quoniam Byzantium fuit dorica Megarensium colonia. v. Bähr. ad Herodot. 4, 144.) καὶ δωρικῶς εἶπεν. — Πλάτων Πεισάνδρῳ χαλεπῶς ἂν οἰκήσαιμεν ἐν Βυζαντίῳ, Ὅπου σιδαρέοισι (μὲν) νομίσμασι Χρῶνται. S. de Byzantio conferri jubent Vesp. 236. et Strabonem 7, 6.; de ferreis autem nummis, quibus olim usi sunt Byzantii, praeter S. Hesychium v. σιδάρεοι,

ἄττ' ἐστὶν ὀρθῶς...

ΣΤ. νὴ Δί', εἴπερ ἔστι γε.

ΣΩ. καὶ ξυγγενέσθαι ταῖς Νεφέλαισιν ἐς λόγους, ταῖς ἡμετέραισι δαίμοσιν;

ΣΤ. μάλιστά γε.

ΣΩ. κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν σκίμποδα.

255 ΣΤ. ἰδού, κάθημαι.

ΣΩ. τουτονὶ τοίνυν λαβὲ τὸν στέφανον.

ΣΤ. ἐπὶ τί στέφανον; οἴμοι, Σώκρατες, ὥσπερ με τὸν Ἀθάμανθ' ὅπως μὴ θύσετε!

Pollucem 9, 78., et Raschii lex. numism. t. 1. p. 1638.

251. ἔστι, ἐξεστι. εἴπερ ἔστι γε, si quidem licet.

253. δαίμοσιν. ὡς εἰ ἔλεγε τοῖς καπνοῖς, ταῖς σκιαῖς, ταῖς ἡμετέραις θεαῖς· τὰ γὰρ μηδενὸς ἄξια καπνοὺς (314.), καὶ σκιὰς, καὶ νεφέλας ὀνομάζομεν. Εὔπολις ἐν Αὐτολύκῳ καπνοὺς ἀποφαίνει, καὶ σκιάς. S. ita καπνοῦ σκιὰν dixit Soph. Ant. 1072., σκιᾶς ὄναρ Pindarus Pyth. 8. extrema, quibus in locis vidd. interpp.

254. σκίμποδα. τὸν κράβατον σκίμποδα λέγει ἀττικῶς. S. Ravenn. scimpodium (σκιμπόδιον) graecienses appellavit Gell. 19, 10. „similis extat ap. Athen. de σκιμποδίῳ, sive de exiguo id genus grabato, locus l. 4. p. 340., ubi in Epiclis, solemni ap. Lacedaemonios festo, tradit esse qui doceat, ubi δεῖ πρῶτον κατακλίνεσθαι, ἢ δεύτερον, ἢ ἐπὶ τοῦ σκιμποδίου καθῆσθαι, aut in lectulo (ad mensam) sedere. sicut vero a Socrate jubetur h. l. Streps. in grabato id genus sedens expectare, quomodo sit cum deabus Nubibus in colloquium venturus, ita infra Socr. eum jubet ibi non sedere, sed accumbere, v. 677., et similiter in Vespis 1171. κατακλινεὶς προσμένθανε." Ex Spanh. ridicule grabato isto considere jubetur senex, velut mysteriis, si diis placet, Eleusiniis initiandus, more Atheniensium. cf. 258.

255. ἰδού. vox obedientis, ut saepiss. S.: τουτ. τ. λαβέ. — παρεπιγραφή. καὶ γὰρ τὸν Σωκράτη περιθεῖναι δεῖ τὸν στέφανον αὐτῷ. —

256. ἐπὶ τί. ἐς τί, διὰ τί.

257. Ἀθάμας ἐκ Νεφέλης δύο παῖδας ἔσχε, Φρίξον (perperam ll. Φρύξον) καὶ Ἕλλην, ἀφεὶς οὖν (imo δὲ) τὴν Νεφέλην θεὰν οὖσαν θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυπήσασα οὖν ἡ Νεφέλη ἀπέπτη εἰς οὐρανόν, καὶ τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλαζε. πέπομφεν [οὖν] θεωροὺς εἰς Ἀπόλλωνα Ἀθάμας ἐρέσθαι περὶ τοῦ αὐχμοῦ. ἡ οὖν τούτου γυνὴ, θέλουσα Φρίξον καὶ Ἕλλην ἀπολωλέναι, πέπεικε διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν Ἀθάμαντι, ὡς οὐπ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν ἔχρησεν ἡ Πυθία, εἰ μὴ τοὺς τῆς Νεφέλης θύσαιεν παῖδας. ἀκούσας [vulgo: ἀκούσας οὖν. apparet, ineptum aliquem librarium crebrius inculcasse hanc particulam: neque enim sic solet S.] Ἀθάμας μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἰς οὖν (malim hic quoque δὲ) κριὸς ἀνθρωπίνῃ χρησάμενος φωνῇ λέγει Φρίξῳ καὶ Ἕλλῃ τὰ περὶ τῆς σφαγῆς. φευγόντων [οὖν] τούτων μετὰ τοῦ κριοῦ ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμὸν ἀπεπνίγη, πεσοῦσα ἀπὸ τοῦ κριοῦ (ὅθεν καὶ ἀπ' ἐκείνης Ἑλλήσποντος κέκληται), Φρίξος δὲ ἐποχούμενος τῷ κριῷ εἰς τὴν τῶν Κόλχων γῆν περισώζεται, ἔνθα καὶ τὸν κριὸν, ὃς ὑπὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, θύει τῷ Ἄρει, [ἢ τῷ Ἑρμῇ.] καὶ κατοικήσας αὐτόθι τοὔνομα

ΣΩ. οὔκ, ἀλλὰ ταῦθ' ἅπαντα τοὺς τελουμένους
ἡμεῖς ποιοῦμεν.
ΣΤ. εἶτα δὴ τί κερδανῶ;
ΣΩ. λέγειν γενήσει τρίμμα, κρόταλον, παιπάλη.
ἀλλ' ἔχ' ἀτρέμας.
ΣΤ. μὰ τὸν Δί', οὐ ψεύδει γέ με·
καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.
ΣΩ. εὐφημεῖν χρὴ τὸν πρεσβύτην, καὶ τῆς εὐχῆς ὑπακούειν. —

a. Aristoph.

καταλέλοιπε τῷ τόπῳ· ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη. (falsa notatio scribentis Φρύξος pro Φρίξος.) Ἀθάμαντα δὲ ἡ Νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκε. προσαχθεὶς οὖν στεφανηφορῶν, ἐν τῷ βωμῷ τοῦ Διὸς σφαγησόμενος, ὑπὸ Ἡρακλέους σέσωσται. οὕτω γὰρ Σοφ. ἐν δράματι πεποίηκε. — ἄλλως. τοῦτο πρὸς τὸν ἕτερον Ἀθάμαντα Σοφοκλέους (nam duas sic inscriptas tragoedias edidit) ἀποτεινόμενος λέγει. (vide interpp. Herodoti 7, 197., Apollodori 1, 9., Hygini fab. 1. 2. etc.) ἐπεὶ οὖν καὶ ὁ πρεσβύτης ἔστεπται, ὥσπερ παραδείγματι τῷ κατ' ἐκεῖνον χρώμενος, δεδοικέναι φησὶν ἐκείνῳ παραπλήσια. S. imo concise dictum est ὥσπερ με τὸν Ἀθ. pro hoc ὡσπερεὶ εἶην ὁ Ἀθάμας, velut me Athamantem nolite mactare.

258. ll. rhythmo ineleganti et homoeotelentis tribus continuis ἀλλὰ ταῦτα πάντα. τοὺς τελ. τοὺς μυουμένους. ἐνδόξοις δὲ μυστηρίοις παραβάλλει τὰ τῶν φιλοσόφων μαθήματα, ἵνα ἔτι μᾶλλον πείθῃ προσέχειν τὸν γέροντα, ὡς θειοτέρῳ τῷ πράγματι. S.

259. εἶτα. cf. annot. ad 226.

260. ἱκανὸς καὶ δεινὸς ἔσῃ λέγειν. καὶ Δημοσθ. ἐν τῷ περὶ τοῦ στεφάνου (c. 39. p. 269. ed. Reisk.), ὡς ἰταμοῦ καὶ ἀναισχύντου ῥήτορος καθαπτόμενος Αἰσχίνου, περίτριμμα ἀγορᾶς αὐτὸν καλεῖ. τρίμμα δὲ τετριμμένος ἐν λόγοις· κρόταλον δὲ εὔγλωττος, εὔστομος. (cf. inferius 441. sequ., Av. 407.) ἄλλως. ταῦτα λέγων ἅμα ὁ Σωκρ., ὡς εἰς τὰ θύματα, παρατρίβων ὀρεινοὺς λίθους καὶ κρούων πρὸς ἀλλήλους, συναγαγὼν τὰ ἀπὸ τούτων θραύματα, βάλλει τὸν πρεσβύτην, καθάπερ τὰ ἱερεῖα ταῖς οὐλαῖς οἱ θύοντες, καὶ διὰ τοῦτο παίζει τοῖς ὀνόμασι. τρίμμα μὲν τὴν ἀπὸ τούτων ἐκπίπτουσαν λατύπην. — S. Wolf: *Du wirst Durchtrieben, ein braver Zungendrescher, wie Puder sein.* et in annot.: „Hier wirft er aus einer Art von heiligem Gefäss Steinmehl, ähnlich dem Opfermehle, auf den Kopf des Alten, wobei dieser ausbengt und sich abschüttelt.“ similiter W. minus recte quidam in scholiis, quem Schütz. aliique secuti sunt, παρῳδίᾳ excidens comica, ipsa mola conspersum putat Strepsiadem, nec παιπάλη dici possunt silices (*kleine Kieselsteine*) effusi a Socrate in caput senis, quod in mentem venit Wielandio.

261. ll. ψεύσει. ἔχ' ἀτρ. μένε ἐφ' ἡσυχίας. βαλλόμενος γὰρ ὁ πρεσβύτης τῇ παιπάλῃ ἀποσείεται· διὸ παρακελεύει αὐτὸν μένειν. παιπάλη δὲ κυρίως τὸ λεπτομερὲς τοῦ ἀλεύρου. οὐ ψεύσει γέ με, τουτέστιν ἀπατήσεις. — πληρωθεὶς γάρ, φησὶ, τούτων, (λέγει δὲ [male ll. λέγω δή] τῶν τριμμάτων τῶν λίθων καὶ τῆς λατύπης, ἣν ἔφαμεν παιπάλην καλεῖσθαι) γενήσομαι παιπάλη. S. Rav. ἀτρεμί, quod fuerit, ἀτρέμα: nam illud inusitatum.

263. loquitur tanquam sacerdos, vel mystagogus. cf. 253. 274., S.: ταῦτα πρὸς τὸν Στρεψιάδην. παρακελεύεται γὰρ αὐτὸν σιωπᾷν, καὶ εὐφημεῖν, ἵνα εὔξηται, καὶ μηδὲν βλάσφημον εἰπεῖν. cf. 294., Ran. 340., Ach. 223., Equ. 1216.

ὦ δέσποτ' ἄναξ, ἀμέτρητ' Ἀήρ, ὃς ἔχεις τὴν γῆν μετέωρον,
λαμπρός τ' Αἰθήρ, σεμναί τε θεαὶ Νεφέλαι βροντησικέραυνοι,
ἄρθητε, φάνητ', ὦ δέσποιναι, τῷ φροντιστῇ μετέωροι!
ΣΤ. μήπω, μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ καταβρεχθῶ.
τὸ δὲ μηδὲ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα!
ΣΩ. ἐλθετε δῆτ', ὦ πολυτίμητοι Νεφέλαι, τῷδ' εἰς ἐπίδειξιν,
εἴτ' ἐπ' Ὀλύμπου κορυφαῖς ἱεραῖς χιονοβλήτοισι κάθησθε,

264. aërem et aetherem Socr. invocat tanquam Jovem. hinc et Eurip., qui solebat Σωκράτει παρακαθήμενος λαλεῖν, ut cum Comico dicam Ran. 1416., alicubi (Cressarum fragm. 5., p. 163. nostrae ed. Both.) dixit: ὁρᾷς τὸν ὑφοῦ τόνδ' ἄπειρον ἀέρα, Καὶ γῆν περιῇ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις· Τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν. — Be., addens, haec latina fecisse Ciceronem de N. D. 2, 25., ubi vid. Davis. S.: ὃς ἔχεις. ὃς παρείληφας τὴν γῆν, καὶ βαστάζεις. δόξα γάρ τις ἐθρυλλεῖτο τῶν φυσικῶν, ὅτι πλατεῖα οὖσα ἡ γῆ ὀχεῖται ἐν τῷ ἀέρι. Spanh.: „Terram in medio universi sitam undique coelo et aëre circumfundi — tradit, disserens cum Simmia, Socr. Phaedone p. 109. adde philosophum de Coelo 2, 13. (et 14.)" cf. I. H. Vossii Krit. Blätter, 2. Th. p. 143.

265. contulit Be. infarius 554. sequ. Ran. 842. Euripides: αἰθὴρ, ἐμὸν βόσκημα, ubi vid. annot.

266. ἄρθητε. cf. annot. ad 276. τῷ φροντ. δύναται καὶ ἐπὶ Σωκράτους καὶ ἐπὶ τοῦ προεσβύτου νοεῖσθαι· ἐπὶ μὲν τοῦ Σωκράτους, ἵνα ᾖ παρακαλῶν αὐτῷ φανῆναι τὰς Νεφέλας· (ita Frischlin., qui reddidit: *contemplanti mihi.* Wieland. quoque: *Auf, erhebt euch, erscheint in den Höhen dem rufenden Seher!*) ἐπὶ δὲ τοῦ γέροντος, ὡς ἤδη συγκαταριθμοῦντος αὐτὸν τοῦ Σωκράτους τῷ τῶν φιλοσόφων συλλόγῳ. (hoc rectius, nec aliter ceteri interpp. cf. 269., 408, 450.) S.

267. ἐπαναδίπλωσις καλεῖται τὸ τοιοῦτον σχῆμα, τὸ δὶς τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι ἐμφανῶς. (imo ἐμφάτως vel ἐμφατικῶς.) ἐστι δὲ παρεπιγραφή. διπλασιάσας γὰρ τὸ ἱμάτιον περιβαλέσθαι φησὶν αὐτὸ θέλειν ὑπὲρ τοῦ σκέπεσθαι καὶ ἧττον αὐτοῦ καθικέσθαι τὸν ὕετὸν τοῦ σώματος. — S. „fecit hoc, quia Socr. invocavit Nubes." Be. Duker.: — Salmas. ad Pall. Tertull. p. 400. laudans h. l. observat, Cynicos semper duplicatum gestasse pallium, ceteros per pluviam, ejus arcendae causa.

268. ita MS. Vatic., Urb. et B a m. 1. ap. Dobr., merito probantibus viris doctis, cum claudicare versum faciat vulgata lectio μὴ κυνῆν, quae procul dubio alterius est interpretatio: nam saepe μηδὲ et οὐδὲ nihil aliud significare videntur quam μὴ et οὔ. cf. Thesm. 216., 404., etc. idem liber Vatic. pro κακοδαίμον' habet δύστηνον', Eustathius autem ad Odyss. ε' p. 1542. ed. Rom. ταπεινόν, quorum illud interpretantis est, hoc ἁμάρτημα μνημονικόν. S.: κυνῆν. περικεφαλαίαν, ἀγροίκων φόρημα. οὕτω δὲ ἐκλήθη, ἐπειδὴ πρῶτον ἀπὸ κυνείων δερμάτων ἦν. cf. Lys. 702. seqq.

270. seqq. mundum significat media ejus parte, in qua situs esse credebatur mons Olympus, et finibus 4 versus occidentem, ubi insulae

εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις ἱερὸν χορὸν ἵστατε Νύμφαις,
εἴτ' ἄρα Νείλου προχοαῖς ὑδάτων χρυσέῃς ἀρύτεσθε
πρόχοισιν,
ἢ Μαιῶτιν λίμνην ἔχετ', ἢ σκόπελον νιφόεντα Μίμαντος·
ἐπακούσατε, δεξάμεναι θυσίαν, καὶ τοῖς ἱεροῖσι χαρεῖσαι!
275 ΧΟ. ἀέναοι Νεφέλαι, da. d. h. στ.
ἀρθῶμεν, φανερὰ δροσερὰν φύσιν εὐάγητον, hex. her.

Oceani, meridiem, ubi Nilus, septentrionem, ubi palus Maeotis, denique orientem, ubi Mimas, mons altissimus Ioniae, non Thraciae, ut narrant S. et Suidas. cf. Voss. ἱεραῖς. propter deos in illis habitantes. Homerus Odyss. ζ', 42.: *Οὔλυμπονδ'*, *ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ Ἔμμεναι*, quem locum attulit S.

271. πατρός. communis deorum appellatio. vide, si tanti est, 277., Eurip. Med. 1293., Hipp. 701. Virg. Georg. 1, 338., etc. — Νύμφαις. filiabus Oceani. — χορὸν ἵστατε, ut ap. Soph. El. 256. et Eurip. Iph. Aul. 600, quae memoravit Be. cf. K. ad Plut. 760. (756.) — Νύμφαις. λείπει ἡ σύν. ἤγουν σὺν ταῖς Νύμφαις. S. quae Nymphae intelliguntur Oceani et Tethyos filiae, ex quibus constat chorus Promethei vincti. cf. Spanh. cum h. l., tum ad Callim. h. in Dian. 13.

272. in duobus regiis scriptum est (ut vulgo) χρυσέαις. euphoniae gratia praeferri debuit Ionica forma poëtis atticis frequentata, quam (in codd. Leidd. et Burmanni repertam) confirmat Thom. M. in χοή. atticam formam ἀρύτεσθε (prò ἀρύεσθε) reposui e Suida v. ἀρύτεσθαι. cf. Koen. ad Corinth. p. 29. ordo est εἴτ' ἄρα ἐν ταῖς προχοαῖς ὑδάτων Νείλου ἀρύτεσθε χρυσέης πρόχοισιν. *Br.* sic etiam Schütz. προχοαῖς. λείπει ἡ ἐπί. ἤγουν ἐπὶ ταῖς προχοαῖς τοῦ Νείλου. (Aeschyl. Suppl. 1031. μηδ' ἔτι Νείλου προχοὰς [Nili ostia] σέβωμεν ὕμνοις. — *Be.*) πρόχοισιν δὲ ἀγγείοις. S.

273. ἢ *M.* λίμνην. περὶ ταύτης Ἡρόδοτος (4, 100., 120., 123.) μαρτυρεῖ, λίμνην εἶναι Σκυθίας. — S. cf. Strabonem 11, 2. et geographos. — Μίμαντος. (-τα.) τὸν ἀεὶ νιφόμενον. ὄρος Θράκης ὁ Μίμας. καὶ Ὅμηρος (Odyss. γ', 172.) „παρ' ἠνεμόεντα Μίμαντα." Strabo 14, 1.: μεταξὺ δὲ τῶν Ἐρυθρῶν καὶ τοῦ ὑποκρήμνου Μίμας ἐστὶν, ὄρος ὑψηλὸν, εὔθηρον, πολύδενδρον. cf. Homer. epigr. 6., Ovid. Met. 2, 222., etc.

274. χαρ. forma rarior, quae semel legitur ap. Eurip. Iphig. A. 1376. ἀντιχαρεῖσα habet Soph. A. 137.

275. μετὰ τὴν τοῦ Σωκράτους εὐχὴν αἱ Νεφέλαι παρακελεύονται δῆθεν ἑαυταῖς πεισθῆναι τῇ ἐπικλήσει, καὶ συναθροισθῆναι, καὶ οὕτως ἐπιφανῆναι τῷ Σωκράτει. — ἀέναοι δὲ διὰ παντὸς ναόυσαι, ὡς ἀέναος ποταμὸς, ὁ ἀδιαλείπτως ῥέων. τοῦ δὲ Χοροῦ τὰς ἑκατέρωθεν λέγουσι παρόδους („ita Spanh. e S. ad Vesp. 270., et Hephaest. p. 69., ejusque S. legebatur περιόδους." *H.* cf. Aristot. Poët. cap. 6.) etc. S.

276. φύσιν εὐάγ. πανταχοῦ φερομένην, ἢ λαμπράν. S. εὐάγ. πάντη φερόμενον. (sic.) εὐκίνητον. τοιοῦτο γὰρ τὸ ὕδωρ. gl. Br. Suidas interpretatur καθαράν. κατὰ suppleri posse ait L. Bos. in Animadvv. ad scr. quosd. gr. p. 83., ut idem sit δροσερῷ φύσει εὐαγήτῳ. φανερὰ δρ. φ., *conspicuae roscida natura.* ad verbum εὐάγητος quod attinet, sunt quibus idem significare videantur vocabula εὐάγητος et εὐαγὴς, quod ap. Aeschylum Pers. 466., Euripidem Suppl. 636. et Bacch. 557., Platonem Legg. 12. p. 952, A, aliosque legitur. vid. inprimis Elmsl. ad Baccharum l. l., qui haud immerito Hemsterhusium apud Musgrav. ad Eurip. Suppl. l. praedicto reprehendit, εὐανγὴς pro εὐαγὴς, cum significat λαμπρὸς, φανερὸς, scribi jubentem, ut διανγὴς, τηλανγὴς, et

πατρὸς ἀπ' Ὠκεανοῦ βαρυαχέος — da. t.
ὑψηλῶν ὀρέων κορυφὰς ἐπὶ δενδροκόμους, ἵνα — da. hex.
τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα, — da. t.
καρποὺς τ' ἀρδομέναν ἱερὰν χθόνα,
καὶ ποταμῶν ζαθέων κελαδήματα,
*καὶ πόντον κελάδοντα βαρύβρομον·
ὄμμα γὰρ αἰθέρος ἀκάματον σελαγεῖται — da. pent.
μαρμαρέαις ἐν αὐγαῖς. — an. chor.
ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον — da. t.
ἀθανάτας ἰδέας, ἐπιδώμεθα .

similia. grammaticus ap. Bekker. Anecd. gr. p. 337.: ἀγής: τοῦτο ἀπὸ συνθέτου καταλείπεται τοῦ εὐαγής, ἢ παναγής. Ἐμπεδοκλῆς ἄθρει μὲν γὰρ ἄνακτος ἐναντίον ἀγέα κύκλον. Elmsl.: „ab ἀγής fit εὐαγής," inquit, „ut a δόκιμος εὐδόκιμος." Hesych.: εὐαγές: ἁγνόν. καθαρόν, εὐσεβές, ὅσιον, εὔοπτον, ἅγιον. ipsum εὐάγητον pro εὐήγητον dorice dictum esse putat Bentl., si genuinum sit, secundum S. Schäfer. Melet. crit. p. 114.: „De simplici ἀγέω, ἠγέω, lege Toupium Emend. in Suid. vol. 2. p. 367." et p. 113.: „Priscae est graecitatis forma activa περιαγέω, περιηγέω, de qua lexica nostra οὐδὲ γρύ." — quod sustolli jubentur nubes et h. l. et 266., digna est, quae adscribatur, annotatio Welckeri: „Den Chor sah man in dem unbedeckten Theater wirklich von der Seite des Parnes herschweben, wolkenartig umhüllt (vide annot. ad 285.), gerade den Zuschauern gegenüber, *über die Mauern*, die zu beiden Seiten einen grossen Theil der langen Bühne abschlossen, und hinter denen gerade das Maschinenwerk angebracht war, *herab*. Indem sie ihre Wolkenhüllen rasch u. geräuschvoll (vide 289.) abschüttelten und als mächtig u. wunderbar gestaltete Weiber hervorgingen, erfüllten sie die Orchestra (den leeren Raum zwischen Zuschauern und Spielern), u. nahmen nachher die erhöhte Thymele darin ein, um durch den Chorführer mit den handelnden Personen oder dem Publikum zu reden, denen sie sich abwechselnd zuwandten."

277. πατρός. cf. 271.

280. ἀρδ. *nutrientem*. Pindarus, annotante H., Ol. 5, 53.: ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει. Eurip. Suppl. 194.: ἄρδῃ τε νηδύν. frustra Br. ἀλδομέναν. — ἱεράν. cf. annot. ad 300.

282. κελαδ. modo dixit κελαδήματα: malim igitur κλάζοντα.

283. σελ. ἀντὶ τοῦ καταλάμπεται (588.) ἔοικε δὲ λέγειν τὸν ἥλιον, ἐπεὶ καὶ οἱ Τραγικοὶ εἰώθασιν ὀφθαλμὸν (αἰθέρος) ὀνομάζειν αὐτόν. S. de sole ὄμματι αἰθέρος vide Matth. ad Eurip. Iphig. Taur. 170. et, quem laudavit, Valck. ad Ammon. p. 276.

284. sic meliores libri. quidam μαρμαρέαισιν αὐγ., quae minus doctascriptura placuit tamen Brunckio. vide H. et annot. ad Plut. 760. vett. edd. mutato metro μαρμαρέαισιν ἐν αὐγ.

285. ἀπ. νέφος, *postquam nubes excusserimus*. dicunt enim, quod futurum est demum 320. interea nubibus involutus pendet Chorus, necdum conspectis feminarum formis canit inter tonitrua.

286. ita Rav., alter S., Bekk., H., Wolf., D. v. ἀθανάταις ἰδέαις. S.: ἀθανάταις ἰδέαις. ἐπεὶ καὶ γυναικοειδεῖς εἰσιέναι μέλλουσι, τοῦτο λέγουσιν, ἐμπαρασκευαζόμεναι τὴν εἴσοδον, ὡς ὅμοιαι μὲν τοῖς ἄλλοις θεοῖς οὖσαι, περικείμεναι δὲ νέφους τινὰ φύσιν. ἄλλως. ἀθανάτας ἰδέας κεῖται, καί ἐστιν ἑνικὸν ἐν γενικῇ πτώσει.

τηλεσκόπῳ ὄμματι γαῖαν.

ΣΩ. ὦ μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου καλέσαντος! — a. Aristoph.

ἦσθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης θεοσέπτου;

290ΣΤ. καὶ σέβομαί γ', ὦ πολυτίμητοι, καὶ βούλομαι ἀνταποπαρδεῖν

πρὸς τὰς βροντάς· οὕτως αὐτὰς τετρεμαίνω, καὶ πεφόβημαι,

κεἰ θέμις ἐστὶν, νυνί γ' ἤδη, κεἰ μὴ θέμις ἐστὶ, χεσείω.

ΣΩ. οὐ μὴ σκώψεις, μηδὲ ποιήσεις, ἅπερ οἱ τρυγοδαίμονες οὗτοι,

ἀλλ' εὐφήμει· μέγα γάρ τι θεῶν κινεῖται σμῆνος ἀοιδαῖς.

295ΧΟ. παρθένοι ὀμβροφόροι,

μέλλει δὲ τὰς Νεφέλας γυναικομόρφους εἰσάγειν, ἐσθῆτι ποικίλῃ χρωμένας, ἵνα τὰ τῶν οὐρανίων φυλάττωσι σχήματα. τὸ δ' ἐπιδώμεθα ἀντὶ τοῦ ἐπισκέψωμεν. — annotavit H., ἰδέαν esse speciem corporis, ut Plut. 555. et Pind. Ol. 10, 122. cf. Herodot. 1, 80. idem φύσιν ἰδέης dixit 2, 71. Theognis 128.: πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι. ceterum vide annot. ad 276.

288. μέγα. cf. 215.

289. ἐν ταῖς κωμῳδίαις (item in tragoediis) τινὲς μηχαναὶ („hoc additum a Nagelio e scholio ad 291." *H.* scribendum arbitror μηχαναί εἰσι.), τὰ καλούμενα ἡχεῖα, ὧν ὁ κτύπος σχηματίζεται εἰς βροντῆς ἀπήχησιν. (imo: εἰς φωνῆς ἀπ. de tonitruum, imitatione in seqq. dicitur. Vitruv. 5, 5.: *Ut vox actorum suavior et delicatior spectatoribus videretur, antiqui Graecorum artifices inter sedes theatri cellas constituerunt ratione musica, in quibus vasa aenea pro ratione magnitudinis theatri facta collocabantur, quae ita fabricata erant, ut, cum tangerentur a voce, sonitum facerent inter se* etc. eo loco vidd. interpp.) ἔστι δὲ καὶ ἐν τῇ σκηνῇ μηχάνημά τι, ὃ καλεῖται βροντεῖον, ἀμφορεὺς μεστὸς ψηφίδων ἀντιβαλλομένων εἰς χαλκοῦν λέβητα.

289. μυκ. tropus usitatus. Aeschylus 1098. βροντῆς μύκημ' ἀτέραμνον. praeterea conferri jubent ejusdem tragoediae 1118. sequ. (βρυχία δ' ἠχὼ παραμυκᾶται Βροντῆς) et illud Virgilii Aen. 9, 503.: *at tuba terribilem sonitum procul aere canoro Increpuit; sequitur clamor, coelumque remugit*; nec desunt loca multa similia.

291. τετρεμαίνω. τρέμω, παραγώγως. ἐπίτηδες δὲ ἐξέτεινε τὴν λέξιν τερατευόμενος. S. cf. 368. πεφόβ., *extimui.* vid. Matth. gr. §. 505., III, 1.

292. καὶ εἰ εὐσεβές ἐστι [καὶ ὅσιον], καὶ εἰ μὴ εὐσεβές. ὡς ὑπὸ τοῦ φόβου προειλημμένος, καὶ μὴ δυνάμενος ἑαυτὸν ἀνασχεῖν ἔτι. ὁ γὰρ ἐπιστάμενος, ὅτι μὴ δέοντα ποιεῖ, εἶτα τοῦτο οὐδὲν ἧττον ποιῶν, ὑπὸ μείζονος ἀνάγκης ἐξαγόμενον (ita Ern. et H. pro ἐξαγόμενος.) εἰς τὸ παρανομεῖν δείκνυσιν ἑαυτόν. S. *νυνί γ' ἤδη, nunc ipsum.*

293. ita MS. Dorv. et Rav. ap. Invern., quemadmodum Br. scripsit auctore Dawes. Misc. crit. p. 221. seqq. cf. Matth. gr. §. 520. annot. 4. alii libri σκώψῃς, μ. ποιήσῃς. S.: οἱ τρυγ. οἱ (κωμικοὶ) ποιηταὶ, ἐπειδὴ τὴν τρύγα χριόμενοι, ἵνα μὴ γνώριμοι γένωνται, οὕτω τὰ αὐτῶν ἡδὺ ποιήματα κατὰ τὰς ὁδοὺς, ἀμάξης ἐπικαθήμενοι. διὸ καὶ παροιμία ὡς ἐξ ἀμάξης λαλεῖ, ἤγουν

ἐλθωμεν λιπαρὰν χθόνα Παλλάδος, εὔανδρον γᾶν ἀντ.
Κέκροπος ὀψόμεναι, πολυήρατον,
οὗ σέβας ἀῤῥήτων ἱερῶν, ἵνα μυστοδόκος δόμος
ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται,
300 οὐρανίοις τε θεοῖς δωρήματα,
ναοί θ' ὑψερεφεῖς, καὶ ἀγάλματα,
καὶ πρόσοδοι μακάρων ἱερώταται,

ἀναισχύντως ὑβρίζει. S. οἱ ἄλλοι Κωμικοί. οὗτοι, γὰρ ἐν τοῖς ποιήμασιν αὐτῶν ἀνθρώπους εἰσῆγον χέζοντάς τε, καὶ ἕτερα αἰσχρὰ ποιοῦντας etc. scholion in margine codicis E ap. Br. οἱ τρυγ. οὗτοι. i. e. interprete Br. οἱ κακοδαίμονες οὗτοι τρυγῳδοί. verum rectius esse dixeris τοὺς τρυγικοὺς δαίμονας, malos genios face perunctos. non homines, sed mali genii, Aristophani videntur pessimi isti poëtae comici. οὗτοι dictum per contemtum, ut Ran. 946. etc.

296. λιπαρὰς Ἀθήνας οὐκ ἀπεικότως καλοῦσι, μάλιστα μὲν [καὶ] διὰ τὸ ὀδξαι πλουτεῖν τὴν πόλιν. ἔπειτα δέ τοι καὶ διὰ τὴν τῶν ἡμέρων τροφῶν εὕρεσιν. καθ' οἷς ἔτι καὶ νῦν τὸ λιπαρὸν τῆς ἐλαίας φυτόν [δείκνυται]. ἄλλως. λιπαρὰν, εὐθαλῆ, τὴν πᾶσι κομῶσαν. (?) Πίνδαρος (vol. 2. p. 216. ed. Thiersch.) λιπαραὶ καὶ ἀοίδιμοι, Ἑλλάδος ἕρεισμα, κλεινα Ἀθῆναι. (idem in dithyrambis, ibid. p. 254.: αἱ λιπαραὶ καὶ ἰοστέφανοι Ἀθῆναι. cf. Equ. 1229., Ach. 603. Eurip. Alc. 435.: λιπαραῖσί τ' ἐν ὀλβίαις Ἀθάναις, ubi vidd. Monk. et interpp.) εὔανδρον δὲ, τὴν ὑπ' ἀρίστων ἀνδρῶν παροικουμένην. πολυήρατον δὲ, πᾶσιν ἐράσμιον. S.

298. οὗ σέβας. ὅπου σεβάσμιά (ita Ern. et H. libri: σέβασμα.) ἐστὶ καὶ ἄῤῥητα μυστήρια. — μυστ. δόμος. τὴν Ἐλευσῖνα λέγει, ἔνθα τὰ Δήμητρος καὶ Κόρης ἐπιτελεῖται μυστήρια. S.

299. ἐν τελ. ἀγ. ἐν τελεσιουργίαις ἁγιωτάταις, τουτέστι μυστηρίοις. ὡς δὲ τὰς Νεφέλας παρον σεμνολογούσας περίων, ἐπεὶ ἔχουσί τινα πρός τε τὰς θεὰς αὐτὰς καὶ τοὺς διὰ ταύτας καρπούς τελειωμένους οἰκειότητα. εἰ γὰρ τῶν νεφελῶν τὸ ὕειν, ἀδύνατον δὲ καρποὺς ἄνευ ὄμβρων γεωργεῖν, πῶς οὐκ οἰκεῖος ὁ περὶ τῶν θεῶν ταῖς Νεφέλαις λόγος; S.

300. οὐρ. τε θεοῖς. πρὸς ἀντιδιαστολὴν τῶν καταχθονίων, ὧν ἡ Δημήτηρ, καὶ Κόρη. τὸ οὐρ. τε θεοῖς ἐπήγαγεν, ὑπερβαλλόντως εὐσεβῆ βουλόμενος ἀποδεῖξαι τὴν πόλιν· αἱ μὲν γὰρ ἄλλαι πόλεις ἐνίκεινται θεῷ, αἱ δὲ Ἀθῆναι πάντας ἀδιαφόρως τοὺς θεοῦς τιμῶσι. S. cf. Equ. 539.

301. ἀγάλματα, donaria consecrata numinibus, inprimis ipsorum simulacra. docte et copiose de h. v. egerunt Hemsterhus. ad Thom. M. v. ἄγαλμα et Ruhnken. ad Tim. p. 8. sequ. *Harles.*

302. πρόσοδοι. θρησκεῖαι περὶ τοὺς βωμοὺς [πρόσοδοι] τοῖς θεοῖς, καὶ προσελεύσεις. S. *supplicationes, solennes pompae ad delubra deorum.* contulit Be. Pac. 388., ubi tamen *reditus* intelligere solent τὰς προσόδους, et Av. 818. (προσόδια μεγάλα σεμνὰ προσιέναι Θεοῖσιν.) emendandus Proclus Chrestom. 343., Hephaest. Gaisford. p. 380. sequ., apquem adhuc legitur προσῳδιον, cum et metrum et ipsa vocis notatio (id quod Sylburgius animadvertit) genuinam scripturam monstret. nam sic ille: ἐλέγετο δὲ τὸ προσῳδιον (προσόδιον), ἐπειδὰν προσίασι τοῖς βωμοῖς ἢ ναοῖς, καὶ ἐν τῷ προσιέναι ᾖδετο πρὸς αὐλόν· ὃ δὲ κυρίως ὕμνος πρὸς κιθάραν ᾖδετο ἑστώτων. cf. Ibi Schottum et, quos testes citavit, Hesychium, Suidam atque Etymologum.

εὐστέφανοί τε θεῶν θυσίαι, θαλίαί τε,
παντοδαπαῖς ἐν ὥραις·
ἦρί τ' ἐπερχομένῳ Βρομία χάρις,
εὐκελάδων τε χορῶν ἐρεθίσματα,
καὶ μοῦσα βαρύβρομος αὐλῶν.

ΣΤ. πρὸς τοῦ Διὸς ἀντιβολῶ σε, φράσον, τίνες εἶσ', ὦ Σώκρατες, αὗται, a. Aristoph.
αἱ φθεγξάμεναι τοῦτο τὸ σεμνόν; μῶν ἡρῷναί τινές εἰσιν;
ΣΩ. ἥκιστ', ἀλλ' οὐράνιαι Νεφέλαι, μεγάλαι θεαὶ ἀνδράσιν ἀργοῖς,

303. sequ. παρὰ τὸ Ὁμηρικόν (Il. α', 39.) εἴποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα. αὗται γάρ εἰσιν αἱ εὐστέφανοι θυσίαι, κοσμεῖν μὲν καὶ στεφανοῦν ναοὺς, πληροῦν δὲ τοὺς βωμοὺς ἱερῶν καὶ θυμιαμάτων. S. θαλίαι. εὐδαιμονίαι, εὐθηνίαι, ἀκμαὶ, εὐφροσύναι, πανηγύρεις. Junt. παντ. ἐν ὥραις. διηνεκῶς, παντὶ καιρῷ, διὰ τὸ θρησκεύειν πάντας θεοὺς, καὶ πανηγυρίζειν ἀεί [θύουσι διαπαντὸς καὶ διηνεκῶς]. S. cf. 547.

305. ἦρί τ' ἐπ. τὴν παροῦσαν ἑορτὴν λέγει, τουτέστι τὰ Διονύσια. ἀρχομένου γὰρ τοῦ ἦρος ἄρχεται καὶ ἡ πανήγυρις. (cf. annot. ad Ach. 202.) Βρομία δὲ χάρις οἱ Διονυσιακοὶ ἀγῶνες, ἐν οἷς αἱ ἄμιλλαι τῶν χορῶν. S.

306. εὐκ. τε χορῶν. προσηύλουν γὰρ τοῖς Τραγικοῖς καὶ τοῖς Κωμικοῖς, ἐπηύλουν δὲ προηγουμένως (malim προηγουμένοις, prius ductis choris cyclii, qui ante fabulas celebrabantur festis diebus.) τοῖς κυκλικοῖς χοροῖς. εὐκελ. δὲ, τῶν εὐμούσων καὶ ἡδέων χορῶν. ἐρεθίσματα δὲ, ἤγουν ἄμιλλαι, ἢ ὄργανα μουσικά. (sunt proprie irritamina, h. e. delicias, sive oblectamenta. Wieland.: unter dem Zauber der singenden Chöre.) τοῖς γὰρ Διονυσίοις τοὺς κυκλικοὺς χοροὺς ἴστασιν, καὶ ἡγωνίζοντο οἱ κωμικοὶ καὶ οἱ τραγικοὶ ποιηταὶ, ἀναγορεύοντες τὰ ὑπόγυιον αὐτοῖς πεποιημένα δράματα. S.

307. μοῦσα, cantus. cf. Eurip. Phoen. 50., Alcest. 335., 932. etc. similiter musam dicunt Latini. „βαρύβρομος, ut Eurip. Helen. 1275. βαρύβρομον αὐλόν.“ Be. W.: „Wenn αὐλοὶ zwar keine Hörner waren, so entfernten sie sich doch mehr noch von unsern Flöten, indem ein Mundstück darauf gesteckt und der Ton stärker und schmetternder war.“ Wolf.: die bromische Feier, die reizende Tön' und Gesänge mit Tiefhallendem Klang der Schalmei'n weckt. Voss.: Klang tiefdröhnendes Schallrohrs. cf. Ach. 810. sequ. et Böttiger. Dissert. de inventione tibiae in Museo att. 1, 2.

309. ἠρῷναι. ἀττικὴ ἡ σύνταξις (imo σύντηξις) τὸ ἠρῷναι, ὡς ἠίδεσι ἤδεσι. S. — dictae alioqui ἠρωΐναι, ut Callim. h. in Del. 101., Theocr. 26, 36., aut ἠρωΐδες, vel etiam ἠρῷσσαι, ut Apoll. Rhod. 4, 1309. Moeris: ἦρῳ χωρὶς (?) τοῦ ι ἀττικῶς, ὡς Ὅμηρος (Odyss. Φ', 488.) ἦρῳ Δημοδόκῳ· ἠρωῒ δὲ μετὰ τοῦ ι ἑλληνικῶς. Ex Spanh.

310. seqq. ἀνδρ. ἀργοῖς. τοῖς φιλοσόφοις. διασύρει δὲ αὐτοὺς (et alios: vide 325. seqq.) πάλιν. ὠφέλιμοι, φησὶ, τοῖς ἀνθρώποις ἀπράκτοις (otiosis). οἱ γὰρ ἀργοὶ κεχήνασιν εἰς τὰς νεφέλας. αἴσερ γνώμην. σύνεσιν καὶ φρόνησιν, ὡς τὰ δέοντα νοεῖν (355)· καὶ διάλεξιν, λόγων ἐμπειρίαν, ὥστε τὰ νοηθέντα φράζειν δύνασθαι. (hoc praeposterum; hic dicuntur mentis dotes, in quibus est διάληψις, distinctio, judicium. id reponendum puto. διάλεξις et minus usitatum est, et eo molestius, quod sequitur περίλεξιν.) νοῦν, σύνεσιν. τερατ., ψευδολογίαν. (Moeris: τερθρεία ἀττικῶς· τερατεία, ἑλ-

* αἵπερ γνώμην, καὶ διάλεξιν, καὶ νοῦν ἡμῖν παρέχουσι,
καὶ τερατείαν, καὶ περίλεξιν, καὶ κροῦσιν, καὶ κατάληψιν.
ΣΤ. ταῦτ' ἄρ' ἀκούσασ' αὐτῶν τὸ φθέγμ' ἡ ψυχή μου πεπότηται,
καὶ λεπτολογεῖν ἤδη ζητεῖ, καὶ περὶ καπνοῦ στενολεσχεῖν,
καὶ γνωμιδίῳ γνώμην νύξασ' ἑτέρῳ λόγῳ ἀντιλογῆσαι,
ὥστ', εἴ πως ἔστιν, ἰδεῖν αὐτὰς ἤδη φανερῶς ἐπιθυμῶ.
ΣΩ. βλέπε νυν δευρὶ πρὸς τὴν Πάρνηθ'· ἤδη γὰρ ὁρῶ κατιούσας

λῃνικῶς. quam notam ad h. l. refert Pierson. p. 365. — cf. Ruhnken. ad Tim. p. 180. [252. ed. 2.] *Ex Br.*) περίλεξιν, περιττολογίαν, περίφρασιν. κροῦσιν, ἀπάτην, δοκιμασίαν, παραλογισμόν. κατάληψιν, εὕρεσιν. (hinc rhetor quidam dicitur κρουστικὸς et καταληπτικὸς Equ. 1279. sequ. *Bs.*) — δείκνυσι δὲ, ἐξ ὅσων συνέστηκεν ἡ ῥητορική. δεῖ γὰρ νοεῖν, εἶθ' ἑρμηνεύειν etc. cf. Spanh.

313. ita Streps., velut afflatus numine adventantium Nebularum.

313. Gregor. Corinth. de Dial. att. §. 7.: ταῦτ' ἀττικὸν ἀντὶ τοῦ διὰ ταῦτα· λείπουσι γὰρ αἱ προθέσεις παρὰ τοῖς Ἀττικοῖς etc. *Ex Br.* cf. 329. etc. S.: πεπότ. ἀνέπτη, καὶ ἀνεκουφίσθη, καὶ μετέωρα φρονεῖ ἤδη. accipi potest sensu praesentis. cf. 291.

314. λεπτ. cf. 1433., ubi haec παρῳδεῖ. καπνοῦ priore longa. facili negotio ponas καπνίου et 329. διυγρᾶν, cum librarii omittere soleant inutiles sibi visas praepositiones verborum compositorum, ut Br. ostendit annot. ad Lys. 408. (381., quo loco nonnulli MSS. et S. habent ἰσκευάσας.) sed recte Porsonus praef. Hecubae p. LVI.: „Licentiam," inquit, „qua ob mutam et liquidam producitur syllaba, rarissime admittunt (Comici); idque partim ex necessitate, partim *cum aliae poëtae vel citant, vel imitantur.* cum igitur primam syllabam in ὑγρᾶν producit Aristoph. Nub. 329., dithyrambos ridet; cum Homeri verba usurpat, Homerico metro utitur, Nub. 395. καὶ Σούνιον ἄκρον Ἀθηνέων: Vesp. 622. ἀτὰρ, ὦ πάτερ ἠμέτερε Κρονίδη: ubi non „„anapaestorum licentia," ut putat Br., sed quod Homeri verba sunt, producitur ultima pronominis syllaba." S.: περὶ καπνοῦ. ἀντὶ τοῦ περὶ μηδενὸς καὶ κενῶν πραγμάτων. (cf. 253. Latini quoque figurate *fumum* dicunt, nostrates *Dunst.*) στενὸς γὰρ, καὶ ἐμμενηνός, καὶ ἀσθενὴς ὁ καπνός. — καὶ τοῦτο δὲ τὸ λεπτολογεῖν διασυρμοῦ λέγει χάριν, ὡς ἰσχνὰ τῶν φιλοσόφων ζητούντων ζητήματα. S. annotavit Wieland., significari h. l. ironiam Socratis, qua temerariis aliorum decretis (γνώμαις) dubitationes opponere solebat, et quaestiunculas sententiolasque (γνωμίδια) sermoni immiscere, quibus cum ipse non multum tribuere videretur, tamen earum acumine decreta atque placita certissima visa disputantium velut pungens aut perforans (νύξας) confutabat. qua ironia nec tam saepe quam ap. Platonem, nec tam raro quam ap. Xenophontem, usus esse Wielandio videtur philosophus.

316. ἔστιν, ἔξεστιν. φασ. pertinet ad ἰδεῖν.

317. — Πάρνης ὄρος τῆς Ἀττικῆς. (cf. annot. ad Ach. 321.) τοῦτο καὶ ἀρσενικῶς λέγεται, ὡς τὸ ὃς Κόρακας (ἐγὼ) Ἥξω, φέρων τι δεῦρο τὸν Πάρνηθ' ὅλον, καὶ θηλυκῶς, ὡς ἐνταῦθα. (similiter Steph. v. Πάρνης. annotavit interpres Francogall., montem hodie vocari Caschna, situmque esse versus meridiem Atticae, quem ipsum videbant spectatores ex theatro aperto, more veterum.

ἡσυχα ταῦτας.

ΣΤ. φέρε, ποῦ; δεῖξον.

ΣΩ. χωροῦσ' αὐταὶ πάνυ πολλαὶ διὰ τῶν κοίλων καὶ τῶν δασέων αὖται πλάγιαι.

ΣΤ. τί τὸ χρῆμα;

ὡς οὖν καθορῶ παρὰ τὴν εἴσοδον, εἰ δή, νυνὶ μόλις οὕτως.

ΣΩ. νῦν γέ τοι ἤδη καθορᾷς αὐτὰς, εἰ μὴ λημᾷς κολοκύνταις....

ΣΤ. νὴ Δί' ἔγωγ'. — ὦ πολυτίμητοι!

ΣΩ. πάντα γὰρ ἤδη κατέχουσι.

ταύτας μέντοι σὺ θεὰς οὔσας οὐκ ᾔδης, οὐδ' ἐνόμιζες.

ΣΤ. μὰ Δί', ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς ἡγούμην καὶ κάπνον εἶναι.

ΣΩ. οὐ γὰρ, μὰ Δί', ἀλλ' ἴσθ', ὅτι πλείστους αὗται βόσκουσι σοφιστὰς,

Θουριομάντεις, ἰατροτέχνας, σφραγιδονυχαργοκομήτας,

318. ἦσυχα. ἡσύχως. glossa cod. Br. αὐταί. vitiose ll. etiam h. l. αὗται, quod bene habet sequente versu, quippe locum significans.

319. τί τὸ χρ.; quid hoc rei est?

320. vulgo ll. ὡς οὐ καθ. ΣΩ. π. τὴν ε. ΣΤ. ἤδη νῦν, vel νυνὶ, μόλις ὁρῶ, vel ἀθρῶ. Rav., Bekk. et alii, sub persona Strepsiadis ἤδη — οὕτως. adhuc ridicule dubius Streps. εἰ δή, si quidem (video), inquit. si dixit καθορῶ ἤδη, inepte Socr. respondet νῦν — ἤδη καθορᾷς αὐτάς. — τὴν εἴσοδον, ᾗ ὁ Χορὸς εἰσεισιν ἐν τῇ σκηνῇ, S. ad Av. 292., ubi vid. annot.

321. εἰ μὴ λ. κολ. — εἰ μὴ λήμας ἔχεις ἐν τοῖς ὀφθαλμοῖς μεγάλας ὡς κολοκύντας. λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον. — ὁ δὲ Λουκιανὸς ἐν τῷ πρὸς Ἀπαίδευτον (libro Adversus indoctum c. 23.), κ. πολλὰ βιβλία ὠνούμενον οὐκ ὤκνησεν εἰπεῖν χύτραις λημῶντα. idem S.: λείπει δὲ ἡ ἐν, ἵν' ᾖ ἐν κολοκύνταις, ὡς τὸ νοσεῖν ἐν φρενίτιδι. Welcker.: wenn dein Auge nicht Kerbisse triefet.

322. πάντα γ. ἤ. κ. minus apte haec verba leguntur sub persona Strepsiadis, adspectu Nubium defixi. subjicit Socr. rationem, cur jam fieri non possit quin senex conspiciat Nubes.

324. μὰ Δία. per se negat μὰ, ut Plut. 396. et alibi.

325. ita Brunckii codex 5. et alii 2., quod merito placuit Hermanno prae vulgatis οὐ γ. μὰ Δ. οἶσθ', ὅτιη πλ. S.: σοφιστὰς ἐν ἄλλοις τοὺς πεπαιδευμένους, νῦν δὲ τοὺς μετεωρολέσχας λέγει, καὶ πάντας τοὺς ἀπὸ τῶν μαθηματικῶν ὁρμωμένους. καὶ θαυμαστὸν οὐδὲν, ὅπου μηδὲ τοὺς αὐλητὰς οὕτω προσαγορεύειν („legebatur οὕτως ἀγορεύειν. vid. Suid. in σοφιστής." H.) ὤκνησαν. Πλάτων γὰρ οὐν ὁ Κωμικὸς ἐν δράματι Σοφισταῖς καὶ τὸν Ὀπούντιον αὐλητὴν Βακχυλίδην εἰς τοῦνομα κατέταξε τῶν σοφιστῶν. —

326. Θουριομάντεις. ἀπὸ τοῦ γενικοῦ ἐχώρησεν ἐπὶ τὸ κατ' εἶδος. εἰπὼν γὰρ, ὅτι πάντας αἱ Νεφέλαι τρέφουσι τοὺς σοφιστὰς, ἐπήγαγέ τινας. (ita H. auctore Suida in Θουριομάντεις. v.: τίνας καὶ τίνας.) Θουριομάντεις δὲ οὐ τοὺς ἀπὸ Θουρίου μάντεις, ἀλλὰ τοὺς εἰς Θούριον πεμφθέντας (Athenis 10 navibus) ἐπὶ τὸ κτίσαι αὐτήν. (Olymp. 83, 3., ante Chr. nat. 446. vide Diodori interpp. 12, 10.) ἐπέμφθησαν δὲ δέκα ἄνδρες, ὧν καὶ Λάμπων ἦν ὁ μάντις, ὃν ἐξηγητὴν ἑκά-

κυκλίων τε χορῶν ἁσματοκάμπτας, ἄνδρας μετεωροφένακας·

λουν. ἦν δὲ καὶ τῶν πολιτευομένων πολλάκις. [λόγους δὲ συνεχῶς εἰσάγειν ἐφαίνετο περὶ τῆς εἰς Θούριον ἀποικίας.] ἀλούσης γὰρ Συβάρεως Θούριοι ἐκλήθησαν ἀπὸ κρήνης Θουρίας, ὕστερον δὲ Κωπίαι. („legebatur Ἀπίαι. Κωπίαι est e Stephano Byz. in Θούριοι." Herm. nec aliter Strabo 6, 1. ed. Tauchnis. 2. p. 20.) λέγεται καὶ Θουρία, καὶ Θούριον, ὡς ἐν τῷ Ἡροδότου ἐπιγράμματι (Anthol. Palat. 2. p. 824.) Ἡροδότου Λύξεω κρύπτει κόνις ἥδε θανόντα, Ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν, Δωριέων πάτρης βλάστον τ' ἄπο, τῶν ἄρ' ἄπλητον Μῶμον ὑπεκπροφυγὼν Θούριον ἔσχε πάτρην. τὸ ἐθνικὸν ὁμωνύμως Θούριοι καὶ Θουριακοί. καὶ Θουρῖνος οἶνος, ὡς Στράβων (l. l.) — (Av. 496. Λάμπων δ' ὁμνυσ' ἔτι καὶ νυνὶ τὸν χῆν', ὅταν ἐξαπατῷ τι, ubi vid. annot. ceterum Bekker. et D.: θουριομάντεις, h. e. Θούριοι μάντεις, vates fervidi et ridicule ἐνθουσιάζοντες, quemadmodum Aeschylus dixit κακόμαντιν. Wieland.: *Orakelschmieder.*) πολλῶν γενομένων μάντεων (ita Ern. et H. perperam libri: μαντειῶν.) ἐπὶ τῆς εἰς Θουρίαν ἀποικίας, τούτους δὲ (δὴ) ἔφη τρέφεσθαι ἐκ τῶν Νεφελῶν, ὡς διὰ τῶν οἰωνῶν καὶ τῶν ἐν τῷ ἀέρι μαντευομένους, καὶ εἰς τὸν οὐρανὸν καὶ τὰ νέφη ἀποβλέποντας. — ἰατροτέχνας. καὶ ἰατροὶ περὶ ἀέρων καὶ ὕδατος συνέγραψαν· ὕδατα δέ εἰσι καὶ αἱ νεφέλαι. σύνταγμα δέ ἐστιν Ἱπποκράτους περὶ ἀέρων, τόπων, καὶ ὑδάτων. (B.: medicos videtur intelligere eos, qui vel publice conducerentur, ut Democedes ante haec tempora conductus fuerat ab Athenn., teste Herodoto 3, 131.; vel qui in prytaneo etiam alerentur, ut Hippocrates et ejus posteri. Soranus [medicus Ephesius Romae, sub Trajano atque Hadriano: vide J. C. F. Bährii *Gesch. der röm. Litt.* p. 513.] in vita Hippocratis: καὶ παρ' Ἀθηναίοις [ἔτυχε τιμῶν], οἵτινες καὶ δεύτερον αὖτὸν ἀφ' Ἡρακλέους δημοσίᾳ τοῖς Ἐλευσινίοις ἐμύησαν, καὶ πολίτην ἔγραψαν, καὶ τὴν ἐν πρυτανείῳ σίτησιν ἔδοσαν εἰς ἐγγόνους. [haec valde dubia esse ait F. Jacobs. in annott. ad *Athen. Briefe* 1. p. 83. vide, quos laudavit, Gillies. *History of Greece* ch. 50. et C. Sprengelii *Gesch. der Arzneikunde.* 1. Th. S. 222.] pertinet autem ad medicos etiam meteorologia. Hippocr. in libro de aëre, aquis et locis c. 1. §. 8. scribit: οὐκ ἐλάχιστον μέρος ξυμβάλλεται ἀστρονομίη ἐς ἰητρικήν.) — σφραγιδ. τοὺς κόμῃ καὶ περιττοῖς δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων, ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι. (vocem hanc Etym. sic explicat: ὁ ἅσσατος παρὰ Ἀριστοφάνει, ἀπὸ τοῦ σφραγὶς, καὶ ὄνυξ, καὶ ἀργὸς etc. *K. et Br.* cf. Eccles. 632., 842., etiam annot. ad sequ. versum. notantur hac appellatione non alii quam ipsi illi Θουριομάντεις et medicorum filii, quos dicit. Voss.: *Ringfingerigeschlendergelockvolck.*) S.

327. κυκλίων τε. αἰνίττεται εἰς τοὺς περὶ Κινησίαν, καὶ Φιλόξενον, καὶ Κλεομένη, καὶ τούτους εἶναι τῶν σοφιστῶν βούλεται, διθυραμβοποιοὺς χρηματίσαντας. τῶν γὰρ κυκλίων χορῶν εἰσιν οὗτοι διδάσκαλοι. — ἄλλως. οἱ παλαιοὶ διαφθορὰν μουσικῆς ἡγοῦντο εἶναι τοὺς διθυράμβους. καὶ προελθὼν αὐτῶν μᾶλλον καθάψεται λέγων (infra 941.) εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ', ἢ κάμψειέν τινα καμπὴν, Οἷας οἱ νῦν κ. τ. λ. (de Cinesia et Philoxeno cf. annot. ad Plut. 290., Ran. 153., Av. 1281. seqq., Pac. 784.; et de verbis sesquipedalibus istorum poëtarum annot. ad 329. de choris cycliis, qui circum aras ducebantur festis diebus, ita H. Voss.: „Ihr ehemals einfacher kräftiger, choralmässiger Ton verlor sich jezt in Schwulst und schnörkelnde Künstlichkeit. Diese von den Wolken empfangen zu haben, rühmt sich in den Vögeln 1291. ff. der Dithyrambendichter Kinesias.") — μετεωρ. τοὺς διὰ τῶν μετεώρων ἁπα-

* οὐδὲν δρῶντας βόσκουσ' ἀργούς, ὅτι ταύτας μουσοποιοῦσιν.

ΣΤ. ταῦτ' ἄρ' ἐποίουν ὑγρᾶν Νεφελᾶν στρεπταίγλας, ὀάϊον ὁρμὰν,

πλοκάμους θ' ἑκατογκεφάλα Τυφῶ, πρησμαινούσας τε θυέλλας,

ἤτ' ἀερίως διεροὺς, γαμψοὺς, οἰωνοὺς ἀερονηχεῖς,

ὄμβρους θ' ὑδάτων δροσερᾶν Νεφελᾶν· εἶτ' ἀντ' αὐτῶν κατέπινον

κεστρᾶν τεμάχη μεγαλᾶν, ἀγαθᾶν, κρέατ' ὀρνίθεια κιχηλᾶν.

τῶντας. φενακίζειν γάρ ἐστι τὸ ἀπατᾶν. — S.

328. οὐδὲν δρῶντας — ἀργούς. dictum ταυτολογικῶς, et quidem sine emphasi, numerisque inertibus, ut malim legi οὐδὲν ὁρῶντας, *nihil intelligentes*, stupidos. etiam alibi confusa deprehenduntur verba δρᾶν et ὁρᾶν: id quod fefellisse videtur Bastium, δρᾶν pro ὁρᾶν dici existimantem in annot. ad Gregor. Cor. p. 338. — μουσ. ποιοῦσι, *carminibus celebrant*, ut ἐποίουν sequente versu.

329. sic Rav. vulgo, homoeoteleutis 6 continuis, στρεπταίγλαν vel στρεπταιγλᾶν. στρεπταίγλας, στρεπτοὺς αἴγλας, *flexos splendores*, torta fulgura. ὑγρᾶν priore longa. vide annotata ad 314. S.: ταῦτ' ἄρ' ἐπ. λείπει ἡ διὰ. (ut 313. et alias.) — ταῦτα δὲ εἰς Φιλόξενον τὸν διθυραμβοποιόν· τὸ γὰρ στρεπταίγλαν οὗτος (ita H. pro αὐτός. vid. Suid. h. v.) εἶπεν. ἐπεὶ οὖν συνθέτοις καὶ πολυπλόκοις οἱ διθυραμβοποιοὶ χρῶνται λέξεσι, κατὰ τὸν τῶν ἐκείνων ζῆλον καὶ αὐτὸς τοιαύταις χρῆται. —

330. ll. πρημαινούσας (Rav. πρημεν.), verbo inaudito. quare dedi πρησμαιν., quod ductum a πρῆσμα, ut κυμαίνω a κῦμα, πημαίνω a πῆμα, etc. Τυφῶ. Typhonis, proprio sensu turbinis, quem gigantem finxerunt poëtae ac mythologi. Aeschylus Prom. 359.: τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα Ἄνδρων ἰδὼν ᾤκτειρα, δάϊον τέρας, Ἑκατογκάρανον, πρὸς βίαν χειρούμενον, Τυφῶνα θοῦρον, ὅστις ἀντέστη θεοῖς etc. cf. Hesiod. Theog. 306. sequ., 820. seqq., Heyn. ad Apollod. 1, 6, 3. etc. S.: — πρημαινούσας δὲ ἀντὶ τοῦ μαινομένας, (?) καὶ λάβρως φυσώσας. πρῆσαι γὰρ τὸ φυσῆσαι.

331. ne hic quidem placuit scriptura codicum εἶτ' ἀερίους, cum sequatur, et quidem in diversa oratione, εἶτ' ἀντ' αὐτῶν etc. ἤτ', ἤτοι, aptum est sententiae, nec raro librarii confuderunt ει et η. ἀερίους friget simul illatum cum voce ejusdem stirpis ἀερονηχεῖς: scripsimus, ἀερίως, quod referatur ad ἐποίουν (*oder im Luftlied rührige, krummkralligе, luftrudernde Vögel*). διεροὺς, ὑγροὺς, *agiles*. Av. 215. διερoῖς μέλεσιν, Hom. Odyss. ι', 43. διερῷ ποδὶ, ut H. annotavit. — γαμψούς, γαμψώνυχας. S.: ἀερον. τὰς (τοὺς) ἐν τῷ ἀέρι νηχομένας (νηχομένους). — ταῦτα δὲ πάντα ἔκ τινων ποιητῶν εἰσιν, ἄλλο ἄλλου γράψαντος, [καὶ τοῦ μὲν τοῦτο, τοῦ δὲ ἐκεῖνο.]

332. ἀντ' αὐτῶν. τουτέστιν ἀντὶ τούτων, ὧν ἐποίουν εἰς τὰς Νεφέλας. διὰ τοῦτο ἤσθιον τοὺς κεστρέας, καὶ τὰ ὀρνίθεια κρέα. S. κατ., *absorbebant*, h.e. deglutiebant, ut Plato Euthyphr. c. 6. de Saturno: ὅτι τοὺς υἱεῖς κατέπινεν οὐκ ἐν δίκῃ, quem locum protulit Be. et similes Luciani Saturnal. c. 5. et Alciphronis Epist. 1, 22.

333. κέστραι, κεστρέαι, κεστρεῖς, piscium genus, quod fere *mugiles*

ΣΩ. διὰ μέντοι τάσδ' οὐχὶ δικαίως;

ΣΤ. λέξον δή μοι, τί παθοῦσαι,

335 εἴπερ νεφέλαι γ' εἰσὶν ἀληθῶς, θνηταῖς εἴξασι γυναιξίν;
οὐ γὰρ ἐκεῖναί γ' εἰσὶ τοιαῦται.

ΣΩ. φέρε, ποῖαι γάρ τινές εἰσιν;

ΣΤ. οὐκ οἶδα σαφῶς· εἴξασιν γοῦν ἐρίοισιν πεπταμένοισι,
κοὐχὶ γυναιξὶν μὰ Δί', οὐδ' ὁτιοῦν· αὗται δὲ ῥῖνας ἔχουσιν.

ΣΩ. ἀπόκριναί νῦν ἅττ' ἂν ἔρωμαι.

ΣΤ. λέγε νυν ταχέως ὅ τι βούλει.

340 ΣΩ. ἦδη ποτ' ἀναβλέψας εἶδες νεφέλην Κενταύρῳ ὁμοίαν,
ἢ παρδάλει, ἢ λύκῳ, ἢ ταύρῳ;

ΣΤ. νὴ Δί' ἔγωγ'. εἶτα τί τοῦτο;

ΣΩ. γίγνονται πᾶν, ὅ τι βούλονται· κἄτ' ἢν μὲν ἴδωσι κομήτην
ἄγριόν τινα τῶν λασίων τούτων, οἷόν περ τὸν Ξενοφάντου,

reddunt, Atticis dicebantur, quae ceteris Gr. σφυραίναι (esox sphyraena Linn., francog. *spet, eine Hechtart*). v. Aristot. H. A. 9, 2. ibique Camus t. 2. p. 781., Athen. 7. p. 323. sequ., B. mendose S.: — ἄλλοι μὲν γὰρ τὰς μυραίνας ἀξιοῦσι καλεῖν. dubium, quod addit: νῦν μέντοι κεστρεῖς καλοῦμεν τοὺς νεφάλους. Wieland., Wolf. et Voss. reddiderunt *Meeraal*; rectius Welcker.: *Hammerhecht*. — τεμάχη μεγ. ἀγ. τουτέστι τιμίων καὶ λαμπρῶν. ἐπὶ ἰχθύων τὸ τέμαχος, καὶ ἐπὶ πλακοῦντος· (?) ἐπὶ δὲ κρεῶν οὐκέτι. (Plut. 890.: πολὺ χρῆμα τεμαχῶν καὶ κρεῶν ὠπτημένων, ubi vid. annot.) ἐδώρισε δὲ μιμούμενος τοὺς διθυράμβους. τὸ δὲ ὅλον τείνει πρός τε τοὺς παρὰ τοῖς χορηγοῖς ἑστιωμένους (poëtas dithyrambicos), καὶ πρὸς τοὺς ἐν πρυτανείῳ ἀεὶ δειπνοῦντας. (id quidem non agitur h. l., suspicorque, aliena esse verba καὶ — δειπν., et scholiasten dixisse πρὸς τοὺς παρὰ — ἑστ.) S. κιχηλᾶν dorice pro κιχλῶν. Athen., referente Br., p. 64, f.: Συρακούσιοι δὲ τὰς κίχλας κιχήλας λέγουσιν. Ἐπίχαρμος τάς τ' ἐλαιοφυλλοφάγους κιχήλας. μέμνηται τούτων καὶ Ἀ. ἐν Νεφέλαις. Eustath. p. 1934., 15.: ὅτι δὲ τὰς κίχλας κιχήλας τρισυλλάβως ἔλεγον οἱ Δωριεῖς, καὶ ὡς ἐκ τῆς αὐτῶν φωνῆς κιχλίζειν καὶ κιχλισμὸς ἐπὶ γυναικείου γέλωτος, οὐκ ἄδηλόν ἐστι etc. cf. Koen. ad Corinth. p. 102., Porsoni Opusc. p. 26., Dobr. h. l.

334. οὐ δικαίως, φησὶν, ἠξιοῦντο τῆς τιμῆς, καὶ τῶν δείπνων, διὰ ταῦτα τὰ εἰς τὰς Νεφέλας ὑπ' αὐτῶν γραφόμενα; [οὐδὲν γὰρ ἀξιόλογον ἐποίουν.] S. — τί παθοῦσαι dictum, ut τί ἔχων 131., ubi vid. annot.

335. εἴξασι. gl.: ὡμοιώθησαν. Moeris: εἴξασιν ἀττικῶς· ἐοίκασιν ἑλληνικῶς. Timaeus: εἴξασι καὶ εἰκασι λέγει ἀντὶ τοῦ ἐοίκασιν. — Br. cf. 185.

336. ἐκεῖναι. αἱ νεφέλαι.

337. ἔρια πεπταμένα sunt *lanae extensae, explicatae, expansae*. Bos. Obss. crit. p. 72. B.

338. αὗται δὲ ῥ. ἔχ. εἰσεληλύθασιν οἱ χορευταὶ προσωπεῖα περικείμενοι μεγάλας ἔχοντα ῥῖνας, γελοῖα καὶ ἀσχήμονα. — S. δὲ vi litterae ῥ sequentis producitur. cf. Plut. 51. etc.

342. πᾶν Vatic. vulgo πάνθ'. Venet., Herm., πάνθ', ὅσα β.

343. S.: — ἀγρίους καὶ πολλοποδιώκτας (libri: καλοποδιώκτας. emendarunt *H.* secundum Eustath. ad Odyss. φ', p. 1915. 16.) ἐκάλουν τοὺς τὰς ἀπηγορευμένας πράξεις ποιοῦντας [τοὺς παιδεραστάς]. Ἱερώννυμον δὲ λέγει τὸν διθυραμβοποιὸν, ὃς Ξενοφάντου μὲν ἦν παῖς, περὶ παῖδας δὲ ἄγαν ἐκτήτο. (eo

σκώπτουσαι τὴν μανίαν αὐτοῦ Κενταύροις ἤκασαν αὐτάς.

345 ΣΤ. τί γὰρ, ἢν ἅρπαγα τῶν δημοσίων κατίδωσι Σίμωνα; τί δρῶσιν;

ΣΩ. ἀποφαίνουσαι τὴν φύσιν αὐτοῦ λύκοι ἐξαίφνης ἐγένοντο.

ΣΤ. ταῦτ' ἄρα, ταῦτα Κλεώνυμον αὗται τὸν ῥίψασπιν χθὲς ἰδοῦσαι,

ὅτι δειλότατον τοῦτον ἑώρων, ἔλαφοι διὰ τοῦτ' ἐγένοντο.

ΣΩ. καὶ νῦν γ' ὅτι Κλεισθένη εἶδον, ὁρᾷς, διὰ τοῦτ' ἐγένοντο γυναῖκες.

350 ΣΤ. χαίρετε τοίνυν γ', ὦ δέσποιναι, καὶ νῦν, εἴπερ τινὶ κἄλλῳ, οὐρανομήκη ῥήξατε κἀμοὶ φωνὴν, ὦ παμβασίλειαι!

ΧΟ. χαῖρ', ὦ πρεσβῦτα παλαιογενὲς, θηρατὰ λόγων φιλομούσων· σύ τε, λεπτοτάτων λήρων ἱερεῦ, φράζε πρὸς ἡμᾶς ὅ τι χρῄζεις.

pertinet vox μανία, vesana libido.) ἄσιον δὲ εἶχε τὸ σῶμα. ἐπεὶ οὖν καὶ ὁ Ἱπποκένταυροι λάσιον εἶχον τοῦ σώματος τὸ τῶν ἵππων μέρος, [ὥστε] καὶ ὁ πρὸς τοὺς Λαπίθας πόλεμος δι' ἀκρασίαν ἔρωτος αὐτοῖς συνέστη, εὐλόγως τῶν ἐρωμανῶν τινα θεωμένας ἐξομοιοῦν αὐτὰς τῇ τῶν Κενταύρων ἰδέᾳ τὰς Νεφέλας παρήγαγεν. cf. Harpocr. v. ἀγρίους etc. „Hieronymi meminit etiam Ach. 356., ubi S. inter alia: ἐκωμῳδεῖτο δὲ ὡς πάνυ κομῶν." Be. — τούτων dictum per contemtum.

345. Σίμωνα. οὗτος κεκωμῴδηται παρὰ Ἀριστοφάνει ὡς χρεωφειλέτης. — σοφιστὴς δὲ ὁ Σίμων ἦν, καὶ τῶν ἐν πολιτείᾳ διαπρεπόντων τότε. — μνημονεύει δὲ αὐτοῦ καὶ Εὔπολις ἐν Πόλεσι, διαβάλλων αὐτὸν ἐπὶ τοῖς αὐτοῖς ἐγκλήμασιν οὕτως ἐξ Ἡρακλείας ἀργύριον ὠφείλετο. — S. cf. 393. alius Simo servus Eccles. 867.

346. ἐγένοντο dictum ἀορίστως, ut ἦκασαν 344.: *fieri solent.* cf. 174. potest tamen fortasse hac forma loquendi etiam celeritas significari actionis, ut factum dicatur, quod in eo est ut fiat. *darstellend im Bild solch Eines Natur sind sie Wölf urplötzlich geworden.*

347. Κλεώνυμον. τοῦτον ὡς δειλὸν, καὶ ἐπὶ τῆς παρατάξεως ῥίψαντα τὴν ἀσπίδα, οἵ τε ἄλλοι Κωμῳδοὶ διαβάλλουσι πάντες, καὶ ἐν τοῖς Σφηξὶν (19. etc. ibidem 567. Cleonymus sugillatur verbis χὠ μέγας οὗτος κολακώνυμος ἀσπιδαποβλής. cf. inferius 394., 657. et index hoc nomine.) ὁ αὐτός.

349. de *Clisthene* cinaedo vide Ran. 48., Equ. 1274. etc. — ὁρᾷς παρενθετικῶς, ut Av. 1458., Pac. 331.

350. ita nonnulli MSS. et edd. vett. alii libri τοίνυν, ὦ δέσπ., laborante versu. vid. annot. ad Ran. 313.

351. οὐρ., *ingentem.* Aristot., annotante Spanh., Rhetor. 3, 7.: συγγνώμη γὰρ ὀργιζομένῳ κακὸν φάναι οὐρανόμηκες ἢ πελώριον εἶναι. (cf. 453.) — ῥήξατε figurate, ut ap. Aeschylum Pers. 439., Soph. Trach. 807., alios. ipsum ῥηγνύναι φωνὴν legitur, notante Ern., Esa. 54, 1. ap. τοὺς ὁ, et semel in N. T. Galat. 4, 27., ubi vid. Grot. cf. 932., Herodot. 2, 2., Hippocr. de superfoet. p. 43. ed. Foës. Eurip. Suppl. 694.: ἔῤῥηξε δ' αὐδὴν, ὥσθ' ὑπηχῆσαι χθόνα. similiter Latini: *rumpite vocem.*

352. θηρ. ἀντὶ τοῦ ἰχνευτὰ λόγων, ἢ ζητητὰ, ἢ μετιὼν λόγους. S. sic Athen. 3. p. 122, c.: ὦ καλλίστων ὀνομάτων καὶ ῥημάτων θηρευτά. K. usitatus etiam hic tropus: vide Soph. El. 997., Phil. 799.

353. ἱερεῦ. cf. 263.

οὐ γὰρ ἂν ἄλλῳ γ' ὑπακούσαιμεν τῶν νῦν μετεωροσοφιστῶν
πλὴν ἢ Προδίκῳ· τῷ μὲν σοφίας καὶ γνώμης οὕνεκα· σοὶ δὲ,
ὅτι βρενθύει τ' ἐν ταῖσιν ὁδοῖς, καὶ τὠφθαλμὼ παραβάλλεις,
κἀνυπόδητος κακὰ πόλλ' ἀνέχει, κἀφ' ἡμῖν σεμνοπροσωπεῖς.

ΣΤ. ὦ Γῆ, τοῦ φθέγματος, ὡς ἱερὸν, καὶ σεμνὸν, καὶ τερατῶδες!

ΣΩ. αὗται γάρ τοι μόναι εἰσὶ θεαὶ, τἄλλα δὲ πάντ' ἐστὶ φλύαρος.

ΣΤ. ὁ Ζεὺς δ' ἡμῖν, φέρε, πρὸς τῆς Γῆς, οὐλύμπιος οὐ θεός ἐστι;

ΣΩ. ποῖος Ζεύς; οὐ μὴ ληρήσεις, οὐδ' ἔστι Ζεύς.

ΣΤ. τί λέγεις σύ;
ἀλλὰ τίς ὕει; τουτὶ γὰρ ἔμοιγ' ἀπόφηναι πρῶτον ἁπάντων.

ΣΩ. αὗται δή που· μεγάλοις δέ σ' ἐγὼ σημείοις αὐτὸ διδάξω.
φέρε, ποῦ γὰρ πώποτ' ἄνευ νεφελῶν ὕοντ' ἤδη τεθέασαι;
καίτοι χρῆν αἰθρίας ὕειν αὐτὸν, ταύτας δ' ἀποδημεῖν.

354. ἄλλῳ ἢ σοί. — S.: — μέμνηται δὲ νῦν τοῦ Προδίκου, διασύρων, ὅτι μεγίστην δόξαν εἶχε περὶ αὐτοῦ, ὡς ὑπὲρ πάντας ὢν τῇ σοφίᾳ. σοφιστὴς δὲ ἦν ὁ Πρόδικος, Κεῖος (ita H. auctore Suida in Πρόδικον. legebatur Χῖος.) τὸ γένος· ἤκμασε δὲ κατὰ τοὺς χρόνους Σωκράτους. πρῶτος δὲ οὗτος τὴν πεντηκοντάδραχμον ἐπίδειξιν ἐποιήσατο. (Aristot. Rhet. 3, 14., Suid. l. l., Jacobs. ad *Athen. Br.* 2, 364.) μνημονεύει δ' αὐτοῦ Πλάτων ἐν τῷ Πρωταγόρᾳ, καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασιν (2, 1, 21.)· οὐ μὴν ἀλλὰ καὶ Ἀριστοφ. ἐν Ταγηνισταῖς (fr. I, 1. nostrae ed.) τὸν ἄνδρα τοῦτον βιβλίον διέφθορεν, Ἢ Πρόδικος, ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις. διαβάλλει δὲ αὐτὸν καὶ ἐν Ὄρνισιν (659.) οὕτω· παρ' ἐμοῦ Προδίκῳ κλάειν εἴπητε τολοιπὸν etc. cf. annot. ad Ran. 921. et Hindenburg. ad Xenophontis l. l.

355. γνώμης. cf. 311.

356. βρενθύει. ἀποσεμνύνεις σεαυτὸν ἐν τῷ σχήματι, καὶ ταυρηδὸν ὁρᾷς. (cf. [illegible]t. Symp. c. 36., ubi locus hic Aristophanis significatur, Ruhnken. ad. Tim. h. v., Schneideri lex. gr. v. βρένθος, etc.) S. καὶ τ. παραβ. ἴδιόν ἐστι τῶν ἀλαζόνων τὸ μὴ ἔχειν ἀεὶ τὸ βλέμμα ἐπὶ ταὐτοῦ, ἀλλ' ἄνω καὶ κάτω κινεῖν, καὶ νῦν μὲν ἐνταῦθα, νῦν δ' ἄλλοσε μεταφέρειν. S. quarti Reg. ap. Br.

357. κἀνυπ. vide annot. ad 102. K.: κἀφ' ἡμῖν σεμνοπρ. — *et nobis fretus supercilium tollis*, vel *gravitatem quandam et fastum vultu prae te fers.*

358. Terram invocat, ut agricola. cf. 360. etc.

359. γάρ τοι. Rav.: γάρ μοι, fortuita, puto, scriptura, quemadmodum μ π et τ litteras misceri scimus in codd. MSS. certe fortius dictum est γάρ τοι quam γάρ μοι, quod etiam Beckio displicebat. cf. 366.

361. Rav. ποῖος Ζεὺς δ';

364. „similiter Lucretius 6, 400.: *Denique cur nunquam coelo jacit undique puro Jupiter in terras fulmen, sonitusque profundit?*" *Be.*

365. αἰθρίας media producta, ut vocabulorum αἰκία, καλιὰ, κονία.

ΣΤ. νὴ τὸν Ἀπόλλω, τοῦτό γέ τοί μοι τῷ νῦν λόγῳ εὖ προσέφυσας·
καίτοι πρότερον τὸν Δί' ἀληθῶς ὤμην διὰ κοσκίνου οὐρεῖν.
ἀλλ', ὅστις ὁ βροντῶν ἐστι, φράσον· τοῦτό με ποιεῖ τετρεμαίνειν.

ΣΩ. αὗται βροντῶσι κυλινδόμεναι.

ΣΤ. τῷ τρόπῳ, ὦ πάντα σὺ τολμῶν;

370 ΣΩ. ὅταν ἐμπλησθῶσ' ὕδατος πολλοῦ, κἀναγκασθῶσι φέρεσθαι κατακρημνάμεναι πλήρεις ὄμβρου δι' ἀνάγκην, εἶτα βαρεῖαι εἰς ἀλλήλας ἐμπίπτουσαι ῥήγνυνται, καὶ παταγοῦσιν.

ΣΤ. ὁ δ' ἀναγκάζων ἐστί τις αὐτὰς οὐχ ὁ Ζεύς, ὥστε φέρεσθαι;

ΣΩ. ἥκιστ', ἀλλ' αἰθέριος δῖνος.

ΣΤ. Δῖνος; τουτὶ μ' ἐλελήθη,

vide Elmsl. et interpp. Sophoclis ad Oedip. Col. 690., collata etiam annot. ad 976. *αἰθρίας σὔσης* codd. quidam Aristophanei et Suidas in *ἀποδημεῖν*, quae est explicatio genitivi temporalis. cf. Pac. 151., Av. 1382. de Jove pluvio vide Pausan. Att. c. 32, 2., (*Ἀθηναίοις δὲ τὰ ὄρη καὶ θεῶν ἀγάλματα ἔχει· Πεντέλησι μὲν Ἀθηνᾶς, ἐν Τμηττῷ δὲ ἄγαλμά ἐστιν Τμηττίου Διὸς, βωμοὶ δὲ καὶ ὀμβρίου Διὸς καὶ Ἀπόλλωνός εἰσι προοψίου.*) Broukhus. ad Tibull. 1, 8, 26. etc. — *ἀποδημεῖν*, abesse.

366. vulgo pravis numeris (quippe caesura versus facta in articulo) — *τοῦτό γέ τοι τῷ νυνὶ λ. ε. π.* haustum arbitror *μοὶ* familiare ab simili (v. 359.) *τοὶ*, deinde *νυνὶ* positum a Metrico. minus verisimiliter Porson. praef. Hecubae p. 48. et alii *τ. γέ τοι δὴ τῷ νῦν λ. ε. π.*, ut Ran. 986. *νὴ τὸν Δία, τοῦτό γέ τοι δή*. gloss. Br. *προσέφυσας: ἥρμοσας, καλῶς καὶ ὡς ἔδει προσήρμοσας.* — „Aeschylus Suppl. 284.: *καὶ ταῦτ' ἀληθῆ πάντα προσφύσω λόγῳ*. schol.: *προσφύσω, ἀποδείξω.*“ Br. Herm.: „*Τῷ νῦν λόγῳ*, ut apud Sophoclem. El. 769. (730.), Oed. Col. 801. (743.), quos locos Reisigius (Conjectan. in Aristoph. p. 149. sequ.) attulit, de eo, quod nunc dictum est, accipiendum. eodem modo etiam Aeschyl. Suppl. 284. *καὶ ταῦτ'* etc. itaque hoc dicit: „apte id his, quae nunc dicta sunt, asseruisti.“

369. *ὦ. π. σὺ τολμῶν.* Soph., notante Be., Oed. Col. 703.: *ὦ πάντα τολμῶν.* lepide Wolf.: Wie vermeinest du, *Alleszermalmer?* et in annot. subjecta: „Ein Wort Moses Mendelsohns von dem Königsbergischen Weisen.“ Kantium is dicebat.

371. (*κατα*) *κρημνάμεναι. κρεμάμεναι ἐκ τοῦ ἄερος.* S.

373. minus commode legitur *ὁ δ' ἀν. ἐστὶ τίς α., οὐχ ὁ Ζ.*, etc. ordo *οὐ δὲ ὁ Ζ. ἐστὶν ὁ ἀν. τις αὐτ., ὦ. φ.*;

374. sequ. *αἰθ. δῖνος. καὶ τοῦτο ἐθρυλλεῖτο παρὰ τοῖς Φυσικοῖς. τουτέστι δίνησις ἡ αἰθερία. ταῦτα δὲ ἐκ τῶν Ἀναξαγορείων* (?) *λαμβάνει.* — (*ἄλλως.*) *οὐχ, ὅτι τὴν δίνησιν ὑποβάλλει, ἐκ τούτου Δῖνος εἶπεν, ἀλλὰ κεραμοῦν ἐστὶ βαθὺ ποτήριον, ὃ καλεῖται δῖνος, ὅπερ ἄνω εὐρύτερον ὂν κάτω εἰς ὀξὺ λήγει.* idem ad Vesp. 593.: *δῖνος δέ ἐστιν ἀγγεῖόν τι κεράμειον, βάσιν οὐκ ἔχον, ἀλλὰ στρογγύλον κάτω.* (Be.: Athen. quoque l. 11. p. 467. commemorat inter pocula *δεῖνον* (*δῖνος* Eustath. 1207, 9.), qui nescio an idem sit. apparet autem, tale poculum in theatro positum fuisse, quasi statuam dei scil., ut res videretur magis ridicula: nam v. 1410., quasi

εἴπερ βάλλει τοὺς ἐπιόρκους, δὴν οὐχὶ Σίμων' ἐνέπρησεν,
οὐδὲ Κλεώνυμον, οὐδὲ Θέωρον; καίτοι σφόδρα γ' εἰσ' ἐπίορκοι·
ἀλλὰ τὸν αὐτοῦ γε νεὼν βάλλει, καὶ Σούνιον ἄκρον Ἀθηνῶν,
καὶ τὰς δρῦς τὰς μεγάλας· τί παθών; οὐ γὰρ δὴ δρῦς γ' ἐπιορκεῖ.

ΣΤ. οὐκ οἶδ'· ἀτὰρ εὖ σὺ λέγειν φαίνει. τί γάρ ἐστιν δῆθ' ὁ κεραυνός;

ΣΩ. ὅταν εἰς ταύτας ἄνεμος ξηρὸς μετεωρισθεὶς κατακλεισθῇ,
ἔνδοθεν αὐτὰς ὥσπερ κύστιν φυσᾷ, κἄπειθ' ὑπ' ἀνάγκης
ῥήξας αὐτὰς ἔξω φέρεται σοβαρὸς διὰ τὴν πυκνότητα,
ὑπὸ τοῦ ῥοίβδου καὶ τῆς ῥύμης αὐτὸς ἑαυτὸν κατακαίων.

ΣΤ. νὴ Δί' ἔγωγ' οὖν ἀτεχνῶς ἔπαθον τουτὶ ποτὲ Διασίοισιν.
ὤπτων γαστέρα τοῖς ξυγγενέσιν, κἄτ' οὐκ ἔσχων ἀμελήσας·
ἡ δ' ἄρ' ἐφυσᾶτ', εἶτ' ἐξαίφνης διαλακήσασα πρὸς αὐτὼ

577. Chorus porro invocat Phoebum, Dianam, Palladem, Bacchum. *Be.* S.: — *μιμεῖται δὲ τῶν διθυράμβων* (Ern., H.: *διθυραμβοποιῶν.*) *τὰ προοίμια. συνεχῶς γὰρ χρῶνται ταύτῃ τῇ λέξει· διὸ καὶ ἀμφιάναχτας αὐτοὺς ἐκάλουν. ἔστι δὲ Τερπάνδρου ἀμφί μοι αὖτε ἄναχθ' ἑκατηβόλον ᾠδέτω ἀ φρήν.* (ita H., cum sic legeretur: *ἀμφ' ἐμοὶ ἄναχτα ἑκατηβόλον.* Suid. v. *ἀμφιαναχτίζειν*: *ἀμφί μοι αὐτὸν* [fort. *αὖ τὸν*] *ἄναχθ' ἑκατηβ. φ.* φρ. „nomum Terpandri heroico carmine scriptum notavit Phot. cod. 239. p. 985., laudatus jam Küstero et Ernestio, qui propterea articulum addendum monuit. *αὖτε* autem pro *αὐτὸν* scribendum fuit. sic Periander ap. Suid. ibid.: *ἀμφί μοι αὖθις ἄναχτα.* et in Homer. hymno Solis, qui est 32: *ἤλιον ὑμνεῖν αὖτε, Διὸς τέκος ἄρχεο, Μοῦσα.*" *H.*) *λείπει δὲ τὸ ἔσο, ἢ τὸ χόρευσον, ἤ τι τοιοῦτον.* [*καὶ τὰ προοιμιάζεσθαι δὲ ἀμφιαναχτίζειν ἔλεγον.*] *εἰκότως δὲ κατὰ τὸν Ἥλιον* (566. seqq.) *ἀνυμνοῦσι τὸν Ἀπόλλωνα. ὅτι δὲ ὁ αὐτός ἐστιν Ἥλιος καὶ Ἀπόλλων, δῆλον.* (?) *τὸ δὲ αὖτε ἀντὶ τοῦ πάλιν· ὡσπερ γὰρ ἀναλαμβάνων πρὸς τὸ ἄνω λέγει ἀντίστροφον. — Κυνθ. πέτραν. περιφραστικῶς τὴν (τὸν) Κύνθον. ἔστι δὲ ὄρος Δήλου ἡ (ὁ) Κύνθος. τὸ δὲ ὑψικ. — ἀντὶ τοῦ ὑψηλήν. —* S. Strabo 10, 5.: *ἡ μὲν οὖν Δῆλος ἐν πελάγει κειμένην ἔχει τὴν πόλιν, καὶ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, καὶ τὸ Λητῶον. ὑπέρκειται δὲ τῆς πόλεως ὄρος ὑψηλὸν ὁ Κύνθος, καὶ τραχύ.* verba Pindari, quorum postrema duo protulit etiam Etymologus p. 504, 1. vide Schneideri fragm. Pindari p. 64. et Hemsterh. ad Plut. p. 311.

579. *μετὰ τὸν Ἥλιον εὐθὺς ἡ Ἀρτεμις, ἧς ἡ Ἔφεσος.* S. *πάγχρυσον δὲ οἶκον λέγει τὸν πολυτελέστατον ναὸν, ὃς ἦν εἷς* (ἓν) *τῶν ἑπτὰ θεαμάτων.* S. Junt. Victor. Mela 1, 17.: *ibi Ephesus, et Dianae clarissimum templum, quod Amasenes Asia potitae consecrasse traduntur.* cf. Strab. 14, 1., ed. Tauchnia. vol. 3. p. 174. seqq., Plin. 36, 14. Spanh. ad Callim. in Dian. 248. etc.

580. *Λυδῶν. — ὅτι τῆς Λυδίας τοπαλαιὸν ἡ Ἔφεσος.* S. hac de re vide, qui laudantur, Herod. 1, 142. et Jan. Rutgersii Var. Lect. 2, 1.

582. de *πολιοῦχῳ* Ern. laudat Hemsterhus. ad Plut. 260., 261. *ἡνίοχος αἰγίδος* audacius dicta vibrans sive tenens aegidem. B.

583. *Παρν.* vide, jubente Be., Ran. 1146., Eur. Ion. 648., seqq. Duker.: „Parnassi alterum jugum Apollini et Musis, alterum Baccho sacrum erat. v. Barnes. ad Eurip. Bacch. 307., 408., 559., Ion. 552., Herc. fur. 790." cf. inprimis Eurip. Phoen. 212. seqq.

σὺν πεύκαις σελαγεῖ,
Βάκχαις Δελφίσιν ἐμπρέπων, κωμαστὴς Διόνυσος!
Ἡνίχ' ἡμεῖς δεῦρ' ἀφορμᾶσθαι παρεσκευάσμεθα,
ἀντεπῴδ.
ἡ Σελήνη ξυντυχοῦσ' ἡμῖν ἐπέστειλεν φράσαι
πρῶτα μὲν χαίρειν Ἀθηναίοισι καὶ τοῖς ξυμμάχοις·
εἶτα θυμαίνειν ἔφασκε· δεινὰ γὰρ πεπονθέναι,
ὠφελοῦσ' ὑμᾶς ἅπαντας οὐ λόγοις, ἀλλ' ἐμφανῶς·
πρῶτα μὲν τοῦ μηνὸς εἰς δᾷδ' οὐκ ἔλαττον ἢ δραχμὴν,
ὥστε καὶ λέγειν ἅπαντας ἐξιόντας ἑσπέρας
„Μὴ πρίῃ, παῖ, δᾷδ', ἐπειδὴ φῶς σεληναῖον καλόν.“
ἀλλά τ' εὖ δρᾷν φησιν, ὑμᾶς δ' οὐκ ἄγειν τὰς ἡμέρας
οὐδὲν ὀρθῶς, ἀλλ' ἄνω τε καὶ κάτω κυδοιδοπᾷν,

584. σὺν πεύκαις. μετα δᾳδων. παρὰ τὸ Εὐριπίδειον Διόνυσος, ὃς πεύκαισι (imo θύρσοισι: vide Ran. 1146.) καὶ νεβρῶν δοραῖς Καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα Πηδᾷ χορεύων παρθένοις σὺν Δελφίσιν. — σελαγεῖ. μετὰ λαμπάδων καὶ πυρὸς χορεύει. (χορεύεις.) „cf. supra 283., Ach. 872., 873. Br.

585. Βάκχαις Δ. ἐμπρ. Bacchas inter Delphicas excellens. Ovid. Met. 3, 180.: circumfusaeque (Nymphae) Dianam corporibus texere suis; tamen altior illis Ipsa dea est, colloque tenus supereminet omnes. κωμ. ὅτι καὶ μεθύοντες βακχεύονται, καὶ ὥσπερ ἐκμαίνονται. S. sic dicitur ab orgiis et a saltationibus bacchicis. κωμάζειν dicitur de pompis sacris. κῶμος est Eurip. Phoen. 736., ubi de Baccho (Marte) sermo, estque εἶδος ὀρχήσεως, ut recte (?) scholl. cf. Hesych. h. v. et Wessel. ad Diod. Sic. 3. p. 145. Ern.

588. ἀρχαῖον ἦν ἔθος προτάσσειν ἐν ταῖς ἐπιστολαῖς χαίρειν. — S. τοῖς ξυμμ. quia Nubes actae sunt Dionysiis urbanis: vide Ach. 202., 467. seqq.

590. οὐ λόγοις, ἀλλ' ἐμφ. satirice dictum videtur in demagogos. Ern. si ita existimavit Ern. propter commemoratos λόγους, erravit: nam λόγῳ, λόγοις, et contra οὐ λόγῳ, οὐ λόγοις, dicitur, cum ficta veris opponuntur. vide Soph. Trach. 982., Phil. 55. etc. significat igitur οὐ λόγοις non specie.

591. εἰς δᾷδα, pro taeda. — οὐκ ἔλ. ἢ δρ. scil. ὠφελοῦσα, non minus drachma vos juvans, quam lucrifecistis.

593. σελ. vulgo σεληναίης, forma nominis tragica atque epica. 3 MSS. σεληναῖον, quod merito probavit H.

594, 5. καὶ εἰς ἄλλα φησὶν ἡμᾶς (ὑμᾶς) εὐεργετεῖν· οὐ παρατηρεῖν δὲ ὑμᾶς ἀκριβῶς τὰς κατὰ σελήνην ἡμέρας. κυδοιδ. συνταράττειν. γίνεται δὲ ἐξ ἑκατέρου. ἐὰν μὲν διὰ τοῦ κ(κυκοιδοπᾷν), παρὰ τὸ κυκᾶν· ἐὰν δὲ διὰ τοῦ δ (κυδοιδοπᾷν, ut Pac. 1087.), παρὰ τὸ κυδοιμόν. S. ταράσσειν, ἀνατρέπειν. καὶ γὰρ ἐν τῇ πρώτῃ ἡμέρᾳ τεταγμένον ἦν τὸν Δία τιμᾶν, ἐν δὲ τῇ δευτέρᾳ τὸν Ποσειδῶνα, καὶ τοὺς ἄλλους θεοὺς καθεξῆς· οὗτοι δὲ, ὅτε ἔδει τῷ Διὶ θύειν, τῷ Ποσειδῶνι ἔθυον· ὅτε δὲ τῷ Ποσειδῶνι, ἑτέρῳ θεῷ [ἔθυον], καὶ διὰ τοῦτο λέγει τὸ κυδοιδοπᾷν. S. Br. Recte Wieland. Att. Mus. 2, 3. p. 80. censet, Comicum more suo perstrinxisse Metonem, quem etiam in Avibus petierit. „Meton enim,“ inquit B., „non diu ante cyclum Metonicum 19. annorum invenerat, ex quo lunaris anni ratio cum solari rectius

ὥστ' ἀπειλεῖν φησιν αὐτῇ τοὺς θεοὺς ἑκάστοτε,
ἡνίκ' ἂν ψευσθῶσι δείπνου, κἀπίωσιν οἴκαδε
τῆς ἑορτῆς μὴ τυχόντες κατὰ λόγον τῶν ἡμερῶν.
κἄθ', ὅταν θύειν δέῃ, στρεβλοῦτε καὶ δικάζετε·
πολλάκις δ' ἡμῶν ἀγόντων τῶν θεῶν ἀπαστίαν,
ἡνίκ' ἂν πενθῶμεν ἢ τὸν Μέμνον', ἢ Σαρπηδόνα,
σπένδεθ' ὑμεῖς, καὶ γελᾶτ'. ἀνθ' ὧν λαχὼν Ὑπέρβολος
τῆτες ἱερομνημονεῖν κἄπειθ' ὑφ' ἡμῶν τῶν θεῶν

conciliari poterat, atque emendata erat anni dierumque festorum ratio. sed ita factum erat, ut saepe dies, qui olim sacer fuerat, nunc profestus esset, et contra; quae res multis displicuisse et comico ingenio Nostri opportunitatem jocandi dedisse videtur: qua quidem ille nunquam non lubentissime utitur. fortassis inter eos, qui Metoni atque novae annorum descriptioni favebant, excelluit Hyperbolus: unde eum in fine parabaseos poëta notavit, quippe qui, cum hieromnemon, h. e. primus inter legatos Athenn. ad concilium Amphictyonum, fuisset, lauream coronam, qua legatos illos ornatos redire oportebat, amiserit, id quod valde ignominiosum habebatur."

597, 8. *ψευσθ. ἀποτύχωσιν, ἢ μὴ δέξωνται τὰς θυσίας εὐτάκτως. κατὰ λ. τῶν ἡμ. διὰ γὰρ τὸ πλανᾶσθαι τὴν τάξιν τῶν ἡμερῶν ὑπερβαίνειν τὰς δεήσεις καὶ τὰς ἑορτὰς ἀνάγκη.* S.

599. *στρεβλοῦτε.* poena servorum, de qua ad Ran. 581., Plut. 871. *δικάζετε.* *φιλόδικοι* enim Athenn., quam pravam eorum libidinem tota Vesparum fabula Comicus perstrinxit. Equitum quoque 1217., annotante Spanh.: *καὶ τὰ δικαστήρια συγκλείειν, οἷς ἡ πόλις ἥδε γέγηθεν.* et Pac. 495.: *οὐδὲν γὰρ ἄλλο δρᾶτε πλὴν δικάζετε.*

600. *ἀπαστ. ἀγευστίαν, παρὰ τὸ πάσασθαι.* S. *νηστείαν, ἀσιτίαν.* gl. Br.

601. *Μέμνων καὶ Σαρπηδὼν, υἱοὶ ὄντες Διός, ἀποθανόντες ἐν Τροίᾳ, οὕτω παρὰ θεοῖς ἐτιμήθησαν, τοῦ πατρὸς νομοθετήσαντος, ὡς τὴν ἡμέραν, καθ' ἣν ἀπέθανον, ἐν πένθει καὶ νηστείᾳ τοὺς θεοὺς διάγειν κατ' ἔτος.* (scil. si fides habenda est Nubibus.) S. vide, si tanti est, de Memnone interpp. Apollodori 3, 11.; de Sarpedone autem Iliad. ζ', 196.; π', 419. seqq.; Diod. Sic. 5, 80.

602. *λαχών. εἰς τὴν σύνοδον τῶν Ἀμφικτυόνων πεμφθῆναι εἰς τὴν Πυλαίαν. κατὰ πόλιν δ' ἐπεμπον τοὺς θύσοντας καὶ συνεδρεύσοντας· καὶ ἦσαν οἱ πεμπόμενοι πυλαγόραι καὶ ἱερομνήμονες.* — S.

603. *τῆτες. ἐν τῷδε τῷ ἔτει.* (Ach. 15., Vesp. 387.) *οἱ δὲ Δωριεῖς σατὲς φασιν· ὅθεν σατανίους πυροὺς τοὺς μὴ τελεσφοροῦντας, ἀλλὰ πρὸ ὥρας θεριζομένους.* S. — sed etiam *ἡ τῆτες ἡμέρα dies, quae agitur*, dicta ap. Athen. 3. p. 98., ut Spanh. annotavit. — *ἱερομνημονεῖν.* ad concilium Amphictyonum, quod verno tempore ad templum delphicum, et initio autumni ad Cereris templum Thermopylis, ad sacra praecipue delphici templi atque oraculi curanda et commune jus Graecorum tutandum, congregabatur, a civitatibus Graeciae (quibus hoc jus fuit: nam 12 populi fuerunt amphictyonici, et in his Iones; sed suffragium duplex, quod his fuit, aut divisum est inter eos et Athenn., aut, quod probabilius est, Atheniensibus cessit. vide Barthelemy *Voyage du jeune Anach.* 2. p. 304. et [de Ste-Croix] *des anciens gouvern. fédératifs* p. 26 seqq. B.) mittebantur oratores, *πυλαγόραι* (dicti a Pylis, portis, seu Thermopylis, uti a Pylis concilium istud *Πυλαία* dictum est), quorum nomine ac numero antiquioribus tempp. *hieromnemones* comprehensi fuisse videntur, subsecutis vero tempp. ab

τὸν στέφανον ἀφῃρέθη· μᾶλλον γὰρ οὕτως εἴσεται
κατὰ σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέρας.

unica civitate ampliore seu populo plures quidem pylagorae [fere tres. B.], unus autem hieromnemon, qui in illo consessu super pylagoras eminuisse et ipsorum praeses fuisse videtur, ad commune concilium delegabantur. v. plura ap. Van Dale diss. 6. de concilio Amphict. (inter ejus Diss. 9. antiquitatibus et marmor. illustrandis inserv.) p. 430. seqq. adde Tim. v. ἱερομν., ibique Ruhnken. — *Harles.* κἄπειθ. hyperbaton: nam ordo hic est ἀνθ' ὧν καὶ λαχὼν Ὑπ. τῆτες ἱερομν. ἔπειτα ὑφ' ἡμῶν etc. istud καὶ ejusmodi est, ut omitti posse videatur salva sententia, quemadmodum 595. multisque aliis in locis; sed luxuriari Graecos in usu ejus particulae, cum alii docuerunt, tum Schäferus Melet. crit. p. 12.

605. idque e Solonis praescripto ap. Diog. Laërt. Solone p. 37. (Menag. I, 59.): ἠξίωσέ τε Ἀθηναίους τὰς ἡμέρας κατὰ σελήνην ἄγειν. — *Spanh.* cf. L. Ideleri *Histor. Untersuch. über die astron. Beob. der Alten.* p. 175. seqq.

ΣΩΚΡΑΤΗΣ. ΣΤΡΕΨΙΑΔΗΣ. ΧΟΡΟΣ.

ΣΩ. Μὰ τὴν Ἀναπνοὴν, μὰ τὸ Χάος, μὰ τὸν Ἀέρα,
οὐκ εἶδον οὕτως ἄνδρ' ἄγροικον οὐδένα,
οὐδ' ἄπορον, οὐδὲ σκαιὸν, οὐδ' ἐπιλήσμονα,
ὅστις σκαλαθυρμάτι' ἅττα μικρὰ μανθάνων
ταῦτ' ἐπιλέλησται πρὶν μαθεῖν. ὅμως γε μὴν
αὐτὸν καλῶ θύραζε δευρὶ πρὸς τὸ φῶς.

606. Senex multis quaestionibus inutilibus, et perperam ab illo intellectis, aliaque ratione vexatus a Socrate, ludicra absurdaque creditorum decipiendorum consilia artesque sibi videtur excogitasse; at propter stultitiam suadente Choro dimittitur. *Harles.* Est vulgo actus 2. scena 1. B. Socrates cum impetu e domo progredi et vociferari cogitandus est. *Wieland.* *Μὰ — τὸν Ἀέρα.* jurare solebant Athenn. antiquitus, lege Solonis, per tria numina, Jovem, Neptunum et Minervam, deinde per Jovem, Apollinem et Minervam, ut annotavit Spanh. ad Plut. 129.; nec alios deos *πατρῴους* coluit ipse Socr., id quod intelligas ex Plat. Euthyd. p. 302., quem locum idem Spanh. monstravit. „hic vero," inquit, „quod tangunt scholia, ut *ἄθσος*, jurare per *respirationem*, *chaos* et *aërem* inducitur. (cf. ann. ad 1182., 1401.) — supra 418. solos hosce tres deos agnoscendos tradit, *chaos*, *nubes* et *linguam*." addit vir doctissimus, eundem Socratem etiam per *canem*, *anserem* (vide annot. ad Vesp. 83., Plat. Ap. Socr. 7. etc.) et *platanum* jurare solitum esse, auctore Philostrato Vit. Apoll. 6, 10. p. 281.; (quo haud dubie irridebat Athenn. libentissime jurantes. *Beth.*) de *ἀναπνοῇ* autem et ejus causis disserere ap. Platonem Timaeo p. 78. sequ. „Pythagoras ap. Laërt. 8, 6.: *οὐ μὰ τὸν ἀέρα, τὸν ἀναπνέω.*" — *Be.*

608. *ἄπορον: ἀφυῆ.* gl. Br. *σκαιοὺς τοὺς ἀμαθεῖς καὶ δυσπαρακολουθήτους ἔλεγον, ἢ τοὺς μωρούς, ἀπὸ τῆς σκαιᾶς.* S.

609. *σκαλ. σκαλεύματα σμικρὰ καὶ λεπτὰ παντάπασι νοήματα καὶ μαθήματα, σκαριφήματα. ἔγκειται δὲ καὶ τὸ ἄθυρμα, οἱονεὶ παίγνια καὶ οὐδὲν ἀξιόπιστα. ἐκ τούτου δὲ διαβάλλει Σωκράτη, ὡς εὐτελῆ εἰσιν, ἃ διδάσκει, καὶ οὐδενὸς ἄξια λόγου.* S. thema est *σκάλλω*, unde *σκαλαθύρω*, *fodico*, quod in obscenis est: v. Eccl. 611. qui prunas fodiunt, scintillas pulveremque excitant: unde *σκαλαθυρμάτια* pro re quavis tenuissima. *Br.*

611. *πρὸς τὸ φῶς*, ut Timocles Comicus ap. Athen. 6. p. 245.: *ἀνοίγετ' ἤδη τὰς θύρας, ἵνα πρὸς τὸ φῶς Ὥμεν καταφανεῖς μᾶλλον.* Eurip. Phoen. 1449. *τί μ' — ἐξά-*

ποῦ Στρεψιάδης; ἔξει, τὸν ἀσκάντην λαβών.
ΣΤ. ἀλλ' οὐκ ἐῶσί μ' ἐξενεγκεῖν οἱ κόρεις.
ΣΩ. ἀνύσας τι κατάθου, καὶ πρόσεχε τὸν νοῦν.
ΣΤ. ἰδού.
ΣΩ. ἄγε δὴ, τί βούλει πρῶτα νυνὶ μανθάνειν
ὧν οὐκ ἐδιδάχθης πώποτ' οὐδέν; εἰπέ μοι.
πότερα περὶ μέτρων, ἢ περὶ ἐπῶν, ἢ ῥυθμῶν;
ΣΤ. περὶ τῶν μέτρων ἔγωγ'· ἔναγχος γάρ ποτε
ὑπ' ἀλφιταμοιβοῦ παρεκόπην διχοινίκῳ.
ΣΩ. οὐ τοῦτ' ἐρωτῶ σ', ἀλλ' ὅ τι κάλλιστον μέτρον
ἡγεῖ· πότερα τὸ τρίμετρον, ἢ τὸ τετράμετρον;
ΣΤ. ἐγὼ μὲν οὐδὲν πρότερον ἡμιεκτέου.

γαγες εἰς φῶς; Thesm. 74. θύραζε πρὸς τὸν ἥλιον. annot. Be.

612. ἔξει. ἀντὶ τοῦ ἐξελθε. ἔστιν εἶω, τὸ πορεύομαι· οὗ παράγωγον εἶμι. — τὸν ἀσκ. σκίμποδα. δίφρου εἶδος· ἢ τὸν κράβατον. S. Zonar. lex. 1. p. 311. ἀσκάντης: ἡ εὐτελὴς κλίνη, κάννην μὴ ἔχουσα." B.

613. haec nondum egressus, ita tamen, ut foribus apertis conspici possit, clamasse Streps. censendus est; tum paulo post cum lectulo exit. egressum jubet Socr. celeriter (ἀνύσας τι)deponere lectulum. B. frequentissimi quidem cimices (οἱ κόρεις. v. Camus ad Aristot. H. A. 2. p. 708. B.) in Graecia; sed tamen hoc quoque pertinet ad squalorem sordesque istorum philosophorum. cf. Ran. 115.

617. H. πότερον (sic Rav. et alii ll.) π. μ., ἢ ῥυθμῶν, ἢ περὶ ἐπῶν; neque aliter D. praeterquam quod retinuit πότερα, cujus πότερον est glossema. πότερα magis atticum et Aristophaneum: v. Br. ad 818. quidam MSS. ἢ ἐπῶν ἢ ῥυθμῶν. Paris. A et aliquot alii: ῥυθμῶν ἢ ἐπῶν. sed disjungenda non sunt μέτρα et ἔπη, quibus poësis significatur, sicut rhythmo musica, saltatio et generatim γυμναστική. cf. 626.—630. S.: καλῶς διέστησεν. οὐ γὰρ, εἴ τι μέτρον ἐστιν, ἤδη καὶ ἔπος· εἴ τι δὲ ἔπος, ἤδη πάντως καὶ ῥυθμὸς, καὶ μέτρον. σημειωτέον δ', ὅτι καὶ ταῦτα τῶν κυκλικῶν μαθημάτων, καὶ ὅτι πατὴρ μέτρου ῥυθμὸς, καὶ ὅτι ἀρχαία ἡ τῶν μέτρων καὶ ῥυθμῶν διδασκαλία. διαφέρει δὲ μέτρον καὶ ῥυθμός. haec verba διαφέρει — ῥυθμὸς, quae vulgo leguntur post μαθημάτων, hic posui monitu Hermanni.

618. ἀκούσας περὶ μέτρων ὁ Στρεψ. τὸ δημοτικὸν μέτρον, ᾧ μετροῦσι τὰ σπέρματα, σκαιῶς ὑπείληφε. διὸ περὶ μέτρων, φησιν, ἔγωγε. καὶ ἐκ τούτου διαβάλλει τὸν Σωκράτην, ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν· οὔτε γὰρ ποιητὴς ἦν, οὔτε μουσικοὶς. S. cod. D Paris.

619. ἄλφιτ. τοῦ ἀντικαταλλάσσοντος καὶ πιπράσκοντος ἄλφιτα. — οὕτω καὶ ἀργυραμοιβοὶ οἱ ἀντὶ ἀργυρίου κέρματα ἀμείβοντες. παρεκ. ἐζημιώθην· ἀντὶ τοῦ ἐπλάνησέ με τῇ μέτρων ποσότητι δύο χοίνικας. S. ἠπατήθην gl. Victor. διχοιν. μέτρῳ. cf. 622.

620. μέτρον. metra versuum Socr. intelligit; aridorum, praesertim farinae, Streps.

622. ἡμ. τοῦ τετραχοινίκου. ὁ γὰρ μέδιμνος χοίνικας ἔχει μή. τούτων τὸ ἕκτον ὀκτώ· τὸ ἥμισυ τοῦ ἕκτου, τουτέστι τῶν ὀκτὼ, τὰ τέσσαρα, ὃ καλεῖται τετράμετρον. ὁ οὖν ἡμίεκτος τέσσαρας ἔχει χοίνικας. (choenix κατ' ἐξοχὴν mensura vocatur [paulo pluris quam duarum librarum. vide Romé de l'Isle Metrolog. Tafeln, ex interp. Grossii p. 90. B.], quia tantum frumenti continet, quantum homini satis sit ad diurnum victum. E Br. cf. Vesp.

ΣΩ. οὐδὲν λέγεις, ὦνθρωπε.
ΣΤ. περίδου νῦν ἐμοί,
εἰ μὴ τετράμετρόν ἐστιν, ἡμιεκτέου.
ΣΩ. ἰὼ Κόρακες, ὡς ἄγροικος εἶ καὶ δυσμαθής!
ταχύ γ' ἂν δύναιο μανθάνειν σὺ περὶ ῥυθμῶν.
ΣΤ. τί δέ μ' ὠφελήσουσ' οἱ ῥυθμοὶ πρὸς τἄλφιτα;
ΣΩ. πρῶτον μὲν εἶναι κομψὸν ἐν ξυνουσίᾳ,
ἐπαΐονθ', ὁποῖός ἐστι τῶν ῥυθμῶν
κατ' ἐνόπλιον, χὠποῖος αὖ κατὰ δάκτυλον.

688., Lys. 1131. ἔπαιξε δὲ πάλιν εἰπὼν οὐδὲν κάλλιον ἡγοῦμαι ἡμιεκτέου μέτρου, τουτέστι τεσσάρων χοινίκων. — S.

623. οὐδὲν λέγεις, nugaris. nota locutio. cf. 757., 1054. — περίδου νῦν ἐμοί. ἀντὶ τοῦ συνθήκας ποίησον. παρὰ τὸ Ὁμηρικὸν (Iliad. ψ', 485.) δεῦρό γε νῦν (δεῦρό νυν ἢ) τρίποδος περιδώμεθα. — S. περίδου, ut ἀπόδου Ran. 1170. (quanquam ibi scriptum est in melioribus libris ἀπόδος: sed vide Matth. gr. §. 208, 1.), a περίδομαι, unde Equ. 740. ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι (pignus dare). Ex Br.

624. ἡμιεκτέου plures MSS., Porson., H. ed. 2. Suid. quoque ἡμιεκταίου, h. e. ἡμιεκτέου, v. περίδου. vulgo: εἰ μὴ τετράμετρόν ἐστιν ἡμιεκτέον, quod vel dicendum fuit, observante H., εἰ μὴ τὸ τετράμετρόν ἐ. ἡμ., ut est in Mutin. a., quem librum versavit Bekkerus, vel εἰ μὴ τετρ. ἐστι θἡμιεκτέου. scriptor prologi Casinae Plaut. 75.: id ni fit, mecum pignus, si quis volt, dato In urnam mulsi. et ipse Plautus Epid. 5, 2, 35.: ni ergo matris filia est, In meum numum, in tuum talentum, pignus da etc. ita Streps. Socratem pignus dare jubet in ἡμιεκτέου frumenti seu farinae.

626. σὺ plures ll. stupore senis deterritus Socr. omittit exponere de metris, quae cum finita sint, rhythmi autem infiniti, nec pro cujusque captu, per ironiam, „Facile tu," inquit, „disceres doctrinam rhythmorum," qui ne metra quidem intelligas.

627. πρὸς τἄλφ. cf. 176.

628. κομφόν. ἀντὶ τοῦ πιθανόν, καὶ εὔχαριν, ἐν συνόδῳ καὶ τῇ πρὸς ἑτέρους κοινωνίᾳ. S. cf. ann. ad 1126.

629. vulgo: εἶτ' ἐπαΐειν, ὁποῖός ἐστι etc. ἐπαΐονθ' Bekker. et H. 2. ed. secundum Rav., in quo libro post Invernizzium repererunt, quod ille aut neglexit, aut celavit, ἐπαΐοντ'. observavit H., eam usitatam hujus verbi mensuram esse ap. poëtas atticos, in his ipsum Aristoph. Vesp. 498., corripere tamen eos primam in iis metris, quae ad heroici versus exemplum formata sunt. gl.: ἐπαΐειν, αἰσθάνεσθαι (sentire, intelligere).

630. κατ' ἐνόπλιον. ὁ μετὰ δύο δακτύλους ἔχων σπονδεῖον κατὰ τὸ πάλιν, καὶ πάλιν. (?) οἷον (Iliad. α' 357.) ὣς φάτο δάκρυχέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ. („cf. schol. Hephaest. p. 91., ed. Gaisford. p. 178." H.) λέγοιτο δ' ἂν ἴσως κατ' ἐνόπλιον διὰ τὸ πρέπειν μὲν ῥυθμὸν τοιοῦτον καὶ τοῖς ἄλλοις κινουμένοις μετὰ συντονίας, ἐπι πλέον δὲ τοῖς μεθ' ὅπλων σεμνῶς πηδῶσι καὶ πυῤῥιχίζουσι. S. Junt. Victor. Xenoph., annotante Spanh., Anab. 5, 9, 11. edit. Schneider., de Mantinensibus Arcadibus. — ἐξοπλισάμενοι ὡς ἐδύναντο κάλλιστα, ἦσαν τε ἐν ῥυθμῷ πρὸς τὸν ἐνόπλιον ῥυθμὸν αὐλούμενοι. — S.: ὁ κατὰ δάκτυλον ῥυθμός ἐστιν ὁ ἐν ἴσῳ λόγῳ etc. λόγῳ pro λόγος H. secundum Meibom. ad Aristid. Quintil. p. 261. „ἴσον λόγον vocant," inquit, „si altera pars pedis prioris mensuram aequiparat, quod est in

ΣΤ. κατὰ δάκτυλον; νὴ τὸν Δί', ἀλλ' οἶδ'.
ΣΩ. εἰπὲ δή.
ΣΤ. τίς ἄλλος ἀντὶ τουτουὶ τοῦ δακτύλου;
πρὸ τοῦ μέν, ἔτ' ἐμοῦ παιδὸς ὄντος, οὑτοσί.
ΣΩ. ἀγρεῖος εἶ, καὶ σκαιός.
ΣΤ. οὐ γὰρ, ὠζυρέ,
τούτων ἐπιθυμῶ μανθάνειν οὐδέν.
ΣΩ. τί δέ;
ΣΤ. ἐκεῖν', ἐκεῖνο, τὸν ἀδικώτατον λόγον.
ΣΩ. ἀλλ' ἕτερα δεῖ σε πρότερα τούτων μανθάνειν·
τῶν τετραπόδων ἄττ' ἐστὶν ὀρθῶς ἄρρενα. . . .
ΣΤ. ἀλλ' οἶδ' ἔγωγε τἄρρεν', εἰ μὴ μαίνομαι·
κριὸς, τράγος, ταῦρος, κύων, ἀλεκτρυών.
ΣΩ. ὁρᾷς ἃ πάσχεις; τήν τε θήλειαν καλεῖς
ἀλεκτρυόνα κατ' αὐτὸ καὶ τὸν ἄρρενα.

dactylo et anapaesto. vide schol. Hephaest. p. 11." W.: „Der Daktylos ist ἐν ἴσῳ λόγῳ, das ist in geradem Takt; der ἐνόπλιος im ungeraden, dem Tanz mit angeschlagenen Waffen angemessen, da der daktylische Rhythmus mehr schreitend ist. Die Angaben der Scholiasten vom enoplischen Vers helfen uns hier nichts, wenn sie auch richtig sind. Streps. soll nur das Allgemeinste lernen, wie es sich jedem Ohr zu unterscheiden bietet, und darunter verstehe ich in diesem Fall den geraden und ungeraden Takt." annotavit H. Voss., genus quoddam saltationis moderatioris, quod appellatum fuerit ὁ δάκτυλος, commemorari ab Athenaeo 14. p. 629. (d. τὰ δὲ στασιμώτερα, καὶ ἀποικιλώτερα [ita Coraës pro ποικ.], καὶ τὴν ὄρχησιν ἁπλουστέραν ἔχοντα [scil. εἴδη ὀρχήσεως], καλεῖται δάκτυλοι [Casaub. δάκτυλος], ἰαμβικὴ, Μολοσσικὴ ἐμμέλεια, κόρδαξ, etc.)

632. — δεικνύει τὸν μέσον δάκτυλον (digitum infamem, quo sannas faciunt, qui digitus etiam sequente versu intelligendus est.) αἰσχρῶς. οὐδεὶς φήσει, ὡς (H. οὐδεὶς, φησὶν), ἔστιν ἄλλος ἀντὶ τούτου τοῦ δακτύλου· καὶ γὰρ παιδίῳ μοι ὄντι πάλαι ὁ αὐτὸς ἦν, καὶ νῦν δὲ γεγηρακότι. S. male gl. Victor.: τουτουί. τὴν πόσθην αὐτοῦ ἔδειξε.

634. αἰ ξυρὲ, ut Vesp. 1452. et ὠζυρὰ Vesp. 883. *Be.*

637. ἕτερα. scilicet grammaticam et rhetoricam. Socratem magno studio grammaticae incubuisse, vel unus Platonis Cratylus indicio est. Plut. de genio Socratis c. 12.: ἄκρος διαλέγεσθαι καὶ κρατεῖν ὀνομάτων. — *W.* hic quidem grammatice delirans inducitur.

638. ὀρθῶς. ἀληθῶς.

640. versus caesura carens, quales apud ipsos Comicos raro invenias. fortasse ponendum est ταῦρός τε. ἀλεκτρ. ἔπαιξε τὴν ἀλεκτρυόνα ὡς τετράπουν (?) καταριθμήσας. — S. in cantico quidam vulgari stupor Helvetius, cui 3 aves nominandae sunt, in illis nominat vaccam. (*Dulle, Chruie, Chue.*)

641. ὁρᾷς ἃ π.; *viden', quid tibi eveniat, quid facias? πάσχω est hic pro πράττω. E Spank.* cf. supra 234. et Harlesio laudatum Stoeberum ad Thom. Mag. 733.

642. κατ' αὐτὸ, κατὰ τοῦτο, *secundum hoc*, quod dixisti. ita Dorvill. liber. Harl. quoque ap. Porsonum κατανὸ, nec aliter in ordine quidem Barocc. 127., sed

ΣΤ. πῶς δή; φέρε.
ΣΩ. πῶς; ἀλεκτρυὼν, κἀλεκτρυών.
ΣΤ. νὴ τὸν Ποσειδῶ! νῶν δὲ πῶς με χρὴ καλεῖν;
ΣΩ. ἀλεκτρύαιναν, τὸν δ' ἕτερον ἀλέκτορα.
ΣΤ. ἀλεκτρύαιναν; εὖ γε νὴ τὸν Ἄέρα,
ὥστ' ἀντὶ τούτου τοῦ διδάγματος μόνου
διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.
ΣΩ. ἰδοὺ μάλ' αὖθις τοῦθ' ἕτερον· τὴν κάρδοπον
ἄῤῥενα καλεῖς, θήλειαν οὖσαν.
ΣΤ. τῷ τρόπῳ
ἄῤῥενα καλῶ 'γὼ κάρδοπον;
ΣΩ. μάλιστά γε,
ὥσπερ γε καὶ Κλεώνυμον.
ΣΤ. πῶς δή; φράσον.
ΣΩ. ταὐτὸν δύναταί σοι κάρδοπος Κλεωνύμῳ.
ΣΤ. ἀλλ', ὦ 'γάθ', οὐδ' ἦν κάρδοπος Κλεωνύμῳ,
ἀλλ' ἐν θυείᾳ στρογγύλη γ' ἀνεμάττετο.
ἀτὰρ τολοιπὸν πῶς με χρὴ καλεῖν;
ΣΩ. ὅπως;

suprascriptum habet τα, vulgatam significans scripturam κατὰ ταυτό. ea offensus H. propter subjectum tribracho anapaestum ita scripsit ἀλεκτρυόνα, καὶ ταὐτὸ ταὶ τὸν ἄῤῥ.

643. ΣΩ. πῶς; recte: neque enim hoc est quaerentis, sed verbum, quo alter usus erat, repetentis cum admiratione et contemtu. Eurip. Phoen. 1625. ἰὼ ἰὼ δεινὰ, δεῖν' ἐγὼ τλάς! AN. τί τλάς; τί τλάς; ibi schol. Guelf.: τί λέγεις τοῦτο τὸ τλάς; annotavitque etiam Porsonus, Oedipi verbum repetere Antigonen. igitur non est quod scribendum censeamus ὅπως; ut quidem legitur in 6. codice Dobraei. alia est ratio versuum 656, 669.

645. ἀλεκτρύαιναν, ut λέων λέαινα, θεράπων θεράπαινα. inusitata forma, quod pace scholiastae recentioris dixerim; sed usitatum ἀλεκτορὶς, de que evolvi jubent Athen. 9, 4. t. 3. p. 382. ed. Schweigh., et Eustath. p. 1479.

646. νὴ τὸν Ἄέρα. μιμεῖται καὶ αὐτὸς τοὺς φιλοσόφους, καὶ κατὰ τοῦ ἀέρος ὄμνυσιν. S. cf. 606 etc.

648. διαλφιτοῦν est farina prorsus implere. de v. κάρδοπος (quam vocem B. idem significare alt quod μάκτραν Ran. 1094.) vidd. Hesych. et Zonar. 2. p. 1152. B. cf. 1104.

650. ἄῤῥενα terminatione. „vult autem nomina appellativa ad normam nominum propriorum redigere, quae in ος desinentia masculina sunt. — hoc δίδαγμα repetit Streps. 1202, sequ." — Be. cf. 658, 670.

652. de Cleonymo vide seqq. et supra 347.

653. ταὐτόν. οἷον τὸ αὐτὸ γένος. σημαίνει δὲ τὴν κατάληξιν. — ἅμα δὲ καὶ ὡς γυναικώδη σκώπτει τὸν Κλεώνυμον, καὶ ὡς ἀδηφάγον διασύρει, τῷ ἁλφίτων δεκτικῷ λέγων ὅμοιον. τῶν πολιτευομένων δὲ εἷς ἦν. — S.

655. ἀδηφαγίας ὑπερβολή. (?) ὡς πένητα δὲ καὶ παράσιτον διαβάλλει αὐτὸν, καὶ ἀποροῦντα μάκτρας. μάκτρα (imo μικρὰ) δὲ ἡ θυεία, (perperam Ernest.: μάκτρα δὲ ἡ

τὴν καρδόπην, ὥσπερ καλεῖς τὴν Σωστράτην.
ΣΤ. τὴν καρδόπην θήλειαν;
ΣΩ. ὀρθῶς γὰρ λέγεις.
ΣΤ. ἐκεῖνο δ' ἦν ἂν καρδόπη Κλεωνύμη.
ΣΩ. ἔτι δὴ περί γε τῶν ὀνομάτων μαθεῖν σε δεῖ,
ἅττ' ἄῤῥεν' ἐστὶν, ἅττα δ' αὐτῶν θήλεα.
ΣΤ. ἀλλ' οἶδ' ἔγωγ', ἃ θήλε' ἐστίν.
ΣΩ. εἰπὲ δή.
ΣΤ. Λύσιλλα, Φίλιννα, Κλειταγόρα, Δημητρία.
ΣΩ. ἄῤῥενα δὲ ποῖα τῶν ὀνομάτων;
ΣΤ. μυρία·
Φιλόξενος, Μελησίας, Ἀμυνίας.
ΣΩ. ἀλλ', ὦ πόνηρε, ταῦτά γ' ἔστ' οὐκ ἄῤῥενα.
ΣΤ. οὐκ ἄῤῥεν' ἐν ὑμῖν ἐστίν;
ΣΩ. οὐδαμῶς γ', ἐπεὶ
πῶς ἂν καλέσειας ἐντυχὼν Ἀμυνίᾳ;
ΣΤ. ὅπως ἄν; ὠδί, „δεῦρο, δεῦρ', Ἀμυνία!"
ΣΩ. ὁρᾷς; γυναῖκα τὴν Ἀμυνίαν καλεῖς.
ΣΤ. οὔκουν δικαίως, ὅστις οὐ στρατεύεται;
ἀτὰρ τί ταῦθ', ἃ πάντες ἴσμεν, μανθάνω;

μικρα θυεία.) ἡ δὲ κάρδοπος μεγάλη. S. de θυείᾳ cf. Pac. 228. tundebatur in mortario τὸ μυττωτὸν (Ach. 174.), moretum, a quo nomen habere creditur mortarium, quod vel lapideum vel ligneum fuisse ait H. Voss.

657. τὴν Σωστ. πάλιν ἐνταῦθα ὁ ποιητὴς σκώπτει τὸν Σώστρατον, Σωστράτην εἰπὼν, διότι λίαν ἀσελγὴς ἦν καὶ θηλυδρίας. Junt., Victor. vereor ne hoc confictum sit a scholiaste, etsi non minus usitatum est nomen Sostrati quam Sostratae. certe sic imminuitur lepor nominis Κλεωνύμη 659.

658. vulgo: — θήλ. ὀρθότερον λέγεις. Ἐκεῖνο etc. Rav. et Venet.: — θήλειαν. ὀρθῶς γὰρ λέγεις. Ἐκεῖνο etc. immissae personae ab Hermanno, qui praeterea nunc scripsit τὴν καρδ.; θήλειαν;

659. *foret hoc igitur* mactra Cleonyma, *foret igitur dicendum* mactra Cleonyma. etiam hoc dicto verberat hominem gulosum.

660. ita 1. Cantabr., ut καὶ ἀπό γε τῆς ἡμετέρας ap. Xenoph. Cyrop. 7, 1, 6. et innumera ejusmodi ap. alios. minus necessarium librariis visum γὲ vel omissum est in plerisque codd., vel transpositum, ut scriberetur ἔτι γε περὶ τῶν, ἔτ' ἔτι γε περὶ τῶν, ἔτι δῆ γε περὶ τῶν, quae quidem vulgata scriptura est. sed δή γε vix invenias (cf. inferius 767.). Hermanno nunc placuit δὴ δὲ, ut Eccles. 195., 314. D. ed. Didot. ἓθ' ἕν τι π. τῶν etc.

667. ἐν ὑμῖν, ap. vos.

670. γυν. τὴν Ἀμ. πρὸς τὴν κατάληξιν τοῦ ὀνόματος ἔπαιξε, καὶ εἰς διαβολὴν τοῦ ἀνδρός. ἐνταῦθα μὲν εἰς δειλίαν μόνον καὶ μαλακίαν· Κρατῖνος δὲ ἐν Σεριφίοις (sic H. pro Σερίφοις) ὡς ἀλαζόνα, καὶ κόλακα, καὶ συκοφάντην· Εὔπολις δὲ ὡς παραπρεσβευτὴν, ὅπερ καὶ ἐν τοῖς Σφηξὶ (1225.) φαίνεται. S. cf. Vesp. 74.

ΣΩ. οὐδὲν μὰ Δί'· ἀλλὰ κατακλινεὶς δεῦρὶ . . .
ΣΤ. τί δρῶ;
ΣΩ. ἐκφρόντισόν τι τῶν σεαυτοῦ πραγμάτων.
ΣΤ. μὴ δῆθ', ἱκετεύω σ', ἐνθάδ', ἀλλ', εἴπερ γε χρή,
χαμαί μ' ἔασον αὐτὰ ταῦτ' ἐκφροντίσαι.
ΣΩ. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα.
ΣΤ. κακοδαίμων ἐγώ,
οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερα!
ΧΟ. φρόντιζε δή, καὶ διάθρει, πάντα τρόπον τε σαυτὸν Eupol. στ.
στρόβει πυκνώσας· i. h.
ταχὺς δ', ὅταν εἰς ἄπορον πέσῃς, ἐπ' ἄλλο πήδα as., amph. tr. et ith.
νόημα φρενός· ὕπνος δ' ἀπέστω i. d. h.
γλυκύθυμος ὀμμάτων. i. d. br.

673. *οὐδὲν*, *nullo pacto*, ut *οὐδέν γε* Av. 1269. Socr. illam nominum recte formandorum doctrinam minime notam esse omnibus contendit. *H.* κατακλ., ut Vesp. 1171. participium aor. 2. pass., quo Be. usitatius esse ait aoristi 1., velut κλιθείς nunc habetur ap. Eurip. Herc. fur. 865., ut ap. Pindarum Nem. 4, 25. etc. S.: τοῦτο κοινόν· τὸ γὰρ κατακλιθείς ἀττικόν. (*ἰωνικῶς δὲ* κατακλινθείς. Junt.)

677. *οὐκ — ἄλλα. εἰ μὴ ἐπὶ τοῦ ἀσκάντου σκέψῃ. τοῦτο, φησὶ, πάντως δέδοκται· οὐκ ἀνίημί σε εἰδότα ποιῆσαί τι.* S. „his dictis Socr. intro abire putandus est, et redire 699." H. ceterum cf. Vesp. 1129., Pac. 110. nostrates: *es ist nicht anders.*

677.—79. *ἐκάθισεν αὐτὸν ἐπὶ τοῦ ἀσκάντου.* (vulgo *τήμερον*. sed S. vetus *τήμερα. ὡς ἐν Ὀλκάσιν, ἰὼ Λακεδαίμων, τί ἄρα πείσῃ τήμερα;* —) *τὸ δὲ δὴ ἰσοδυναμεῖ τῷ νῦν* (*jam.* vide H. ad Viger. annot. 496.) — S. 679. Chori personam pro Socratis adscripsi, Dindorfio atque Hermanno auctoribus. animadvertit H., haec respondere versibus 780—784., cumque duobus versibus longiorem videret antistropham, hic lacunam esse existimavit post 683., quae nulla est, sed ridicule his strophis 785. epodum Comicus subjecit, duobus tantum versibus constantem, quibus sententia superiorum absolvitur, ut Eurip. Hecub. 612, 885. et alias. — primi harum stropharum versus et priapeis similes sunt, et illis, quos commemorat Hephaestio cap. 15. pag. 100 sequ. ed. Gaisford., qui cum a choriambo incipiant, hic pro eo pede compar usurpatus est dijambus, rursusque secundo loco choriambus pro dijambo, qui illic est, velut isto versu: *Σίμαλον εἶδον ἐν χορῷ πηκτίδ' ἔχοντα καλήν.* Hephaestion ibidem de Eupolide: *πῇ δὲ καὶ ἄλλοις*, inquit, *ἐχρήσατο λίαν ἀτάκτοις σχήμασι.* cf. 926. sequ. — *διάθρει*, ut Equ. 506. *τοὺς ἀνέμους διαθρῆσαι.* verbum simplex inferius 707. et alias non semel posuit Comicus. vide Be.

680. *στρόβει. ἀνάκρινε, καὶ δοκίμαζε· περίφερε τῇδε κἀκεῖσε ἐπὶ πολλὰ, πυκνόν τι καὶ συνετὸν ποιήσας, καὶ φρόνιμον σκεψάμενος.* S. *πυκνώσας. συναγαγὼν πάντα τὸν νοῦν σου.* gl. codicis E Paris.

681. — *ἄπορον, οὐ λύσιν οὐκ ἐστιν εὑρεῖν. καθάπτεται δὲ τοῦ Σωκράτους, ὡς καὶ αὐτοῦ ἐπὶ ταῖς ζητήσεσιν οὕτω ποιοῦντος. ὅταν*

ΣΤ. ἀτταταῖ, ἀτταταῖ! cr. d.
685 ΧΟ. τί πάσχεις; τί κάμνεις; ba. d.
ΣΤ. ἀπόλλυμαι δείλαιος· ἐκ τοῦ σκίμποδος i. tr.
δάκνουσί μ' ἐξέρποντες οἱ Κορίνθιοι,
καὶ τὰς πλευρὰς δαρδάπτουσι, sp. d.
καὶ τὴν ψυχὴν ἐκπίνουσι,
690 καὶ τοὺς ὄρχεις ἐξέλκουσι,
καὶ τὸν πρωκτὸν διορύττουσι,
καί μ' ἀπολοῦσι. sp.
ΧΟ. μὴ νῦν βαρέως ἄλγει λίαν. a. d.
ΣΤ. καὶ πῶς, ὅτε μου φροῦδα τὰ χρήματα,
695 φρούδη χροιὰ, φρούδη ψυχὴ,
φρούδη δ' ἐμβὰς, καὶ πρὸς τούτοις
ἔτι τοῖσι κακοῖς φρουρᾶς ἄδων

γὰρ στενοχωρῆται καὶ ἀπορῇ, μεθίσταται εἰς ἕτερον. — S. metrum cognitum ex Av. 881.

684. vulgo bis *ἰαττατaί*. Vened. *ἀττατaί*. Rav. bis *ἀττατaῖ*. vide Herodianum *περὶ μονήρους λέξεως* p. 27, 13. *H.*

685. recte H. et h. l. et 693. adscripsit personam Chori pro Socratis.

687. *δέον οἱ κόρεις εἰπεῖν, Κορίνθιοι εἶπεν, ἐπειδὴ οἱ Ἀθηναῖοι καὶ οἱ Κορίνθιοι κατ' ἐκεῖνο καιροῦ πόλεμον εἶχον, καὶ οἱ Κορτὰ τῆς Ἀττικῆς ἐδήουν.* (?) — schol. Br. germanice dicas *die Wanzenmauer.* Voss.: *dies Scharwenzelpack.*

688.—692. ita Rav., ex quo intelligas, hos versus esse spondaicos, affectui senis cruciati mire aptos. quos pro anapaestis habentes alii librarii scripserunt *δαρδάπτουσιν, ἐκπίνουσιν, ἐξέλκουσιν, διορύττουσιν*, icta metrico ferientes continuorum verborum finales syllabas non acutas et per se breves, quod invenustum indignumque artifice, qualis est hic noster. — annotavit H., his verbis significari libidinem Corinthiorum, de qua cf. Thesm. 613. Be.: *δαρδ., lacerando vorant.* propr. de bestiis, inquit Hesych. Hippocr. Ep. 12.: *λύκος δὲ δαρδάψας τὸ προσπεσὸν τῆς ἀναγκαίας τροφῆς ἀναπέπαυται.*

689. *ψυχήν. sanguinem, animae vehiculum.* Soph. El. 746. *τοὐμὸν ἐκπίνουσ' ἀεὶ Ψυχῆς ἄκρατον αἷμα.* Be.

694. *φροῦδα, ἀφανῆ*, ut Ran. 298., Thesm. 651. etc. Moeris: *φροῦδος ἀττικῶς· ἄφαντος, ἀφανὴς, ἑλληνικῶς.* cf. Spanh. Be.: *φρ. χροιά.* supra 490. quaerebat Streps., si diligenter studeret, cuinam discipulorum Socratis futurus esset similis; cumque audivisset, se Chaerephonti similem fore: „ergo semimortuus ero," inquit. itaque hic apparet, eum sedulo navasse operam litteris: nam amisit colorem, quamvis retinuerit pristinam stoliditatem. infra 1125. ex colore Philippidis mutato colligit Streps., eum magnos profectus fecisse in rhetorica.

695. *ψυχή.* quam exsorbuerunt cimices. vide 689. S.: *φρ. δ' ἐμβάς. μέχρι τοῦ εὐτελοῦς κτήματος. τοῦτο δὲ εἶπε διὰ τὸ ὑπολελύσθαι τὰς ἐμβάδας, ὅτε ἀπεδύετο μέλλων εἰσιέναι εἰς τὸ φροντιστήριον.* (485.)

697. *φρ. ἄδων. οἱ φρουροῦντες ἐν τῷ πολέμῳ διὰ τὸ καρφυθεῖσθαι αὐτῶν τὴν ὀφρυπνίαν ᾠδον, καὶ οὕτως ἦν λεγόμενον ἐπὶ τῶν ἀγρυπνούντων φρουρᾶς ᾄδειν.*

ὀλίγου φροῦδος γεγένημαι; a. par.
ΣΩ. οὗτος, τί πάσχεις; οὐχὶ φροντίζεις;
ΣΤ. ἐγὼ i. tr.
νὴ τὸν Ποσειδῶ.
ΣΩ. καὶ τί δῆτ' ἐφρόντισας;
ΣΤ. ὑπὸ τῶν κόρεων εἴ μού τι περιλειφθήσεται.
ΣΩ. ἀπολεῖ κάκιστ'!
ΣΤ. ἀλλ', ὦ 'γάθ', ἀπόλωλ' ἀρτίως.
ΣΩ. οὐ μαλθακιστέ', ἀλλὰ περικαλυπτέα·
εὑρητέος γὰρ νοῦς ἀποστερητικὸς,
κἀπαιόλημ'.
ΣΤ. οἴμοι, τίς ἂν δῆτ' ἐπιβάλοι
ἐξ ἀρνακίδων γνώμην ἀποστερητρίδα; —
ΣΩ. φέρε νυν, ἀθρήσω πρῶτον, ὅ τι δρᾷ, τουτονί. —
οὗτος, καθεύδεις;
ΣΤ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔκ.
ΣΩ. ἔχεις τι;

8. φρουρᾶς. ἕνεκα. παροιμία ἐπὶ τῶν ἀγρυπνούντων. gl. Br.

698. ὀλίγου. ὀλ. δέων vel ὀλ. δεῖν, paene. vide Be. ad h. l. et cf. Vesp. 799.

699. vulgo: τί ποιεῖς; sed C Paris.: τί ποιεῖς; τί πάσχεις; quod esse videtur ejus, qui rejectae scripturae emendatam adderet, altera non deleta, more notissimo librariorum. recte Ern.: „τί ποιεῖς; glossae similius quam τί πάσχεις; infra 767. τί πείσομαι; quid agam?" idem 789. dicitur τί χρῆμα πάσχεις; cf. Vesp. 266. sequ. etc. — B.: φροντίζεις, meditaris. ἐγὼ Νὴ τὸν Ποσ. ita Wolf., quod usitatius diceretur ἔγωγε νὴ τ. Ποσ. cf. 799. minus recte alii: ἐγώ; N. τ. Π.

702. ἀπ. ἀρτίως. ὑπὸ τῶν κόρεων δηλονότι. ἐπειδὴ Σωκρ. εἶπεν ἀπολεῖ, ὅ ἐστι μέλλεις ἀπολέσθαι, αὐτὸς λέγει, ἅ τι ἀπόλωλ' ἤδη. S.

704. τοὺς ἀπ. est commentum ad defraudandos alios spectans. B.

705. κἀπ. ἀπάτη καὶ πανουργία. gl. Br. Aeschyl. Cho. 1002. ξένων ἀπαιόλημα. ubi scholia: ἀπ., ἀπάτημα. (vid. ad eum l. Blomfield. in gloss.) — *Spanh.* ab ἀπαιολεῖν, quo utitur Eurip. Ion. 489. (τοῦτο κἄμ' ἀπαιολεῖ, hoc et me in errorem ducit), aut ab ἀπαιολᾶν, quod Hesych. exponit per παραλογίζεσθαι. est autem ab ἀπαιόλη, quod idem exponit ἀπάτη, ἀποστέρησις, et legitur infra 1108. *Be.*

706. ἀρνακὶς λέγεται τὸ τοῦ ἀρνὸς κώδιον. ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι. (ἄλλως.) δέον εἰπεῖν τίς ἄν μοι περιβάλοι ἐξ ἀρνακίδων σισύραν; ἔπαιξε etc. S. — παίζει ἐνταῦθα, γνώμην ἐξ ἀρνακίδων εἰπὼν ἀποστερητίδα (sic), ἤγουν γνώμην ἐξ ἀρνήσεως καὶ ἀποστερήσεως. — S. Br. „ἀποστ. sic A, C. („id Personus ap. Suid. MS. in v. ἀποστερητίδα et ἀρνακίδα invenit." *H.*) vulgo ἀποστερητίδα. priori formae magis favere videtur analogia. sic ab aliis verbalibus masculinis in της fiunt feminina in τρις, αὐλητὴς αὐλητρὶς, ὀρχηστὴς ὀρχηστρὶς, ἀποστερητὴς ἀποστερητρίς." — *Br.* Post haec dicta Streps., involutus stragulis, rursus paululum quievisse videtur. interea inambulat Socr., et aliquo tempore interjecto accedit ad illum, visurus, utrum dormiat. *Wieland.* et *Schütz.*

ΣΤ. μὰ Δί' οὐ δῆτ' ἔγωγ'.
ΣΩ. οὐδὲν πάνυ;
ΣΤ. οὐδέν γε πλὴν ἢ τὸ πέος ἐν τῇ δεξιᾷ.
ΣΩ. οὐκ ἐγκυλυψάμενος ταχέως τι φροντιεῖς;
ΣΤ. περὶ τοῦ; σὺ γάρ μοι τοῦτο φράσον, ὦ Σώκρατες.
ΣΩ. αὐτὸς ὅ τι βούλει πρῶτος ἐξευρὼν λέγε.
ΣΤ. ἀκήκοας μυριάκις, ἃ 'γὼ βούλομαι,
περὶ τῶν τόκων, ὅπως ἂν ἀποδῶ μηδενί.
ΣΩ. ἴθι νυν, καλύπτου, καὶ σχάσας τὴν φροντίδα
λεπτὴν κατὰ μικρὸν περιφρόνει τὰ πράγματα,
ὀρθῶς διαιρῶν καὶ σκοπῶν.
ΣΤ. οἴμοι τάλας!
ΣΩ. ἔχ' ἀτρέμα, κἂν ἀπορῇς τι τῶν νοημάτων,
ἀφεὶς ἄπελθε· κἄτα τῇ γνώμῃ πάλιν
κίνησον αὖθις αὐτὸ καὶ ζυγώθρισον.
ΣΤ. ὦ Σωκρατίδιον φίλτατον...
ΣΩ. τί, ὦ γέρον;
ΣΤ. ἔχω τόκου γνώμην ἀποστερητικήν.

709. ita Bekk., D., et pridem Br. secundum C cod. Suidas in ἔχεις τι; ἔ. τι; Στ. μὰ τὸν Δί' οὐδὲν ἔγ. Duker., H., μὰ Δί', οὐδέν γ' ἔγ., ut Dobraei codex 2. ex emendatione 1. manus. Suidas l. c. ἔχεις τι; ἐπὶ τῶν ἀγρευόντων ἤτοι ὄρνιν, ἢ ἰχθῦν. λέγεται δὲ τὸ Ἔχεις τι; ἀντὶ τοῦ Εἴληφάς τι; συνεβούλευε γὰρ αὐτῷ ὁ Σωκρ. ὥσπερ ἀναρτῆσαι τὴν διάνοιαν, ἰάσαντι τὴν φροντίδα, τῇ τῶν ἀγρευόντων χρησάμενος λέξει. τοῖς γὰρ ἁλιεῦσι καὶ τοῖς ὀρνιθοθήραις οὕτω φασὶν Ἔχεις τι; etc.

713. ita Rav., Venet., H., Schütz. vulgo ἐξευρεῖν, cui congruit, quod nonnulli codd. habent, πρῶτον. sed H.: Recte se habet, inquit, πρῶτος. — αὐτὸς, inquit, ὅ τι βούλει πρῶτος ἐξευρὼν λέγε, *tu ipse primus aliquid inveni, idque mihi expone.* atque ita etiam S. videtur legisse, cujus haec est annotatio: διαβάλλει αὐτὸν, ὡς μὴ παρέχοντα εὕρημα τοῖς μαθηταῖς.

716. σχάσας. κατασχάσας, („libri κατασπάσας. V.D. in Misc. obss. Belg. vol. 3. p. 106.: καταπαύσας. cf. S. ad 107." H.) στήσας, ἀτρεμήσας. καὶ Πίνδαρος (Pyth. 10, 79.) κώπαν σχάσας etc. S. B.: σχάσαι τ. φρ. est *coërcere cogitationem*, ne evagetur.

717. λεπτήν. ἀκριβῆ. — S. περιφρ. cf. 225.

718. διαιρῶν. ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων, περὶ οὗ τὴν σκέψιν ποιῇ· ἀναπτύσσων, δοκιμάζων καὶ διακρίνων τὰ πράγματα (ita K. vett. edd. ποιήματα), οἷον διαίρεσιν αὐτῶν ποιῶν. S. B.: οἴμοι τ. Streps. a cimicibus morsus exclamat.

719. dicitur ἀτρέμα et ἀτρέμας, ut σῦτω et οὕτως, αὐθι et αὖθις, et similia sine discrimine. v. S. Junt.

720. sequ. ita Reisk. et H. vulgo τὴν γνώμην. sequ. versu pauci codd., neque illi optimae notae: αὐθις εἰς αὐτό, quod a correctore profectum esse sensit H. frustra Br.: αὐθις ἐς αὐτό. — ζυγ., *expende, considera*; a ζύγωθρον, *jugum librae.*

722. ὦ Σωκρ. ἐνθυμηθεὶς ἑξαυίσταται βοῶν. S.

ΣΩ. ἐπίδειξον αὐτήν.
ΣΤ. εἰπὲ δή νύν μοι τοδί·
γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλὴν
καθέλοιμι νύκτωρ τὴν σελήνην, εἶτα δὴ
αὐτὴν καθείρξαιμ' ἐς λοφεῖον στρογγύλον,
ὥσπερ κάτοπτρον, κἄτα τηροίην ἔχων...
ΣΩ. τί δῆτα τοῦτ' ἂν ὠφελήσειέν σ';
ΣΤ. ὅ τι;
εἰ μηκέτ' ἀνατέλλοι σελήνη μηδαμοῦ,
οὐκ ἂν ἀποδοίην τοὺς τόκους.
ΣΩ. ὁτιὴ τί δή;
ΣΤ. ὁτιὴ κατὰ μῆνα τἀργύριον δανείζεται.
ΣΩ. εὖ γ'· ἀλλ' ἕτερον αὖ σοι προβαλῶ τι δεξιόν.
εἴ σοι γράφοιτο πεντετάλαντός τις δίκη,

724. sic plerique codd., quorum unum, B Paris., secutus est Br. nonnulli τὸ τί; sub persona Socratis. Rav., Venet., H. et vulgo edd.: εἰπὲ δὴ νῦν μοι. ΣΩ. τὸ τί; ΣΤ. γυναῖκα etc.

725. Θετ τ. ὡς νῦν τὰς φαρμακίδας Θετταλὰς καλοῦσι. (ἄλλως.) διαβάλλονται γὰρ οἱ Θετταλοὶ ὡς γόητες. — φασὶ δὲ, ὅτι Μήδεια φυγοῦσα κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ, καὶ ἀνέφυσαν. — S. Lucian., annotante Be., Dial. meretr. Melittae et Bacchidis (4.): εἴ τινα οἶσθα, Βακχί, γραῦν, οἵαι πολλαὶ Θετταλαὶ λέγονται ἐπᾴδουσαι etc. cf. Apuleji interpp. Metamorph. l. 1. et annot. ad 565.

727. λοφ. στρογγ. τὴν τοῦ κατόπτρου θήκην. (similiter Pollux 10, 126.) ἢ τὴν θήκην τοῦ λόφου τῆς περικεφαλαίας. περιφερὴς δὲ αὕτη. S. — proprie est τοῦ κράνους ἡ θήκη, ut Ach. 1040. Ex Br.

731. ὁτιὴ τί δή; sic vel similiter meliores libri et H. ed. 2. vulgo: τίη τί δή; H.: Legitur illud τίη τί δὴ etiam in Vespis 1118., in Pace 961., in Thesm. 84. nec τίη τί in fragm. ex Horis ap. Athen. 9. p. 372. D. vitio caret. recte vero dicitur ὁτιὴ τί δή, ut ὁτιὴ τί 760. (ubi vid. annot.), et ὅτι τί δή in Pluto 136., more usitato Graecis, quo partem eorum quae alterum dicere volunt, anticipant, adjuncta interrogatione, quasi dicas *quia — quid?* simile est τὸ τί 724. (?), 751.

732. S.: ἀργυρίων (sic). οὕτως ἡ γραφὴ ἀργυρίων παρὰ Φρυνίχῳ κεῖται, ὅτι οἱ Κωμικοὶ πληθυντικῶς φασιν, οἱ (δὲ) ῥήτορες ἑνικῶς. καὶ Σώφρων πληθυντικῶς ἀργυρίων δεήσῃ. scholiasten ἀργύρια legisse ratus H., quemadmodum τῶν ἀργυρίων habetur Av. 574., id edidit, cum videatur verisimilius, pro ἀργύριον forte scriptum ἀργυρίων fraudi fuisse Graeculo. certe tantum non omnes MSS. et priscae edd. τἀργύριον.

733. προβαλῶ. προθήσω, εἰς ὃ δεῖ σε μηχανὴν εὑρεῖν. Junt.

734. πεντετ. δίκη, lis 5 talentis aestimata. vide annot. ad 462. S.: εἰ κατηγορίη πέντε σε δυναμένη (imo δυναμένης, intellecto τῆς in κατηγ. vide Matth. gr. §. 347, 2, 3. H. deleto εἰ scripsit κατηγορία πέντε etc.) ζημιῶσαι τάλαντα. ἀττικῶς δὲ τοῦ ἀριθμοῦ τὸ πέντε ἐφύλαξε. Herm.: „Unus Regiorum πεντατάλαντος hic et v. 750. (quo loco sic etiam codex Brunckii.) non deterius Brunckio visum; sed alteram formam atticam esse observat S. ita in Equ. 971. πεντεσυρίγγῳ ξύλῳ.“ praeterea H. annotavit, saepe etiam ab aliis scriptoribus 5 talenta memorari, et usitatum esse eum numerum quacunque in re cum in jure

735 ὅπως ἂν αὐτὴν ἀφανίσειας, εἰπέ μοι.
ΣΤ. ὅπως; ὅπως, οὐκ οἶδ'· ἀτὰρ ζητητέον.
ΣΩ. μή νυν περὶ σαυτὸν εἶλλε τὴν γνώμην ἀεὶ,
ἀλλ' ἀποχάλα τὴν φροντίδ' ἐς τὸν ἀέρα,
λινόδετον ὥσπερ μηλολόνθην τοῦ ποδός.
740 ΣΤ. εὕρηκ' ἀφάνισιν τῆς δίκης σοφωτάτην,
ὥστ' αὐτὸν ὁμολογεῖν σ' ἐμοί.
ΣΩ. ποίαν τινά;
ΣΤ. ἤδη παρὰ τοῖσι φαρμακοπώλαις τὴν λίθον
ταύτην ἑώρακας, τὴν καλὴν, τὴν διαφανῆ,

attico, ut in praescriptione, tum in vita communi. cf. superius 10., Pac. 171. etc.

736. temere Br. et recentiores: *ὅπως; ὅπως; οὐκ οἶδ'*.

737. *εἶλλε* meliores MSS. atque edd. Br. ex suo cod.: *ἴλλε*. vide Hemsterhus. ap. Ruhnken. ad Tim. v. *γῆν ἰλλομένην*. S. Junt.: *εἶλε* (sic) *τὴν γν. εἰλῶ τὸ στρέφω παρὰ τοῖς κοινοῖς, περισπωμένως· εἴλω δὲ βαρυτόνως παρὰ τοῖς ποιηταῖς*. gl. codicis A Paris.: *ἀπόκλεισε*. cf. Schneideri lex. gr. v. *ἴλλω*.

739. *μηλ.* οὕτω (non *μηλόνθην*, ut ap. Eustath. ad Iliad. *ψ'* p. 1329., quod mendosum putabat Ernest.) *γράφουσιν οἱ ἀκριβέστεροι. τινὲς δὲ λέγουσιν, ὅτι ζωΰφιόν ἐστι χρυσίζον, καν θάρῳ ὅμοιον, ὃ λαμβάνοντες οἱ παῖδες ἀποδεσμοῦσι λίνῳ, καὶ ἐκπετεννύουσιν.* (?) *ἄλλως. τὸν χρυσοπάνθαρον.* — S. de *melolontha, scarabaeo viridi*, v. Camus ad Aristot. H. A. 2. p. 747. sequ. B. videtur esse idem scarabaeus, quem *auratum* appellavit Linn., germ. *Goldkäfer*, francogall. *emeraudine*: nam alius est *scarab. melolontha* Linn., germ. *Maikäfer*, francogall. *hanneton*. cf. Pollux 9. c. 7. n. 124. et Suid. h. v., quos laudaverunt interpp., item Vesp. 1295. K.: „*ἀλλ' ἐποχάλα — ποδός*. i. e.: *sed dimitte mentis tuae cogitationem in aërem, velut scarabaeum, filo revinctum ex pede*. Anna Fabri in notis gallicis ad h. l. verisimiliter admodum suspicatur, Aristophanem traducere hic velle opinionem Socratis, qui animam hominis alatam esse statuebat, ut patet ex Plat. Phaedro (c. 67. ed. Heind.)." notae etiam ex artibus veterum similes imagines *τῶν πετομένων ψυχῶν*, de quibus vide C. A. Böttigeri disputationem germ., quae inscripta est *Das Menschenleben. Eine allegorische Gallerie* (Taschenb. für bildende dicht. und histor. Kunst, herausg. v. W. Aschenberg. 1804.), et A. Hirtii *Bilderbuch für Mythologie*, vol. 2. p. 222. sequ.

742. *τοῖσι φαρμ. φαρμακοπῶλαι κυρίως οἱ τὰ φάρμακα πιπράσκοντες, τά τε λυσιτελοῦντα, καὶ τὰ θανάσιμα· παρὰ τοῖς παλαιοῖς δὲ καὶ οἱ τοὺς τιμαλφεῖς (τουτέστι πολυτίμους) λίθους πιπράσκοντες φαρμακοπῶλαι ἐλέγοντο· οὐδεὶς γὰρ τῶν τοιούτων λίθων, ὃς οὐκ ἔχει καινοτέραν* (scribendum censeo *ἑκανωτέραν*, h. e. *μείζονα, μεγάλην*.) *δύναμιν*. S. Junt. cf. Horat. Sat. 1, 2, 1. et ibi interpp.

743. *ἑώρας* Brunckii codex, 2 Dobraei et priscae edd., quam scripturam probavit Br., habet etiam Invern., tanquam ex libro suo petitam; sed nunc in eo codice pariter atque in Veneto et Dorvill. legi scimus *ἑόρακας*, quam formam Buttmannus gr. 2. p. 416. sequ. abjudicans ab antiquioribus, et Alexandrinis relinquendam censens, erravit. plerique codd. *ἑώρακας*, quod *ἄμετρον*.

ἀφ' ἧς τὸ πῦρ ἅπτουσι;

ΣΩ. τὴν ὕαλον λέγεις;

ΣΤ. ἔγωγε.

ΣΩ. φέρε, τί δῆτ' ἄν;

ΣΤ. εἰ ταύτην λαβὼν,
ὁπότε γράφοιτο τὴν δίκην ὁ γραμματεύς,
ἀπωτέρω στὰς ὧδε πρὸς τὸν ἥλιον
τὰ γράμματ' ἐκτήξαιμι τῆς ἐμῆς δίκης.

ΣΩ. σοφῶς γε νὴ τὰς Χάριτας.

ΣΤ. οἴμ', ὡς ἥδομαι,
ὅτι πεντετάλαντος διαγέγραπταί μοι δίκη!

ΣΩ. ἄγε δὴ ταχέως τουτὶ ξυνάρπασον.

ΣΤ. τὸ τί;

ΣΩ. ὅπως ἀποστρέψειας ἀντιδικῶν δίκην,

744. τὴν ὕαλον. κατασκεύασμά ἐστιν ὑάλου τροχοειδὲς, παχὺ, εἰς (hoc et mox ἡλίῳ additum est ab Herm. ex Suida v. ὑάλη.) ταῦτο τεχνασθὲν, ὅπερ ἐλαίῳ χρίοντες καὶ ἡλίῳ θερμαίνοντες (Suid. rectius χρίσαντες κ. ἡ. θερμήναντες.) πορρω ἀγουσι θρυαλλίδα, καὶ οὕτως ἅπτουσι. — Ὅμηρος δὲ οὐκ οἶδε τὸ ὄνομα, ἀλλὰ παρ' αὐτῷ καὶ τοῖς ἀρχαίοις ἤλεκτρος μὲν ἐστιν, ὕαλος δὲ οὔ. S. Aristophanem intellexisse speculum ustorium, e crystallo aut electro factum, ex Theophr. de igne p. 436. docet Schneider. in lex. gr. 2. p. 549. vernaculi quoque interpp. (Wieland. et Schütz.) reddiderunt ein *Brennglas*. (W., Voss., Droysen. *Brennkrystall*, Wolf. *Krystall*.) B.

748. ceram vult liquefacere, in qua scribebant. (imo ea delere, quae jam in tabula cerata, continente damnationem, scripta erant: nam γράφεσθαι δίκην est recitare in judicio dicam scriptam. (?) solebant autem scribi acta publica in tabulis ceratis. [hoc significari arbitror.] B.) alio modo oblitteravit dicam Hegemoni scriptam Alcibiades: βρίξας τὸν δάκτυλον ἐκ τοῦ στόματος διήλειψε τὴν δίκην τοῦ Ἡγήμονος, ut narrat Athen. 9. p. 407. Be.

749. τὸ οἴμοι καὶ ὤμοι ποτὲ μὲν ἐπ' εὐφροσύνῃ κείμενον εὕρηται, ποτὲ δὲ ἐπὶ λύπης. καὶ ἐπ' εὐφροσύνης μὲν, ὡς ἐνταῦθα οἴμ', ὡς ἥδομαι, καὶ (902.) ὤμοι σοφίας, ὡς ἐμνήσθης. (sic.) ἐπὶ δὲ λύπης, ὡς τὸ οἴμοι τάλας (718.) etc. S. Junt. cf. Thesm. 1118.

750. διαγ. κατέξυσται, ἀνήρηται ἀπὸ τῆς τοῦ γραμματέως δέλτου, ὅπου αἱ δίκαι ἀνεγράφοντο, καὶ αἱ εἰσαγωγαὶ τῶν δικῶν. S. ἀπήλειπται, ἠφάνισται gl. Br. Atticis δίκη dicitur διαγράφεσθαι, cum vel differtur, vel tollitur. Lysias or. 17. de Pecun. publ. p. 315. dixit de *dilatione*; frequentior usus est de *sublatione*, et sic explicat Harpocr., ubi v. Vales., et Markland. ad Lys. l. c. Ern.

751. ξυνάρπ. cf. 478. et Ernestio laudatum Soph. Ajac. 15. sequ. (ὡς σύμαθές σου — Φώνημ' ἀκούω καὶ ξυναρπάζω φρενί.)

752. Dobraei 6. et Dorvill., liber bonae notae, ἀποστρέψειας, neque ἄν legitur in quibusdam codd. Br. in annot.: ὅπως ἂν ἀποστρέψειας ἀντ. δ., quod in 1. sua ed. posuit H. vulgo ex interpretatione; ὅ. ἀποστρέψαις ἂν ἀντ. δ. cf. Matth. gr. §. 519. S.: ἀντι δ. κατηγορῶν καὶ ἐναντιούμενος. τοῖς γὰρ γραφαμένοις καὶ μὴ ἀποδείξασιν ἐπεβάλλετο χρηματικὴ ζημία, καὶ εἰ μὴ κατὰ τὸ ὡρισμένον ἐξέτισεν, ὑπερήμερος γε-

μέλλων ὀφλήσειν μὴ παρόντων μαρτύρων.
ΣΤ. φαυλότατα καὶ ῥᾷστ'.
ΣΩ. εἰπὲ δή.
ΣΤ. καὶ δὴ λέγω.
εἰ πρόσθεν, ἔτι μιᾶς ἐνεστώσης δίκης
πρὶν τὴν ἐμὴν καλεῖσθ', ἀπαγξαίμην τρέχων.
ΣΩ. οὐδὲν λέγεις.
ΣΤ. νὴ τοὺς θεοὺς ἔγωγ', ἐπεὶ
οὐδεὶς κατ' ἐμοῦ τεθνεῶτος εἰσάξει δίκην,
ΣΩ. ὑθλεῖς. ἄπερρ' ! οὐκ ἂν διδαξαίμην σ' ἔτι.
ΣΤ. ὁτιὴ τί; ναὶ πρὸς τῶν θεῶν, ὦ Σώκρατες!
ΣΩ. ἀλλ' εὐθὺς ἐπιλήθει σύ γ', ἅττ' ἂν καὶ μάθῃς.
ἐπεὶ τί νυνὶ πρῶτον ἐδιδάχθης; λέγε.
ΣΤ. φέρ' ἴδω. τί μέντοι πρῶτον ἦν; τί πρῶτον ἦν;
τίς ἦν, ἐν ᾗ ματτόμεθα μὲν τὰ γ' ἄλφιτα;
οἴμοι, τίς ἦν;
ΣΩ. οὐκ ἐς Κόρακας ἀποφθερεῖ,
ἐπιλησμότατον καὶ σκαιότατον γερόντιον;
ΣΤ. οἴμοι, τί οὖν δῆθ' ὁ κακοδαίμων πείσομαι;
ἀπὸ γὰρ ὀλοῦμαι μὴ μαθὼν γλωττοστροφεῖν.
ἀλλ', ὦ Νεφέλαι, χρηστόν τι συμβουλεύσατε.

νόμενος ἐξέτισε τετραπλῆν. (cf. G. G. S. Köpke *über Gerichtsverf u. Gesetzgeb. der Gr.* p. 684. seqq.) οἱ δὲ μὴ ἔχοντες τῖσαι καθείργνυντο εἰς τὸ δεσμωτήριον (libri διπαστήριον, quod correxit Ern.). πολλοὶ δὲ τοῦτο πεπόνθασιν, ὡς ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἀριστογείτονος. S. ἀποστρέψαις. ἀποδιώξαις. ἀντιδ. ἀντεγκαλῶν, ἀντιλέγων. gl. Br. sensus: quomodo avertere litem possis, judicio contendens, si jam in eo sis, ut damneris ob defectum testium. B.

756. καλεῖν δίκην dicitur magistratus, cum eam, ut Cic. ait, *sortitur, agi jubet.* Ern. cf. Vesp. 794.

757. οὐδὲν λέγεις. cf. 623.

758. εἰσάξει δίκην. vide Vesp. 796., 810., 812., quae loca protulit Be., et cf. 818.

759. ὑθλεῖς. ληρεῖς, φλυαρεῖς. gl. Br. ὕθλος. φλυαρία, μωρία, ληρὸ (λῆρος) . . . ἄπερρ'. ἀποφθείρου, πορεύου μετὰ φθορᾶς. gl. Victor. H.: — „διδάξασθαι est: sibi aliquem ut discipulum instituere. sic ap. Pind. Ol. 8, 77. τὸ διδάξασθαι δέ τοι εἶδότι ῥαίτερον. aliud exemplum vide ap. Elmslejum ad Eurip. Med. 290."

760. ὁτιὴ τί. ἀντὶ τοῦ διατί. Suid. *Br.* cf. 731.

764. seqn. inepte ll. — ματτ. μέντοι τἄλφιτα. S.: τίς ἦν. ὡς ἐπιλανθανόμενος. θέλει δὲ εἰπεῖν τὴν κάρδοπον. (648. seqq.)

766. his dictis iratus abit Socr. S.: ἐπιλ. ἔδει (ἦ) εἰπεῖν ἐπιλησμονέστατον. Ἄλεξις (ita H. secundum Suid. in ἐπιλησμότατον. libri ἡ λέξις.) δὲ ἐπιλήσμη φησί. (eo hic schol. tuetur formam adjectivi ἐπίλησμος.) (ἄλλως.) Κρατῖνος δὲ ἐπιλησμοσύνη. — γερόντιον contemtim, ut παιδάριον 794.

767. cf. annot. ad 699.

768. ἀπὸ γὰρ ὀλ. tmesis. de verbo γλωττοστ. vide superius 444.

ΧΟ. ἡμεῖς μὲν, ὦ πρεσβῦτα, συμβουλεύομεν,
εἴ σοί τις υἱὸς ἐστιν ἐκτεθραμμένος,
πέμπειν ἐκεῖνον ἀντὶ σαυτοῦ μανθάνειν.
ΣΤ. ἀλλ' ἔστ' ἔμοιγ' υἱὸς καλός τε κἀγαθός·
ἀλλ', οὐκ ἐθέλει γὰρ μανθάνειν, τί ἐγὼ πάθω;
ΧΟ. σὺ δ' ἐπιτρέπεις;
ΣΤ. εὐσωματεῖ γὰρ, καὶ σφριγᾷ,
κἄστ' ἐκ γυναικῶν εὐπτέρων τῶν Κοισύρας.
ἀτὰρ μέτειμί γ' αὐτόν. ἢν δὲ μὴ θέλῃ,
οὐκ ἔσθ' ὅπως οὐκ ἐξελῶ 'κ τῆς οἰκίας.
[ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον εἰσελθὼν χρόνον.]
ΧΟ. ἆρ' αἰσθάνει πλεῖστα δι' ἡμᾶς ἀγάθ' αὐτίχ' ἕξων ἀντ.
μόνας θεῶν; ὡς
ἕτοιμος ὅδ' ἐστὶν ἅπαντα δρᾶν, ὅσ' ἂν κελεύῃς.
σὺ δ' ἀνδρὸς ἐκπεπληγμένου καὶ
φανερῶς ἐπῃρμένου
γνοὺς ἀπολάψεις, ὅ τι πλεῖστον δύνασαι· ch. tr. ἐπῳδ.

774. genus hyperbati, de quo ad Eccles. 610., Thesm. 140., 1162., Soph. El. 206., Oedip. Col. 214., Philoct. 142. cf. infra ad 1382. et Matth. gr. §. 613., VII.

775. εὐσωματεῖ. timet sibi ab adolescente vegeto et robusto, si vim adhibuerit. paedagogus Plautinus Bacch. 1, 2, 45.: *nil moror discipulos esse mihi tam plenos sanguinis: Valens adflictet me vacivom virium. — σφριγᾷ, viget.* „vide, Ruhnk. ad Tim. p. 244. ed. 2." *Harles.*

776. εὔπτ. ἀντὶ τοῦ εὐγενῶν, ἀπὸ τῶν ὀρνέων. ἢ κούφων, ὧν ὁ λογισμὸς ἴπταται. φρονουσῶν τὰ Κοισύρας, ἀντὶ τοῦ μεγάλα φρονουσῶν. (de figurata significatione horum verborum vide Av. 1344. seqq. et totam illam fabulam.) S. τῶν Κοισ. ἐκ ταύτης γὰρ ἡ τούτου γυνὴ κατήγετο. gl. Br. cf. annot. ad 48.

778. ἐξελῶ. fut. Att.

779. introire jubet Socratem: nam foris erant. *H.* sed vide 816.

780. ita H. et D. codex Venet. ἀρ' αἰσθάνει. vulgo: ἀρά γ' αἰσθ. cf. 679. seqq. accinit haec Chorus abeunti Socrati.

784. ἐπηρμ. ἐξεστηκότος καὶ ἄγαν προθυμουμένου. gl. cod. E Paris.

785. γνούς. male schol. Junt.: οἱ λέγοντες τὸ γνοὺς ἀντὶ τοῦ αἴσθησιν λαβὼν, ἵνα συντάσσωσι τὴν γενικὴν, οὐ καλῶς λέγουσιν· ἔστι γὰρ αὕτη ἡ γενικὴ πρὸς τὸ ἀπολάψεις, οὕτω σὺ δὲ ἀπολάψεις, ἀντὶ τοῦ ἀποκέρδησον, ταχέως ὅ τι πλ. δύν., ἀνδρὸς ἐκπ. κ. φ. ἐπ." εἶτα ὕστερον ἐπάξεις τὸ γνοὺς, ἀντὶ τοῦ οὕτως ἔχοντα αὐτὸν νοήσας. ἔστι δὲ ἀπολάψεις ἐνταῦθα ἀντὶ τοῦ προστακτικοῦ· δείκνυται γὰρ ἐκ τῆς κατασκευῆς, ὅτι τοῦτο αἱ Νεφέλαι αὐτῷ ἐπιτάττουσι. vide Matth. gr. §. 327., 1. S. vetus: ἀπολέψεις. (olim vulgatum.) ἀπολεπίσεις. ἐὰν δὲ, ὡς ἐν τοῖς πολλοῖς, ἀπολάψῃς, ἐκπίῃ. (ἀπολάψεις, ἐκπιεῖ.) ἀπὸ τῶν κυνῶν ἡ μεταφορὰ, ἢ ὅσα λάπτοντα πίνει· καταστρέφει δὲ εἰς τὸ ἀποκερδανεῖς, ἢ ἀφαρπάσεις, ἀποσπάσεις. Ὁμηρος (Il. π', 161.) λάψαντες (λάψοντες) γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ. Terentius Eun. 5, 8, 57., secundum Nonium v. propinare et Bentl.: *hunc comedendum et ebibendum vobis pro-*

ταχέως φιλεῖ γάρ πως τὰ τοιαῦθ' ἑτέρως τρέπεσθαι.

as. τρίκ., i. h. ch. i. h.

pino. et ipse Aristoph. Eq. 649.: *ἦν μὴ 'κφάγῃς; ἐγὼ δὲ, σ' ἢν μή γ' ἐκπίω, Κἄπ' ἐκροφήσας αὐτὸς ἐπιδιαῤῥαγῶ.* quidam codd.: *ἀπολανύσεις*, de quo Ern.: „ex *ἀπολάψεις* factum puto, nisi glossa est. nam sensus tamen est: *urge hominem, dum gestit dicere, et utere occasione.*“ scripturae *ἀπολάψεις* cum alia opposuit H. altera ed., tum hoc inprimis, quod futurum dicatur *ἀπολάψομαι*. qua re inductus edidit *ἀπολανύσαις*. at optimi tamen codd. h. l. habent *ἀπολάψεις*, neque formam eam repudiaverunt lexicographi. quid, quod ne *ἀπολανύσω* quidem dici solet, sed pariter *ἀπολανύσομαι*? — de metro hujus versus cf. Lys. 789.

786. *φιλεῖ γάρ πως.* *ἔθος ἔχει „συμβαίνει γὰρ ἄλλως ἀποβαίνειν ἢ προσδοκᾷ τις,“ ἀντὶ τοῦ εὐμετάβλητοί εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγου τινὶ συμβαλόντες. εὐμετάβλητοι γὰρ αἱ τῶν τοιούτων ἀνδρῶν γνῶμαι.* — S. Soph. Antig. 678. *φιλεῖ* (*solet*) *γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν.* Be. metrum idem quod Av. 849. contrario modo compositus est hujus fabulae 550., nisi quod iambus illic est acatalectus.

ΣΤΡΕΨΙΑΔΗΣ. ΦΕΙΔΙΠΠΙΔΗΣ. ΣΩΚΡΑΤΗΣ. ΧΟΡΟΣ. ΔΙΚΑΙΟΣ ΛΟΓΟΣ. ΑΔΙΚΟΣ ΛΟΓΟΣ.

ΣΤ. Οὔ τοι μὰ τὴν Ὁμίχλην ἔτ' ἐνταυθὶ μενεῖς, i. tr.
ἀλλ' ἔσθι' ἐλθὼν τοὺς Μεγακλέους κίονας.
ΦΕΙ. ὦ δαιμόνιε, τί χρῆμα πάσχεις; ὦ πάτερ,
790 οὐκ εὖ φρονεῖς μὰ τὸν Δία τὸν Ὀλύμπιον.
ΣΤ. ἰδού γ', ἰδού, Δί' Ὀλύμπιον! τῆς μωρίας,
τὸν Δία νομίζειν ὄντα τηλικουτονί!
ΦΕΙ. τί δὲ τοῦτ' ἐγέλασας ἐτεόν;
ΣΤ. ἐνθυμούμενος,

967. μνησ. *exprobrare* vertit Frischlinus; bene, ut opinor. Ern. Be.: *meminisse malorum illius aetatis, quae te educavit*. Schütz.: *der Züchtigungen, die du in der Kindheit erlittest hast, im Bösen gedenken*. — B. recte Schütz. μνησ. absolute dictum, ut Xenoph. Hist. gr. 2, 4. 43.: καὶ ὀμόσαντες ὅρκους, ἢ μὴν μὴ μνησικακήσειν etc.: nam ordo est hic μηδὲ μνησ., καλ. τὴν ἡλικ., ἐξ ἧς ἐν., Ἰαπετόν. alioqui dicendum erat τῇ ἡλικίᾳ, ut idem Xenoph. Exped. Cyri 2, 4, 1.: καὶ δεξιὰς ἔνιοι παρὰ βασιλέως φέροντες, μὴ μνησικακήσειν βασιλέα αὐτοῖς τῆς σὺν Κύρῳ ἐπιστρατείας etc. quod idem dicitur ἀμνησικακεῖν vel ἀμνησικακία, et usitatius, etiam nostra memoria, ἀμνηστία. ceterum res

Α. Λ. εἰ ταῦτ', ὦ μειράκιον, πείσει τούτῳ, νὴ τὸν Διόνυσον τοῖς Ἱπποκράτους υἱέσιν εἴξεις, καί σε καλοῦσιν βλιτομάμμαν.

970 Δ. Λ. ἀλλ' οὖν λιπαρός γε καὶ εὐανθὴς ἐν γυμνασίοις διατρίψεις, οὐ στωμύλλων κατὰ τὴν ἀγορὰν τριβολεκτράπελ', οἷάπερ οἱ νῦν,

οὐδ' ἑλκόμενος περὶ πραγματίου γλισχραντιλογεξεπιτρίπτου, ἀλλ' εἰς Ἀκαδήμειαν κατιὼν ὑπὸ ταῖς μορίαις ἀποθρέξει,

dicta pro persona, ut passim. — gl. Br.: ἐνεοττ. ὥσπερ νεοσσὸς ἐτράφης.

968. ταῦτα, κατὰ ταῦτα.

969. τοῖς Ἱππ. υἱέσιν. οὗτοί εἰσι Τελέσιππος, Δημοφῶν, Περικλῆς, διαβαλλόμενοι εἰς ὑωδίαν. καὶ Εὔπολίς φησιν ἐν Δήμοις Ἱπποκράτους (fort. τοῦ γ' Ἱππ., metri gratia.) τε παῖδες ἐμβόλιμοί τινες, Βληχητὰ τέκνα, κούδαμῶς τοῦ μοῦ τρόπου. (cf. Thesm. 272. — καλοῦσιν est futurum att.) βλιτ. μωρόν. τὸ γὰρ βλίτον μᾶλλον εἶναι δοκεῖ λάχανον. — S. vide de hoc olere Billerb. Flor. class. p. 3. et, quem testem citavit, Dioscor. 2, 143. Germanis dicitur *Erdbeerspinat*. Plin. 20, 22.: *blitum inerte videtur, ac sine sapore aut acrimonia ulla; unde convicium feminis ap. Menandrum faciunt mariti.* (dicere videtur Hermanno τὸ βλιτάδες γυναῖκες ap. Hesych., Suidam, Zonaram. *bliteam meretricem* dixit Plautus Truc. 4, 4, 1., *bliteam belluam* Laberius Tusca ap. Nonium v. *blitea*, *inutilis*.) „posterior pars hujus vocab. a μάμμη vel μαμμία facta est, quod matrem significat. v. Lys. 814. sequ. inde μαμμᾶν 1325. est autem βλιτομάμμας is, qui infantis instar, matrem perpetuo vocantis, simplex et stolidus est. vid. de ea voce grammaticus in Bekkeri Anecd. p. 31, 3. similiter Μαμμάκυθοι in Ranis 932." *H. bardum* Frischl., Be. *bliteum*, Germani reddiderunt *Pinsel*, *Einfaltspinsel*, *Lappmämme*, *Liebsöhnchen der Mutter*, quorum hoc quidem insulsum est.

970. λιπ. γε καὶ εὐανθὴς, i. e. nitidus et colore vivido vegetoque praeditus; quales esse solebant illi, qui in gymnasiis et palaestris sese exercebant. vid. Salmas. (sub nomine Franc. Franci) in Confutatione Ant. Cercoëtii p. 183. K.

971. τριβ. ἐκ τοῦ τρίβειν (imo τρίβολος, qua voce vid. Schneider. in lex. gr.) καὶ ἐκτράπελος σύγκειται. ἀντὶ τοῦ σκληρὰ, καὶ ἀπαίδευτα, καὶ ἀπόβλητα, καὶ ἀνώμαλα. S. W.: *Schalwitzeccentricitäten.*

972. ἑλκόμ., *in jus tractus*. B. γλισχ. γλίσχρου καὶ ἀντιλογίαν ἔχοντος κατατετριμμένην. gl. Br. significat prorsus perniciosum in disceptatione vili et tenui. — B. Wolf.: *Nicht Schwätzer des Markts, nach dem heutigen Brauch, der ein witzlos Stachelgerede Auf den Gegner studiert, der wider ihn ficht in dem Bettelhalunkenprozesse.*

973. libri Ἀκαδημίαν, produci visa penultima, ut in αἰθρία et similibus verbis, de quibus ad 365. malui tamen Ἀκαδήμειαν, ut Alexis ap. Athen. 8. p. 336., E., annotante H.: Λύκειον, Ἀκαδήμειαν, Ὠιδείου πύλας. cf. Steph. v. Ἐκαδήμεια, quem Ern. laudavit. sic etiam ipse H., et D. S.: εἰς Ἀκ. ἐν τούτῳ γὰρ διέτριβον οἱ φιλόσοφοι. (et poëtae, aliique. vide Diog. Laërt. 8, 7., Cic. de Fin. 5, 1. etc.) ἦν γὰρ καὶ γυμνάσιον, ἀπὸ Ἑκαδήμου τινὸς, καταλείψαντος τὴν κτῆσιν ἑαυτοῦ πρὸς ἐπισκευὴν τοῦ τόπου. περὶ αὐτὸν δ' ἦσαν αἱ ὄντως ἱεραὶ ἐλαῖαι τῆς θεοῦ, αἳ καλοῦνται μορίαι, ἐξ ὧν τὸ ἔλαιον τῶν Παναθηναίων. τὸν δὲ στέφανον τοῦ καλάμου προέκρινεν ὡς ἁπλούστερον ὄντα, καὶ ἀπερίεργον· ἢ ὅτι αὐτῷ στέφονται οἱ Διόσκουροι. S. — ἀποθρίξει Rav. ἀποθρίξῃ plures codd., Br., H., alii. vulgo: ἀποθρίξεις.

στεφανωσάμενος καλάμῳ λευκῷ, μετὰ σώφρονος ἡλικιώτου,
975 σμίλακος ὄζων, καὶ ἀπραγμοσύνης, καὶ λεύκης φυλλοβολούσης,
ἥρος ἐν ὥρᾳ χαίρων, ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ.
ἢν ταῦτα ποιῇς, ἀγὼ φράζω, a. d.
καὶ πρὸς τούτοις προσέχῃς τὸν νοῦν,
ἕξεις αἰεὶ στῆθος λιπαρὸν,
980 χροιὰν λευκὴν, ὤμους μεγάλους,
γλῶτταν βαιὰν, πυγὴν μεγάλην,
πόσθην μικράν· a.
ἢν δ' ἅπερ οἱ νῦν ἐπιτηδεύῃς, a. d.
πρῶτα μὲν ἕξεις χροιὰν ὠχράν,
985 ὤμους μικροὺς, στῆθος λεπτὸν,
γλῶτταν μεγάλην, πυγὴν μικράν,
κωλῆν μεγάλην, ψήφισμα μακρόν·

974. καλ. λευκῷ. calami 29 genera novit Plin. 24, 11. hic quidem intelligendus esse videtur *calamus aromaticus* (Dioscor. 1, 17. et 115., Plin. 12, 22, 48.) sive acorus, κάλ. ἄκορος, *der gemeine Kalmus*, radice alba. vide Billerbeck. Flor. class. p. 16. et 25.

975. σμίλακος, herbae coronariae, similis hederae, quae et nicophoros dicitur, referente Ern. secundum Plin. 24, 10. cf. Av. 218. et Billerbeck. Flor. class. non uno loco. Be.: ἀπραγμ. (*otii.*) hic quoque cum v. ὄζειν conjungit vocem, quae rem significat odoris expertem, ut supra 50. seqq., Pac. 508. seqq., Vesp. 1026. (ὀζᾷσει δεξιότητος.) — Harl.: de λεύκῃ, *populo alba*, v. schol. Theocr. 2, 121. et Boden a Stapel. ad Theophr. H. Pl. 3, 14. p. 217. (item Billerbeck. l. l. p. 241. H.: „athletarum coronamentum. vid. Schol. Theocr. 2, 121. —")

976. πτελέᾳ, *ulmo.* S.: — ψιθ. ὥσπερ προσλαλεῖ τὰ δένδρα, ὅπερ ψιθυρίζειν λέγεται. καὶ Θεόκριτος (Id. 1. init.) ἀδύ τι τὸ ψιθύρισμα.

979. στῆθος λιπ. non est *nitidum pectus* (ut vertit Frischl.), sed *pingue* (ut Be.), *crassum* (*volle Brust.*) v. sequ. λευκὴν, quod e Rav. edidit Inv. (item H. et D.; legitur etiam in Ven. Harl., Barocc. 127.), glossema est vulgatae et exquisitioris lectionis λαμπράν. B. contra Herm.: „Etsi λευκοί," inquit, „etiam ignavi dicuntur, tamen λευκὴν recipiendum putavi. nam et solent hanc vocem grammatici per λαμπρὸς interpretari, neque hic quisquam, si λαμπρὰν ab Aristophane profectum esset, adscripturus erat λευκήν. significat autem *purum atque integrum colorem*, cui opponitur ὠχρὰ χροιὰ 984." cui assentior.

981. γλ. βαιάν. σωφροσύνης σύμβολον. οἷον μὴ φλυαρολογεῖν. — S.

984. χρ. ὠχράν. διὰ τὴν ἀταξίαν. S.

987. — 990. κωλῆν μεγ. veretrum magnum corruptae, exiguam innocenter actae juventutis signum esse docuit Coraës ad Hippocr. l. de aëre, aqu. et loc., 2. p. 365., ut B. annotavit. S.: ψήφ. μακρόν. τὸ ἐκ πολυλογίας συγκείμενον. — Ern.: „Pungit rhetores et legislatores verbosos. (cf. Av. 972. seqq.) ἀνασείσει. intell. τὸ ἐπιτήδευμα τοῦτο e v. 982. (imo οὗτος ὁ ἄδικος Λόγος. cf. 954., 968., 977.) v. Suid. in Ἀντιμάχου." de *Antimacho* S. sic: οὗτος ὡς πίναιδος, καὶ εὔμοχ-

καὶ σ' ἀναπείσει τὸ μὲν αἰσχρὸν ἅπαν
καλὸν ἡγεῖσθαι, τὸ καλὸν δ' αἰσχρόν·
καὶ πρὸς τούτοις τῆς Ἀντιμάχου
καταπυγοσύνης ἀναπλήσει. a. par.
ΧΟ. ὦ καλλίπυργον σοφίαν κλεινοτάτην ἐπασκῶν, ἀντ.
ὡς ἡδύ σου τοῖσι λόγοις σῶφρον ἔπεστιν ἄνθος!
εὐδαίμονες δ' ἦσαν ἄρ' οἱ τότε ζῶντες ἥλικες
τῶν προτέρων. πρὸς τάδε δ', ὦ κομψοπρεπῆ μοῦσαν ἔχων,
(5) δεῖ σε λέγειν τι καινὸν, ὡς εὐδοκίμηκεν ἀνήρ.
δεινῶν δέ σοι βουλευμάτων ἔοικε δεῖν πρὸς αὐτὸν, i. t. c.
εἴπερ τὸν ἄνδρ' ὑπερβαλεῖ καὶ μὴ γέλωτ' ὀφλήσεις.
Α. Λ. καὶ μὴν πάλαι γ' ἐπνιγόμην τὰ σπλάγχνα, κἀπεθύμουν
ἅπαντα ταῦτ' ἐναντίαις γνώμαισι συνταράξαι.
ἐγὼ γὰρ ἥττων μὲν Λόγος δι' αὐτὸ τοῦτ' ἐκλήθην
ἐν τοῖσι φροντιστηρίοισιν, ὅτι πρώτιστος ἐπενόησα
* τοῖσιν νόμοις καὶ ταῖς δίκαις τἀναντί' ἀντιλέξαι.

φος, καὶ Θηλυμανὴς κωμῳδεῖται· δεύτερος ὁ ἐπὶ πονηρίᾳ κωμῳδούμενος· τρίτος ὁ Ψακὰς λεγόμενος (Ach. 1080.)· τέταρτος ὁ τραπεζίτης, οὗ μέμνηται Εὔπολις ἐν Δήμοις· πέμπτος ἱστοριογράφος. τάχα δὲ αὐτός ἐστι τῷ σύμφρφ.

991. ἀναπλήσει dubitari potest activumne sit, ut in Ach. 798., an passivum. H.

992. ἐπασκῶν, diligenter exercens. ἀξητικὸν est ἐπὶ, ut 1102. et alibi saepius.

994, 5. libri: εὐδ. δ' ἦσαν ἄρ', vel ἄρ', ut Dobraei tertius (tres alii: δ' ἄρ' ἦσαν, quod est senarium effingentis), οἱ ζῶντες τότ' ἐπὶ τῶν προτέρων. vulgo: εὐδ. δ' ἄρ' ἦσαν οἱ τότε ζῶντες, ἡνίκ' ἦς τῶν προτ., quod metrorum ignarus servavit Br. H. ed. 2.:

εὐδαίμονες δ' ἦσαν ἄρ'
οἱ ζῶντες τότ' *
τῶν προτέρων.

putat autem excidisse ὧν λέγεις vel potius ἀνέρες, quod nihil ad sententiam conferre visum neglexerint librarii. vide an nobis horum sanatio successerit. ἐπὶ πρ. glossema puto adscriptum verbis ἥλ. τῶν πρ. — in proximis recte H. secundum alterum Dobraei librum: πρὸς τάδε δ', ὦ. vulgati pessumdato versu πρὸς γοῦν τάδ', ὦ. — πρὸς τάδε, quamobrem, ut πρὸς ταῦτα 958. cf. Pac. 305. etc. — κομψ. κομψὴν, δεξιάν. μοῦσαν, μελέτην, studium, orationem. cf. Eurip. Alc. 932., Baech. 472., ubi scribendum μούσαις, non Μούσαις, etc.

997. δεινῶν, gravium, validorum. Be.

998. γέλωτ. ὀφλ. sic Attici. Eurip. Med. 387. οὐ γέλωτα δεῖ σ' ὀφλεῖν Τοῖς Σισυφείοις, non oportet te derideri a Corinthiis etc. Spanh.

999. sic Paris. 5., Leid., Br., alii, mendose priscae edd.: κ. μ. πάλ' ἔγωγε, nec recte pars codicum MSS.: κ. μ. πάλαι γ' ἔγωγ' ἐπνιγ. Rav. et Ven.: κ. μ. ἔγωγ' ἐπνιγ., cum τῷ πάλαι aegrius careamus quam pronomine. — ἐπνιγ., rumpebar. cf. 955. B. de hoc usu verbi ἀποπνίγειν et similium legi jussit Piersoni annotata ad Moer. p. 74.

1003. ita Rav. et Ven. vulgo: καὶ τοῖσι νόμοις. 2 codd. Dobraei, D., H. aliique: καὶ τοῖς νόμοις, quod minus grave. ceterum ταῖς δίκαις dictum pro τῇ δίκῃ, i. e. τῷ δικαίῳ, ab usu sermonis attici abhorret, vereorque ne illud sphalma sit librario-

καὶ τοῦτο πλεῖν ἢ μυρίων ἔστ' ἄξιον στατήρων,
αἱρούμενον τοὺς ἥττονας λόγους ἔπειτα νικᾶν.
σκέψαι δὲ τὴν παίδευσιν, ᾗ πέποιθεν, ὡς ἐλέγξω,
ὅστις σε θερμῷ φησι λοῦσθαι πρῶτον οὐκ ἐάσειν.
καίτοι τίνα γνώμην ἔχων ψέγεις τὰ Θερμὰ λουτρά;

Δ. Λ. ὅτιὴ κάκιστόν ἐστι, καὶ δειλὸν ποιεῖ τὸν ἄνδρα.

Α. Λ. ἐπίσχες· εὐθὺς γὰρ μέσον σ' ἔχω λαβὼν ἄφυκτον.
καί μοι φράσον· τῶν τοῦ Διὸς παίδων τίν' ἄνδρ' ἄριστον
ψυχὴν νομίζεις, εἰπέ, καὶ πλείστους πόνους πονῆσαι;

Δ. Λ. ἐγὼ μὲν οὐδέν' Ἡρακλέους βελτίον' ἄνδρα κρίνω.

Α. Λ. ποῦ ψυχρὰ δῆτα πώποτ' εἶδες Ἡράκλεια λουτρά;
καίτοι τίς ἀνδρειότερος ἦν;

Δ. Λ. ταῦτ' ἐστὶ, ταῦτ', ἐκεῖνα,
ἃ τῶν νεανίσκων ἀεὶ δι' ἡμέρας λαλούντων
πλῆρες τὸ βαλανεῖον ποιεῖ, κενὰς δὲ τὰς παλαίστρας.

Α. Λ. εἶτ' ἐν ἀγορᾷ τὴν διατριβὴν ψέγεις· ἐγὼ δ' ἐπαινῶ.

rum, ταῖς δίκαις scribentium ad similitudinem verborum τοῖσιν νόμοις.

1004. στατ. vide Plut. 812.

1005. αἱρ. — λόγους. *si sumas tibi causam debiliorem.* Be.

1009. κάκ. ἐστι. ἐψεῖ γὰρ καὶ χαννοῖ τὰ σώματα. δειλότατον (sic quidem codd.) δὲ εἶπεν· ἐκλύει γάρ. S. κάκ. κάκιστόν τι, pessima res.

1010. vulgo εὐθὺς γάρ σ' ἔχω μέσον λαβὼν ἄφ., quod et minus vividum posteriore loco posita voce μέσον, et inelegantius propter illata vocabula tria continua ν littera terminata. neque Bekkeri placet scriptura ε. γάρ σε μέσον ἔ. λ. ἀ. — S.: — ἡ μεταφορὰ ἀπὸ τῶν παλαιστῶν λαμβανομένων εἰς τὸ μέσον, καὶ ἡττωμένων. (cf. Ran. 434.) τὸ δὲ εὐθὺς ἀντὶ τοῦ ἐν ἀρχῇ.

1014. Ἡρ. λουτρά; Ἴβυκός φησι, τὸν Ἥφαιστον κατὰ δωρεὰν ἀναδοῦναι Ἡρακλεῖ λουτρὰ θερμῶν ὑδάτων, ἐξ ὧν τὰ θερμά τινές φασιν Ἡράκλεια λέγεσθαι. (Ernestii emendatio, cum legeretur γίνεσθαι. idem mox dedit ἐξανῆκεν pro ἐπαφῆκεν.) οἱ δέ φασιν, ὅτι τῷ Ἡρακλεῖ μογήσαντι ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ ἐξανῆκεν· ὡς Πείσανδρος τῷ δ' ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη Ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης. S. aquas natura calidas, θερμῶν ἀτεγνα ῥεύματα, *Herculis balnea* vocabant. vide Eustath. ad Iliad. p. 1273., 2. et ad Odyss. p. 1594., 16. *Br.* praeterea conferri jubet Athen. 12. p. 512., Hesych. v. Ἡράκλεια λουτρὰ, Suid. v. Ἡράκλειος ψώρα, schol. Soph. ad Trach. 602. et de Thermopylarum aquis calidis Herod. 7, 176. Eustath. priore illo loco: θερμὰ δὲ λοετρὰ ἔφη πρὸς διαφορὰν τῶν ψυχρῶν· οἷς οἱ καλοὶ ἥρωες ἐδρῶ ἀπεψύχοντο. τὰ δὲ τοιαῦτα καὶ Ἡράκλεια λουτρὰ ἡ παροιμία ἔλεγεν. ἦσαν δὲ ταῦτα πρώτως καὶ κυρίως τὰ ἐκ γῆς αὐτοφυῶς ἀναδιδόμενα ἐπὶ ἀναψυχῇ, φασὶν, Ἡρακλέος ἀθλοῦντος etc.

1015. ταῦτ' — ἐκεῖνα. annotavit H., usitatissima esse τοῦτ' ἔστ' ἐκεῖνο, ταῦτ' ἐστὶν ἐκεῖνα, vel omissa copula τοῦτ' ἐκεῖνο (*hoc illud est*), cum accidit, de quo quis cogitat. vide supra 953., Ran. 310., Eccles. 78. etc.

1016. sequ. comparavit Be. hisce gemina illa, quae leguntur Ran. 1008. seqq.

εἰ γὰρ πονηρὸν ἦν, Ὅμηρος οὐδέποτ' ἂν ἐποίει
τὸν Νέστορ' ἀγορητὴν ἄν, οὐδὲ τοὺς σοφοὺς ἅπαντας.
ἄνειμι δῆτ' ἐντεῦθεν εἰς τὴν γλῶτταν, ἣν ὁδὶ μὲν
οὔ φησι χρῆναι τοὺς νέους ἀσκεῖν· ἐγὼ δέ φημι.
καὶ σωφρονεῖν αὖ φησι χρῆναι. δύο κακὼ μεγίστω.
ἐπεὶ σὺ διὰ τὸ σωφρονεῖν τῷ πώποτ' εἶδες ἤδη
ἀγαθόν τι γενόμενον; φράσον, καί μ' ἐξέλεγξον εἰπών.
Δ. Λ. πολλοῖς. ὁ γοῦν Πηλεὺς ἔλαβε διὰ τοῦτο τὴν μάχαιραν.
Λ. Λ. μάχαιραν; ἀστεῖόν γε κέρδος ἔλαβεν ὁ κακοδαίμων!
Ὑπέρβολος δ' οὐκ τῶν λύχνων πλεῖν ἢ τάλαντα πολλὰ
εἴληφε διὰ πονηρίαν, ἀλλ' οὐ μὰ Δία μάχαιραν.
Δ. Λ. καὶ τὴν Θέτιν γ' ἔγημε διὰ τὸ σωφρονεῖν ὁ Πηλεύς.
Λ. Λ. κἄιτ' ἀπολιποῦσά γ' αὐτὸν ᾤχετ'· οὐ γὰρ ἦν ὑβριστὴς,
οὐδ' ἡδὺς ἐν τοῖς στρώμασιν τὴν νύκτα παννυχίζειν·
γυνὴ δὲ σιναμωρουμένη χαίρει· σὺ δ' εἶ Κρόνιππος.

1020. lusum hunc esse verborum ἀγορὰ et ἀγορητὴς, animadvertit *Wieland*. — σοφούς, *peritos*, *disertos*.

1026. — ὁ Πηλεὺς ἐγένετο σωφρονέστατος. καί ποτε Ἱππολύτης, τῆς γυναικὸς Ἀκάστου (regis Iolci in Thessalia), ἐρασθείσης αὐτοῦ, καὶ μὴ δυνηθείσης πεῖσαι, ἀλλὰ διαβολῇ χρησαμένης, ὡς ἄρα ἐπεχείρησε βιάσασθαι αὐτήν, ὁ Ἄκαστος μαθὼν, καὶ λαβὼν αὐτὸν εἰς ἐρημίαν, καὶ τῶν ὅπλων γυμνώσας, ἀφῆκεν αὐτὸν, καὶ ἀνεχώρησεν, εἰπὼν „εἰ δίκαιος εἶ, σωθήσῃ." ὡς δὲ ἔμελλεν ὑπὸ θηρίων διαφθείρεσθαι, οἱ θεοὶ μάχαιραν αὐτῷ ἐχαρίσαντο Ἡφαιστότευκτον δι' Ἑρμοῦ, καὶ οὕτως ἔφυγε τὸν κίνδυνον. — S. cf. Apollodor. 3, 13.

1027. ἀστεῖον, *festivum* (204.), dixit per ironiam pro futili seu ridiculo.

1028. viderat hoc Reisigius, quem secuti sunt Bekk.,. D., H. Rav. οὐκ Mutin. 1. ὁ ἐκ. plerique codd. Τπ. δ' οὐκ ἐκ τῶν λ. Br. ex Vatic. Τπ. δ' ἐκ τῶν λ., quod procul dubio est emendatoris. H.: „sic loquebantur, ut ὁ ἐκ τῶν λυχνοπωλῶν significarent. vide S. ad Av. 13., ubi est ἐκ τῶν ὀρνέων." ceterum cf. Equ. 685. — πλεῖν ἢ τάλ. πολλά. rem pretiosiorem multis talentis, demagogiam.

1029. ita D. H. secundum 4 codd. ἀλλὰ μὰ Δί' οὐ μάχ. Rav., Bekk., ut vulgo ἀλλ' οὐ μὰ Δί', οὐ, μάχ., quod justo vehementius.

1030. διὰ τὸ σωφρ. *propter prudentiam suam*. vide Apollod. 3. p. 233. et interpp. Ovidii Metam. 11, 221. sed altero sensu eoque magis consueto τὸ σωφρονεῖν accipiens sequ. versu Injustus ridiculi causa, quo sensu temperantiam significat, propterea Thetin abiisse ait a Peleo, quod non esset libidinosus, ὑβριστής: mox tamen et ipse τὸ σωφρονεῖν intelligit temperantiam ac virtutem.

1031. φασὶν, ὅτι τοὺς γινομένους παῖδας ἐκ τοῦ Πηλέως ἡ Θέτις λαμβάνουσα περιέκαιε τὸ θνητὸν αὐτῶν σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν· καὶ πολλοὺς ἔκαυσε· καὶ τὸν Ἀχιλλέα οὖν τεκοῦσα ἐπέθηκεν (Ern. et Herm. ἐνέθηκεν) εἰς τὸ πῦρ· καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν, ἡ δὲ λυπηθεῖσα ἐχωρίσθη. S. cf. Apollod. 3. p. 348. ed. 2. Heyn.

1033. σιν. ἀνδρὶ συνουσιάζουσα πρὸς μῖξιν. σιγάμωρος δὲ ἡ μεμορημένη. (Etym. M. σινάμωροι interpretatur μεμορημένοι πρὸς τὸ σίνεσθαι. H.) σίνος δὲ τὸ αἶδοῖον· (?)

σκέψαι γὰρ, ὦ μειράκιον, ἐν τῷ σωφρονεῖν ἅπαντα
ἄνεστιν, ἡδονῶν θ' ὅσων μέλλεις ἀποστερεῖσθαι,
παίδων, γυναικῶν, κοττάβων, ὄψων, πότων, καχασμῶν.
καίτοι τί σοι ζῆν ἄξιον, τούτων ἐὰν στερηθῇς;
εἶεν. πάρειμ' ἐντεῦθεν ἐς τὰς τῆς φύσεως ἀνάγκας.
ἥμαρτες, ἠράσθης, ἐμοίχευσάς τι, κἄτ' ἐλήφθης.
ἀπόλωλας· ἀδύνατος γὰρ εἶ λέγειν. ἐμοὶ δ' ὁμιλῶν
χρῶ τῇ φύσει, σκίρτα, γέλα, νόμιζε μηδὲν αἰσχρόν·
μοιχὸς γὰρ ἢν τύχῃς ἁλούς, τάδ' ἀντερεῖς πρὸς αὐτὸν,
ὡς οὐδὲν ἠδίκησας· εἶτ' ἐς τὸν Δί' ἐπανενεγκεῖν,
κἀκεῖνος ὡς ἥττων ἔρωτός ἐστι καὶ γυναικῶν·
καίτοι σὺ θνητὸς ὢν θεοῦ πῶς μεῖζον ἂν δύναιο;

Δ. Λ. τί δ', ἢν φαφανιδωθῇ γε πιθόμενος, τέφρᾳ τε τιλθῇ;

ὄθεν καὶ Σιληνός. (ἄλλως.) σινάμωρον οὖν τὸ πορνικόν. (Suid.: σινάμωρον: πορνικόν· καὶ σινάμωρος ὁ κακόσχολος etc. H.: „σιναμωρεῖν dicitur proprie, qui temere et stulte aliquid laedit vel corrumpit. ita usurpavit Herodotus alliique. Atticos cum grammatici tradunt σινάμωρον vocare, qui etiam λίχνος dicatur, eo id factum est, quia qui ligurrire amant, cibos, vel quidquid eorum palatum titillat, temere attrectant et vitiant. inde translatum etiam ad lasciviam veneream. hic non male interpreteris vexari. attulit nonnulla de hoc verbo Jacobs. ad Achillem Tat. p. 608. sequ. de forma dixit Lobeck. ad Phryn. p. 689. sequ.) Χρόνιππος δὲ ὁ μέγας λῆρος, κατ' ἐπίτασιν λαμβανομένου τοῦ ἵππου. (ut in vocabb. ἱππόβινος Ran. 402., ἱππόρρημα ibid. 880., ἱππόπορνος Alciphr. Ep. 1., 38. *Be.*) S.

1036. κοττάβων. lusus convivalis Graecorum, de quo ad Pac. 341. cf. Ach. 489. — καχασμῶν Rav., H., ut Eccles. 848. γέρον δὲ χωρεῖ — καχάζων μεθ' ἑτέρου νεανίου. vulgo κιχλισμῶν, ut κιχλίζειν 951. illud dicitur etiam καγχάζειν, καγχασμός. Suidas v. καγχάζει, referente H.: καὶ καγχασμὸς, ὁ ἔκχυτος γέλως. Clemens Alex. in Paedagogo 2, 5. p. 167, B. (196.): ἡ δὲ ἐμελὴς τοῦ προσώπου ἔκλυσις εἰ μὲν ἐπὶ γυναικῶν γίνοιτο, κιχλισμὸς προσαγορεύεται, γέλως δέ ἐστι πορνικός· εἰ δὲ ἐπὶ ἀνδρῶν, καγχασμὸς etc. in quibus propriam istorum vocabb. significationem spectavit Clemens: nam ad vivum haec non esse resecanda, ostendit versus 951. propriam significationem verbi καχασμὸς etiam H. usurpans: „κιχλισμῶν," inquit, „nihil opus, cum γυναικῶν dixerit; convivia vero et compotationibus conveniunt καχασμοί."

1038. εἶεν. de hac formula, quae transitioni servit, vid. inprimis Wolf. ad Plat. Sympos. 4, 2. cf. supra 176., Pac. 627., Eurip. Med. 368., interpp. Vigeri 5, 6, 9. etc. — τὰς τ. φ. ἀναγκας, naturae necessitates. Be.

1039. ἥμ., peccasti, amori indulsisti, germ. *du vergingst dich*. vide, quos B. laudavit, Dorvill. ad Charit. p. 220. ed. Lips., Wetsten. et interpp. N. T.

1041. χρῶ τῇ φύσει, utere natura, aetate, adolescentia tua, indulge animo.

1042. αὐτόν. dominum, maritum adulterae. v. 219.

1043. ἐπαν. infin. pro imperativo. similia comparant Euripidis Hipp. 429. seqq., Baech. 29., Terentii Eun. 3, 5, 35. seqq.

1045. καίτοι. proinde, ut Eurip. Herc. fur. 1211. et alias. cf. Viger. 8, 7, 25.

1046. sic H. magna pars codicum

ἔξει τινὰ γνώμην λέγειν τὸ μὴ εὐρύπρωκτος εἶναι;

Δ. Λ. ἢν δ' εὐρύπρωκτος ᾖ, τί πείσεται κακόν; i. tr.

Δ. Λ. τί μὴν ἔτι μεῖζον ἂν πάθοι τούτου ποτ' ἄν;

Α. Λ. τί δῆτ' ἐρεῖς, ἢν τοῦτο νικηθῇς ἐμοῦ;

Δ. Λ. σιγήσομαι. τί δ' ἄλλο;

Α. Λ. φέρε δή μοι φράσον·
ξυνηγοροῦσιν ἐκ τίνων; ἐξ εὐρυπρώκτων.

Δ. Λ. πείθομαι. i. t.

Α. Λ. τί δαί; τραγῳδοῦσ' ἐκ τίνων; ἐξ εὐρυπρώκτων.

Δ. Λ. εὖ λέγεις.

Α. Λ. δημηγοροῦσι δ' ἐκ τίνων; ἐξ εὐρυπρώκτων. ἆρα δῆτ'
ἔγνωκας, ὡς οὐδὲν λέγεις; καὶ τῶν θεατῶν ὁπότεροι
πλείους, σκόπει.

Δ. Λ. καὶ δὴ σκοπῶ.

Α. Λ. τί δῆθ' ὁρᾷς; πολὺ πλείονας

MSS., in his Dorvill., et vett. edd.: ὄφ. γε πειθόμενός σοι. omissum σοὶ in pluribus, recte. S.: ἢν ὄφ. οὕτω γὰρ τοὺς ἀλόντας μοιχοὺς ᾐτίζοντο· ῥαφανίδας λαμβάνοντες καθίσεσαν εἰς τοὺς πρωκτοὺς τούτων, καὶ παρατίλλοντες αὐτοὺς τέφραν θερμὴν ἐπέπασσαν (Thesm. 503.), βασάνους ἱκανὰς ἐργαζόμενοι. cf. Plut. 168.

1047. τὸ μὴ ε. εἶναι. de hoc usu loquendi vide Ran. 68.

1049. Il. dura oratione (quippe illatis monosyllabis 4 continuis), neque eleganti numero, τί μὲν οὖν ἂν ἔτι μ. π. τ. ποτέ; 4 codd. ποτ' ἄν, bis posito ἄν, ut Thesm. 195. et alias: v. grammaticos.

1050. τοῦτο. κατὰ τοῦτο. S.: — δύο προθέσεων ἐλλείψεις. ἀντὶ τοῦ εἰς τοῦτο νικηθῇς ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κακὸν εὐρύπρωκτον εἶναι. id eo probatum it Injustus, quod omnes propemodum Athenienses sint adulteri, et tamen vivant valeantque.

1052. vulgo et hoc versu et duobus sequentibus verba ἐξ εὐρ. et πολὺ πλείονας — εὐρ. 1056. et 57. legantur sub persona justi oratoris, quasi is vineta ipse sua caedat; quod ineptum. nec minus inepte alter dicit πείθομαι, εὖ λέγεις, quasi concedens Justo, quem convincit. imo ipse sibi respondet Injustus, et victus alter veritate fugit, ne vapulet. v. 906., 918. — 21. — ξυνηγ. rhetores et causarum patronos ut cinaedos saepe perstringit. v. Eccles. 112. sequ., Equ. 817. sequ. etc. *Br.* πείθομαι. formula assentiendi, ut εὖ λέγεις sequ. versu et saepius, εὖ ταῦτα λέγεις Av. 492., καλῶς λέγεις Ach. 720. cf. Pac. 974., Av. 1046. — magis magisque commotis duobus λόγοις ab iambis tetram. cat. ad graviores acatalectos assurgit oratio, et sic procedit usque ad 1059., quo breviore versu ex more praeparatur clausula, quae itidem constat iambo tetr. catalectico. cf. ann. ad Pac. 549.

1053. τραγ. εἰς Φρύνιχόν φασιν αὐτὸν ἀποτείνειν, τὸν τραγικὸν χορευτήν, ἐπεὶ διεβάλλετο ἐπὶ μαλακίᾳ διὰ ποικιλίαν σχημάτων. S. de hoc quidem Be. conferri jussit Vesp. 1488. seqq. „sed tamen," inquit, „etiam ad Agathonem, tragicum poëtam, potest respexisse Comicus, quem in prima parte Thesmophoriorum haud leviter perstringit tanquam effeminatum." etc. quin ipse Sophocles φίλερως fuisse dicitur, neque puerorum amore abstinuisse: vide Soph. vol. 1. p. 5.

1055. οὐδὲν λέγεις, *nugaris.* cf. 623.

νὴ τοὺς θεοὺς τοὺς εὐρυπρώκτους. τουτονὶ γοῦν οἰδ' ἐγώ,
κἀκεινονὶ, καὶ τὸν κομήτην τουτονί. τί δῆτ' ἐρεῖς;

Δ. Δ. ἠττήμεθ'. ὦ κινούμενοι, πρὸς τῶν θεῶν i. tr.
δέξασθέ μου θοἰμάτιον, ὡς ἐξαυτομολῶ πρὸς ὑμᾶς! i. t. c.

ΣΩ. τί δῆτα; πότερα τοῦτον ἀπάγεσθαι λαβὼν i. tr.
βούλει τὸν υἱὸν, ἢ διδάσκω σοι λέγειν;

ΣΤ. δίδασκε, καὶ κόλαζε, καὶ μέμνησ', ὅπως
εὖ μοι στομώσεις αὐτόν· ἐπὶ μὲν θἄτερα,
οἷαν δικιδίοις, τὴν δ' ἑτέραν αὐτοῦ γνάθον
στόμωσον, οἵαν ἐς τὰ μείζω πράγματα.

ΣΩ. ἀμέλει κομιεῖ τοῦτον σοφιστὴν δεξιόν.

ΦΕΙ. ὠχρὸν μὲν οὖν, ἐγῷδα, καὶ κακοδαίμονα.

ΣΩ. χωρεῖτε νῦν.

ΦΕΙ. οἶμαι δέ σοι ταῦτα μεταμελήσειν. as. Eurip.

ΧΟ. Τοὺς κριτὰς, ἃ κερδανοῦσιν, ἢν τι τόνδε τὸν Χορὸν t.
t. c. ἐπίῤῥ.
ὠφελῶσ' ἐκ τῶν δικαίων, βουλόμεσθ' ἡμεῖς φράσαι.

1059 ὦ κιν. compellat spectatores, ut infra 1150., Ran. 290., 301., 905., Pac. 20.

1060. θοἰμ. ἵνα ἐξ ἑτοίμου καὶ εὐχερῶς χωρήσῃ πρὸς αὐτὸν (αὐτοὺς), καὶ μὴ ἐμποδίζοιτο (ἐν) τῷ δρόμῳ. S. his dictis justus Orator projecto pallio transilit ad spectatores; injustus abit. B.

1061. sic plures codd., D., H. vulgo πότερον — ἐπάγεσθαι, quorum verborum illud minus elegans est, hoc autem manifesto falsum.

1062. διδ. praes. pro futuro, ut Ran. 579., 597. etc.

1064. στομ. ὀξυνεῖς, ἢ εὔστομον ποιήσεις. ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν. S. „Pollux 2, 100. Ἀριστοφάνης στομῶσαι εἰρηκε τὸ λάλον ἀπεργάζεσθαι.“ K. praeterea confertur illud Sophoclis Oed. Col. 736. τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα, Πολλὴν ἔχον στόμωσιν, ubi schol. vetus: στόμωσιν, δείνωσιν, καὶ πανουργίαν. cf. etiam 1114. rursum S. Aristoph.: ἐπὶ θἄτερα. (ab altera parte) τὸ μὲν ἕτερον μέρος τῆς γνάθου.

1065. οἵαν δικ. τοιαύτην δυνατὴν καὶ ἔμπειρον δικῶν. ὑποκοριστικῶς δὲ τὸ δικιδίοις. S.

1068. ἐγῷδα, ut Ach. 5. Rav. et Ven. ἔγωγε, ut vulgo. alii codd. οἶμαι γε, etc. H. ὡ. μὲν οἶμ' ἔγωγε κ. τ.

1069. novimus hoc metrum ex Hephaestione c. 15. p. 94. ed. Gaisford., ubi vocatur τὸ Εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον, Hermanno Elem. doctr. metr. p. 598., et aliis. verbis χωρεῖτε νῦν Strepsiaden abire jubet Socr., filium autem ejus introire in suam ipsius domum.

1070. κἀνταῦθα παράβασίς ἐστιν, ἐν ᾗ (vulgo: ἐν ᾧ — τοὺς πονηρούς, quae leguntur post verba ἀλλὰ μόνον τὸ ἐπίῤῥημα, cum haec sit descriptio totius parabaseos.) ἔθος ἦ χρησταὶ συμβουλεύειν τῇ πόλει, ἢ σκώπτειν τοὺς πονηρούς. ἔχει δὲ οὐ πάντα τὰ μέρη τῆς παραβάσεως, ἀλλὰ μόνον τὸ ἐπίῤῥημα. τίθενται γὰρ οὐ μόνον τέλειαι παραβάσεις, ἀλλὰ καὶ μέρη τινὰ αὐτῶν. — αἰτιατικὴ δὲ (τοὺς κριτὰς) ἀντὶ εὐθείας, ἀντὶ τοῦ οἱ κριταί. Ὅμηρος (Odyss. α', 275.) μητέρα δ', εἴ οἱ θυμὸς ἐποτρύνει γαμέεσθαι, ἀντὶ τοῦ ἡ μήτηρ. (cf. 1103., 1298., Av. 458.) S.

1071. ἐκ τῶν δικ. δικαίως. vide Soph. Trach. 372., Matth. gr. §. 574. — ἡμεῖς Rav., Ven., H. vulgo ὑμεῖν.

πρῶτα μὲν γὰρ, ἢν νεᾶν βούλησθ' ἐν ὥρᾳ τοὺς ἀγροὺς,
ὕσομεν πρώτοισιν ὑμῖν, τοῖσι δ' ἄλλοις ὕστερον.
εἶτα τὸν καρπὸν, τεκούσας τ' ἀμπέλους, φυλάξομεν,
ὥστε μήτ' αὐχμὸν πιέζειν μήτ' ἄγαν ἐπομβρίαν.
ἢν δ' ἀτιμάσῃ τις ἡμᾶς θνητὸς ὢν οὔσας θεὰς,
προσεχέτω τὸν νοῦν, πρὸς ἡμῶν οἷα πείσεται κακὰ,
λαμβάνων οὔτ' οἶνον, οὔτ' ἄλλ' οὐδὲν, ἐκ τοῦ χωρίου.
ηνίκ' ἂν γὰρ αἵ τ' ἐλᾶαι βλαστάνωσ', αἵ τ' ἄμπελοι,
ἀποκεκόψονται· τοιαύταις σφενδόναις παιήσομεν.
ἢν δὲ πλινθεύοντ' ἴδωμεν, ὕσομεν· καὶ τοῦ τέγους
τὸν κέραμον αὐτοῦ χαλάζαις στρογγύλαις ξυντρίψομεν.
κἂν γαμῇ ποτ' αὐτὸς, ἢ τῶν ξυγγενῶν, ἢ τῶν φίλων,
ὕσομεν τὴν νύκτα πᾶσαν, ὥστ' ἴσως βουλήσεται
κἂν ἐν Αἰγύπτῳ τυχεῖν ἂν μᾶλλον ἢ κρῖναι κακῶς.

„similis judicum benevolentiae captatio est in Av. 1024. seqq.“ *H.*

1072. *νεᾶν.* *ἀροτριᾶν.* *ἐν ὥρᾳ.* *εὐκαίρως.* *(ineunte vere.* Br.) gl. Br.

1074. vulgo *τεκ. ἀμπ.*, quasi de solis vitibus ageretur. cf. 1078, 79. *τὸν κ.*, fruges. *τεκ.* per se dictum est pro *βλαστανούσας.* D. nescio qua auctoritate *ε. τὸν καρπόν τε καὶ τὰς ἀμπ. φ.*

1075. delevi virgulam post *πιέζειν:* nam ordo hic est: *ὥστε μήτ' ἄγαν πιέζειν αὐχμὸν, μήτ' ἐπ.*

1080. *σφενδ. ὅτι ἡ χάλαζα ὡς λίθος ἐστίν.* S. similiter, annotante Spanh., Axionicus ap. Athen. 3. p. 95.: *σιλφίῳ σφενδονῶν, silphium infundens* sive *inspergens*, et velut *jaculatus.*

1082. intell. *τις*, quod interdum in hac forma omittitur. *Ern.*

1084. *τὴν νύκτα. ὅτε ἀνάγκη ἐστὶ μετελθεῖν τὴν νύμφην.* S. de nocturna deductione sponsarum laudatur Wakefield. Silv. crit. vol. 5. p. 43. eo pertinent faces nuptiales, de quibus vide annott. ad Eurip. Phoen. 311. (346. 347. ed. Valck.) Catull. 61, 77.: *viden', ut faces Splendidas quatiunt comas? Sed moraris; abit dies: Prodeas, nova nupta.* et 62, 1.: *Vesper adest, juvenes. — Jam veniet virgo, jam dicetur hymenaeus.*

1085. *ἂν* recte scripsit H. auctore Suida v. *βουλήσεται.* vulgo: *τυχεῖν ὧν*, quod vereor ut sit graecum. *ἐν Αἰγ. ἐπεὶ μὴ ὗειν δοκεῖ αὐτόθι* (certe in superiore parte Aegypti, qua Thebae sunt, ut H. observavit.), *ὡς Ἡρόδοτος.* (3, 10. cf. Thesm. 815.) *ἐκεῖ οὖν θελήσει τυχεῖν, ἔνθα μὴ βλαβήσεται ἐκ τῶν Νεφελῶν, ὡς ποδροτάτω τῆς πατρίδος.* (nam Nilus et Phasis orbis termini veteribus. vide Eurip. Androm. 630. sequ. et Welckero laudatum Heyn. ad Pindar. Isthm. 2, 62.) *ἢ ὡς ἐπὶ κατάραν, ἐπεὶ καταρᾶται· ἐλέγετο γὰρ λῃστεύεσθαι ἡ Αἴγυπτος. Αἰσχύλος.* (fragm. incert. 126., p. 120., nostrae ed.) *δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι. καὶ Θεόκριτος ἐν Ἀδωνιαζούσαις* (47.) *οὐδεὶς κακόεργος Ἁλεῖται τὸν ἰόντα, παρέρπων αἰγυπτιστί. καὶ αἰγυπτιάζειν* (Thesm. 879.) *τὰ ὕπουλα πράττειν.* S. Suid.: *δεινοὶ πλέκειν τὰς μηχανὰς Αἰγύπτιοι. ἐπὶ τῶν σφόδρα κακουργούντων· τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι.* cf. Diogenian. Proverb. 4, 35. H.: „Videtur utrumque ita conjungendum, ut dicat, malle illos vel in sicca Aegypto esse, quamvis aliis abundante incommodis.“

νὴ τοὺς θεοὺς τοὺς εὐρυπρώκτους. τουτονὶ γοῦν οἶδ' ἐγώ,
κἀκεινονὶ, καὶ τὸν κομήτην τουτονί. τί δῆτ' ἐρεῖς;
Δ. Α. ἠττήμεθ'. ὦ κινούμενοι, πρὸς τῶν θεῶν i. tr.
1060 δέξασθέ μου θολμάτιον, ὡς ἐξαυτομολῶ πρὸς ὑμᾶς! i. t. c.
ΣΩ. τί δῆτα; πότερα τοῦτον ἀπάγεσθαι λαβὼν i. tr.
βούλει τὸν υἱὸν, ἢ διδάσκω σοι λέγειν;
ΣΤ. δίδασκε, καὶ κόλαζε, καὶ μέμνησ', ὅπως
εὖ μοι στομώσεις αὐτόν· ἐπὶ μὲν θάτερα,
1065 οἵαν δικιδίοις, τὴν δ' ἑτέραν αὖτοῦ γνάθον
στόμωσον, οἵαν ἐς τὰ μείζω πράγματα.
ΣΩ. ἀμέλει κομιεῖ τοῦτον σοφιστὴν δεξιόν.
ΦΕΙ. ὠχρὸν μὲν οὖν, ἐγῷδα, καὶ κακοδαίμονα.
ΣΩ. χωρεῖτε νῦν.
ΦΕΙ. οἶμαι δέ σοι ταῦτα μεταμελήσειν. as. Eurip.
1070 ΧΟ. Τοὺς κριτὰς, ἃ κερδανοῦσιν, ἤν τι τόνδε τὸν Χορὸν t.
t. c. ἐπίῤῥ.
ὠφελῶσ' ἐκ τῶν δικαίων, βουλόμεσθ' ἡμεῖς φράσαι.

1059 ὦ κιν. compellat spectatores, ut infra 1150., Ran. 290., 301., 905., Pac. 20.

1060. θολμ. ἵνα ἐξ ἑτοίμου καὶ εὐχερῶς χωρήσῃ πρὸς αὐτὸν (αὐτοὺς), καὶ μὴ ἐμποδίζοιτο (ἐν) τῷ δρόμῳ. S. his dictis justus Orator projecto pallio transilit ad spectatores; injustus abit. B.

1061. sic plures codd., D., H. vulgo πότερον — ἐπάγεσθαι, quorum verborum illud minus elegans est, hoc autem manifesto falsum.

1062. διδ. praes. pro futuro, ut Ran. 579., 597. etc.

1064. στομ. ὀξυνεῖς, ἢ εὔστομον ποιήσεις. ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν. S. „Pollux 2, 100. Ἀριστοφάνης στομῶσαι εἴρηκε τὸ λίθον ἀπεργάζεσθαι.“ K. praeterea confertur illud Sophoclis Oed. Col. 736. τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα, Πολλὴν ἔχον στόμωσιν, ubi schol. vetus: στόμωσιν, δείνωσιν, καὶ πανουργίαν. cf. etiam 1114. rursum S. Aristoph.: ἐπὶ θᾶτερα. (ab altera parte) τὸ μὲν ἕτερον μέρος τῆς γνάθου.

1065. οἵαν δικ. τουτέστι δυνατὴν καὶ ἔμπειρον δικῶν. ὑποκοριστικῶς δὲ τὸ δικιδίοις. S.

1068. ἐγῷδα, ut Ach. 5. Rav. et Ven. ἔγωγε, ut vulgo. alii codd. οἶμαι γε, etc. H. ὦ. μὲν οἶμ' ἔγωγε κ. τ.

1069. novimus hoc metrum ex Hephaestione c. 15. p. 94. ed. Gaisford., ubi vocatur τὸ Εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον, Hermanno Elem. doctr. metr. p. 598., et aliis. verbis χωρεῖτε νῦν Strepsiaden abire jubet Socr., filium autem ejus introire in suam ipsius domum.

1070. κἀνταῦθα παράβασίς ἐστιν, ἐν ᾗ (vulgo: ἐν ᾧ — τοὺς πονηροὺς, quae leguntur post verba ἀλλὰ μόνον τὸ ἐπίῤῥημα, cum haec sit descriptio totius parabaseos.) ἔθος ἦ χρησταὶ συμβουλεύειν τῇ πόλει, ἢ σκώπτειν τοὺς πονηρούς. ἔχει δὲ οὐ πάντα τὰ μέρη τῆς παραβάσεως, ἀλλὰ μόνον τὸ ἐπίῤῥημα. τίθενται γὰρ οὐ μόνον τέλειαι παραβάσεις, ἀλλὰ καὶ μέρη τινὰ αὐτῶν. — αἰτιατικὴ δὲ (τοὺς κριτὰς) ἀντὶ εὐθείας, ἀντὶ τοῦ οἱ κριταί. Ὅμηρος (Odyss. α', 275.) μητέρα δ', εἴ οἱ θυμὸς ἐποτρύνει γαμέεσθαι, ἀντὶ τοῦ ἡ μήτηρ. (cf. 1103., 1298., Av. 458.) S.

1071. ἐκ τῶν δικ. δικαίως. vide Soph. Trach. 372., Matth. gr. §. 574. — ἡμεῖς Rav., Ven., H. vulgo ὑμῖν.

πρῶτα μὲν γὰρ, ἢν νεᾶν βούλησθ' ἐν ὥρᾳ τοὺς ἀγροὺς,
ὕσομεν πρώτοισιν ὑμῖν, τοῖσι δ' ἄλλοις ὕστερον.
εἶτα τὸν καρπὸν, τεκούσας τ' ἀμπέλους, φυλάξομεν,
ὥστε μήτ' αὐχμὸν πιέζειν μήτ' ἄγαν ἐπομβρίαν.
ἢν δ' ἀτιμάσῃ τις ἡμᾶς θνητὸς ὢν οὔσας θεὰς,
προσεχέτω τὸν νοῦν, πρὸς ἡμῶν οἷα πείσεται κακὰ,
λαμβάνων οὔτ' οἶνον, οὔτ' ἄλλ' οὐδὲν, ἐκ τοῦ χωρίου.
ηνίκ' ἂν γὰρ αἵ τ' ἐλᾶαι βλαστάνωσ', αἵ τ' ἄμπελοι,
ἀποκεκόψονται· τοιαύταις σφενδόναις παιήσομεν.
ἢν δὲ πλινθεύοντ' ἴδωμεν, ὕσομεν· καὶ τοῦ τέγους
τὸν κέραμον αὐτοῦ χαλάζαις στρογγύλαις ξυντρίψομεν.
κἂν γαμῇ ποτ' αὐτὸς, ἢ τῶν ξυγγενῶν, ἢ τῶν φίλων,
ὕσομεν τὴν νύκτα πᾶσαν, ὥστ' ἴσως βουλήσεται
κἂν ἐν Αἰγύπτῳ τυχεῖν ἂν μᾶλλον ἢ κρῖναι κακῶς.

„similis judicum benevolentiae captatio est in Av. 1024. seqq.“ *H.*

1072. *νεᾶν. ἀροτριᾶν. ἐν ὥρᾳ. εὐκαίρως. (ineunte vere.* Br.) gl. Br.

1074. vulgo *τεκ. ἀμπ.*, quasi de solis vitibus ageretur. cf. 1078, 79. *τὸν κ.*, fruges. *τεκ.* per se dictum est pro *βλαστανούσας*. D. nescio qua auctoritate *ε. τὸν καρπόν τε καὶ τὰς ἀμπ. φ.*

1075. delevi virgulam post *πιέζειν*: nam ordo hic est: *ὥστε μήτ' ἄγαν πιέζειν αὐχμὸν, μήτ' ἐπ.*

1080. *σφενδ. ὅτι ἡ χάλαζα ὡς λίθος ἐστίν.* S. similiter, annotante Spanh., Axionicus ap. Athen. 3. p. 95.: *σιλφίῳ σφενδονῶν, silphium infundens* sive *inspergens*, et velut *jaculatus.*

1082. intell. *τὶς*, quod interdum in hac forma omittitur. *Ern.*

1084. *τὴν νύκτα. ὅτε ἀνάγκη ἐστὶ μετελθεῖν τὴν νύμφην.* S. de nocturna deductione sponsarum laudatur Wakefield. Silv. crit. vol. 5. p. 43. eo pertinent faces nuptiales, de quibus vide annott. ad Eurip. Phoen. 311. (346. 347. ed. Valck.) Catull. 61, 77.: *viden', ut faces Splendidas quatiunt comas? Sed moraris; abit dies: Prodeas, nova nupta.* et 62, 1.: *Vesper adest, juvenes. — Jam veniet virgo, jam dicetur hymenaeus.*

1085. *ἄν* recte scripsit H. auctore Suida v. *βουλήσεται.* vulgo: *τυχεῖν ὤν*, quod vereor ut sit graecum. *ἐν Αἰγ. ἐπεὶ μὴ ὕειν δοκεῖ αὐτόθι* (certe in superiore parte Aegypti, qua Thebae sunt, ut H. observavit.), *ὡς Ἡρόδοτος.* (3, 10. cf. Thesm. 815.) *ἐκεῖ οὖν θελήσει τυχεῖν, ἔνθα μὴ βλαβήσεται ἐκ τῶν Νεφελῶν, ὡς ποῤῥωτάτω τῆς πατρίδος.* (nam Nilus et Phasis orbis termini veteribus. vide Eurip. Androm. 630. sequ. et Welckero laudatum Heyn. ad Pindar. Isthm. 2, 62.) *ἢ ὡς ἐπὶ κατάραν, ἐπεὶ καταρᾶται· ἐλέγετο γὰρ λησταὶ εὐέσθαι ἡ Αἴγυπτος. Αἰσχύλος.* (fragm. incert. 126., p. 120., nostrae ed.) *δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι. καὶ Θεόκριτος ἐν Ἀδωνιαζούσαις* (47.) *οὐδεὶς κακόεργος Δαλεῖται τὸν λόντα, παρέρπων αἰγυπτιστί. καὶ αἰγυπτιάζειν* (Thesm. 879.) *τὰ ὕπουλα πράττειν.* S. Suid.: *δεινοὶ πλέκειν τὰς μηχανὰς Αἰγύπτιοι. ἐπὶ τῶν σφόδρα κακουργούντων· τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι.* cf. Diogenian. Proverb. 4, 35. H.: „Videtur utrumque ita conjungendum, ut dicat, malle illos vel in sicca Aegypto esse, quamvis aliis abundante incommodis.“

ΣΤΡΕΨΙΑΔΗΣ. ΣΩΚΡΑΤΗΣ. ΦΕΙΔΙΠΠΙΔΗΣ. ΠΑΣΙΑΣ. ΜΑΡΤΤΣ. ΑΜΥΝΙΑΣ. ΧΟΡΟΣ.

ΣΤ. Πέμπτη, τετρὰς, τρίτη, μετὰ ταύτην δευτέρα· i. tr.
εἶθ', ἣν ἐγὼ μάλιστα πασῶν ἡμερῶν
δέδοικα, καὶ πέφρικα, καὶ βδελύττομαι,
εὐθὺς μετὰ ταύτην ἔστ' ἔνη τε καὶ νέα.
πᾶς γάρ τις ὀμνὺς, οἷς ὀφείλων τυγχάνω,
θέλις μοι πρυτανεῖ' ἀπολεῖν μέ φησι κἀξολεῖν,

1085. Actus 4. scena 1. hic constituitur. egreditur Streps. saccum farina plenum humeris gestans, petitque scholam philosophi, sacco illo Socratem donaturus, et inter eundum pro se loquitur, animique sollicitudinem exprimit (dies reliquos mensis numerans); tum fores pulsat. — πέμπτη. nempe ante illum diem, quae dicebatur ἕνη καὶ νέα. Bc. annotavit K. secundum S., vett. Athenn. decadis postremae sive tertiae mensium dies ordine retrogrado numerasse, ita ut ultimum mensis diem, quem jam ponemus fuisse trigesimum, appellarent ἕνην (sive ἐνην) καὶ νέαν, (vel etiam ἔνην per se, ut Ach. 172., Eccles. 79. „Harpocrat. v. ἕνη καὶ νέα: τὸ ἕνον δασυνόμενον τὸ πρότερον καὶ παρειληλυθὸς δηλοῖ." *Harles.* plura vide ap. ipsum et interpp., collatis annott. ad 1089. 1135.) vigesimum nonum δευτέραν φθίνοντος, vigesimum octavum τρίτην φθίνοντος, et sic porro usque ad vigesimum, quem εἰκάδα vocabant.

1089. ἕνη καὶ νέα. ἡ νουμηνία. οὕτω παρ' Ἀθηναίοις ἡ παρ' ἡμῖν τριακὰς, ἐπειδὴ συμβαίνει ἐν αὐτῇ καταλήγειν τὴν σελήνην, καὶ γενέσθαι. τότε δὲ τοὺς μὴ ταχέως (die 20. mensis) ἀποδιδόντας τοὺς τόκους ἢ τὰ δάνεια (imo si creditor instabat in jure, sortem cum usuris: vid. Wieland.) ἀπῄτουν, ὡς ὑπερορίους. (libri: ὑπερόρους, quod nescio an sit inusitatum. Ern.: ὑπερημέρους.) διὸ λυπεῖσθαί φησιν, ὡς ὁρῶν ἐνισταμένην ἕνην καὶ νέαν. S. rectius Plut. Solone c. 25., postquam de ἕνη καὶ νέᾳ dixit: τὴν δὲ ἑφεξῆς ἡμέραν, inquit, νουμηνίαν ἐκάλεσε.

1090. ὀμνὺς plures codd., Reisk. aliique. mendosum est, quod vulgo legitur, ὄμνυσ'. ceterum notum est, libenter jurasse Athenienses.

1091. θέλις μοι πρυτ. — πρυτανεῖα τὰ νῦν καλούμενα παρὰ Ῥωμαίοις σπόρτουλα. (fort. σπόρτυλαι.) — ἦν δὲ ἀργύριόν τι, ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων, καὶ ὁ διώκων. S. K.: — hanc tantum inter *sacramentum* Romanorum et πρυτανεῖον Atheniensium puto fuisse differentiam, quod ap. Rom. *sacram.* victi

ἐμοῦ μέτρι᾽ ἄττα καὶ δίκαι᾽ αἰτουμένου
„Ὦ δαιμόνιε, τὸ μὲν σὺ νυνὶ μὴ λάβῃς,
τὸ δ᾽ ἀναβαλοῦ μοι, τὸ δ᾽ ἄφες.“ — οὔ φασιν ποτε
οὕτως ἀπολήψεσθ᾽, ἀλλὰ λοιδοροῦσί με,
ὡς ἄδικός εἰμι, καὶ δικάσασθαί φασί μοι.
νῦν οὖν δικαζέσθων· ὀλίγον γάρ μοι μέλει,
εἴπερ μεμάθηκεν εὖ λέγειν Φειδιππίδης.
τάχα δ᾽ εἴσομαι, κόψας τὸ φροντιστήριον.
παῖ, ἠμὶ, παῖ, παῖ!

ΣΩ. Στρεψιάδην ἀσπάζομαι.

ΣΤ. κἄγωγέ σ᾽· ἀλλὰ τουτονὶ πρῶτον λαβέ·
χρὴ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον.
καί μοι τὸν υἱὸν, εἰ μεμάθηκε τὸν λόγον
ἐκεῖνον, εἴφ᾽, ὃν ἀρτίως εἰσήγαγες.

ΣΩ. μεμάθηκεν . . .

ΣΤ. εὖ γ᾽, ὦ παμβασίλει᾽ Ἀπαιδία!

ΣΩ. ὥστ᾽ ἀποφύγοις ἂν ἤντιν᾽ ἂν βούλῃ δίκην.

ΣΤ. κεἰ μάρτυρες παρῆσαν, δτ᾽ ἐδανειζόμην;

ΣΩ. πολλῷ γε μᾶλλον, κεἰ παρῶσι χίλιοι.

tantum aerario cederet, victor autem partem suam reciperet; ap. Ath. autem tam victoris quam victi *πρυτανεῖα* ad aerarium redirent; ita tamen, ut victus victorem indemnem praestaret, pari pecuniae summa ei restituta. vide Varr. de LL. 4. extremo, Polluc. 8, 38. hinc patet, quid significet *θεῖναί τινι πρυτανεῖα*, nimirum proprie *prytanea cum aliquo deponere*, vel *sacramento cum aliquo contendere*; per consequens vero *in jus aliquem vocare*. (add. Petiti Legg. att. p. 485. seqq. [Köpke *über Gesetzgeb. der Gr.* p. 682.] quare 1140. Comicus *κλῆσιν θεῖναι* appellat, quod ante dixerat *πρυτανεῖα θεῖναι*. cf. inferius 1131., 1204., et Spanh. h. l. bene Wieland. reddidit *Succumbensgeld*, ut B. annotavit.

1092. ita Porson., Dobr., H., D., secundum 8 codd., in quibus est *μέτρι᾽ ἄττα*. vulgo: *μέτριά τε*.

1093. mendose libri vulgati *μέν τι*. 4, in quibus Rav., *μέν τοι*, passim *σ* et *τ*, *οι* et *υ* confusa in codicibus.

1095. *δικ.* K. et D. *δικάσεσθαι*. sed v. Firnhaber. ad Eurip. Iph. A. 458. (414.) Matth. gr. §. 506. alioqui legi posset *δικάσασθ᾽ ἄν φασί μοι*.

1100. *Στρεψ.* *ἀσπάζομαι*. forma salutandi cf. Plut. 320.

1101. *πρ. λαβέ.* *Θύλακον ἀλφίτων δίδωσιν αὐτῷ. καὶ γὰρ ἄνω εἶπε* (648.) *διαλφιτώσω σου κύκλῳ τὴν καρδοπον.* S.

1102. *ὑπιθ.* *θαυμαστῶς* (vid. annot. ad 992.) *τιμᾷν, καὶ ἀξιοῦσθαι.* gl. Victor.

1103. *τὸν υἱόν.* cf. 1070., 1136.

1105. *Ἀπ. πέπλακεν ὄνομα δαίμονος, σωματοποιήσας αὐτήν, παρὰ τὸ ἀπαιολεῖν, καὶ κινεῖν (κενοῦν?) καὶ στερεῖν· ἢ* (fort. *ην*, i. e. *ἤγουν*. v. Bast. apud Bredow. Epist. Paris. p. 53. sequ.) *τινα τοιαύτην, ὡς ἂν εἴποι τις ὦ Ἀδικία.* — S. cf. 705.

1108. *παρῶσι.* correctoris esse videtur, quod de aliquot libris assumsit Br., *παρῆσαν*. recte H.: „quod de uno facto dixerat Streps.,

ΣΤ. εἰς ἦν γε θήσειν τὰ πρυτανεῖά φασί μοι
ΦΕΙ. ἀπολοῦσ' ἄρ' αὖθ' οἱ θέντες· οὐ γὰρ ἔσθ' ὅπως.
μί' ἡμέρα γένοιτ' ἂν ἡμέραι δύο.
ΣΤ. οὐκ ἂν γένοιτο;
ΦΕΙ. πῶς γάρ; εἰ μή πέρ γ' ἅμα
αὐτὴ γένοιτο γραῦς τε καὶ νέα γυνή.
ΣΤ. καὶ μὴν νενόμισταί γ'.
ΦΕΙ. οὐ γάρ, οἶμαι, τὸν νόμον
ἴσασιν ὀρθῶς, ὅ τι νοεῖ.
ΣΤ. νοεῖ δὲ τί;
ΦΕΙ. Σόλων ὁ παλαιὸς ἦν φιλόδημος τὴν φύσιν.
ΣΤ. τουτὶ μὲν οὐδέν πω πρὸς ἔνην τε καὶ νέαν.
ΦΕΙ. ἐκεῖνος οὖν τὴν κλῆσιν εἰς δύ' ἡμέρας
ἔθηκεν, εἴς γε τὴν ἔνην τε καὶ νέαν,
ἵν' αἱ θέσεις γίγνοιντο τῇ νουμηνίᾳ.
ΣΤ. ἵνα δὴ τί τὴν ἔνην προσέθηχ'; ;
ΦΕΙ. ἵν', ὦ μέλε,
παρόντες οἱ φεύγοντες ἡμέρᾳ μιᾷ
πρότερον ἀπαλλάττοινθ' ἑκόντες· εἰ δὲ μή,
ἔωθεν ἐπανιῶντο τῇ νουμηνίᾳ.
ΣΤ. πῶς οὐ δέχονται δῆτα τῇ νουμηνίᾳ
ἀρχαὶ τὰ πρυτανεῖ', ἀλλ' ἔνῃ τε καὶ νέᾳ;
ΦΕΙ. ὅπερ οἱ προτέρθαι γὰρ δοκοῦσί μοι ποιεῖν·

1131. cf. 1091.

1132. ita Bekk., D., H. neque aliter Rav., nisi quod ostendit αὐτοὶ, ut Ven. vulgo ἀπολοῦντ' ἄρ' αὖθ' οἱ θ. cf. 1205.

1135. γραῦς. h. e. velut ἔνη, παλαιά. vide S. h. l. et Harl. ad 1086.

1138. vulgo ὁ Σόλων ὁ παλ. Venetus ὁ Σ. παλ. scires, trajectum esse articulum. S.: ἀρχὴ αὕτη (ita H. libri αὐτή.) τῆς τοῦ νόμου διηγήσεως. ἐκμιμεῖται δὲ τοὺς ῥήτορας, οἳ τὰ μὲν ὀνόματα τῶν νομοθετῶν ἴσασιν, οὐ μέντοι τοὺς νόμους.

1140. τὴν κλῆσιν. τὴν ἐν ταῖς δίκαις εἰσαγωγήν. καλοῦνται γὰρ εἰς τὰ δικαστήρια. S. cf. 1091.

1141. sic Rav., Ven., Bekk., D. vulgo: εἴς τε τὴν etc.

1142. αἱ θέσεις. τῶν πρυτανείων. cf. 1091.

1143. ἵνα δὴ τί. intell. γίγνοιτο ex superioribus. — προσέθηχ' Bentl. Dobraei 1. προσέθηκ'. vulgo numeris inelegantibus: προσέθηκεν.

1145. ἀπαλλ. ἑκόντες. est verbum proprium in tali re, cum quis per compositionem, aut a io modo, se expedit e controversia aliqua et molestia. Ern.

1146. codd. mendo tralaticio ὑπαν., quod abhorret. S.: ὑπαν. (ἐπ., cruciarentur.) ἀντὶ τοῦ μετὰ βίας ἀπαιτοῖντο. ἔθος γὰρ ἦν καταβάλλειν (int. τὰ πρυτανεῖα) τῇ νουμηνίᾳ. S.

1148. ita H., Bekk., D. vulgo: ἀρχαί. — S.: ἀρχαὶ, οἳ ἄρχοντες.

1149. S. a Reizio emendatus secundum Suid. v. προτέρθαι (lege-

1150 ὅπως τάχιστα τὰ πρυτανεῖ' ὀφειλοίατο,
διὰ τοῦτο προὐτένθευσαν ἡμέρᾳ μιᾷ.
ΣΤ. εὖ γ', ὦ κακοδαίμονες, τί κάθησθ' ἀβέλτεροι,
ἡμέτερα κέρδη τῶν σοφῶν, ὄντες λίθοι,
ἀριθμὸς, πρόβατ', ἄλλως, ἀμφορῆς νενησμένοι;
1155 ὥστ' εἰς ἐμαυτὸν καὶ τὸν υἱὸν τουτονὶ
ἐπ' εὐτυχίαισιν ᾄστέον μοὐγκώμιον.

batur enim οἱ προλαμβάνοντες καὶ προεσθίοντες τὰ ὄψα): — προτένθαι οἱ προλαμβάνοντες τὰ ὄψα, πρὶν εἰς ἀγορὰν κομισθῆναι, καὶ μεταπιπράσκοντες πλείονος· οἱ νῦν μετάβολοι καλούμενοι, ἢ λίχνοι, ἢ ἀκρατεῖς. gl. Br.: προτ. λαίμαργοι. προὐτένθευσαν, ἐλαιμάργησαν, προέλαβον. Hesych., annotante Br. προτένθαι: λίχνοι, προαρπάζοντες. Suidas praeter alia, in quibus ei fere convenit cum S.: προτένθαι (a τένθειν, ἐσθίειν, τροπῇ τοῦ δ εἰς θ, ut narrat Eustath. ad Iliad. p. 270, 19.), οἱ πρὸ τοῦ καιροῦ (antequam epulae fiant) τῶν προσφαγίων ἀπογευόμενοι. Athen. 4., p. 171, d: εὑρίσκω δὲ καὶ ψήφισμα ἐπὶ Κηφισοδώρου ἄρχοντος γενόμενον, ἐν ᾧ ὥσπερ τι σύστημα οἱ προτένθαι εἰσὶ, καθάπερ καὶ οἱ παράσιτοι ὀνομαζόμενοι. (de quibus copiose disseruit 6. p. 234. C. sequ. *Herm.*) fuerunt igitur προτένθαι, quos Romani *praegustatores* dicunt, quorum collegium quoddam gustabat carnes, quae sacris epulis pararentur. hinc derivata significatio *gulosorum*; τροπικῶς autem *propolae (die Vorkäufer)* eodem nomine appellari coeperunt. vide Br. et H.

1152. ἀβέλτ. ἀνόητοι. βέλτερος γὰρ ὁ φρόνιμος. ἢ ἀπαίδευτοι. (Ran. 931. Thesm. 296. ἡλιθίου κἀβελτέρου. *Be.*) πρὸς δὲ τοὺς δανειστὰς ποιεῖται τὸν λόγον. — S. haec Strepsiades ad spectatores. cf. 1059.

1153. ἡμ. κέρδη τῶν σοφ. hunc atticismum pro κέρδη ἡμῶν τῶν σοφῶν illustrat K. ad Plut. 33. *Ern.* λίθοι, *lapides*, h. e. sensu carentes, stupidi. „Terent. Hec. 2, 1, 17.: *quae me omnino lapidem, non hominem, putas.*“ Be. Comicus francogallus, annotante Br.: *les sots sont icibas pour nos menus plaisirs.*

1154. ἀριθμὸς, *numerus*: nam sic etiam Latini. gl.: μάταιον πλῆθος. πρόβατ' ἄλλως. ἁπλούστατοι μάτην. conferri jussit L. Bos. Obss. critt. c. 15. p. 75. Vesp. 32. πρόβατα συγκαθήμενα, Plut. 918. προβατίου βίον, Plaut. Bacch. 5, 2, 3.: *quis has huc oves adegit?* i. e. senes stultos.) ἀμφ. νεν. Μεγαρικὰ σεσωρευμένα. (Bos. l. l.: *amphorae coacervatae*, κέραμοι ματαίως σεσωρευμένοι, ut recte interpretatus est Suid., quales scil. in taberna figulina cernuntur etc. H. — „numerus, inquit, estis, pecudes, et inutilis (?) supellex. eadem sententia in illo Horatii 1. Epist. 2, 27.: *nos numerus sumus et fruges consumere nati.* de verbo νενησμένος vid. Buttmann. in gr. 2. p. 192. [de verbo νέω, unde hoc ducitur, v. Hemsterhus. ad Lucian. 1, 306. et interpp. Hesychii v. νένηται. *Ern.* Thuc. 2, 52.: φθάσαντες τοὺς νήσαντας (πυράς).] Suidam patet ἄλλως cum νεν. conjunxisse, quod placuit recentioribus editoribus. in antiquis edd. post ἄλλως interpungunt, quod ita feci, ut cum ἀριθμὸς conjungeretur: nam exempla talis numeri sunt pecudes et amphorae. Eurip. Troad. 465.: οὐκ ἀριθμὸν ἄλλως, ἀλλ' ὑπερτάτους Φρυγῶν. cf. Elmsl. ad Heracl. 997.“ simile convicium est *vasus fictilis* ap. Petron. 57., et proverbii loco dicuntur *vasa Samia*, h. e. fragilia, ap. Plautum Bacch. 2, 2, 24. quo pertinere dicas Shakspearii dictum Macbetho: *Frailty, thy name is Woman!*

1156. μοὐγκ. μοι ἐγκώμιον. vide Br. et Elmsl. ad Eurip. Med. 801. B.: his dictis Streps. canere incipit.

„Μάκαρ, ὦ Στρεψίαδες, αὐτός τ' ἔφυς, as., dm. et i. μονοστ.
ὡς σοφὸς, χοῖον τὸν υἱὸν τρέφεις!" as., ith. et i.
φήσουσι δή μοι φίλοι, χοὶ δημόται, as. τρίκ., i. cr. i.
ζηλοῦντες, ἡνίκ' ἂν σὺ νικᾷς, i. d. h.
λέγων τὰς δίκας. dm.
ἀλλ' εἰσάγων σε βούλομαι πρῶτον ἑστιᾶσαι. as., 2 an.
ΠΑ. εἶτ' ἄνδρα τῶν αὑτοῦ τι χρὴ προϊέναι; i. tr.
οὐδέποτέ γ', ἀλλὰ κρεῖττον ἦν εὐθὺς τότε
ἀπερυθριᾶσαι μᾶλλον ἢ σχεῖν πράγματα,
ὅτε τῶν ἐμαυτοῦ γ' ἕνεκα νυνὶ χρημάτων
ἕλκω σε κλητεύσοντα, καὶ γενήσομαι
ἐχθρὸς ἔτι πρὸς τούτοισιν ἀνδρὶ δημότῃ.
ἀτὰρ οὐδέποτέ γε τὴν πατρίδα καταισχυνῶ
ζῶν, ἀλλὰ καλοῦμαι Στρεψιάδην . . .
ΣΤ. τίς οὑτοσί;

(et velut praeit carmen illud ἐγκωμιαστικόν, quod poposcit, ridiculi causa.)

1158. τρέφεις 3 codd., in quibus Rav., D., H. vulgo ἐκτρέφεις, quod item est iambum fabricati. ὡς σοφὸς εἶ.

1160. ζηλ. *admirabundi*. Be. *honorantes*.

1162. sic probatiores libri, quos secuti sunt H. et D. vulgo: εἰσαγαγών. his dictis Streps. filium intus domum suam abducit, sed statim redit, audita vociferatione Pasiae danistae.

1163. — ἔρχεται δανειστὴς τοῦ Στρεψιάδου Πασίας, ἄγων μεθ' ἑαυτοῦ καὶ μάρτυρα, πρὸς ὃν διαλέγεται. προϊέναι δὲ ἀντὶ τοῦ προδιδόναι [καὶ κιχρᾷν]. ἀσχάλλει δὲ ἐπὶ τῷ μὴ κεκομίσθαι, ἅπερ ἐδανείσατο, χρήματα. φησὶν οὖν, οὐ χρὴ ῥᾳδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα. — S. εἶτ'. vid. annot. ad 226. προϊέναι. „scholiastae ea vera est interpretatio, ut sit *permittere aliquid alicui*, i. e. *credere*. nam *profundere* est προΐεσθαι. Herodotus de Arione 1, 24.: τὸν δὲ, συνέντα τοῦτο, λίσσεσθαι, χρήματα μὲν προϊέντα σφι, ψυχὴν δὲ παραιτεόμενον." *H.* cf. S. ad 1169.

1165. sic aliquot libri, in iisque optimi, Bekk., D., H. male alii ἀπερυθριάσαι γε, ut 1162. ἑστιάσαι, a verbis ἀπερυθριάζειν et ἑστιάζειν, brevi penultima infinitivorum aoristi. S.: ἀπερ. ἀντὶ τοῦ ἀρνησάμενον μὴ χρῆσαι, ἢ χρήσαντα πράγματα ἔχειν.

1166. ὅτε, ἐπεί. gl. Br.

1167. κλητ. est μαρτυρήσοντα, ὅτι καλῶ αὐτὸν εἰς δικαστήριον: *adduco te, ut testis mihi sis, eum a me in jus vocatum*. v. Suid. h. v., Hesych. in κλητεύει, κλητεύσων, Harpocrat. p. 46. ed. Blanc. et ibi Vales. Etym. M.: κλητεύσεις: τὸ μαρτυρήσεις etc. *E Duk.* etsi κλητὴρ et κλητεύειν proprie de eo dicitur, qui in jus vocat, tamen translatum est usu etiam ad eos, quos antestatur is, qui aliquem reum agit, quoniam hi quoque velut adjutores sunt in jus vocationis. v. Ruhnken. ad Tim. p. 160. *Ex Herm.*

1169. friget γὲ, malimque sane οὐδέποτ' ἐγὼ τὴν π. ut Ach. 921. gl. Br.: τὴν π. κ.. κατηγορεῖ Ἀθηναίων, ὡς περὶ τὰς δίκας ἀεὶ διατριβόντων.

1170. καλ. *cito*. verbum juris.

ΠΑ. ἐς τὴν ἔνην τε καὶ νέαν.
ΣΤ. μαρτύρομαι,
ὅτι ἐς δύ' εἶπεν ἡμέρας. τοῦ χρήματος;
ΠΑ. τῶν δώδεκά γε μνῶν, ἃς ἔλαβες, ὠνούμενος
τὸν ψαρὸν ἵππον.
ΣΤ. ἵππον; οὐκ ἀκούετε;
1175 ὃν πάντες ὑμεῖς ἴστε μισοῦνθ' ἱππικήν!
ΠΑ. καὶ νὴ Δί' ἀποδώσειν γ' ἐπώμνυς τοὺς θεούς.
ΣΤ. νὴ τὸν Δί'· οὐ γάρ πω τότ' ἐξηπίστατο
Φειδιππίδης μοι τὸν ἀκατάβλητον λόγον.
ΠΑ. νῦν δὲ διὰ τοῦτ' ἔξαρνος εἶναι διανοεῖ;
1180 ΣΤ. τί γὰρ ἄλλ' ἂν ἀπολαύσαιμι τοῦ μαθήματος;
ΠΑ. καὶ ταῦτ' ἐθελήσεις ἀπομόσαι μοι τοὺς θεούς,
ἵν' ἂν κελεύσω 'γώ σε;
ΣΤ. τοὺς ποίους θεούς;

1171. μάρτ. ridicule reus Streps. testatur.

1172. τοῦ χρ.; λείπει χάριν ἢ περὶ, ἀττικῶς. S. cf. 22.

1173. ll. infirmiore numero δώδ. μνῶν.

1174. ψαρόν. Hesych. ψαροί: ποικίλοι. εἶδος χρώματος. item ψαρόν: ποικίλον, (ἢ Both.) σποδοειδές. Be. S. τὸν ψαρόν. τὸν ταχὺν, ἀπὸ τοῦ ψαίρειν· ὅθεν καὶ αἰψηρός. ἢ τὸν τὸ χρῶμα τοιοῦτον (intell. ὡς φάρα, *sturnum*, Staar). H. certum genus coloris intelligit, „sive id est," inquit, „cinereum aut murinum, cujusmodi sunt equi, qui ab nostratibus *mohrenköpfe* et *mausfalben*, diversi illi quidem inter se, vocantur, sive album nigris punctis distinctum, qui nobis dicuntur *stichelschimmel*. multa de illa voce attulit H. Steph. in Thesauro."

1177. ita secundus Dobraei. vulgo:
—— τοὺς θεοὺς
τὸ χρέος. ΣΤ. μὰ Δι' οὐ γὰρ
πω τότ' ἔ.
verba τὸ χρέος, omissa illa in pluribus codd., in quibus deinde scriptum metri gratia μὰ τὸν Δί', non est dubium quin ab interprete sint profecta. quam eandem originem habent etiam ista in aliis τὸ χρέος. μὰ Δί' οὐ δῆτ', οὐ γὰρ —, μὰ Δί' οὐ δῆτ' οὐ γὰρ —, μὰ δι' οὐδέποτ', οὐ γὰρ —, in quibus omnibus dure intelligebant ex superioribus οὐκ ἐπώμνυν, negandum esse Strepsiadi existimantes, se id promisisse Pasiae, quod inepte neget homo, qui statim subjiciat causam, cur antea promiserit se debitum redditurum esse, quia scilicet tum nondum instructus fuerit Phidippides scientia τοῦ ἀκαταβλήτου λόγου. admisit tamen in altera ed. H. scripturam libri Dorvill. hanc: — θεούς. ΣΤ. Μὰ Δί' οὐδέποτ'· οὐ γάρ πω etc., h. e. μὰ Δί' οὐδέποτ' ἀποδώσω.

1178. τὸν ἀκατ. τὸν ἀήττητον, τὸν μηδενὶ καταβαλλόμενον. — S.

1179. ἔξαρνος εἶναι, ἀπαρνεῖσθαι. cf. Plut. 241. Be.

1182. ἵνα ἂν κελεύσω σε ἀπομόσαι, seu potius ὁμόσαι, quod repetendum ἀπὸ κοινοῦ ex verbo ἀπομόσαι (cf. 1184.): *ubi te jussero jurare*, h. e. in jure. frustra trepidant, mutantque haec, propter ἵνα male relatum ad tempus. quem errorem jam olim erravit librarius Rav., qui omisit verba ἵν' ἂν κελ. 'γώ σε, soloeca illa, ut opinor, visa bono viro. quem nollem audivisset H., cum ipse fateatur, librum istum non magis quam Venetum prorsus immunem esse a

ΠΑ. τὸν Δία, τὸν Ἑρμῆν, τὸν Ποσειδῶ.
ΣΤ. νὴ Δία,
κἂν προσκαταθείην γ', ὥστ' ὀμόσαι, τριώβολον.
ΠΑ. ἀπόλοιο τοίνυν ἕνεκ' ἀναιδείας!
ΣΤ. ἔτι
ἁλοὶν διασμηχθεὶς ὄναιτ' ἂν οὗτοσί.
ΠΑ. οἴμ', ὡς καταγελᾷς!
ΣΤ. ἐξ χοᾶς χωρήσεται.
ΠΑ. οὔ τοι, μὰ τὸν Δία τὸν μέγαν καὶ τοὺς θεούς,
ἐμοῦ καταπροίξει.
ΣΤ. θαυμασίως ἥσθην θεοῖς,
καὶ Ζεὺς γελοῖος ὀμνύμενος τοῖς εἰδόσιν.
ΠΑ. ἦ μὴν σὺ τούτων τῷ χρόνῳ δώσεις δίκην.
ἀλλ', εἴτ' ἀποδώσεις δὴ τὰ χρήματ', εἴτε μή,

correctionibus veterum criticorum. — τοὺς πολιοὺς θεούς, ut Eurip. Phoen. 654. τὰ ποῖα ταῦτα; ubi perperam schol.: περισσὸν τὸ τά. cf. 1219., ann. ad Ach. 906. et interpp. Vigeri ad 1, 19, 3, 30.

1183. de tribus diis, per quos jurare Solon jusserat, vid. Spanh. ad h. l. nominabantur fere, qui cuique negotio praeesse crederentur: hic quidem Jupiter, ut supremus deorum; Mercurius, ut in re pecuniaria; Neptunus, quia emtus est equus." *H.* cf. 606.

1184. προσκατ. ἀντὶ τοῦ ζημιωθείην ἄν τρεῖς ὀβολοὺς, ἵνα ἐπιτρέψῃς μοι ὀμόσαι τοὺς θεούς· οὕτω καταφρονᾷ τοῦ ὅρκου. — S. *sacramento, quod deponendum est, addiderim 3 obolos, ut liceat jurare.* sic 1205. προσαποβαλεῖς (?) *Ex Ern.*

1185. perperam ll. — ἀναιδείας ἔτι. ΣΤ. ἁλοὶν etc. imo ἔτι οὐτ. ὄναιτο ἀ δ., *adhuc utilis esset hic homo sale perfricatus.*

1186. (ἀ. δ.) οἱ σμηχόμενοι ἁλσὶ βελτίονες γίνονται. ἅμα καὶ ὅτι τοὺς παραφρονοῦντας ἁλσὶ καὶ ἐλαίῳ διέβρεχον, καὶ ὠφελοῦντο. (ἄλλως.) ὡς παχύδερμον δὲ αὐτὸν χλευάζει· τὰ γὰρ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μαλαττόμενα εὐρύτερα γίνονται, ὡς πλέον χωρεῖν μέτρον. — S.

1187. vulgo χοᾶς vel χόας. sed Suidas χοας ὅτε ἐπὶ μέτρου τίθεται, περισπᾶται, et similiter S. ad Ach. 941. (1013.), ubi hunc ipsum locum profert. sed vide ibi Elmslejum. — ceterum S. ad Equ. 95.: χοῦς μέτρον ἀττικὸν χωροῦν κοτύλας ἡ.

1188. καὶ τοὺς θεούς. h. e. *et reliquos deos.* vide, quem Harles. laudavit, Fischerum ad Aeschin. Socr. 1, 7. p. 34.

1189. καταφρ. καταφρονήσεις, παρὰ τὴν προῖκα. (οὐ) δωρεὰν ἐπεγχανῇ μοι. S. cf. Vesp. 1320. etc. — ἥσθην. cf. 174.

1190. τοῖς εἰδόσιν, ut Eurip. Iphig. Taur. 526. ὄλωλεν, ὡς ὄλωλε τοῖσιν εἰδόσιν Rhes. 927. σεμνὸς τοῖσιν εἰδόσιν θεός. Hecub. 637.: εἰδόσιν δ' ὠνείδισας. sic fere loquuntur, qui, quod sciunt, soli vel cum paucis scire aut experti esse sibi videntur, velut initiati mysteriis; quod ridiculum in Strepsiade.

1192. ita 2 Dobraei codd., H. Venetus quoque et quidam alii libri ἀλλ' εἴτ' ἀποδώσεις τὰ χ. Rav. Dorv. et 3 Paris. Br.: ἀλλ' εἴτε γ' ἀπεδ. τὰ χρ. vulgo: ἀλλ' εἴτ' ἀπ. μοι τὰ χρ.

ἀπόπεμψον ἀποκρινάμενος.

ΣΤ. ἔχε νυν ἥσυχος·
ἐγὼ γὰρ αὐτίκ' ἀποκρινοῦμαί σοι σαφῶς.

ΠΑ. τί σοι δοκεῖ δράσειν;

ΜΑΡ. ἀποδώσειν μοι δοκεῖ.

ΣΤ. ποῦ 'σθ' οὗτος ὁ παιτῶν με τἀργύριον; — λέγε,
τουτὶ τί ἐστι;

ΠΑ. τοῦθ' ὅ τι ἐστί; κάρδοπος.

ΣΤ. ἔπειτ' ἀπαιτεῖς τἀργύριον, τοιοῦτος ὤν;
οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενὶ,
ὅστις καλέσειε κάρδοπον τὴν καρδόπην.

ΠΑ. οὐκ ἄρ' ἀποδώσεις;

ΣΤ. οὐχ, ὅσον γέ μ' εἰδέναι.
οὔκουν ἀνύσας τι θᾶττον ἀπολιταργιεῖς
ἀπὸ τῆς θύρας;

ΠΑ. ἄπειμι, καὶ τοῦτ' ἴσθ', ὅτι
θήσω πρυτανεῖ', ἢ μηκέτι ζῴην ἐγώ.

ΣΤ. καὶ προσαπολεῖς ἄρ' αὐτὰ πρὸς ταῖς δώδεκα.
καίτοι σε τοῦτό γ' οὐχὶ βούλομαι παθεῖν,
ὅτιὴ 'κάλεσας εὐηθικῶς τὴν κάρδοπον.

ΑΜ. ἰώ μοί μοι!

ΣΤ. ἔα, do.
τίς οὑτοσί ποτ' ἔσθ' ὁ θρηνῶν; οὔτι που i. tr.
τῶν Καρκίνου τις δαιμόνων ἐφθέγξατο;

1193. ἔχε ν. ἥσ. hic dictis intus it Streps. petitum mulctram, κάρδοπον.

1196. ποῦ — τἀργ.; quaerit Pasiam, qui paulum secesserat a foribus, cum teste collocuturus.

1198. ἔπειτα. cf. 226. τοιοῦτος, *talis*, tam imperitus.

1199. cf. ann. ad 650.

1201. ὅσον γέ μ' εἰδέναι, *quantum scio*. ridiculum acumen hominis stupidi. cf. Pac. 763.

1202. ἀνύσας τι. formula, de qua vid. index. Br.: „ἀπολ. gl. ὑποχωρήσεις, ἀπέλθῃς. Etym. M.: ἀπολιταργεῖν, τὸ ἀπειλθεῖν ταχέως, παρὰ τὸ λίαν καὶ ἀργὸν, (?) ὅ ἐστι ταχὺ, περιττεύοντος τοῦ τ. (?) cf. Pac. 540. S.: λιταργισμοὺς ἐκάλουν τὰ σκιρτήματα. (ἄλλως.) ἀποδραμῇ, ἀποσκιρτήσεις [, καταλείψῃ? fort. καταληξας.] ἀπὸ τῆς θύρας, ἥτις ἐστιν ἡ λίτη. (?)

1205. ita Venet., H. quidam codd.: καὶ προσαποβαλεῖς. vulgo: προσαποβαλεῖς, omisso καί.

1207. εὐηθικῶς. miseratur eum, tanquam hominem simplicem ac stultum, qui dixerit τὴν κάρδοπον.

1208. ejulatio tragica. accedit autem Amynias, alius foenerator, a quo mutuatus erat Phidippides.

1210. δαιμόνων. παρ' ὑπόνοιαν εἶπεν ἀντὶ τοῦ παίδων, ἐπεὶ τραγικῶς ἀνεφώνησε τὸ ἰὼ μοί μοι. — S. probabiliter H. intelligit nescio quos daemones flebiles et lacrimosos, quos egerint Carcini filii in tragoediis patris. vide de hoc Tragico ejusque filiis ann.

ΑΜ. τί δ', ὅστις εἰμὶ, τοῦτο βούλεσθ' εἰδέναι;
ἀνὴρ κακοδαίμων.
ΣΤ. κατὰ σεαυτόν νυν τρέπου.
ΑΜ. ὦ σκληρὲ δαῖμον! ὦ τύχαι θραυσάντυγες
ἵππων ἐμῶν! ὦ Παλλὰς, ὡς μ' ἀπώλεσας!
ΣΤ. τί δὲ Τληπόλεμός σε πώποτ' εἴργασται κακόν;
ΑΜ. μὴ σκῶπτέ μ', ὦ 'τὰν, ἀλλά μοι τὰ χρήματα
τὸν υἱὸν ἀποδοῦναι κέλευσον, ἅλαβεν,
ἄλλως γε μέν που, καὶ κακῶς πεπραγότι.
ΣΤ. τὰ ποῖα ταῦτα χρήματ';
ΑΜ. ἠδανείσατο.
ΣΤ. κακῶς ἄρ' ὄντως εἶχες, ὡς γ' ἐμοὶ δοκεῖς.
ΑΜ. ἵππους γ' ἐλαύνων ἐξέπεσον, νὴ τοὺς θεούς.
ΣΤ. τί δῆτα λῃρεῖς, ὥσπερ ἀπ' ὄνου καταπεσών;

ad Pac. 739., Ran. 86., Vesp. 1449. Thesm. 168. et Hermanno laudatum Meinekeum in Comment. miscell. fasc. 1. p. 23. seqq.

1212. idem versus legitur Ach. 953. K. vid. ibi annot.

1213. ὦ σκ. δαῖμον. τοῦτο Ξενοκλέους (unius τῶν Καρκινιτῶν), ὑπὸ Τληπολέμου λεγόμενον· διὸ καὶ ἐπήνεγκε τί δαί σε Τληπόλεμος. (vulgata scriptura 1215.) — Εὐφρόνιος δὲ φησι, τὸ ὦ Παλλὰς, ὡς μ' ἀπ. Ξενοκλέους εἶναι ἐκ τοῦ Λικυμνίου, λεγόμενον ὑπὸ Ἀλκμήνης, τοῦ Λικυμνίου ὑπὸ Τληπολέμου ἀνῃρημένου. — ἄλλοι δὲ τραγικὸν ὑποκριτὴν εἶναι τὸν Τληπόλεμον, συνεχῶς ὑποκρινόμενον Σοφοκλεῖ. (imo dicitur Tlepolemus, Herculis e captiva filius, de quo Homerus Catalogo, Il. β', 661. seqq., ut Br. annotavit. — εἰκότως δὲ τούτοις (ὦ τύχαι θραυσ.) ὁ δανειστὴς χρῆται· διὰ γὰρ ἱπποτροφίαν ἐπτώχευσεν. S.

1215. ita Dobraei 3, probante Hermanno. Venet.: τί δέ σε Τληπ. πώποτ'. vulgo: τί δαί σε Τληπόλεμός ποτ' εἴργ. κ.;

1216. ὦ 'τάν. vide Plut. 66.

1218. μέν που. ll. μέντοι, cui non est hic locus, jam ita haec vertas: *cum aliter quidem*, i. e. alia de causa (quia mihi debes), *tum male habenti* rebus fractis. H. ἄ. γε μέντοι κ. κ. πέπραγά τι, quae inculcavit post 1220.

1219. τὰ ποῖα τ. χρ.; cf. 1182.

1220. κακῶς ἄρ' εἶχες. διὰ τὸ ἄνω (1208. et 1202.) εἰρηκέναι ἰώ μοί μοι καὶ ἀνὴρ κακοδαίμων. S. malim εἶχες accipi ἀορίστως, ut ἦσθην 1189.

1221. ἵππ. γ' ἐλ. καὶ τοῦτο ἐκ παρῳδίας. ἅμα δὲ καὶ αὐτὸς ἱπποτροφῶν ἐδυσπράγησεν. S. minus bene Rav. et Ven. ἵππ. ἐλ.

1222. ὥσπερ ἀπ' ὄνου. ἐπὶ τῶν ἀλόγως πραττόντων ἡ παροιμία, καὶ μὴ δυναμένων ὄνοις χρῆσθαι, μήτε γε δὴ ἵπποις. — ἢ ἐκπαῖξε πρὸς τὸ ὑπ' αὐτοῦ εἰρημένον, καὶ, δέον εἰπεῖν ἀπὸ [τοῦ] νοῦ, εἶπεν ἀπ' ὄνου. — S. v. Zenob. cent. 2. Adag. 57., Suid. v. ἀπ' ὄνου et v. λῃρεῖς, ubi locus hic citatur etc. K. ludit in ambiguitate: nam si scribas ἀπὸ νοῦ καταπεσών, erit *a mente delapsus*, i. e. mente alienatus. sic καινοῦ et καὶ νοῦ ap. Laërtium (vid. Menag. ad Diog. Laërt. t. 2. p. 128.), qui refert, Diogenem interrogatum, quibus rebus opus sit futuro philosopho, respondisse: βιβλίου καινοῦ δεῖ, cum intelligeret καὶ νοῦ. *E Be.* item Stilpo ap. Diog. Laërt. 2. 118., annotante Br., ω Κράτης, δοκεῖς μοι χρεῖαν ἔχειν ἱματίου καινοῦ, h. e. καὶ νοῦ. Plautus Mil. 4, 7, 26.

ΑΜ. λῃρῶ, τὰ χρήματ' ἀπολαβεῖν εἰ βούλομαι;
οὐκ ἔσθ' ὅπως σύ γ' αὐτὸς ὑγιαίνεις.
ΣΤ. τί δαί;
τὸν ἐγκέφαλον ὥσπερ σεσεῖσθαί μοι δοκεῖς.
ΑΜ. σὺ δὲ νὴ τὸν Ἑρμῆν προσκεκλῆσθαί μοι δοκεῖς,
εἰ μὴ 'ποδώσεις τἀργύριον.
ΣΤ. κάτειπέ νυν,
πότερα νομίζεις καινὸν ἂν ἀεὶ τὸν Δία
ὕειν ὕδωρ ἑκάστοτ', ἢ τὸν ἥλιον
ἕλκειν κάτωθεν αὐτὸ τοῦθ' ὕδωρ πάλιν.
ΑΜ. οὐκ οἶδ' ἔγωγ', ὁπότερον, οὐδέ μοι μέλει.
ΣΤ. πῶς οὖν ἀπολαβεῖν τἀργύριον δίκαιος εἶ,
εἰ μηδὲν οἶσθα τῶν μετεώρων πραγμάτων;
ΑΜ. ἀλλ' εἰ σπανίζεις, τἀργυρίου μοι τὸν τόκον
ἀπόδοτε.
ΣΤ. τοῦτο δ' ἔσθ', ὁ τόκος, τί θηρίον;
ΑΜ. τί δ' ἄλλο γ' ἢ κατὰ μῆνα καὶ καθ' ἡμέραν
πλέον πλέον τἀργύριον ὅ γ' ἀεὶ γίγνεται,

nam si abstinuissem a mare pro *amare*. ceterum simili modo loquendi Vesp. 1324. dixit τί ταῦτα λῃρεῖς, ὥσπερ ἀπὸ τύμβου πεσών; ut Be. annotavit.

1224. οὐκ — ὑγιαίνεις. male haec sub Strepsiadis persona leguntur, et rursus verba τί δαί; quae sunt mirantis, ut Ach. 757., Eurip. Iphig. A. 1309. et alias, sub Amyniae. ὑγ., sanus es, h. e. mentis compos. cf. Plut. 360. etc.

1226. ita Rav., Ven., H., alii codd. προσκεκλῆσθαί μοι, omisso δοκεῖς. vulgo: προσκεκλήσεσθαί γέ μοι, quod ita servavit Br., ut scriberet γ' ἐμοί. similiter dictum est προσκεκλῆσθαί μοι δοκεῖς ac σεσεῖσθαί μοι δοκεῖς, ut solent irridentes. tum bene observavit H. etsi proprie requiratur hic futurum, eandem tamen in perfecto vim inesse, quae quo magis recondita sit, eo verisimilius esse, interpretem adscripsisse προσκεκλήσεσθαι, quod deinde in ipsum ordinem receperint imperiti. habere enim προσκεκλῆσθαι, nota significatione temporum praeteritorum, hanc vim, ut tam certum esse dicatur illum in jus vocatum iri, quam si jam sit vocatus.

1228. codd. hiante versu καινὸν αἰεὶ τὸν Δ. Epicorum et Tragicorum est αἰεί, Comicorum ἀεὶ prima brevi. v. Equ. 215, 274.

1230. sic H. secundum plures codd. vulgo: ταὐτὸ τοῦθ'.

1232. δίκ. εἶ. cf. 1371.

1234. σπαν., eges.

1236. non modo in mensem (17.), verum etiam in diem, Athenn. foenore sumebant argentum, quod foenus qui exercerent, appellabantur ἡμεροδανεισταί, ut refert Spanh., laudatis Diog. Laërt. 7, 99., Theophr. Char. 6, 3. Plaut. Epid. 1, 1, 51. sequ. Theophr. l. l. vecordis hoc esse ait, τῆς δραχμῆς τόκον τρία ἡμιοβώλια (quartam drachmae partem) πράττεσθαι. cf. Salmas. de Mod. usur. p. 65.

1237. haustum puto ὅ γ' ab — ον praegresso. „πλέον πλέον est πλέοϑ καὶ πλέον. v. Dorvill. ad Char. p. 200. sequ.“ *Harl.*

ὑποῤῥέοντος τοῦ χρόνου;

ΣΤ. καλῶς λέγεις.
τί δῆτα; τὴν θάλατταν ἔσθ' ὅτι πλείονα
νυνὶ νομίζεις ἢ πρὸ τοῦ;

ΑΜ. μὰ Δί', ἀλλ' ἴσην·
οὐ γὰρ δίκαιον πλείον' εἶναι.

ΣΤ. κἄτα πῶς
αὕτη μέν, ὦ κακόδαιμον, οὐδὲν γίγνεται
ἐπιῤῥεόντων τῶν ποταμιῶν πλείων, σὺ δὲ
ζητεῖς ποιῆσαι ταὐργύριον πλεῖον τὸ σόν;
οὐκ ἀποδιώξεις σαυτὸν ἀπὸ τῆς οἰκίας; —
φέρε μοι τὸ κέντρον!

ΑΜ. ταυτ' ἐγὼ μαρτύρομαι.

ΣΤ. ὕπαγε! τί μέλλεις; οὐκ ἐλᾷς, ὦ σαμφόρα;

ΑΜ. ταῦτ' οὐχ ὕβρις δῆτ' ἐστίν;

ΣΤ. ἄξεις; ἐπιαλῶ,
κεντῶν ὑπὸ τὸν πρωκτόν σε τὸν σειραφόρον. —
φεύγεις; ἔμελλον ἄρα σε κινήσειν ἐγὼ
αὐτοῖς τροχοῖς τοῖς σοῖσι καὶ ξυνωρίσιν.

ΧΟ. οἷον τὸ πραγμάτων ἐρᾷν φλαύρων! asyn., i. h. cr. d. cat. στ.

1239. Lucret. 6, 609.: *principio mare mirantur non reddere majus Naturam, quo tantu' fuat decursus aquarum.* etc. Be.

1245. ἀποδ. σαυτόν. acute Dobr.: „ἀποδιώξεις, quoniam danistes hic διώκων erat, Streps. φεύγων τὸν διώκοντα. (quasi dicas germanice: *wirst du dich selber nicht fortcitieren aus meinem Hause?*) sic in Av. 957. ad Metonem geometram: *οὐκ ἀναμετρήσεις σαυτὸν ἀπιὼν ἀλλαχῆ;*" — ἀπὸ non pauci codd. sed ἐκ meliores, quod tamen aegre defendi posse censet H., cum haec foris agantur.

1246. servum afferre jubet κέντρον, h. e. *stimulum*, quali bubulci atque aurigae utebantur. „vide, Pindar. Pyth. 4, 236., Soph. Oed. R. 768." *H. Voss.*

1247. ἐλᾷς. fut. att. σαμφ. cf. ann. ad 23.

1248. sequ. Br. male secundum C cod. ἐπί σ' ἀλῶ. S.: — ἐν ἤθει (vultuose) τὸ ᾄξεις λέγει, οὐκ ἀπάξῃ ποτὲ ἐντεῦθεν, κ. πορεύσῃ; ἐπιαλῶ. μέλλων ἀπὸ τοῦ ἰάλλω. λέγει δὲ ἐπιπέμψω σοι (τὸ κέντρον. cf. annot. ad Vesp. 422.) — σειραφόρος δὲ ὁ ἔξω τοῦ ζυγοῦ. — ἐπιβαλῶν σοι τὴν μάστιγα, καὶ δέρων τὸν πρωκτόν, ἄξω σε. ἀπὸ μεταφορᾶς τῶν κεντουμένων ἵππων βραδέων ὑπὸ τῶν ἡνιόχων.

1251. αὐτοῖς, σὺν αὐτοῖς. Matth. gr. §. 400, f. etc. — ξυνωρίσιν. cf. 15.

1252. abacto Amynia, postquam domum rediit Streps., miratus Chorus impudentiam atque improbitatem hominis infelicem rei exitum anguratur. v. ann. ad 1392. — aliter hos versus digesserunt Reisig et H.; quorum ille pro ἐρασθεὶς, quod habent ll., dedit ἐξαρθεὶς, ἰσόμετρον illud vulgato ἐζήτει in antistropha; hic haud nolit legi ἐραστεύσας, cum in antistropha h. l. Rav. Ven. et liber Casinii praebeant ἐπεζήτει: probabiliter autem ibi posuit ἐπῄτει, quod recepi, hic autem confidenter scripsi

ὁ γὰρ γέρων ὅδ' ἐρεισθεὶς anacr.
ἀποστερῆσαι βούλεται τὰ χρήμαθ', ᾿αδανείσατο, i. t.
κοὐκ ἔσθ' ὅπως οὐ i. h.
(5) τήμερον λήψεταί τι πρᾶγμ', ὃ τοῦτον ποιήσει as.,
2 comp. e cr. et t.
τὸν σοφιστὴν * *
οἷων πανουργεῖν ἤρξατ', ἐξαίφνης κακὸν λαβεῖν τι. i. t. c.
οἶμαι γὰρ αὐτὸν αὐτίχ' εὑρήσειν, ἀντ.
ὅπερ πάλαι ποτ' ἐπῄτει,
εἶναι τὸν υἱὸν δεινόν οἱ γνώμας ἐναντίας λέγειν
τοῖσιν δικαίοις,
ὥστε νικᾷν ἅπαντας, οἵσπερ ἂν ξυγγένηται,
κἂν λέγῃ παμπόνηρα· as., cr. et t.
ἴσως δ', ἴσως βουλήσεται κἄφωνον αὐτὸν εἶναι.

ἐρεισθεὶς, strenue incumbens, ut ἔπος πρὸς ἔπος ἠρειδόμεσθα 1317. etc. similia in scriptis α et ει: hinc error. cf. ann. ad 1298.

1256. πρᾶγμα, negotium, litem.

1257. fuit cum excidisse putarem verbum simile σοφισμῶν, quae forma nescio cur insimuletur.

1258. οἷων. ἀμέτρως codd.: ὧν.

1263. οἵσπερ ἂν ξυγγ., quibuscum vivat, praesertim adversus ipsum patrem.

1264. παμπ., pessima, falsissima.

1265. εὔξεται παρ' αὐτοῦ ἀδικούμενος, καὶ δεινὰ πάσχων, τέλεον ἄφωνον εἶναι. S.

ΣΤΡΕΨΙΑΔΗΣ. ΦΕΙΔΙΠΠΙΔΗΣ. ΧΟΡΟΣ. ΜΑΘΗΤΑΙ ΣΩΚΡΑΤΟΥΣ. ΣΩΚΡΑΤΗΣ. ΧΑΙΡΕΦΩΝ.

ΣΤ. Ἰοὺ ἰού! i.

ὦ γείτονες, καὶ ξυγγενεῖς, καὶ δημόται, i. tr.
ἀμυνάθετέ μοι τυπτομένῳ πάσῃ τέχνῃ!
οἴμοι κακοδαίμων τῆς κεφαλῆς, καὶ τῆς γνάθου!
ὦ μιαρὲ, τύπτεις τὸν πατέρα;

ΦΕΙ. φήμ', ὦ πάτερ.

ΣΤ. ὁρᾷθ' ὁμολογοῦντ', ὅτι με τύπτει!

ΦΕΙ. καὶ μάλα.

ΣΤ. ὦ μιαρὲ, καὶ πατραλοῖα, καὶ τοιχωρύχε!

ΦΕΙ. αὖθίς με ταὐτὰ ταῦτα, καὶ πλείω, λέγε.
ἆρ' οἶσθ', ὅτι χαίρω πόλλ' ἀκούων καὶ κακά;

ΣΤ. ὦ λακκόπρωκτε...

ΦΕΙ. πάττε πολλοῖς τοῖς ῥόδοις.

ΣΤ. τὸν πατέρα τύπτεις;

ΦΕΙ. κἀποφανῶ γε νὴ Δία,

Actus quintus.

1266. — σχετλιάζων ἔξεισιν ὁ πρεσβύτης, ὡς ὑπὸ τοῦ παιδὸς τετυμμένος. — S.

1268. ἀμυν. βοηθήσατε. (cf. ann. ad 1416.) gl. E Paris. πάσῃ τέχνῃ. παντὶ τρόπῳ, πάσῃ δυνάμει. τὸ δὲ ἀμύνειν καὶ ἀμυνάθειν λέγουσι. S.

1270. τύπτεις τὸν πατέρα; causa ob facinus filii non modo gere τῆς κακώσεως tenebantur, auctore Aeschine adv. Tim. p. 264., sed etiam alia magis speciali περὶ τῶν χειρῶν, cujus legis non semel mentio fit in graecis commentariis ad Hermog., velut ap. Marcellinum p. 100., 110., et Syrianum p. 194. cf. Petit. Legg. att. p. 240. seqq. (Köpke *Ueber Gesetzgeb. der Gr.* p. 427.), et Meursii Them. att. c. 11. *E Spanh.*

1275. λακκ. εὐρύπρωκτε. *gl. Br.* πάττε — ῥόδοις. cf. 884., 887.

ὡς ἐν δίκῃ σ' ἔτυπτον.

ΣΤ. ὦ μιαρώτατε,
καὶ πως γένοιτ' ἂν πατέρα τύπτειν ἐν δίκῃ;

ΦΕΙ. ἔγωγ' ἀποδείξω, καὶ σε νικήσω λέγων.

ΣΤ. τουτί σ' νικήσεις;

ΦΕΙ. πολύ γε καὶ ῥᾳδίως.
ἑλοῦ δ', ὁπότερον τοῖν λόγοιν βούλει λέγειν...

ΣΤ. ποίοιν λόγοιν;

ΦΕΙ. τὸν κρείττον', ἢ τὸν ἥττονα.

ΣΤ. ἐδιδαξάμην μέντοι σε νήπι', ὦ μέλε,
τοῖσιν δικαίοις ἀντιλέγειν, εἰ ταῦτά γε
μέλλεις ἀναπείσειν, ὡς δίκαιον καὶ καλὸν
τὸν πατέρα τύπτεσθ' ἐστὶν ὑπὸ τῶν υἱέων.

ΦΕΙ. ἀλλ' οἴομαι μέντοι σ' ἀναπείσειν, ὥστε γε
οὐδ' αὐτὸς ἀκροασάμενος οὐδὲν ἀντερεῖς.

ΣΤ. καὶ μήν, ὅ τι καὶ λέξεις, ἀκοῦσαι βούλομαι.

ΧΟ. σὸν ἔργον, ὦ πρεσβῦτα, φροντίζειν, ὅπῃ τὸν ἄνδρα κρατήσεις, as., i. d. h. et gl. pol. h. στ.
ὡς οὗτος, εἰ μή τῷ 'πεπολῆσθαι, οὐκ ἂν ἦν οὕτως ἀκόλαστος,
ἀλλ' ἔσθ' ὅτῳ θρασύνεται· δῆλόν γε τἀνθρώπου 'στὶ τὸ λῆμα.
ἀλλ', ἐξ ὅτου τοπρῶτον ἤρξω', ἡ μάχη γενέσθαι, i. t. c.

1278. perperam ll. καὶ πῶς. ordo γέν. ἂν πως ἐν δ. καὶ π. τ.;

1283. νήπια (νηπι, νητι, νηδι), i. e. νηπίως, stulte. ll. νὴ Δί'. διδάσκεσθαι sensu medio significat vel *se ipsum* vel *alterum alicui docendum tradere*. priore significatu accipitur supra 127.; posterior sensus hic locum habet. Ammonius ἐδίδαξε καὶ ἐδιδάξατο διαφέρει. ἐδίδαξε μὲν γὰρ ὁ καθηγητὴς, ἐδιδάξατο δὲ ὁ πατὴρ συστήσας. Thom. Mag. ἐδίδαξα αὐτός· ἐδιδαξάμην δι' ἑτέρου. — E. K. μέντοι ironiae servit, ut 1287., 1303., Th. 9.

1286. υ ſ έ ω ν. vide Matth. gr. §. 89.

1290. vulgo:
σὸν ἔργον —— ὅπῃ
τὸν ἄνδρα κρατήσεις,
ὡς —— ἂν ἦν
οὕτως ἀκόλαστος,
ἀλλ' —— δῆλόν γε τὸ
λῆμ' ἐστὶ τἀνθρώπου.
solent librarii distrahere longiores versus, senariosque et usitatissima metra sectari; quod etiam hic factum est. nam quales, quaeso, esse dicamus istorum versuum 2. 4. 6., et similes antistrophae 1335. seqq., πηδᾷν ὅ τι λέξει, λαλῶν ἀναπείσει, ἂν οὐδ' ἐρεβίνθου? num anapaesticos? minime omnes: nam strophae 1. et antistrophae 1. et 3. formam habent amphibrachorum. at neque amphibrachos propter alius illos generis, strophae duos postremos et primum antistrophae. hic sane, si usquam, usurpandi erant versus asynarteti, in quibus difficultas inest nulla, eaque suavitas, quae decet senis pessime habiti solatrices Nubes.

1292. libri corruptis numeris: δῆλόν γε τὸ λῆμ' ἐστὶ τἀνθρώπου. — λ ῆ μ α. cf. 451.

φήσεις νομίζεσθαι σὺ παιδὸς τοῦτο τοὔργον εἶναι· i. t. c.
ἐγὼ δὲ γ' ἀντείποιμ' ἄν, ὡς δὶς παῖδες οἱ γέροντες.
εἰκὸς δὲ τοὺς γέροντας ἢ νεωτέρους τι κλάειν,
ὅσῳπερ ἐξαμαρτάνειν ἧττον δίκαιον αὐτούς.
ΣΤ. ἀλλ' οὐδαμοῦ νομίζεται τὸν πατέρα τοῦτο πάσχειν.
ΦΕΙ. οὔκουν ἀνὴρ ὁ τὸν νόμον θεὶς τοῦτον ἦν τὸ πρῶτον,
ὥσπερ σὺ κἀγώ, καὶ λέγων ἔπειθε τοὺς παλαιούς;
ἧττον τί δῆτ' ἔξεστι κἀμοὶ καινὸν αὖ τὸ λοιπὸν
θεῖναι νόμον τοῖς υἱέσιν, τοὺς πατέρας ἀντιτύπτειν;
ὅσας δὲ πληγὰς εἴχομεν πρὶν τὸν νόμον τεθῆναι,
ἀφίεμεν, καὶ δίδομεν αὐτοῖς προῖκα συγκεκόφθαι.
σκέψαι δὲ τοὺς ἀλέκτορας, καὶ τἄλλα τὰ βοτὰ ταυτί,
ὡς τοὺς πατέρας ἀμύνεται· καίτοι τί διαφέρουσιν
ἡμῶν ἐκεῖνοι πλήν γ', ὅτι ψηφίσματ' οὐ γράφουσι;
ΣΤ. τί δῆτ', ἐπειδὴ τοὺς ἀλεκτρυόνας ἅπαντα μιμεῖ,
οὐκ ἐσθίεις καὶ τὴν κόπρον, κἀπὶ ξύλου καθεύδεις;
ΦΕΙ. οὐ ταὐτόν, ὦ 'τὰν, ἐστίν, οὐδ' ἂν Σωκράτει δοκοίη.
ΣΤ. πρὸς ταῦτα μὴ τύπτ'. εἰ δὲ μή, σαυτόν ποτ' αἰτιάσει.
ΦΕΙ. καὶ πῶς;
ΣΤ. ἐπεὶ σὲ μὲν δίκαιός εἰμ' ἐγὼ κολάζειν·

magis metrum hujus loci curavit quam Plautus, cum simili παρῳδίᾳ senariis immiscuit trochaïcum t. c. Ba. 1, 2, 45. δοκεῖς dictum, ut ἐλογισάμην l. c. ad 1381.

1353. νομ., usitatum esse. cf. 930. etc. gl. Br.: τοῦτο. τὸ κλάειν (τυπτόμενον).

1354. δὶς π. οἱ γ. — Σοφ. Πηλεῖ Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνῃ Γερονταγωγῶ, κἀναπαιδεύω πάλιν· Πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ. καὶ Θεόπομπος δὶς παῖδες οἱ γέροντες ὀρθῶ τῷ λόγῳ. καὶ Πλάτων· ἆρ', ὡς ἔοικε, δὶς γένοιτ' ἂν παῖς γέρων; (vulgo: ἆρ', ὡς — γέρων.) καὶ Ἀντιφῶν (Antipho Comicus, inquit Be. hoc si verum est, scribes: προσέοικε γάρ, et habebis senarium.) γηροτροφία γὰρ προσέοικε παιδοτροφία. S. B. evolvi jussit Erasmi Adagg. p. 406. ed. Francof. a. 1670.

1355. vulgo εἰκὸς δὲ μάλιστα τοὺς γέρ. ἢ τοὺς νέους τι κλ. quidam MSS. pro μάλ. habent μᾶλλον, major autem pars librorum τοὺς νεωτέρους. secuti sumus Hermannum.

1358. ἀνὴρ, ἄνθρωπος, homo, non deus aliquis. θεὶς, ut θεῖναι, τεθῆναι, in seqq. male Rav. et duo vel tres alii codd. τιθείς.

1363. ἀφίεμεν, missas facimus, non curamus. συγκ. τυφθῆναι ἡμᾶς. κατακοπῆναι ταῖς μάστιξι. S.

1364. ἀλέκτορας, ut 645., 824. κακομέτρως libri ἀλεκτρύονας, quae est mera interpretatio formae rarioris.

1366. sic plurimi codd. vulgo πλὴν ὅτι, minus quidem eleganter. S. πλ. ὅτι ψηφ. ἀντὶ τοῦ δικαστήρια οὐκ ἄγουσιν. εἰς δὲ τὸ φιλόδικον τῶν Ἀθηναίων αἰνίττεται. S.

1367. ἅπαντα, πάντως. Be.: per omnia.

1371. δίκαιός εἰμ' ἐγὼ κολ. cf. 1232. etc.

σὺ δ', ἢν γένηταί σοι, τὸν υἱόν.
ΦΕΙ. ἢν δὲ μὴ γένηται,
μάτην ἐμοὶ κεκλαύσεται, σὺ δ' ἐγχανὼν τεθνήξει.
ΣΤ. ἐμοὶ μέν, ὦνδρες ἥλικες, δοκεῖ λέγειν δίκαια,
κἄμοιγε συγχωρεῖν δοκεῖ τούτοισι τἀπιεικῆ·
κλάειν γὰρ ἡμᾶς εἰκὸς ἔστ', ἢν μὴ δίκαια δρῶμιεν.
ΦΕΙ. σκέψαι δὲ χἀτέραν ἔτι γνώμην.
ΣΤ. ἀπὸ γὰρ ὀλοῦμαι!
ΦΕΙ. καὶ μὴν ἴσως γ' οὐκ ἀχθέσει παθὼν, ἃ νῦν πέπονθας.
ΣΤ. πῶς δή; δίδαξον γὰρ, τί μ' ἐκ τούτων ἐπωφελήσεις;
ΦΕΙ. τὴν μητέρ', ὥσπερ καὶ σέ, τυπτήσω.
ΣΤ. τί φής; τί φῂς σύ;
τοῦθ' ἕτερον αὖ μεῖζον κακόν.
ΦΕΙ. τί δ', ἢν ἔχων τὸν ἥττω
λόγον σὲ νικήσω λέγων, τὴν μητέρ' ὡς τύπτειν χρεών; i. t.
ΣΤ. τί δ' ἄλλο γ'; ἢν ταυτὶ ποιῇς, i. d.
οὐδέν σε κωλύσει σεαυτὸν ἐμβαλεῖν i. tr.
ἐς τὸ βάραθρον μετὰ Σωκράτους, καὶ τὸν λόγον τὸν ἥττω. i. t. c.
ταυτὶ δι' ὑμᾶς, ὦ Νεφέλαι, πέπονθ' ἐγὼ, i. tr.
ὑμῖν ἀναθεὶς ἅπαντα τἀμὰ πράγματα.
ΧΟ. αὐτὸς μὲν οὖν σαυτῷ σὺ τούτων αἴτιος,
στρέψας σεαυτὸν ἐς πονηρὰ πράγματα.

1373. ἐγχανὼν, mihi inhians, me irridens. Suid. ἐγχανών: καταγελάσας. — H. et D. τεθνήξεις Dawesio Misc. crit. p. 93. (148. sequ. ed. Kidd.) et Elmslejo ann. ad Acharn. 590. auctoribus.

1374, 5. τοὺς τρεῖς (στίχους) τοὺς ἑξῆς ὁ πρεσβύτης πρὸς τοὺς θεατάς. (ex senioribus.) ἐπιεικῆ δὲ ὅμοια, πρέποντα. S. aequum sibi videri ait, hos quoque, i. e. filios, uti suo jure.

1377. ἀπὸ γὰρ ὁλ. tmesis. Br.: refertur γὰρ ad aliquid suppressum, quod glossa supplet: οὐ βούλομαι.

1378.—81. fortasse verberatus haud dolebis, si matrem quoque mulcaveris. μεῖζον κακόν. contra Orestes in Euripidis fabula cognomini 534. πατὴρ μὲν ἐφύτευσέν με, σὴ δ' ἔτικτε παῖς. Τὸ σπέρμ' ἄρουρα παραλαβοῦσ' ἄλλου πάρα· Ἄνευ δὲ πατρὸς τέκνον οὐκ εἴη ποτ' ἄν. Ἐλογισάμην οὖν, τῷ γένους ἀρχηγέτῃ Μᾶλλόν μ' ἀμῦναι τῆς ὑποστάσης τροφάς. at Streps., homo simplex, maximum flagitium esse putat, si quis maternum uterum non revereatur. etiam hoc dicto Euripidem sugillari arbitratur Br.

1383. τί δ' ἄλλο γε; τί γὰρ ἄλλο; nam quid aliud (tum supererit quod facias)? enunciatum causale priore loco positum, forma loquendi, de qua vide annot. ad 774.

1384. οὐδέν σε κωλ. etc. nihil obstat, quominus etc.

1385. de βαράθρῳ dictum ad Plut. 390., 427.

1387. ὑμῖν ἀν. dum vobis permitto. Ern.

1389. Rav. et Ven. ἐς τἀ πον. πρ.

ΣΤ. τί δῆτα ταῦτ' οὖ μοι τότ' ἠγορεύετε,
ἀλλ' ἄνδρ' ἄγροικον καὶ γέροντ' ἐπήρετε;
ΧΟ. ἀεὶ ποιοῦμεν ταῦθ' ἑκάστοθ', ὁντιν' ἂν
γνῶμεν πονηρῶν ὄντ' ἐραστὴν πραγμάτων,
ἕως ἂν αὐτὸν ἐμβάλωμεν εἰς κακόν,
ὅπως ἂν εἰδῇ τοὺς θεοὺς δεδοικέναι.
ΣΤ. ὦ μοι, πονηρά γ', ὦ Νεφέλαι, δίκαια δέ·
οὐ γάρ μ' ἐχρῆν τὰ χρήμαθ', ἁδανεισάμην,
ἀποστερεῖν. νῦν οὖν ὅπως, ὦ φίλτατε,
τὸν Χαιρεφῶντα, τὸν μιαρὸν, καὶ Σωκράτην,
ἀπολεῖς μετελθών, οἳ σὲ κἄμ' ἐξηπάτων.
ΦΕΙ. ἀλλ' οὐκ ἂν ἀδικήσαιμι τοὺς διδασκάλους.
ΣΤ. ναὶ, ναὶ, καταιδέσθητι πατρῷον Δία.

1390. τότε. ὅτε τὴν ἀρχὴν προσῆλθον ὑμῖν. gl. E cod. Paris.

1391. ἐπηρ. *impulistis in hanc fraudem.* Ern.

1392. ἑκ., ὁντιν' ἄν. ita primus Porson ad Hecub. 1167. libri: ἑκ. ὅτ' ἄν (vel ὅταν) τινα, quae sunt olim vulgata, vel ἑκάστοτ' ἄν τιν' οὖν. et sic quidem plurimi MSS. — ratio haec similis magarum Shakspearii Macbetho et ipsius Satanae in fabulis vulgaribus, quod ferendum esse negans Droysen. (Des A. Werke, 3. Th., S. 15.) ita loquitur: A. versteht es, mit der treffendsten Kunst einen Chor dem Zusammenhange des Stücks entsprechend und zu dessen Entwickelung wesentlich einzuführen. So ist es von der herrlichsten Energie, dass die leeren, luftigen Wolken den Chor zu den alfanzigen Speculationen und den überspannten Luftschlössern der Komödie bilden. Aber diese Wolken verlieren schliesslich so ganz ihren Charakter und ihre Stellung, dass sie erklären, sie verlockten den Menschen geflissentlich zu allem Unfug, damit derselbe tief gestürzt einsehen lerne, er müsse die Götter ehren. Man hat auch Dies durch philosophische Deduction zu rechtfertigen gewusst; aber die Gesetze der alten Komödie leiden es nicht, das Spiel zu einer Allegorie speculativer Gedanken zu machen; der Massstab der Poesie ist nicht die Logik. Die poetische Wahrheit hätte gefordert, dass jene Göttinnen Wolken ihren Liebling Sokrates retteten, die Feuersbrunst löschten, und ihn oder seinen gelehrigen Schüler Philippides, ich weiss nicht wie, erhöhten." haec quamvis speciosa vereor tamen ut probanda sint, putoque ipsum poëtae facetissimi consilium excusari posse, quaeque pugnantia videntur, tam apta esse quam quae maxime, inconstantes, vanas, neque in eadem sententia manentes, finxit Nubes suas. fateor et laudo: nam firmitatem quis requirat in nubibus, quibus nihil est levius mobiliusque? iis similia fingi oportuit numina haec ridicula, neque aliter morata esse possunt natura sua.

1398. ὦ φίλτατε. — πρὸς τὸν υἱὸν μετέβη. S.

1400. sic H., cum in optimis libris hoc invenisset ἀπολεῖς μετ' ἐμοῦ γ' ἐλθών, οἳ etc. vulgo: ἀπ., μετ' ἐμοῦ γ' ἐλθ', οἳ σὲ etc., quae scriptura profecta haud dubie est a Metricis.

1402. πατρ. Δία. πατρῷος Ζεὺς καὶ Ἀπόλλων ἐν Ἀθήναις τιμῶνται· ὁ Ζεὺς μὲν μετὰ τὴν ἐν Ἀρκαδίᾳ ἢ, ὡς ἕτεροι, μετὰ τὴν ἐν Κρήτῃ ἀνατροφήν, ὅτε πρῶτον ταῖς Ἀθήναις ἐπέστη, καὶ ἐφάνη τοῖς πατράσιν αὐτῶν, οἵτινες ταύτῃ τῇ

ΦΕΙ. ἰδού γε Δία πατρῷον! ὡς ἀρχαῖος εἶ!
Ζεὺς γάρ τις ἔστιν;
ΣΤ. ἔστιν.
ΦΕΙ. οὐκ ἔστ', οὔκ, ἐπεὶ
Δῖνος βασιλεύει, τὸν Δί' ἐξεληλακώς.
ΣΤ. οὐκ ἐξελήλακ', ἀλλ' ἐγὼ τοῦτ' ᾠόμην
διὰ τουτονὶ τὸν δῖνον. ᾧ μοι δείλαιος,
ὅτε καὶ σὲ χυτρεοῦν ὄντα θεὸν ἡγησάμην!
ΦΕΙ. ἐνταῦθα σαυτῷ παραφρόνει, καὶ φληνάφα!
ΣΤ. οἴμοι παρανοίας, ὡς ἐμαινόμην ἄρα,
ὅτ' ἐξέβαλλον τοὺς θεοὺς διὰ Σωκράτην!
ἀλλ', ὦ φίλ' Ἑρμῆ, μηδαμῶς θύμαινέ μοι,
μηδέ μ' ἐπιτρίψῃς, ἀλλὰ συγγνώμην ἔχε,
ἐμοῦ παρανοήσαντος ἀδολεσχίᾳ·
καί μοι γενοῦ ξύμβουλος, εἴτ' αὐτοὺς γραφὴν
διωκάθω γραψάμενος, εἴθ' ὅ τι σοι δοκεῖ. —

προσηγορίᾳ τετιμήκασιν αὐτόν· Ἀπόλλων δὲ, ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε τὴν Κρέουσαν, ἐξ ἧς γίνεται ὁ Ἴων. ὡς πρόγονον οὖν αὐτὸν ἐτίμων καὶ οἱ ἄρχοντες, ὅτε ἐχειροτονοῦντο. ἐκ γὰρ τοῦ μὴ εἰδέναι ξένους αὐτοὺς ἐνόμιζον. (ἱ) S. proprie Δία πατρῷον non coluerunt Athenn., sed ἑρκεῖον καὶ φράτριον, teste Platone Euthyd. c. 72. ed. Heindorf. cf. annott. ad 606., 1183., Eurip. El. 624. verum sunt haec existimanda Tragici alicujus verba, id quod vel producta praeter morem Comicorum prima syllaba vocabuli πατρῷον ostendat; (Euripidis esse suspicatus est Porsonus ad Eurip. Med. 1314.;) apud quem Tragicum, quisquis fuit, haec non Atheniensis, sed Argivus aliquis aut Thebanus, pronuntiaverit.

1404. οὐκ ἔστ' etc. par pro pari reddit patri, sic antea deliranti: vide 800.

1407. διὰ τ. τ. δῖνον. propter hunc δῖνον, i. e. hoc poculum, quod ante oculos habebam, stulteque arbitrabar deum esse pro Jove. cf. annot. ad 374.

1408. σὲ, τὸν δῖνον. S.: χυτρ. τὸ ἐν τῷ φροντιστηρίῳ μηχάνημα ὀστράκινον περιφερὲς, ὡς χύτραν, ὠνοματοποίησεν etc. — (ἄλλως.) ὡς ἀγάλματος δίνου (Bekk. et H. Δίνου) ὄντος ἐν τῇ διατριβῇ Σωκράτους ὀστρακίνου.

1409. σαυτῷ, tibi ipsi, tibi soli, solus. — abit Phidipp.

1410. Streps. resipiscens properat ad scholam Socratis destruendam atque incendendam etc. *Harl.*

1411. ita H. secundum Mutin. a, codicem a Bekkero collatum. alii quoque codd.: ἐξέβαλλον καὶ τοὺς θ. vulgo: ἐξέβαλον καὶ τ. θ., quod Metricorum commentum est, sed ineptum. S.: ταῦτα εἰς διαβολὴν Σωκράτους, ἐκβαλόντος τὰ δαιμόνια.

1412. τοῦτο οἱ κλέπται πρὸς τὸν Ἑρμῆν ἔλεγον, ὅτε ἁλισκόμενοι ἐκολάζοντο, αἰτούμενοι αὐτὸν ἐλθεῖν αὐτοῖς εἰς βοήθειαν. ᾤοντο γὰρ διὰ τὸ μὴ τεθυκέναι αὐτῷ, ὡς ἐφόρῳ κλεπτικῆς ὄντι, εἰς ταῦτα περιπεσεῖν τὰ δεινά. S.

1414. ἀδολ. φλυαρίᾳ τῇ τοῦ Σωκράτους. gl. Br. cf. 1419. sed intelligitur tamen ipsius impia garrulitas, Socrate auctore.

1416. διωκάθω, ut ἀμυνάθω 1268. etc. Timaeus in lex., annotante Harl., διωκάθειν: διώκειν ἐγκαλοῦντα, ἢ τρέχοντα: quo loco de hac

ὀρθῶς παραινεῖς, οὐκ ἐῶν δικορρύφειν,
ἀλλ' ὡς τάχιστ' ἐμπιμπράναι τὴν οἰκίαν
τῶν ἀδολεσχῶν. δεῦρο, δεῦρ', ὦ Ξανθία,
κλίμακα λαβὼν ἔξελθε, καὶ σμινύην φέρων,
κἄπειτ' ἐπαναβὰς ἐπὶ τὸ φροντιστήριον
τὸ τέγος κατάσκαπτ', εἰ φιλεῖς τὸν δεσπότην,
ἕως ἂν αὐτοῖς ἐμβάλῃς τὴν οἰκίαν·
ἐμοὶ δὲ δᾷδ' ἐνεγκάτω τις ἡμμένην,
κἀγώ τιν' αὐτῶν τἠμέρον δοῦναι δίκην
ἐμοὶ ποιήσω, κεἰ σφόδρ' εἶσ' ἀλαζόνες.

ΜΑ. Α. ἰοὺ, ἰού! i.

ΣΤ. σὸν ἔργον, ὦ δᾳὰς, ἰέναι πολλὴν φλόγα! i. tr.

ΜΑ. Β. ἄνθρωπε, τί ποιεῖς;

ΣΤ. ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ
διαλεπτολογοῦμαι ταῖς δοκοῖς τῆς οἰκίας;

ΜΑ. Β. οἴμοι, τίς ἡμῶν πυρπολεῖ τὴν οἰκίαν;

ΣΤ. ἐκεῖνος, οὗπερ θολμάτιον εἰλήφατε.

ΜΑ. Β. ἀπολεῖς, ἀπολεῖς!

ΣΤ. τοῦτ' αὐτὸ γὰρ καὶ βούλομαι,
ἢν ἡ σμινύη μοι μὴ προδῷ τὰς ἐλπίδας,
ἢ 'γὼ πρότερόν πως ἐκτραχηλισθῶ πεσών.

ΣΩ. οὗτος, τί ποιεῖς ἐτεὸν, οὐπὶ τοῦ τέγους;

ΣΤ. ἀεροβατῶ, καὶ περιφρονῶ τὸν ἥλιον.

ΣΩ. οἴμοι τάλας, δείλαιος ἀποπνιγήσομαι!

ΧΑΙ. ἐγὼ δὲ κακοδαίμων γε κατακαυθήσομαι.

ΣΤ. τί γὰρ μαθόνθ' ὑβριζέτην ἐς τοὺς θεοὺς,
καὶ τῆς Σελήνης ἐσκοπεῖσθε τὰς ἕδρας; —

forma verborum rariore docte disputat Ruhnkenius.

1417. hic intelligendus est Streps. aliquamdiu silere et cogitabundus stare, deinde, velut admonitu Mercurii (dehortantis eum a litigando), corrigere se, et aliam insistere viam consilii. *Ern.* apte Br. comparavit Plautum Menaechm. 5, 2, 87. et 95. seqq.

1419. ὦ Ξανθία. nomen servi.

1420. σμινύην. cf. Pac. 524.

1430. διαλεπτ. cf. supra 314.

1432. vide 484.

1435. ἐκτραχ. πεσών, ut Plut. 70. *Be.*

1436. ἐτεὸν, *re vera*, germ. *im Ernst.*

1437. parodia dicti Socratici 225.

1440. ὑβριζέτην H. auctore Elmslejo ad Ach. 733. non pauci codd. τί γ. μαθόνθ' ὑβρίζετον ἐς τ. θ., ut oblitterari solet ista forma dualis. vett. edd.: τί γ. μαθὼν ὑβρίζετόν γ' ἐς τ. θ., recentiores secundum Bisetum: τί γ. μαθόνθ' etc.

1441. ἐσκοπεῖσθε Rav., Ven. et duo Mutinenses, h. e. ex Italia superiore Lutetiam olim allati codd.

δίωκε, βάλλε, παῖε, πολλῶν οὕνεκα,
μάλιστα δ' εἰδὼς, τοὺς θεοὺς ὡς ἠδίκουν!
ΧΟ. ἡγεῖσθ' ἔξω· κεχόρευται γὰρ μετρίως τό γε τήμερον ἡμῖν.
a. Aristoph.

MSS., ut refert, qui eos usurpavit, Bekkerus praefatione Aristophanis ab ipso curati; estque haec etiam prisearum scriptura editionum. quod habent pauci libri, Brunckio aliisque adstipulantibus, *ἐσκοπεῖσθον*, deberi videtur illis, qui dualem requiri existimarent propterea quod *ὑβριζέτην* legeretur in superioribus, sicut fuerunt qui ibi scriberent *ὑβρίζετε* propter *ἐσκοπεῖσθε*, cum non meminissent, promiscue adhiberi dualem et pluralem; qua de re vid. Matth. gr. §. 300. — *τὰς ἕδρας* 3 MSS., D., H. vulgo *τὴν ἕδραν*, quod minus magnificum. gl. cod. D *τὰς ἕδρας. τὴν στήριξιν.* gl. cod. E *τὰς ἕδρας. τὰς στηρίξεις.*

1442. servum adhortatur. S. *δίωκε. ὡς τῶν φιλοσόφων φευγόντων διὰ τὸ πῦρ.* — *πολλῶν οὕνεκα.* vide annot. ad 7.

1444. „MSS. et edd. *τόγε τ. ἡμῖν.* sed Moeris p. 364. *τήμερον εἶναι, ἀττικῶς, ὡς Νεφέλαις κεχόρ. γὰρ μετρ. τόγε τήμερον εἶναι.* de qua formula ibi Pierson. et Koenius ad Gregor. Cor. p. 73. sequ. cf. Viger. p. 888." *H. μετρίως*, modice, satis. vide Hesych. v. *ἅλις.*

LIPSIAE, TYPIS B. G. TEUBNERI.

POETAE SCENICI

GRAECORUM.

POETAE SCENICI

GRAECORUM.

RECENSUIT ET ANNOTATIONE SIGLISQUE METRICIS IN MARGINE SCRIPTIS INSTRUXIT

FRIDERICUS HENRICUS BOTHE.

EDITIO SECUNDA EMENDATIOR.

VOLUMEN SEXTUM.

ARISTOPHANIS COMOEDIAE. VOL. II.

LIPSIAE

SUMTIBUS LIBRARIAE HAHNIANAE

MDCCCXLV.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΣΦΗΚΕΣ.

ΥΠΟΘΕΣΙΣ.

Φιλοκλέων Ἀθηναῖος, φιλόδικος ὢν τὴν φύσιν, ἐφοίτα περὶ δικαστήρια συνεχῶς. Βδελυκλέων δὲ ὁ τούτου παῖς, ἀχθόμενος ταύτῃ τῇ νόσῳ, καὶ πειρώμενος [1]) τὸν πατέρα παύειν ἐγκαθείρξας τοῖς οἰκοις, καὶ δίκτυα περιβαλὼν, ἐφύλαττε νύκτωρ, καὶ μεθ' ἡμέραν. ὁ δὲ, ἐξόδου αὐτῷ μὴ προκειμένης, ἔκραζεν. οἱ δὲ συνδικασταὶ αὐτοῦ σφηξὶν ἑαυτοὺς ἀφομοιώσαντες παρεγένοντο, βουλόμενοι διὰ ταύτης τῆς τέχνης ὑποκλέπτειν τὸν συνδικαστήν· ἐξ ὧν καὶ ὁ Χορὸς συνέστηκε, καὶ τὸ δρᾶμα ἐπιγέγραπται. ἀλλ' οὐδὲν ἦνυον οὐδὲ οὗτοι. πέρας δὲ τοῦ νεανίσκου θαυμάζοντος, τίνος ἕνεκα ὁ πατὴρ οὕτως ἥττηται τοῦ πράγματος, ἔφη ὁ πρεσβύτης εἶναι τὸ πρᾶγμα σπουδαῖον, καὶ σχεδὸν ἀρχῆς τὸ δικάζειν. ὁ δὲ παῖς ἐπειρᾶτο τὰς ὑποψίας ἐξαίρειν τοῦ πράγματος, νουθετῶν τὸν γέροντα. ὁ δὲ πρεσβύτης μηδαμῶς νουθετούμενος οὐ μεθίει τοῦ πάθους, ἀλλ' ἀναγκάζεται ὁ νέος ἐπιτρέπειν αὐτῷ φιλοδικεῖν, καὶ ἐπὶ τῆς οἰκίας τοῦτο ποιεῖ μόνον [2]), καὶ τοῖς κατὰ τὴν οἰκίαν δικάζει. καὶ δύο κύνες ἐπεισάγονται πολιτικῶς παρ' αὐτῷ κρινόμενοι· καὶ κατὰ τοῦ φεύγοντος ἐκφέρειν συνεχῶς τὴν ψῆφον μέλλων, ἀπατηθεὶς, ἄκων τὴν ἀποδικάζουσαν φέρει ψῆφον. περιέχει δὲ καὶ δικαιολογίαν τινὰ τοῦ Χοροῦ ἐκ τοῦ ποιητοῦ προσώπου διὰ τὸ σφηξὶν ἐμφερεῖς εἶναι τοὺς τοῦ Χοροῦ [3]) [ἐξ ὧν καὶ τὸ δρᾶμα]. οἱ, ὅτε μὲν ἦσαν νέοι, πικρῶς ταῖς δίκαις ἐφήδρευον· ἐπεὶ δὲ γέροντες γεγόνασι, κεντοῦσι

Annotationes. 1) καὶ πειρ. concinnius fuerit καταπειρώμενος.
2) μόνον non legitur in Rav.
3) διὰ τὸ — τοῦ Χοροῦ. Rav. et Ven. ὡς σφηξὶν ἐμφερεῖς εἰσιν οἱ τοῦ Χοροῦ.

τοῖς κέντροις. ἐπὶ τέλει δὲ τοῦ δράματος ὁ γέρων ἐπὶ δεῖπνον καλεῖται, καὶ ἐπὶ ὕβριν τρέπεται, καὶ κρίνει αὐτὸν ὕβρεως ἀρτόπωλις· ὁ δὲ γέρων πρὸς αὐλὸν καὶ ὄρχησιν τρέπεται, καὶ γελωτοποιεῖ τὸ δρᾶμα.

Τοῦτο τὸ δρᾶμα πεποίηται αὐτῷ οὐκ ἐξ ὑποκειμένης ὑποθέσεως, ἀλλ' ὡσανεὶ γενομένης· πέπλασται δὲ τὸ ὅλον. διαβάλλει δὲ Ἀθηναίους, ὡς φιλοδικοῦντας, καὶ σωφρονίζει τὸν δῆμον ἀποστῆναι τῶν δικῶν, διά τοι τοῦτο [4]) καὶ τοὺς δικαστὰς σφηξὶν ἀπεικάζει, κέντρα ἔχουσι, καὶ πλήττουσι. πεποίηται δ' αὐτῷ χαριέντως. ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀμεινίου, διὰ Φιλωνίδου, ἐν τῇ * πόλει, Ὀλυμπιάδι Β ἣν εἰς Λήναια. καὶ ἐνίκα πρῶτος Φιλωνίδης * προάγωνι λευκὼν πρέσβεσι Γ.

4) vulgo καὶ διὰ τοῦτο. extrema ita describi jussimus, ut leguntur in Rav., asteriscis tamen appositis, ne quis laberetur. quae cum alii emendare conati sunt, tum Kanngiesserus (*über die alte kom. Bühne in Athen* p. 268. seqq.), et Böckhius (*über die Lenäen*, in den Abhandl. der historischphilol. Klasse der Berliner Akad. 1817. p. 72.). et Kanngiesserus quidem ita scribendum esse censuit ἐδιδ. ἐπὶ Ἄρχ. Ἀμ. διὰ Φιλων. ἐν τῇ ΠΘ Ὀλυμπ., ἔτει β', εἰς Λήναια: Böckhius autem sic ἐδιδ. ἐπὶ Ἄρχ. Ἀμ. ἐν τῇ ΠΘ Ὀλυμπ., ἔτει β', διὰ Φιλων. εἰς Λήναια. nomen Comici, qui secundam palmam accepit victor, forte excidisse, comoediamque ejus inscriptam fuisse Προαγὼν, putavit Palmerius, tertium ille victorem fuisse existimans Glauconem quendam, adstipulante Sam. Petito Miscell. lib. 1. c. 7., cum videatur verisimilius, quod Dindorfio placuit, Λεύκων Πρέσβεσι τρίτος. nec Προαγῶνος scriptor alius est quam ipse Aristophanes, cujus sub nomine fragmenta ejus fabulae leguntur ap. Athenaeum, Pollucem, Suidam. cf. schol. ad 61. Philonidi docendam eam commisisse existimandus est propterea, quia simul duabus fabulis certare non licuit Comico Atheniensi, ut observavit Bode (Gesch. der dram. Dichtkunst der Hellenen, 2. Th., 8. 329., Anm.). quare haud scio an sic scribere possimus καὶ ἐνίκα πρῶτος Φιλωνίδης Προαγῶνι, δεύτερος αὐτὸς Σφηξὶ, Λεύκων Πρέσβεσι τρίτος. ceterum sane Arist. docuit hanc fabulam Olymp. 89, 2., anno post actas Nubes: vid. annot. ad 41.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Φιλοῦντα δικάζειν πατέρα παῖς εἵρξας ἄφνω [5])
αὐτός τ' ἐφύλαττεν ἔνδον, οἰκέται θ' [6]), ὅπως
μὴ λανθάνῃ, μηδ' ἐξίῃ, διὰ τὴν νόσον·
ὁ δ' ἀντιμάχεται παντὶ τρόπῳ καὶ μηχανῇ.
εἶθ' οἱ συνήθεις καὶ γέροντες, λεγόμενοι [6])
σφῆκες, παραγίνονται βοηθοῦντες σφόδρα,
ἐπὶ τῷ δύνασθαι κέντρον ἐνιέναι τισὶ
φρονοῦντες ἱκανόν [6]). ὁ δὲ γέρων τηρούμενος
ξυμπείθετ' ἔνδον δὴ δικάζειν, καὶ βιοῦν,
ἐπεὶ τὸ δικάζειν κέκρικεν ἐκ παντὸς τρόπου.

5) ineptum ἄφνω in re non cito, sed velut gradatim acta: v. Vesp. 115. ad 132. videndum igitur, an grammaticus dixerit ἄνω, *in superiore parte aedium*, ubi habitat Bdelycleon cum patre (68., 326.).

6) Rav. λεγόμενοι ἐπὶ τῷ δύν. κ. ἐνιέναι τισὶν σφῆκες, παρόντες ἐκαύτοῦ κακοῦ, φρονοῦντες ἱκανὸν etc., omissis verbis παραγίνονται βοηθοῦντες σφόδρα. in quibus illa παρόντες ἐκ ταύτοῦ κακοῦ digna sunt quae expendantur, ut quae speciem non habeant interpretationis. haud male, opinor, legeretur ε. οἱ συν. κἀγέροντα, λεγ. Σφῆκες, πατρὸς, παρόντες ἐκ τ. κ., Ἐπὶ τῷ δύν. etc. παρόντες ἐκ τ. κ., *qui adsunt propter idem malum*, τὸ φιλοδικεῖν. verba παραγ. βο. σφόδρα, minime illa exquisita, ex margine irrepsisse dicas. fere 10. versibus constant argumenta metrica harum fabularum, sed Concionatricum 9., nec supersunt omnium, si quidem omnium fuere, ut de numero nihil statuendum esse videatur. — versu penult. ll. ἔνδον δικάζειν, versu jugulato. Br. et alii διαδικάζειν, quod minus aptum. δὴ (*scilicet*) haustum fuerit a δι vicino.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΣΩΣΙΑΣ
ΞΑΝΘΙΑΣ } οἰκέται Φιλοκλέωνος.
ΒΔΕΛΥΚΛΕΩΝ.
ΦΙΛΟΚΛΕΩΝ.
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ΣΦΗΚΩΝ.
ΠΑΙΔΕΣ.
ΚΥΩΝ.
ΑΡΤΟΠΩΛΙΣ.
ΚΑΤΗΓΟΡΟΣ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΣΦΗΚΕΣ.

ΣΩΣΙΑΣ. ΞΑΝΘΙΑΣ. ΒΔΕΛΥΚΛΕΩΝ. ΦΙΛΟΚΛΕΩΝ. ΧΟΡΟΣ. ΠΑΙΔΕΣ.

ΣΩ. Οὗτος, τί πάσχεις, ὦ κακόδαιμον Ξανθία; i. tr.
ΞΑ. φυλακὴν καταλύειν νυκτερινὴν διδάσκομαι.
ΣΩ. κακὸν ἄρα ταῖς πλευραῖς τι προὐφείλεις μέγα.
ἆρ' οἶσθά γ', οἷον κνώδαλον φυλάττομεν;
ΞΑ. οἶδ'· ἀλλ' ἐπιθυμῶ σμικρὸν ἀπομερμηρίσαι.
ΣΩ. σὺ δ' οὖν παρακινδύνευ', ἐπεὶ καὐτοῦ γ' ἐμοῦ

Annotationes ad Vespas. Vers. 1. Orditur fabula sub obscuro mane. S.: προλογίζουσι δύο οἰκέται, ἀποδυσπετοῦντες πρὸς τὴν φυλακὴν τοῦ γέροντος δεσπότου. —

2. φυλ. καταλύειν. οὕτω λέγουσι τὸ ἐπινυστάζειν ἐπὶ τῆς φυλακῆς, — ἤγουν καταλιπεῖν τὴν τάξιν βούλομαι, καὶ μελετῶ καθεύδειν· ἤγουν νυστάζω. S. Aristot. Polit. 5, 8. ὥστε δεῖ τοὺς τῆς πολιτείας φροντίζοντας φόβους παρασκευάζειν, ἵνα φυλάττωσι, καὶ μὴ καταλύωσιν, ὥσπερ νυκτερινὴν φυλακὴν, τὴν τῆς πολιτείας τήρησιν. Be. de militum vigiliis 4 nocturnis vide Brodaeum et interpp. Rhesi ad versum 5.

3. ita Elmsl. ad Eurip. Heracl. 241. et D. l. mendose προὔφειλες. S.: προὔφειλες. οὐδὲν ἄλλο ἐκ τοῦ προὔφειλες ἐκδεκτέον ἢ μόνον τὸ ὤφειλες. ἐχρεώστεις τι μέγα κακὸν ταῖς πλευραῖς σου, καὶ θέλεις αὐτὸ ἀποδοῦναι. S. Eurip. Iphig. Taur. 474. κἄμοί γάρ τι προὐφείλει κακόν. Flor. Christianus: „Sic Latini *ludibrium debere.*“ —

4. κνώδαλον. κυρίως ἐπὶ τοῦ θαλαττίου θηρίου. (?) εἴρηται δὲ καὶ ἐπὶ τοῦ χερσαίου κνώδαλον, παρὰ τὸ κνοῖν ἀλίσκεσθαι. (?) Eustath. ap. Bisetum: κνώδαλον, τὸ χερσαῖον θηρίον, παρὰ τὸ ὑπὸ κυνῶν ἁλίσκεσθαι. καὶ τὸ θαλάσσιον θηρίον ὁμωνύμως, παρὰ τὸ ἓν ἀλὶ κνώσσειν, τουτέστι βαθέως ὑπνώττειν. — cf. Schneideri lex. gr. v. κινώπετον.

5. ἀπομερμ. μέρμηρα ἡ εἰς ὕπνον καταφορὰ περὶ τὴν ἕω. (?) λέγεται δὲ μέρμηρα καὶ φροντίς. ἐκ δὲ τούτου (τοῦ ἀπομερμηρίσαι) τὸ καθευδῆσαι· οἱ γὰρ καθεύδοντες ἀποτίθενται τὰς φροντίδας etc. S. similiter Hesych. h. v. et Eustath. ad Hom. p. 821. l. 35., quos laudavit Br.

6. οὖν. Rav. αὖ, permutatis, puto inter se α et ο litteris, ut alias non semel. S.: παραικ. — ἐπεὶ ἥμελλε μαστίζεσθαι, ἐὰν κοιμηθῇ. —

κατὰ ταῖν κόραιν ἤδη τι καταχεῖται γλυκύ.
ἀλλ' ἦ παραφρονεῖς ἐτεὸν, ἢ κορυβαντιᾷς;
ΞΑ. οὔκ, ἀλλ' ὕπνος μ' ἔχει τις ἐκ Σαβαζίου.
ΣΩ. τὸν αὐτὸν ἄρ' ἐμοὶ βουκολεῖς Σαβάζιον·
κἀμοὶ γὰρ ἀρτίως τι ἐπεστρατεύσατο
Μῆδός τις ἐπὶ τὰ βλέφαρα νυστακτὴς ὕπνος·
καὶ δῆτ' ὄναρ θαυμαστὸν εἶδον ἀρτίως.
ΞΑ. κἄγωγ' ἀληθῶς οἷον οὐδεπώποτε.
ἀτὰρ σὺ λέξον πρότερος.
ΣΩ. ἐδόκουν, ἀετὸν.

7. ἤδη τι. Rav. ὕπνιόν τι, quae est interpretatio, in sequentibus sublecta.

8. ita Br. in ann. vulgo ἀλλ' ἢ — κορυβαντιᾷς. S.: κορυβ. μαίνῃ. παρόσον οὗτοι οἱ δαίμονες μανίας καὶ ἐκθειασμοῦ (fort. ἐνθεασμοῦ) εἰσιν ἐμποιητικοί. — κορυβαντιᾶν est *Corybantum more furere.* fuerunt autem Corybantes, qui etiam Curetes appellantur, Cybelae sacerdotes, de quibus Apollod. 1, 3., Diod. Sic. 5, 49., Strabo 10, 3. cf. etiam Euripidis Bacch. 99. seqq. idem Hippolyto, 127. σύ τἄρ' ἔνθεος, ὦ κούρα, Εἴτ' ἐκ Πανὸς, εἴθ' Ἑκάτας, ἢ σεμνῶν Κορυβάντων Φοιτᾷς, καὶ ματρὸς ὀρείας. ceterum haec sub Xanthiae persona leguntur, cum is quidem prorsus dormire cogitet, Sosias autem, quamvis etiam ipse somni dulcedinem sentiens, tamen ei resistendum esse putet, jussu domini deterritus. connivente igitur Xanthia pergit quaerere, an revera insaniat somno indulgens, ubi cum maxime vigilandum sit, ne senex impotens elabatur. hoc initio facto Xanthiae tribuenda erant verba οὔκ, ἀλλ' ὕπνος —, Sosiae autem illa, quae sequuntur, τὸν αὐτὸν —, et eodem modo mutanda servorum nomina usque ad versum 85. sic etiam 211. ad 228. erratum est.

9. sequ. πρὸς τὸ κορυβαντιᾷς ἐπήγαγε τὸ Σαβαζίου. ἐκεῖνος δὲ ἐπὶ τοῦ (τῷ) παραφρονεῖν συμβουλεύει [καὶ] ἀποκοιμηθῆναι. Σαβάζιον δὲ τὸν Διόνυσον οἱ Θρᾷκες καλοῦσι, καὶ Σαβοὺς τοὺς ἱερεῖς αὐτῶν (αὐτοῦ). παίζει δὲ, ὡσεὶ ἔλεγε, βάρβαρός τις καὶ σκληρὸς ὕπνος (Μῆδός τις). βουκολεῖς δὲ τρέφεις. S. cf. Av. 873., Lys. 388., Hesych. v. Σαβάζιος, quod cognomen Bacchi, Voss. Theol. gentil. 2, 14., et Mythicos, inprimis Creuzerum. de more incubandi in fanis et templis deorum, inprimis Aesculapii, dictum ad Plut. 407. cf. inferius 123. βουκολεῖς, θεραπεύεις, περιέπεις, ut interpretatur schol. Aeschyli. v. Be. et Blomfield. ad Aeschyl. Ag. 652. glossario.

11. vulgo ἀρτίως τις. certatim delent pronomen, nec sane quisquam id desideraret, si abesset, cum praesertim sequente v. legatur Μῆδός τις. sed idem cur ab aliena manu additum fuerit, vix dicas. quare malui emendare vocem quam expungere. ἀρτίως τι haud inelegans: vide Matth. gr. §. 487, 5. et cf. 140., ubi pro μνεπολεῖ τις, quod habet Rav., recte Bekk. et D. ediderunt μ. τι. vulgata scriptura defensores praeter alios nacta est Hermannum ad Soph. Trach. 940. (895.), et Reisigium in diariis Jen. a. 1817. fol. 224. p. 404. — „ἐπεστρ. figurate, ut ap. Eurip. Med. 1129., Hipp. 505." *Be.*

12. Μῆδός τις. ὡς Μῆδός τις, ellipsi frequente ap. hunc nostrum: *velut Medus, seu Persa.* S.: πρὸς τὸ Σαβάζιος εἶπε καὶ οὗτος τὸ Μῆδος. (?) ἢ ἀντὶ τοῦ ἐχθρὸς, ἐπεὶ καὶ ἐστρατεύσατο (sic) εἶπε· πολέμιοι γὰρ Ἕλλησιν οὗτοι.

15. vulgo αἰετὸν κατεπτάμενον. atticas formas reposui. *Br.*

καταπτόμενον ἐς τὴν ἀγορὰν μέγαν πάνυ,
ἀναρπάσαντα τοῖς ὄνυξιν ἀσπίδα
φέρειν ἐπίχαλκον ἀνεκὰς ἐς τὸν οὐρανὸν,
κἄπειτα ταύτην ἀποβαλεῖν, Κλεώνυμον.
ΞΑ. οὐδὲν ἄρα γρίφου διαφέρει Κλεώνυμος.
„Πῶς δή," προσερεῖ τις τοῖσι συμπόταις λέγων,
„ὅτι ταὐτὸν ἐν γῇ τ' ἀπέβαλεν, κἀν οὐρανῷ,
κἀν τῇ θαλάττῃ, θηρίον τὴν ἀσπίδα;
ΣΩ. οἴμοι, τί δῆτά μοι κακὸν γενήσεται,
ἰδόντι τοιοῦτ' ἐνύπνιον;
ΞΑ. μὴ φροντίσῃς·
οὐδὲν γὰρ ἔσται δεινὸν, οὐ μὰ τοὺς θεούς.
ΣΩ. δεινόν γέ πού 'στ' ἄνθρωπος ἀποβαλὼν ὅπλα.
ἀτὰρ σὺ τὸ σὸν αὖ λέξον.
ΞΑ. ἀλλ' ἐστὶν μέγα·
περὶ τῆς πόλεως γάρ ἐστι τοῦ σκάφους ὅλου.
ΣΩ. λέγε νυν ἀνύσας τι τὴν τρόπιν τοῦ πράγματος.
ΞΑ. ἔδοξέ μοι περὶ πρῶτον ὕπνον ἐν τῇ Πνυκὶ
ἐκκλησιάζειν πρόβατα συγκαθήμενα,

18. — ἀνεκὰς, ἀνὰ ἑκὰς, procul.
19. *Κλεώνυμον.* ὅτι μετὰ τῶν ἄλλων, ὧν κωμῳδεῖται, καὶ δειλὸς, καὶ δίψασπις. vid. index hoc nomine. — *Κλεώνυμον.* intell. ὄντα seu γενόμενον, transformatum in Cleonymum. virgula interpunxi ante hoc nomen. similiter 49. ἄνθρωπος ὧν εἶτ' ἐγένετ' ἐξαίφνης κόραξ.
20. *γρίφου.* ἀντὶ τοῦ παροιμίου ζητήματος. — S.
21. *πῶς δή; πῶς γίνεται;* ut Br. interpretatur. S.: τοῖσι συμπ. ἐν γὰρ τοῖς συμποσίοις προεβάλλοντο οἱ γρῖφοι πρὸς λύσιν.
22. S. — ἔστιν ὁ λόγος οὕτως· τί τὸ αὐτὸ θηρίον ἐν παντὶ τόπῳ δυστυχεῖ τὰ πολεμικὰ, καὶ ἐν γῇ, καὶ ἐν ναυμαχίᾳ; θηρίον δὲ ὁ ἀετὸς πανταχοῦ περιπτάμενος, ᾧ παραβάλλει τὸν Κλεώνυμον. — οὐκ ἀπεικότως θηρίον αὐτὸν εἶπεν, ἐπεὶ μακρὸς καὶ ἄρρυθμος ὁ Κλεώνυμος. (?) ceterum imitatur formam legum, praesertim illius, quam Megarensium causa tulit Pericles; qua de lege Comicus Acharn. 496. ἐτίθει νόμους ὥσπερ σκολιὰ γεγραμμένους, Ὡς χρὴ Μεγαρέας μήτε γῇ, μήτ' ἐν ἀγορᾷ, Μήτ' ἐν θαλάττῃ, μήτ' ἐν ἠπείρῳ μένειν: ubi vid. ann.
25. ita Bentl. et Elmsl. ad Acharn. p. 73. libri τοιοῦτον, pravo numero.
29. ἀεὶ οἱ ποιηταὶ τὰς πόλεις πλοίοις παραβάλλουσι. καὶ Σοφοκλῆς . . . S. „vide Soph. Oed. R. 22., Antig. 175. seqq. et cf. Horat. Od. 1, 14." Be.
30. τὸ ἀνύσας Ἀττικοὶ δασύνουσι. haud sane ἀνύσας displiceret in Comico: vid. Herm. ad Soph. El. 1443., et de usu hujus participii, cum pro adverbio infertur, Plut. 345., Pac. 275. etc. S.: — τρόπιν δὲ ὡσανεὶ ἔλεγε τὴν ῥίζαν, ἐπεὶ τῶν δρυόχων ἡ τρόπις ἵσταται πρῶτον. Be.: Perstat in metaphora de nave. —
32. seqq. ἐκκλησ. εἰς ἐκκλησίαν συνάγειν (συνάγεσθαι). πρόβατα δὲ τοὺς Ἀθηναίους φησὶ, διαβάλλων τὸ προβατῶδες αὐτῶν. — φάλαινα δὲ θηρίον θαλάττιον. (balaena, genus ceti, de quo Aristot. H. A. 1, 5. et alibi; *balaena mysticetus* Linn.)

βακτηρίας ἔχοντα καὶ τριβώνια·
κἄπειτα τούτοις τοῖσι προβάτοις μοὐδόκει
δημηγορεῖν φάλαινα πανδοκεύτρια,
ἔχουσα φωνὴν ἐμπεπρημένης ὑός.

ΣΩ. αἰβοῖ. . .

ΞΑ. τί ἐστι;

ΣΩ. παῦε, παῦε, μὴ λέγε·
ὄζει κάκιστον τοὐνύπνιον βύρσης σαπρᾶς.

ΞΑ. εἶθ' ἡ μιαρὰ φάλαιν', ἔχουσα τρυτάνην,
ἵστη βόειον δημόν.

ΣΩ. οἴμοι δείλαιος,
τὸν δῆμον ἡμῶν βούλεται διϊστάναι!

ΞΑ. ἐδόκει δέ μοι Θέωρος αὐτῆς πλησίον
χαμαὶ καθῆσθαι, τὴν κεφαλὴν κόρακος ἔχων.
εἶτ' Ἀλκιβιάδης εἶπε πρός με τραυλίσας
„Ὁλᾷς; Θέωλος τὴν κεφαλὴν κόλακος ἔχει.“

ΣΩ. ὀρθῶς γε τοῦτ' Ἀλκιβιάδης ἐτραύλισεν.

ΞΑ. οὔκουν ἐκεῖν' ἀλλόκοτον, ὁ Θέωρος κόραξ
γενόμενος;

ΣΩ. ἥκιστ', ἀλλ' ἄριστον.

ΞΑ. πῶς!

ΣΩ. ὅπως;

παν δοκεύτρια δὲ ἡ πάντα δεχομένη, καὶ καταπίνουσα, ἢ πάντα ἐπιτηροῦσα. κωμῳδεῖ δὲ πανταχοῦ τὸν Κλέωνα, σκώπτων ὡς ἅρπαγα, καὶ πολλὰς μηχανὰς ἐπινοοῦντα εἰς τὸ κερδαίνειν. ἐμπεπρησμένης (sic) δὲ ἀντὶ τοῦ ἐμπεφυσημένης, καὶ παχείας· πρῆσαι γὰρ τὸ φυσῆσαι. ἔνθεν καὶ πρηστήρ. καὶ Ὁμηρος (Il. σ', 471.) εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι. — S.

38. ὅτι βυρσοπώλης ὁ Κλέων. gl. Victor. de Cleone cf. Ran. 531., Pac. 47. etc.

39. τρυτ. ζυγὸν, ἢ σταθμόν. gl. Victor.

41. πρὸς τὸν δῆμον (δημὸν) καὶ τὸ ἵστη τὸ διϊστάναι ἐπήνεγκεν, ἀντὶ τοῦ διαχωρίσαι. παρὰ τοὺς τόνους δὲ ἔπαιξε, μίξας πρὸς τὰ σημαινόμενα. ἄλλως τε δὲ καὶ ἀφ' ἱστορίας τοῦτό φασι (φησι)· καὶ γὰρ πρὸ δύο ἐτῶν τῆς διδασκαλίας τούτου τοῦ δράματος, Λακεδαιμονίων περὶ εἰρήνης πρεσβευσαμένων, ὁ Κλέων ἀπήλασε τοὺς πρέσβεις.

42. Θέωρος. satelles quidam Cleonis. S. οὗτος ὡς κόλαξ κωμῳδεῖται. καὶ ὡς ἅρπαγα αὐτὸν σκώπτων ἐπήνεγκε τὸ κόρακος κεφαλὴν ἔχει. ὁ αὐτὸς δὲ πονηροῦ καὶ μοιχοῦ κωμῳδεῖται. infra 403. ὦ πόλι καὶ Θεώρου θεοσεχθρία, Κεἴ τις ἄλλος προείστηκεν ἡμῶν κόλαξ. quo loco Florens laudavit 574., 1183., 1198., Ach. 134., 155., Equ. 560.

44. de Alcibiadis balbutie vid. Plut. in ejus vita, cap. 1. pagg. 4. et 62. sequ. ed. Bähr.

47. ἀλλόκοτον. τερατῶδες, ξένον, ἄτοπον, ἀλλοφυές. ὁ δὲ λόγος „δεινόν ἐστι τοῦτο τὸ ἐνύπνιον, Θέρος γινόμενος κόραξ.“ S.

48. minus recte ll. γιγνόμενος. Athen. 11. p.507., laudante Be., ubi simile insomnium Socratis de Platone

ἄνθρωπος ὢν εἶτ' ἐγένετ' ἐξαίφνης κόραξ.
οὔκουν ἐναργὲς τοῦτο συμβαλεῖν, ὅτι
ἀρθεὶς ἀφ' ἡμῶν ἐς Κόρακας οἰχήσεται;
ΞΑ. εἶτ' οὐκ ἐγὼ δοὺς δύ' ὀβολὼ μισθώσομαι
οὕτως ὑποκρινόμενον σαφῶς ὀνείρατα;
ΣΩ. φέρε νυν κατείπω τοῖς θεαταῖς τὸν λόγον,
ὀλίγ' ἄτθ' ὑπειπὼν πρῶτον αὐτοῖσιν ταδί,
μηδὲν παρ' ἡμῶν προσδοκᾶν λίαν μέγα,
μηδ' αὖ γέλωτα Μεγαρόθεν κεκλεμμένον.
ἡμῖν γὰρ οὐκ ἔστ' οὔτε κάρυ' ἐκ φορμίδος
δούλῳ παραῤῥιπτοῦντε τοῖς θεωμένοις,
οὔθ' Ἡρακλῆς τὸ δεῖπνον ἐξαπατώμενος,
οὐδ' αὖθις ἀνασελγαινόμενος Εὐριπίδης·
οὐδ', εἰ Κλέων γ' ἔλαμψε τῆς τύχης χάριν,

narratur: *δοκεῖν γὰρ ἔφη τὸν Πλάτωνα κορώνην γενόμενον ἐπὶ τὴν κεφαλὴν μου ἀναπηδήσαντα τὸ φαλακρόν μου κατασκαριφᾶν.*

51. *ἐς Κόρακας.* vide Plut. 390., Pac. 19. etc.

52. *δύ' ὀβολώ*, merces tum diurna. vide Ach. 60, 159. *quidni conducam duobus obolis somniorum conjectorem tam perspicue respondentem?* Sosiam se conducturum esse ait; fierique potest, ut Comicus dederit *οὕτω σ' ὑποκρινόμενον.*

54. *τὸν λόγον, rem ipsam.* argumentum fabulae.

56. nec magnum aliquid ab se expectare jubet spectatores, nec rursus Megarensium comoedia dignos jocos scurriles, aut personas easdem, quibus jam antea usi fuerint Comici. Br.: — „Ideo Atticis, quae rustica lascivia ad risum movendum composita erant ludicra, Megaris arcessita dicebantur, quia antiquissima comoedia, quae nihil aliud erat quam simplex carmen, quod Chorus cum tibicine concinebat, Megarensium inventum fuit, ut testatur Aristot. Poët. cap. 3. *διὸ καὶ ἀντιποιοῦνται τῆς τε τραγῳδίας καὶ τῆς κωμῳδίας οἱ Δωριεῖς· τῆς μὲν κωμῳδίας οἱ Μεγαρεῖς, οἵ τε ἐνταῦθα, καὶ οἱ ἐκ Σικελίας.*" cf. Acharn. 693.

58. *ἔστι* pro *εἰσὶ* dictum *πρὸς τὸ σημαινόμενον*, actionem nuces spargendi populo. vid. Matth. gr. §. 302, 2. et de more isto Comicorum Plut. 791. seqq., Pac. 904. S.: *φορμὶς κυρίως ἡ ψιάθος, νῦν δὲ ἡ σπυρίς. ὡς τῶν ἄλλων ποιητῶν διὰ ψυχρότητα ποιήσεως δι' ὀβολοῦ καρύων ὑποστελλομένων τὴν κακίαν τοῦ δράματος.*

60. — *ποιοῦσι δὲ τὸν Ἡρακλέα γελοίου χάριν κεκλημένον εἰς δεῖπνον, καὶ δυσχεραίνοντα διὰ τὸ βαδέως αὐτῷ παρατιθέναι τὰ ὄψα.* S. In multis dramatibus inducebatur Hercules, solebantque poëtae ex ejus notissima voracitate risum captare. (vide Ran. 62., 469., 512.) eam describit parum decenter Eurip. in Alcestide. (727. seqq.) in proverbium abiit famelicus et morae impatiens Hercules, cui semper cunctari videbantur famuli coenam apposituri, *Ἡρακλῆς ξενίζεται*, quo alludit noster in Lys. 928. *Br.*

61. *ἀνασελγ. κατακωμῳδούμενος, ὑβριζόμενος.* — *φησὶν οὖν, οὐ δεύτερον ταυτολογήσω περὶ αὐτοῦ, ὡς οἱ ἄλλοι. οὐ μόνον δὲ ἐν τούτῳ τῷ δράματι εἰσῆκται οὕτως Εὐριπ., ἀλλὰ καὶ ἐν τῷ Προαγῶνι, καὶ ἐν Ἀχαρνεῦσι.* S.

62. *τοῦτό φησιν, ὡς τοῦ Κλέωνος ἀπὸ δυσγενῶν ἐκλάμψαντος, ὃν ἐκωμῴδησεν ἐν τοῖς Ἱππεῦσι, καθεὶς κατ' αὐτοῦ τὸ δρᾶμα. καὶ, φησὶν, οὐ πάλιν αὐτὸν κωμῳδήσει (— σω),*

αὖθις τὸν αὐτὸν ἄνδρα μυττωτεύσομεν.
ἀλλ' ἔστιν ἡμῖν λογίδιον γνώμην ἔχον,
ὑμῶν μὲν αὐτῶν οὐχὶ δεξιώτερον,
κωμῳδίας δὲ φορτικῆς σοφώτερον.
ἔστιν γὰρ ἡμῖν δεσπότης ἐκεινοσὶ
ἄνω καθεύδων, ὁ μέγας, οὐπὶ τοῦ τέγους·
οὗτος φυλάττειν τὸν πατέρ' ἐπέταξε νῷν
ἔνδον καθειρξας, ἵνα θύραζε μὴ 'ξίῃ.
νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον αὐτοῦ νοσεῖ.
ἣν οὐδ' ἂν εἷς γνοίη ποτ', οὐδ' ἂν ξυμβάλοι,
εἰ μὴ πύθοιθ' ἡμῶν· ἐπεὶ τοπάζετε.
Ἀμυνίας μὲν ὁ Προνάπου φήσ' οὑτοσὶ
εἶναι φιλόκυβον αὐτόν· ἀλλ' οὐδὲν λέγει.

ΞΑ. μὰ Δί', ἀλλ' ἀφ' αὐτοῦ τὴν νόσον τεκμαίρεται.

ΣΩ. οὐκ ἀλλὰ φιλο μέν ἐστιν ἀρχὴ τοῦ κακοῦ.
ὁδὶ δέ φησι Σωσίας πρὸς Λερκύλον,

ἑτέραν κωμῳδίαν ποιούμενος. μυττωτεύσομεν δὲ ἀντὶ τοῦ συντρίψομεν, δριμύσομεν, ἐκπικρανοῦμεν. μετήνεκται δὲ ἀπὸ τῶν σκορόδων· μυττωτὸν γάρ ἐστι κυρίως τὸ ἐκ σκορόδων, καὶ τυροῦ, καὶ ὄξους τρίμμα etc. S. cf. de hoc vocabulo Pac. 246. sequ. „Equ. 717. κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ." Bs.

64. λογίδιον. λόγος, argumentum comoediae.

68. ὁ μέγας. οὐ τῇ ἡλικίᾳ, ἀλλὰ τῇ ἐξουσίᾳ, καὶ τῇ σεμνότητι. τὸ δὲ ἄνω δεικτικῶς φησιν ἐπὶ ὑπερῴου. ὁρᾶται γὰρ ὁ Βδελυκλέων ἐπὶ ὑπερῴου καθήμενος. S. ordo: ἔστιν γὰρ ἡμῖν δεσπότης ὁ μέγας ἐκεινοσὶ, οὐπὶ τοῦ τέγους, ἄνω καθεύδων.

71. ἀλλόκοτον. ξένην καὶ παρηλλαγμένην αὐτῷ, παρόσον ὁ μὲν φιλόδικος, ὁ δὲ τοῦτο βδελυττόμενος. S.

74. ὧδε μὲν ὡς φιλόκυβος ὁ Ἀμυνίας κωμῳδεῖται· ἐν δὲ Σερίφοις (Cratini comoedia. *Dind. virgines anus* interpretatur Fl. Christ. vide Schneideri lex. gr. v. σέρφος.) ὡς ἀλαζὼν, καὶ συκοφάντης, καὶ κόλαξ. S. Amyniae meminit etiam Nub. 31., ubi S.: καὶ οὗτος τῶν ὑπὲρ ἵππων ἀταισάντων· μέμνηται δὲ αὐτοῦ καὶ ἐν τοῖς Σφηξί. (sequentia huc pertinere videntur potius quam ad Nubes, quae non archonte Aminia, sed Isarcho, actae sunt.) νῦν δὲ οὐκ ἐκείνου καθαπτόμενος μνημονεύει αὐτοῦ, ἀλλὰ τὸν ἄρχοντα διασύρειν βουλόμενος τῇ ἐκείνου προσηγορίᾳ ἐχρήσατο. τότε γὰρ ἦρχεν Ἀμινίας, (Ἀμεινίας. vid. H. ad hoc scholion.) Προνάπου παῖς. ἐκεῖνον οὖν ἐπισκῶψαι θελήσας παρέτρεψε τὸ ι (τὸ ει) εἰς τὸ υ, καὶ παρεγραμμάτισε γελοίως, ἐπεὶ παρὰ τοῖς Ἀθηναίοις ὁ νόμος φανερῶς ἐκώλυε τὸν ἄρχοντα κωμῳδεῖν. — Rav., Ven., D., Προνάπους. — de Amynia, quisquis fuit, cf. etiam 451., 1225.

77. S.: ἀντὶ τοῦ εἰπεῖν ἀρχὴν τοῦ ὀνόματός φησι τοῦ κακοῦ. τὸ φιλο δὲ εἶπε, παρόσον Φιλοκλέων ἐκαλεῖτο· (?!) πεποιημένον δὲ τοῦτο παρὰ τὸ φιλεῖν τὰς Κλέωνος πράξεις. φιλόδικος δὲ οὗτος (Philocleo), καὶ συκοφάντης. S. similis jocus est ap. Plautum Trin. 881.

78. Σωσίας. unus e spectatoribus. S.: Λερκύλον. οὗτος (intell. κωμῳδεῖται) ὡς κάπηλος ἢ μεθύστης, πρὸς ὃν Σωσίας τις διαλέγεται. ἄλλως. ὁ Λερκύλος κωμικὸς ὑποκριτής. δύο δέ εἰσι Σωσίαι, ὁ μὲν Πυθέου, ὁ δὲ Παρμενίωνος.

εἶναι φιλοπότην αὐτόν.
ΞΑ. οὐδαμῶς γ', ἐπεὶ
αὕτη γε χρηστῶν ἐστὶν ἀνδρῶν ἡ νόσος.
ΣΩ. Νικόστρατος δ' αὖ φησιν, ὁ Σκαμβωνίδης,
εἶναι φιλοθύτην αὐτόν, ἢ φιλόξενον.
ΞΑ. μὰ τὸν κύν', ὦ Νικόστρατ', οὐ φιλόξενος,
ἐπεὶ καταπύγων ἐστὶν ὅ γε Φιλόξενος.
ΣΩ. ἄλλως φλυαρεῖτ'· οὐ γὰρ ἐξευρήσετε.
εἰ δὴ 'πιθυμιεῖτ' εἰδέναι, σιγᾶτε νῦν·
φράσω γὰρ ἤδη τὴν νόσον τοῦ δεσπότου.
φιληλιαστής ἐστιν ὡς οὐδεὶς ἀνήρ,
ἐρᾷ τε τούτου τοῦ δικάζειν, καὶ στένει,
ἢν μὴ 'πὶ τοῦ πρώτου καθίζηται ξύλου.
ὕπνου δ' ὁρᾷ τῆς νυκτὸς οὐδὲ πασπάλην·
ἢν δ' οὖν καταμύσῃ κἂν ἄχνην, ὅμως ἐκεῖ
ὁ νοῦς πέτεται τὴν νύκτα περὶ τὴν κλεψύδραν.

80. ὡς μεθυστὴς ὁ οἰκέτης ἐπαινεῖ τὴν μέθην. S.

81. ὁ Σκαμβ. ἀπὸ δήμου τῆς Λεοντίδος φυλῆς. S. vid. Meurs. de Pop. att. in Σκαμβωνίδαι. Br. fuerit hic φιλοθύτης. cf. 76.

82. φιλοθῦταί εἰσιν οἱ δεισιδαίμονες, καὶ θύουσιν ἀεὶ τοῖς θεοῖς, νομίζοντες ἐκ τούτου ἀβλαβεῖς ἔσεσθαι. ἢ φιλόξενον. ὁ μὲν πρὸς τὸν ἀγαθὸν τρόπον εἶπε τὸ φιλόξενον, ὁ δὲ ὡς κύριον ἥρπασε. καὶ γὰρ ὁ Φιλόξενος ἐκωμῳδεῖτο ὡς πόρνος. Εὔπολις Πόλεσιν ἔστι δέ τις θήλεια Φιλόξενος ἐκ Διομείων. καὶ Φρύνιχος Σατύροις.

83. μὰ τὸν κύν'. οὕτως διὰ δεισιδαιμονίαν ὤμνυον. ἢ τάχα μιμεῖται τοὺς φιλοσόφους εἰς κύνα καὶ χῆνα ὀμνύοντας. S. Porson. ap. Dobr.: „Socratem perstringit, ut subinnuit S." Be.: — Notum est, Socratem ita jurare solitum. Athen. 9. p. 370. μιμούμενος τὸν κατὰ τῆς κυνὸς ὅρκον Σωκράτους. per jocum e scena appellatur ille Nicostratus, more hujus nostri et Comicorum.

85. ἄλλως φλ. ἀντὶ τοῦ μάτην φλυαρεῖτε. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν λεβήτων. ἀπὸ τοῦ φλύειν, ὅ ἐστι καχλάζειν, καὶ ἐκ τούτου τὸν ἀφρὸν ἀποβάλλειν. καὶ Ὅμηρος (Il. φ', 361.) ἀνὰ δ' ἕφλυε καλὰ ῥέεθρα. S.

88. φιληλ. ἀντὶ τοῦ φιλόδικος, ἀπὸ τοῦ μεγίστου δικαστηρίου τῆς Ἡλιαίας, ὅπερ οὕτω καλεῖται ἀπὸ τοῦ ἐν αἰθρίᾳ δημηγορεῖν etc. S. vid. G. G. S. Köpkei liber germ. de legg. et judicc. Gr. p. 627. seqq., et quos laudat, inprimis Harpocrat. v. Ἡλιαία.

90. ξύλου. ὃ ἡμεῖς βάθρον. — S., collato Ach. 25.

91. οὐδὲ πασπ. ἀντὶ τοῦ οὐδὲ βραχύ. — S. idem est παιπάλη: vid. Hesych., quem laudavit Be. Fl. Christ.: — „Quod autem in farina est πασπάλη, hoc in spica est ἄχνη, i. e. ἄχυρον et τοῦ σίτου λεπτὴ καλάμη, quam etiam ἀθέρα vocant. Homerus (Il. ε, 499.) ὡς δ' ἄνεμος ἄχνας φορέει." cf. sequ. versus.

92. ἄχνην. τὸ λεπτομερὲς τοῦ στάχυος. sumitur etiam pro quavis re minima, ut πασπάλη et alia. vide ad Plut. 17. Be.

93. περὶ τὴν κλ. ἀντὶ τοῦ περὶ τὸ δικαστήριον. κλεψύδρα γὰρ ἀγγεῖον τετρημένον, ἐν ᾧ ὕδωρ ἔβαλλον καὶ εἶων ῥεῖν ἄχρι τῆς ὀπῆς, καὶ οὕτως ἔπαυον τὸν ῥήτορα. τοῦτο δὲ ἐποίουν διὰ τὸ φλυαρεῖν τὸν λέγοντα, καὶ ἐμποδίζειν ἄλλοις θέ-

ὑπὸ τοῦ δὲ τὴν ψῆφόν γ' ἔχειν εἰωθέναι
τοὺς τρεῖς ξυνέχων τῶν δακτύλων ἀνίσταται,
ὥσπερ λιβανωτὸν ἐπιτιθεὶς νουμηνίᾳ.
καὶ νὴ Δί' ἦν ἴδῃ γέ που γεγραμμένον
υἱὸν Πυριλάμπους ἐν θύρᾳ Δῆμον καλὸν,
ἰὼν παρέγραψε πλησίον Κημὸς καλός.
τὸν ἀλεκτρυόνα δ', ὃς ᾖδ' ἐφ' ἑσπέρας, ἔφη
ὄψ' ἐξεγείρειν αὐτὸν ἀναπεπεισμένον
παρὰ τῶν ὑπευθύνων, ἔχοντα χρήματα.
εὐθὺς δ' ἀπὸ δορπηστοῦ κέκραγεν ἐμβάδας,
κἄπειτ' ἐκεῖσ' ἐλθὼν προκαθεύδει πρῳ πάνυ,
ὥσπερ λεπὰς προσεχόμενος τῷ κίονι.
ὑπὸ δυσκολίας δ' ἅπασι τιμῶν τὴν μακρὰν
ὥσπερ μέλιττ' ἡ βομβυλιὸς εἰσέρχεται,

λουσι λέγειν, ἵνα τὰ σπουδαῖα λέξας ἐξέλθῃ. S. cf. Ach. 652.

95. τοὺς τρεῖς ξυν. τούτοις γὰρ κατέχουσι τὰς ψήφους οἱ δικασταὶ, τῷ μεγάλῳ, καὶ τῷ λιχανῷ, καὶ τῷ μέσῳ. S. cf. 171., 1326.

96. κατὰ νουμηνίαν γὰρ ἔθος εἶχον λιβανωτοὺς ἐντιθέναι τοῖς ἀγάλμασι. S.

98. De Pyrilampis filio Demo, pulcro adolescente, a multis amato, vid. Meursius Att. Lect. 4, 5. — ad hunc Comici locum spectat Hesychii glossa: Δῆμος καλός. Δῆμος, ὄνομα κύριον. Πυριλάμπους υἱὸς ἦν οὗτος, τὴν ὥραν κάλλιστος. ἔθος δὲ ἦν τοῖς ἐρασταῖς ἐπιγράφειν παντα-χοῦ τὰ τῶν παιδικῶν ὀνόματα. Br.

99. κημὸς καλεῖται τὸ τοῖς καδίσκοις ἐπιτιθέμενον, δι' οὗ τὰς ψήφους καθίεσαν, ἵνα μὴ ὀλισθαίνωσιν. ἔστι δὲ πλέγμα τι δικτυῶδες, καὶ ἡθμῶδες, ἄνωθεν πλατὺ, κάτωθεν στενόν. S. — Est κημὸς (canus) quasi infundibulum, per quod in urnas immittebantur calculi. Be.

102. παρὰ τῶν ὑπ., a reis. comparantur similia Plauti Aul. 3, 4, 10. et illa Racinii in comoedia *Les Plaideurs: Il fit couper la tête à son coq, de colère, Pour l'avoir éveillé plus tard qu'à l'ordinaire: Il disoit qu'un plaideur, dont l'affaire allait mal, Avait graissé la patte à ce pauvre animal.*

103. ἀπὸ δορπ., ἀπὸ δόρπου, a coena. S.: ἐμβάδας. εἶδος ὑποδήματος. διὰ τὸ φιλοδικαστὴς εἶναι οὐ καθεύδει, φησὶν, ἐν τῷ οἴκῳ αὐτοῦ μετὰ τὸ δειπνῆσαι, ἀλλ' εὐθὺς ἀναστὰς ἀπὸ τῆς τραπέζης, καὶ ζητήσας τὰς ἐμβάδας, καὶ ὑποδησάμενος, ἀπέρχεται ἐν τῷ δικαστηρίῳ, καὶ καθεύδει. (imo ἀπέρχ. ἐντὸς δικαστηρίου καὶ καθ. sic etiam 124. erratum est.)

104, 5. πρωΐ (sic, ut fere libri Aristoph.) πάνυ. ἀντὶ τοῦ πρὸ τοῦ δέοντος καιροῦ ἀπιὼν ἀπονυστάζει, ἐμπίπτων τῷ κίονι. Soph. Ajac. 108. πρὸς κίον' ἑρκείου στέγης, i. e. τὸν ὑπερείδοντα τὴν ὀροφὴν κίονα, ut interpretatur Lobeck., quem cf.) λέπας δὲ κογχύλιόν τι ταῖς πέτραις προσπηγνύμενον. S. Plut. 1092. ὥσπερ λεπὰς, τῷ μειρακίῳ προσίσχεται. Br.

106. S.: προείρηται ὑπὲρ τοῦ τοὺς δικαστὰς ἐν πινακίῳ, ἤτοι ἐπὶ σανίδος κηρῷ ἀλιλιμμένης, ὁπότε καταλαμβάνοιέν τινα τῷ τολμήματι, ἕλκειν μακρὰν γραμμήν· ὁπότε δὲ ἀπολύοιεν, βραχεῖαν. καὶ ἑξῆς (167.)· ὅτε μοι ξίφος ὅπως τάχιστα, ἢ πινάκιον τιμητικόν. τοῦτο δὲ ἐποίουν μετὰ τὸ ἀποβλέψαι εἰς τὰς ψήφους τὰς ἐν τῇ κάλπιδι. εἰ γὰρ εὕρων τὰς μελαίνας πλείους, ἐχάραττον τῷ ὄνυχι τὴν μακράν· εἰ δὲ τὰς λευκὰς, τὴν βραχεῖαν. —

107. βομβ. ζῶον μελίττῃ ὅμοιον.

ὑπὸ τοῖς ὄνυξι κηρὸν ἀναπεπλασμένος.
ψήφων δὲ δείσας μὴ δεηθείη ποτὲ,
ἵν' ἔχῃ δικάζειν, αἰγιαλὸν ἔνδον τρέφει.
τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἀεὶ
μᾶλλον δικάζει. τοῦτον οὖν φυλάττομεν
μοχλοῖσιν ἐνδήσαντες, ὡς ἂν μὴ 'ξίῃ.
ὁ γὰρ υἱὸς αὐτοῦ τὴν νόσον βαρέως φέρει·
καὶ πρῶτα μὲν λόγοισι παραμυθούμενος
ἀνέπειθεν αὐτὸν μὴ φορεῖν τριβώνιον,
μηδ' ἐξιέναι θύραζ'· ὁ δ' οὐκ ἐπείθετο.
εἶτ' αὐτὸν ἀπέλου κἀκάθαιρ' ὁδῷ μάλα,
μετὰ ταῦτ' ἐκορυβάντιζ'· ὁ δ' αὐτῷ τυμπάνῳ

καὶ ὅτι (fort. ἔτι, praeterea,) κηρὸν ποιεῖ. (certe aliquid ex fuco florum et melle compositum invenitur in cellis apum violacearum, *der Violetthummeln.*) S.

108. ὑποπεπλασμένος. (sic, ut Rav.) πεπληρωμένος τοὺς ὄνυχας κηροῦ ὑπὸ τῶν χαραγμάτων. γράφεται ἀναπεπλασμένος. S.

110. ὡς ἐπὶ ζώου ἔφη τὸ τρέφει (pro ἔχει, more Tragicorum, quos fortasse παρῳδεῖ Comicus. *olov, ἐγέμισε τὴν οἰκίαν ψήφων.*

111. παρὰ τὰ Εὐριπίδου ἐκ Σθενεβοίας (fragm. 5.) τοιαῦτ' ἀλύει· (Musgrav.: *ita aestuat.*) νουθετούμενος (δ') ἔρως (*Μᾶλλον πιέζει*). S. vidd. de h. l. Euripidis, quos Musgrav. laudavit, Plut. Opp. mor. p. 123. ed. Steph. et Galen. de Hippocrate et Platone lib. 4. c. 7. Aeschylus Sept. ad Th. 387. τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σαγαῖς Βοᾷ, h. e., Plutarcho interprete, l. l. ap. Schneiderum in lex. gr. v. ἀλύω, γαυριῶν καὶ χαίρων. cf. schol. Sophoclis ad El. 130. gl. Victor.: ἀλύω ἀθημονῶ, ἀθυμῶ, ἀπορῶ. σημαίνει δὲ ἐνίοτε τὸ ἀλύω καὶ τὸ χαίρω. videtur tamen potius ἀλύειν h. l. et similibus esse *satagere*, vel *aestuare.*

113. ἐνδήσαντες, tanquam insanum, *un fou à lier.* Ald., Juntina prior, K., Br. ἐγκλείσαντες, quae est interpretatio verbi lectioris. quodsi quis est, cui durius dictum videatur ἐνδεῖν pro ἐγκλείειν, is ἐνδήσαντες intelliget ὡς ἐνδ., ellipsi satis frequente apud hunc nostrum: v. Plut. 293. etc.

116. τριβ. ὃ οἱ δικασταὶ φοροῦσιν. Schol. Victor. „cf. infra 1094." *Be*

118. corrupte Rav. et Ven. κἀκάθαιρ', ὁ δ' οὐ μάλα. vulgo κἀκάθαιρε καὶ μάλα, quod nihilo melius. ὁδῷ, *via*, rite. ἄπ. κἀκάθαιρε, tanquam initiandum mysteriis Corybantum.

119. ἐκορ. recte ille in scholiis: ἀντὶ τοῦ τὰ τῶν Κορυβάντων ἐποίει αὐτῷ μυστήρια ἐπὶ καθαρμῷ τῆς μανίας. Plato de Legg. 7., vol. 6. p. 226. ed. Tauchniz., quem locum laudavit Schneider. in lex. gr. h. v., postquam τὰ τῶν Κορυβάντων ἰάματα commemoravit, comparans cum sacerdotibus illis matres et nutrices infantum: ἡνίκα γὰρ ἄν που, inquit, βουληθᾶσι κατακοιμίζειν τὰ θυσυπνοῦντα τῶν παιδίων αἱ μητέρες, οὐχ ἡσυχίαν αὐτοῖς προσφέρουσιν, ἀλλὰ τοὐναντίον κίνησιν, ἐν ταῖς ἀγκάλαις ἀεὶ σείουσαι, καὶ οὐ σιγήν, ἀλλά τινα μελῳδίαν, καὶ ἀτεχνῶς οἷον καταυλοῦσι τῶν παιδίων (τὸ παιδίον), καθαπερεὶ τῶν ἐκφρόνων βακχειῶν (βάκχων) ἰάσει, (perperam ll. καθάπερ αἱ τ. ἐ. β. ἰάσεις.) ταύτῃ τῇ τῆς κινήσεως ἅμα χορείᾳ καὶ μούσῃ χρώμεναι. hoc igitur modo curatus Philocleo, inter Corybantum cantus et choreas, ipsumque tympanum, quae pars est instrumenti bacchici,

ἄξας ἐδίκαζεν εἰς τὸ Καινὸν ἐμπεσών.
ὅτε δῆτα ταύταις ταῖς τελεταῖς οὐκ ὠφέλει,
διέπλευσεν εἰς Αἴγιναν, εἶτα ξυλλαβὼν
νύκτωρ κατέκλινεν αὐτὸν εἰς Ἀσκληπιοῦ·
ὁ δ' ἀνεφάνη κνεφαῖος ἐπὶ τῇ κιγκλίδι.
ἐντεῦθεν οὐκέτ' αὐτὸν ἐξεφρείομεν·
ὁ δ' ἐξεδίδρασκε διά τε τῶν ὑδροῤῥοῶν,
καὶ τῶν ὀπῶν. ἡμεῖς δ', ὅσ' ἦν τετρημένα,
ἐνεβύσαμεν ῥακίοισι κἀπακτώσαμεν·
ὁ δ', ὡσπερεὶ κολοιὸς, αὑτῷ παττάλους
ἐνέκρουεν εἰς τὸν τοῖχον, εἶτ' ἐξήλλετο.
ἡμεῖς δὲ τὴν αὐλὴν ἅπασαν δικτύοις
καταπετάσαντες ἐν κύκλῳ φυλάττομεν.
ἔστιν δ' ὄνομα τῷ μὲν γέροντι Φιλοκλέων,
ναὶ μὰ Δία, τῷ δ' υἱεῖ γε τῷδὶ Βδελυκλέων,
ἔχων τρόπους φρυαγμοσεμνάκους τινάς.

ΒΔ. ὦ Ξανθία, καὶ Σωσία, καθεύδετε;

manu tenens, dicitur aufugisse in judicium, sententiamque dixisse. — αὐτῷ τυμπ. intell. σύν. — de Corybantibus cf. 8.

120. εἰς τὸ Καινόν ἐμπ. τόπος ἐν τῷ δικαστηρίῳ οὕτω λεγόμενος. εἰσὶ δὲ δ', Παράβυστος, Καινὸς, Τρίγωνος, Μέσος. τελούμενος οὖν, φησὶ, τὰ μυστήρια τῶν Κορυβάντων, παρ' οὐδὲν αὐτὰ θέμενος, κατέχων τὸ τύμπανον, ὥρμησεν εἰς τὸ δικαστήριον. S.

121. ὠφέλει αὐτὸν ὁ υἱός.

123. εἰς Ἀσκληπιοῦ. ἐκεῖ γὰρ ἱερόν ἐστιν. ὡς νοσοῦντα οὖν ἐκεῖ ἔφερεν. S. „cf. Mülleri Aeginetica p. 144." D. vide etiam annotata ad 9. sequ.

124. ἐπὶ τῇ κιγκλίδι. ἀντὶ τοῦ ἐν τῷ δικαστηρίῳ. (vid. annot. ad 103.) — κιγκλὶς γὰρ ἡ θύρα τοῦ δικαστηρίου, ἣν καὶ καγκελωτὴν (a cancellis. *Fl. Christ.*) καλοῦσι. (745.) κνεφαῖος δὲ, ἔτι σκότους ὄντος etc. S.

125. ἐντεῦθεν. ἀπ' ἐκείνου τοῦ χρόνου, μετὰ ταῦτα. S.

126. ὑδρ. οἱ κοῖλοι τόποι, δι' ὧν χωρεῖ τὸ ὕδωρ τὸ ἐξ ὑετοῦ. S.

127. ὀπῶν. vide Vitruv. 4, 2. et Schneideri lex. gr. v. ὀπαῖος.

128. κἀπακτ. ἐφράξαμεν, ἐπληρώσαμεν. πακτῶσαι γὰρ τὸ σφηνῶσαι. S.

129. ὡσπ. κολ. τοῖς γὰρ ἐν τῷ οἴκῳ κολοιοῖς, καὶ τοῖς ἄλλοις ὀρνέοις, πηγνύουσι πάτταλον, ἵνα εἰς αὐτοὺς ἅλλοιντο. S.

135. ἔχων, S.: ἀντίπτωσίς ἐστιν ἀντὶ δοτικῆς τῆς ἔχοντι. sane perincommode ἔχων referretur ad *Βδελυκλέων*, quod non hominem h. l. significat, sed nomen eius. itaque suspicor, scriptum fuisse ab Aristophane ἔχοντι. — φρυαγμ. ita Suid. h. v. et Rav., nisi quod habet φρυαγμοσεμνακουστίνους, ut B Paris. ceteri libri Aristoph. una voce ὀφρυαγμοσεμνακουστίνους. compositum verbum ex φρύαγμα, σεμνὸς, ἄκος, ut significetur is, qui fastui hominis severi, qualis est Philocleo, medicari studet; quod facit Bdelycleo.

136. E fenestra prospiciens haec Bdelycleo. cf. 366., Conc. 915., 960.

ΞΑ. οἴμοι. . .
ΣΩ. τί ἐστι;
ΞΑ. Βδελυκλέων ἀνίσταται!
ΒΔ. οὐ περιδραμιεῖται σφῷν ταχέως δεῦρ' ἄτερος;
ὁ γὰρ πατὴρ εἰς τὸν ἰπνὸν εἰσελήλυθε,
καὶ μυσπολεῖ τι καταδεδυκώς. ἀλλ' ἄθρει,
κατὰ τῆς πυέλου τὸ τρῆμ' ὅπως μὴ 'κδύσεται·
σὺ δὲ τῇ θύρᾳ πρόσκεισο.
ΣΩ. ταῦτ', ὦ δέσποτα.
ΒΔ. ἄναξ Πόσειδον, τί ποτ' ἄρ' ἡ κάπνη ψοφεῖ;
οὗτος, τίς εἶ σύ;
ΦΙ. καπνὸς ἔγωγ' ἐξέρχομαι.
ΒΔ. καπνός; φέρ' ἴδω, ξύλου τίνος σύ.
ΦΙ. συκίνου.
ΒΔ. νὴ τὸν Δί', ὅσπερ γ' ἐστὶ δριμύτατος καπνῶν.
ἀτὰρ οὐκέτ' ἐρρήσεις γε. ποῦ 'σθ' ἡ τηλία;
δύου πάλιν. — φέρ', ἐπαναθῶ σοι καὶ ξύλον.
ἐνταῦθα νῦν ζήτει τιν' ἄλλην μηχανήν.
ἀτὰρ ἄθλιός γ' εἶμ' ὡς ἕτερος οὐδεὶς ἀνήρ,
* ὅστις πατρὸς νῦν Καπνίου κεκλήσομαι.

139. ἰπνὸς furnus est ad calefaciendum ahenum balnearium, a quo furno quae fistula pertinet ad ahenum, ea mox vocatur τὸ τρῆμα τῆς πυέλου, ut interpretatur Schneider. in lex. v. ἰπνός.

140. μυσπολεῖ. — ἀπὸ τῶν μυῶν ἔοικεν ὠνοματοπεποιῆσθαι, τὸ διερευνᾶσθαι κρύφα. S.

142. ταῦτ', ὦ δ. ita, domine. similiter Megarensis Ach. 770. ταῦτα δή.

143. κάπνη. ἡ καπνοδοχή. ἔστι δὲ σωληνοειδὲς ἐπὶ τῶν μαγειρίων (μαγειρείων), δι' οὗ ὁ καπνὸς ἐξεισιν. ὡς οὖν τοῦ Φιλοκλέωνος πειραμένου δι' αὐτῆς ἐξελθεῖν, καὶ πτύπον ποιήσαντος, τοῦτό φησι. S.

145. συκίνου. ὅτι καὶ οἱ δικασταὶ δριμύτατοι, καὶ ὁ γέρων. καπνοποιὸν γὰρ τὸ σύκινον ξύλον. [καὶ] ὅτι ὁ ἐκ τῶν συκίνων ξύλων καπνὸς δριμύτατος, καὶ Ἀριστοτέλης φησὶν ἐν Προβλήμαι (Προβλήμασι). S. cf. de hac re Fl. Christiano laudatum Brodaeum Miscell. 3, 21. praeterea observant, significari hoc vocabulo τὴν συκοφαντίαν senis, ut illius, qui σύκινος vocatur Plut. 942.

147. ita Elmsl. ad Ach. 42. et D. libri ἀτ. οὐκ ἐσερρήσεις γε; otiosa γὲ particula et τῷ ἀτὰρ parum apto ad interrogationem. σ et τ etiam alibi confusa: vide S. ad 145., Soph. Oed. R. 811. etc. S.: ποῦ 'σθ' ἡ τηλία; τῇ κάπνῃ βούλεται ἐπιθεῖναι πῶμα τὴν τηλίαν.

148. φέρ', ἐπ. — ξύλον. hoc dicit, postquam rediit pater per fumarium. S.: οὐ τῷ πατρὶ ταῦτα λέγει, ἀλλὰ τῇ κάπνῃ. ἢ πρὸς τὴν τηλίαν, ἵνα ἐπιθῇ αὐτῇ ξύλον εἰς βάρος διὰ τὰς τοῦ πατρὸς μηχανάς. — additum sol familiariter.

149. ἀποκλείσας τὴν διέξοδον τοῦ μὴ δυνηθῆναι αὐτὸν εἰσελθεῖν ταῦτά φησι. S.

151. ita Rav., S., Bekk., D. Reisig. Conject. in Arist. 1. p. 109. νῦν καὶ Καπνίου, ne nominis Καπνίου prima producenda sit contra usum Comicorum. igitur scribamus ὅ. π.

παῖ, τὴν θύραν ὤθει· πίεζέ νυν σφόδρα
εὖ κἀνδρικῶς (κἀγὼ γὰρ ἐνταῦθ' ἔρχομαι),
καὶ τῆς κατακλεῖδος ἐπιμελοῦ, καὶ τοῦ μοχλοῦ·
φύλαττέ θ', ὅπως μὴ τὴν βάλανον ἐκτρώξεται.
ΦΙ. τί δράσετ'; οὐκ ἐκφρήσετ', ὦ μιαρώτατοι,
δικάσοντά μ'; ἀλλ' ἐκφεύξεται Δρακοντίδης.
ΒΔ. σὺ δὲ τοῦτο βαρέως ἂν φέροις;
ΦΙ. ὁ γὰρ θεὸς
μαντευομένῳ μοὔχρησεν ἐν Δελφοῖς ποτε,
ὅταν τις ἐκφύγῃ μ', ἀποσκλῆναι τότε.
ΒΔ. Ἄπολλον ἀποτρόπαιε, τοῦ μαντεύματος!
ΦΙ. ἴθ', ἀντιβολῶ σ', ἔκφρει με, μὴ διαῤῥαγῶ.
ΒΔ. * μὰ τὸν Ποσειδῶ, Φιλοκλέων, οὐδέποτέ γε.
ΦΙ. διατρώξομαι τοίνυν γ' ὀδὰξ τὸ δίκτυον.
ΒΔ. ἀλλ' οὐκ ἔχεις ὀδόντας.
ΦΙ. οἴμοι δείλαιος,
πῶς ἄν σ' ἀποκτείναιμι, πῶς; ὁότε μοι ξίφος
ὅπως τάχιστ', ἢ πινάκιον τιμητικόν!
ΒΔ. ἄνθρωπος οὗτος μέγα τι δρασείει κακόν.
ΦΙ. μὰ τὸν Δί' οὐ δῆτ', ἀλλ' ἀποδόσθαι βούλομαι

νῦν καὶ Κάπνου κ., καὶ Κ., *etiam Capni*, non modo Philocleonis.

152. male libri: ΟΙΚ. vel ΣΩ. τὴν etc. Bdelycleonem haec dicere intellexit Reisig. l. l. p. 237. videtur παῖ haustum a -μαι simili, quod antecedit.

155. — βάλανον. τὸν μοχλόν. κυρίως δὲ τὸ εἰς τὸν μοχλὸν σιδήριον, (?) ὃ καλοῦμεν μάγγανον. — S. mire metuit, ne senex edentulus (165.) pessulum erodat; neque infitior, suspectum mihi videri verbum ἐκτρώξεται.

157. Δρακ. πονηρὸς οὗτος, καὶ πλείσταις καταδίκαις ἐνεχόμενος, ὡς Πλάτων Σοφισταῖς. Καλλίστρατος δὲ ἕνα τῶν λ' φησὶν (ut Xenoph. Hist. gr. 2, 3, 2.), εἰ μὴ ὁμώνυμος. ἔστι γὰρ οὗτος ὁ τὸ περὶ τῶν λ' ψήφισμα περὶ ὀλιγαρχίας γράψας, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις. S. etiam Plutarchum Pericle c. 32. de Dracontide conferri jubet Fl. Chr.

158. σὺ — φέροις; *tune igitur id moleste feres*, ad quem nihil attinet? — personas hoc versu et 4 seqq. recte distinxerunt Bentl. et recentiores.

160. ἀποσκλῆναι. ἀποθανεῖν, ἀποξηρανθῆναι. gl. Victor.

162. mendose libri ἔκφερέ με, quod emendavit Br. in Supplem. annotationum. cf. 156. D. ἔκφρες.

163. οὐδέποτέ γε. languet γὲ, ut suspicer, Aristophanem dixisse οὐδέποτ' ἐγώ (scil. ἐκφρήσω σε).

164. male omissum est γὲ, siquidem νὺν particula corripitur.

166. πῶς ἄν σ' ἀπ.; *utinam te occidam*. vid. Matth. gr. §. 513. — πῶς — πῶς; repetitio pathetica.

167. τιμ. καταδικαστικὸν, ὅπου τὴν μακρὰν χαράσσοντες κατεδίκαζον, ἢ τὴν μικρὰν, καὶ ἀπέλυον. S. cf. 106, 816.

168. ita Dawes. Misc. cr. p. 263., Bekk., D. libri ἄνθρ.

169. ἀποδ. πωλῆσαι. S.

τὸν ὄνον ἄγων αὐτοῖσι τοῖς κανθηλίοις·
νουμηνία γάρ ἐστιν.
ΒΔ. οὔκουν κἂν ἐγὼ
αὐτὸν ἀποδοίμην δῆτ' ἄν;
ΦΙ. οὐχ ὥσπερ γ' ἐγώ.
ΒΔ. μὰ Δί' ἀλλ' ἄμεινον. ἀλλὰ τὸν ὄνον ἔξαγε.
ΞΑ. οἵαν πρόφασιν καθῆκεν ὡς εἰρωνικῶς,
ἵν' αὐτὸν ἐκπέμψειας!
ΒΔ. ἀλλ' οὐκ ἔσπασε
ταύτῃ γ'· ἐγὼ γὰρ ᾐσθόμην τεχνωμένου.
ἀλλ' εἰσιών μοι τὸν ὄνον ἐξάγειν δοκῶ,
ὅπως ἂν ὁ γέρων μηδὲ παρακύψῃ πάλιν. —
κάνθων, τί κλάεις, ὅτι πεπράσει τήμερον;
βάδιζε θᾶττον. τί στένεις, εἰ μὴ φέρεις
Ὀδυσσέα τίν'.
ΞΑ. ἀλλὰ ναὶ μὰ Δία φέρει
κάτω γε τουτονί τιν' ὑποδεδυκότα.
ΒΔ. ποῖον; φέρ' ἴδωμαι.
ΞΑ. τουτονί.
ΒΔ. τουτὶ τί ἦν;
τίς εἶ ποτ', ὦνθρωπ', ἐτεόν;
ΦΙ. Οὔτις νὴ Δία.

170. τοῖς κανθ. λείπει ἡ σύν. gl. Victor. una cum clitellis. Be.

171. νουμ. γάρ ἐστιν. ἔθος ἦν Ἀθήνῃσιν ἐν νουμηνίᾳ πιπράσκειν. S. significat mercatum fieri solitum Athenis initio mensis. cf. Ach. 937., Equ. 43. — οὔκουν — ἄν; ita D. Rav. οὐκοῦν — ἄν.

173. τὸν ὄ. ἔξαγε. πρὸς τὸν οἰκέτην φησί. S.

174. ὡς εἰρ., quam dissimulanter.

175. οὐκ. ἔσπ. οὐκ ἔτυχε· παρὰ τὴν παροιμίαν αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν. (Thesm. 934.) ἐλέγετο δὲ ἐπὶ τῶν πείρᾳ καθιέντων ἄγκιστρον μετὰ σχοίνου, καὶ μὴ ἐπιτυγχανόντων ἰχθύος τινός. S.

177. ἐξ. δοκῶ, educere volo. cf. Conc. 170.

178. παραικ. irrepat ad asinum, itaque effugere conetur. his dictis educit asinum.

179. κ., τί κλάεις. ὡς βαρουμένου τοῦ ὄνου. ἔφερε γὰρ τὸν γέροντα ὑποκρεμασθέντα λάθρα, κατὰ μίμησιν τοῦ Ὀδυσσέως ὑπὸ τοῦ κριοῦ φερομένου, ἐφ' ᾧτε διαδρᾶσαι τὸν Κύκλωπα, ὅτε τὰ πρόβατα ἐξῆγε τοῦ σπηλαίου, ἐφαπτόμενος αὐτῶν τῆς ῥάχεως, πρὸς τῇ θύρᾳ τοῦ σπηλαίου καθήμενος, ἵνα μὴ λαθὼν ἐξέλθῃ κύπτων ὁ Ὀδυσσεύς. (Odyss. ι.) τοῦτο δὲ λαθὼν ἐποίησεν ὁ γέρων. διὸ πρὸς βαρυνόμενον τὸν ὄνον φησίν. S.

181. Elmsl. ad Ach. 127., Bekk., D. libri Ὀδ. τινά γ', quod profectum esse videtur ab eo, qui nesciret, produci postremam nominis Ὀδυσσέα, de quo vidd. grammatici.

184. Οὔτις, ὅτι ὁ Ὀδυσσεὺς Οὔτις παρ' Ὁμήρῳ ἐκαλεῖτο (καλεῖται). S.

185 ΒΔ. Οὗτις σὺ ποδαπός;
ΦΙ. Ἰθακὸς Ἀποδρασιππίδου.
ΒΔ. Οὗτις μὰ τὸν Δί' οὔτι χαιρήσων γε σύ.
ὕφελκε θᾶττον αὐτὸν, ὁ μιαρώτατος
ἵν' ὑπυδέδυκεν, ὥστ' ἔμοιγ' ἰνδάλλεται
ὁμοιότατος κλητῆρος εἶναι πωλίῳ.
190 ΦΙ. εἰ μή μ' ἐάσεθ' ἥσυχον, μαχούμεθα.
ΒΔ. περὶ τοῦ μάχει νῷν δῆτα;
ΦΙ. περὶ ὄνου σκιᾶς.
ΒΔ. πονηρὸς εἶ πόῤῥω τέχνης, καὶ παράβολος.
ΦΙ. ἐγὼ πονηρός; οὐ μὰ Δί', ἀλλ' οὐκ οἶσθα σὺ

185. Elmsl. ad 568., D., idque legit S., qui sic scribat: πέπλακε τὸ ὄνομα ἀπὸ τοῦ ἀποδρᾶσαι, ὥσπερ ἀπὸ φυλῆς ἢ ἀπὸ γένους φάσκων. vulgo ἀπὸ Δρασιππίδου. annotarunt, simile esse διαδρασιπολίτας Ran. 953.

186. sic iidem et Bekk. ex Rav., h. e. οὔτε χαιρήσων γε σὺ εἶ Οὔτις. libri, in quibus Ven., χαιρ. γ' ἔσει Οὔτις — οὔτι —. lusus verborum.

187. vulgo: — αὐτόν. ὦ μιαρώτατος, ἵν' ὑποδ., quae parum cohaerent. Be.: *Protrahe eum inde ocius, impurissimus ille quorsum subierat*, quae est interpretatio nostrae scripturae.

188. sequ. ἰνδάλλεται. φαίνεταί μοι ὅμοιος εἶναι πώλῳ κλητῆρος. — οἱ γὰρ πῶλοι ὑποδύνουσι τὰς μητέρας, καὶ θηλάζουσιν. ἀντὶ τοῦ ὄνου, ἢ ἡμιόνου, κλητῆρος εἶπε (ut 1287.). πώλῳ (πωλίῳ) ὑποκοριστικῶς. — S.

191. περὶ ὄνου σκιᾶς. παροιμία ἐστίν. ἴσον τῷ περὶ μηδενός. — τῆς δὲ παροιμίας μέμνηται καὶ Μένανδρος ἐν τῷ Ἐγχειριδίῳ. λέγουσι δὲ, ὅτι Δημοσθένης ὁ ῥήτωρ ἀπολογούμενος ὑπέρ τινος κινδυνεύοντος, οὐκ ἀνεχομένων τῶν δικαστῶν, εἶπεν „ἀκούσατε, ὦ ἄνδρες; διηγήματος τερπνοῦ. νεανίσκος ποτὲ ὄνον ἐμισθώσατο Ἀθήνηθεν Μεγάραδε· μεσημβρίας δὲ καταλαβούσης καταλύσας τὴν γόμον ὑπῆλθε τὴν σκιὰν τοῦ ὄνου. ἐκβαλλόμενος δὲ ὑπὸ τοῦ ὀνηλάτου πρὸς βίαν διεφέρετο, μεμισθωκέναι καὶ τὴν σκιὰν λέγων· ἀντιλέγοντος δὲ τοῦ ὀνηλάτου, καὶ φάσκοντος τὸν ὄνον μεμισθωκέναι, εἰς δικαστήριον εἰσῆλθον ἀμφότεροι.“ εἰπὼν δὲ ταῦτα ὁ Δημοσθένης κατέβαινεν ἐκ τοῦ βήματος. ἀξιούντων δὲ τῶν δικαστῶν τῆς δίκης τὸ τέλος μαθεῖν, εἶπεν ἀναβὰς πάλιν ἐπὶ τοῦ βήματος „ὑπὲρ μὲν ὄνου σκιᾶς ἀκούειν, ὦ ἄνδρες, ἐπιθυμεῖτε· ἀνθρώπου δὲ κινδυνεύοντος ὑπὲρ ψυχῆς οὐδὲ τῆς φωνῆς ἀνέχεσθε.“ ἄλλοι δὲ λέγουσιν, ὅτι Ἀθήνηθεν εἰς Δελφοὺς τὸν ὄνον ἐμισθώσατο. ὅθεν, φασὶ, καὶ αὐτὸς ὁ Δημοσθένης περὶ τῆς ἐν Δελφοῖς σκιᾶς φησι, καὶ ὁ Πλάτων δὲ, καὶ ἄλλοι πολλοί. καὶ Ἀρχίππῳ δὲ κωμῳδία γέγονεν Ὄνου σκιά. τάττεται δὲ ἐπὶ τῶν περὶ μηδενὸς χρησίμου φιλοτιμουμένων. S.

192. πόῤῥω τέχνης. ἀντὶ τοῦ οὐκ ἀπὸ τέχνης τινὸς πονηρὸς εἶ, οὐδ' ἀπὸ μελέτης, ἀλλὰ φύσει. — S. ab aliena manu esse videntur verba ἀλλὰ φύσει, siquidem apparet, reprehendi Philocleonem tanquam malum artificem. „Hippocrates epist. 9. ὡς πονηρότατος εἶ, Δημόκριτε, καὶ πόῤῥω γε σοφίης.“ Be. eodem modo πόῤῥω τέχνης ὤν dicitur iners, imperitus. — gloss. Vict.: παράβολος ὁ τολμηρός.

193. πονηρὸν filius intelligit *imperitum*, pater *inutilem*, aitque se nunc vel maxime utilem esse, qui mox sit obiturus, quo facto bona sua perventura esse ad filium heredem.

νῦν μ' ὄντ' ἄριστον· ἀλλ' ἴσως, ὅταν φάγῃς
ὑπογάστριον γέροντος Ἡλιαστικοῦ.
ΒΔ. ὥθει τὸν ὄνον καὶ σαυτὸν ἐς τὴν οἰκίαν.
ΦΙ. ὦ ξυνδικασταί, καὶ Κλέων, ἀμύνατε!
ΒΔ. ἔνδον κέκραχθι τῆς θύρας κεκλεισμένης. —
ὥθει σὺ πολλοὺς τῶν λίθων πρὸς τὴν θύραν,
καὶ τὴν βάλανον ἔμβαλλε πάλιν εἰς τὸν μοχλὸν,
καὶ τῇ δοκῷ προσθεὶς τὸν ὅλμον τὸν μέγαν
ἀνύσας τι προσκύλιέ γ'.
ΣΩ. οἴμοι δείλαιος,
πόθεν ποτ' ἐμπέπτωκέ μοι τὸ βώλιον;
ΞΑ. ἴσως ἄνωθεν μῦς ἐνέβαλέ σοι ποθέν.
ΣΩ. μῦς; οὐ μὰ Δί', ἀλλ' ὑποδυόμενός τις οὑτοσὶ
ὑπὸ τῶν κεραμίδων Ἡλιαστὴς ὀροφίας.
ΞΑ. οἴμοι κακοδαίμων, στρουθὸς ἀνὴρ γίγνεται·
ἐκπτήσεται. ποῦ, ποῦ 'στι μοι τὸ δίκτυον;
σοῦ, σοῦ πάλιν, σοῦ! νὴ Δί', ἦ μοι κρεῖττον ἦν
τηρεῖν Σκιώνην ἀντὶ τούτου τοῦ πατρός. —

ridicule autem hereditatem vocat sumen (ὑπογάστριον) suum senis Heliastici, h. e. judicis.

194. ἀλλ' ἴσως. λείπει τὸ γνώσῃ με (ὄντ' ἄριστον). gl. Vict.

197. καὶ Κλέων. ἐπεὶ δοκεῖ Κλέων μισθοὺς πορίζειν τοῖς δικασταῖς. S. „sic et Cleon opem forensium senum et judicum implorat in Equ. 255. ὦ γέροντες Ἡλιασταὶ, φράτορες τριωβόλου, Οὓς ἐγὼ βόσκω.“ Be.

200. τὴν βάλανον. cf. 155.

201. τῇ δοκῷ, vecti. τὸν ὅλμον, alveum (238), vel mortarium.

203. τὸ βώλιον. — ἐν ὅσῳ ἕλκει ἐκ τῆς στέγης, ἔπεσε κατ' αὐτοῦ μικρὸς λίθος. S.

206. Ἡλ. ὀροφ. ἀντὶ τοῦ εἰπεῖν μῦς ὀροφίας. λέγονται μῦς ὀροφίαι, καὶ ὄφεις, οἱ περὶ τὰς ὀροφὰς διάγοντες, καὶ ταύτας κατατρώγοντες. S. cf. Nub. 174.

207. seqq. στρ. ἀνὴρ. γ. ἐπειδὴ ἀναπηδᾷ ὁ γέρων, ταῦτά φησιν ὁ οἰκέτης. σοῦ, σοῦ. (apage, a σοῦσθαι.) ἀποσοβοῦσι τὸν γέροντα, [ὡς στρουθὸν,] ὡς εἰώθαμεν τὰ ὄρνεα σοβεῖν. S.

210. ἀντὶ τούτου τοῦ πατρὸς, τουτονὶ τὸν πατέρα. temere Br. negat, haec dici posse a servulis. at ita illi, ne de filio loqui videantur, qui quidem recitato versu 202. recessit a fenestra. sunt. haec servilis plena dicacitatis, nec vel domini est, qui non vigilavit noctu, obdormiscere velle paululum cum puero, vel liberum decet lapidibus jactis accipere judices adventantes, quod se facturum esse minatur Xanthias 222. ne id quidem ad vivum resecandum est, quod se Scionem quam hunc senem servare malle ait, quasi is, cui liceat militare; sed communi verbo per jocum, nec serio, utitur. ceterum versibus 211., 216. (verbis quidem τί λέγεις; — Βαθὺς), 221. (οὐκοῦν — Βάλλ.) et 228. Sosiae nomen praescriptum est in libris, et orationibus, quae his respondent, Xanthiae, cum hic et senem nunc abegerit, ut vere dicat ἐπειδὴ τουτονὶ σεσοβήκαμεν, et, quod maximum est, prodat se indicio somnolentiae, quam minus sentit conservus: vide 1. — 6.

210. Σκιώνην. Φιλόχορος ἐπὶ

ἄγε νυν, ἐπειδὴ τουτονὶ σεσοβήκαμεν,
κοὐκ ἔσθ' ὅπως διαδὺς ἂν ἡμᾶς ἔτι λάθοι,
τί οὐκ ἀπεκοιμήθημεν ὅσον ὅσυν στίλην;

ΣΩ. ἀλλ', ὦ πόνηρ', ἥξουσιν ὀλίγον ὕστερον
οἱ ξυνδικασταὶ, παρακαλοῦντες τουτονὶ
τὸν πατέρα.

ΞΑ. τί λέγεις; ἀλλὰ νῦν γ' ὄρθρος βαθύς.

ΣΩ. νὴ τὸν Δί'. ὀψέ τἄρ' ἀνεστήκασι νῦν·
ὡς ἀπὸ μέσων νυκτῶν γε παρακαλοῦσ' ἀεὶ,
λύχνους ἔχοντες καὶ μινυρίζοντες μέλη
*ἀρχαιομελησιδωνοφρυνιχήρατα,
οἷς ἐκκαλοῦνται τοῦτον.

ΞΑ. οὐκοῦν, ἢν δέῃ,
ἤδη ποτ' αὐτοὺς ταῖς λίθοις βαλλήσομεν.

ΣΩ. ἀλλ', ὦ πόνηρε, τὸ γένος, ἢν τις ὀργίσῃ,
τὸ τῶν γερόντων ἔσθ' ὅμοιον σφηκιᾷ·

Ἰσάρχου φησὶ πρὸ ἐνιαυτοῦ Βρασίδαν ἀποστῆσαι Σκιωνεῖς τῶν Ἀθηναίων. Ἀθηναίους δέ φασι λ' τριήρεις πρότερον πέμψαντας Σκιώνην περιτειχίσαι, ὕστερον δὲ μαθόντας ἀποστῆσαι αὐτῶν, ἀποστεῖλαι στρατὸν, καὶ πολιορκῆσαι, καὶ ἀποτειχίσαι αὖθις, ὡς τὸ πρότερον. ἔστι δὲ χωρίον Θρᾴκης etc. S. „Scione urbs in Thracia est e 5 illis, quae Pallenes sunt, ubi capto Ilio Achivi consedere, quum naves cremassent Troades captivae, ut memorat Stephanus. — historiam de Scione habes sub finem l. 4. Thucydidis, praeter quae ap. Melam reperies de urbis vetustate.“ *Fl. Chr.* Strabo Excerpt. libri 7. 12. ἔχει δὲ (ἡ Παλλήνη) πόλεις δ', Ἄφυτιν, Μένδην, Σκιώνην, Σάνην. cf. Xenoph. Hist. gr. 2, 2, 3.

213. ἀπ. aoristus notione praesentis: v. Matth. gr. §. 506. S.: ὅσον στίλην. ὅτι σημαίνει τὸ ἐλάχιστον. Καλλίστρατος δὲ νομισμάτιον τι ἐλάχιστον. gl. Vict. στίλην. τὸ οὐδὲν καὶ τὸ τυχόν. ἔστι δὲ ὁ σταλαγμός (*stilla.*) similia in superioribus, 91. sequ., πασπάλην et ἄχνην comparavit Be. conferri etiam possunt annotata ad verba οὐδὲ γρὺ Plut. 17.

216. ita Ven. vulgo deest γέ.

217. τἄρ' D.; Rav. et edd. Farrei et Brubach. γὰρ metro laeso, vulgo γοῦν.

220. — πεποίηται ἡ λέξις παρὰ τὸ ἀρχαῖον καὶ τὸ μέλος καὶ τὸ Σιδὼν καὶ τὸ Φρύνιχος καὶ τὸ ἐρατόν. Ἀρίσταρχος δέ φησι γεγενῆσθαι ἀπὸ τοῦ μέλι, καὶ τοῦ Σιδῶνος, καὶ τοῦ Φρυνίχου, καὶ τοῦ ἐρατόν. — Φρύνιχος δὲ ἐγένετο τραγῳδίας ποιητὴς, ὃς ἔγραψε δρᾶμα Φοινίσσας, ἐν ᾧ μέμνηται Σιδωνίων. Ex S. dicendum potius, vocem compositam esse ex ἀρχαιομελὴς, Σιδὼν, Φρύνιχος, ἐρατά. ἀρχαιομελὴς formatum est, ut ἡδυμελὴς, πολυμελὴς. in quo si non erravimus, cum ἀρχαιομελῇ sit verbum integrum, nec ita comparatum, ut cohaerere cum sequente intelligatur, malim scribi μέλη ἀρχαιομελῆ Σιδωνοφρυνιχήρατα (vel Σιδωνιοφρ.), quemadmodum Berglerus proponebat ἀρχαῖα μέλη Σιδωνοφρυνιχήρατα, sed minus recte, cum praecesserit μέλη, nec opus sit repetita ea voce sine emphasi. μέλη ἀρχαιομελῆ eleganter et more Tragicorum, quos παρῳδεῖ Comicus, dicuntur μέλη ἀρχαῖα. Rav. ἀρχαῖα μελ.

224. ὅμοιον σφ. ἀντὶ τοῦ σφη-

ἔχουσι γὰρ καὶ κέντρον ἐκ τῆς ὀσφύος
ὀξύτατον, ᾧ κεντοῦσι, καὶ κεκραγότες
πηδῶσι, καὶ βάλλουσιν, ὥσπερ φέψαλοι.
ΞΑ. μὴ φροντίσῃς· ἐάνπερ ἐγὼ λίθους ἔχω,
πολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ.
ΧΟ. χώρει, πρόβαιν' ἐρρωμένως, ὦ Κωμία· βραδύνεις. i. t. c. προῳδός.
μὰ τὸν Δί', οὐ μέντοι πρὸ τοῦ γ', ἀλλ' ἦσθ' ἱμὰς κύνειος,
νυνὶ δὲ κρείττων ἐστί σου Χαρινάδης βαδίζειν.
ὦ Στρυμιόδωρε Κονθυλεῦ, βέλτιστε συνδικαστῶν,
Εὐεργίδης ἆρ' ἐστί που 'νταῦθ', ἢ Χάβρης ὁ Φλυεύς;
πάρεσθ' ὦ δὴ λοιπόν γ' ἔτ' ἐστὶν, ἀππαπαῖ, παπαιάξ,
ἤβης ἐκείνης, ἡνίκ' ἐν Βυζαντίῳ ξυνῆμεν
φρουροῦντ' ἐγώ τε καὶ σὺ, κἄτα περιπατοῦντε νύκτωρ
τῆς ἀρτοπώλιδος λαθόντ' ἐκλέψαμεν τὸν ὅλμον,
κἄθ' ἥψομεν τοῦ κορκόρου, κατασχίσαντες αὐτόν.

κώδεις εἰσὶ, καὶ κεντρώδεις. ἐν σχήματι γὰρ σφηκῶν εἰσάγονται. — πεποίηκε δὲ τοῦτο διὰ τὸ τοὺς γέροντας καὶ τοὺς δικασὰς ὀξυχόλους εἶναι, καὶ δίκην σφηκῶν τιτρώσκειν τοῖς λόγοις. S.

227. φέψαλοι. σπινθῆρες· οἷον πῦρ πνέουσιν. gl. Vict.

230. Chorus ingreditur, quasi in forum iturus ad dijudicandas lites. — Be. S.: βραδ. ἀντὶ τοῦ ἐβράδυνας εἰς τὸ δικαστήριον ἐλθεῖν. οἱ τοῦ Χοροῦ δὲ ἀλλήλοις ἐγκελευόμενοι τὴν πάροδον ποιοῦνται. ὄνομα δὲ γέροντος ὁ Κωμίας, καὶ ἴσως πεποίηται παρὰ τὴν κώμην. κύνειος δὲ εὔζωνος καὶ ἰσχυρός. (καὶ) Χαρινάδης δὲ ὄνομα γέροντος. cf. Pac. 1090.) Fl. Chr.: „ἱμὰς κύν. forte et robustum lorum vocat caninum, et constat caninas pelles in commendatione antiquitus fuisse, quibus capitis tegimina et περικεφαλαίας faciebant; unde eas κυνέας dixerunt, proinde ut e felibus vel mustelis *galeas*.“ Schneiderus indice Xenophontis opusc. polit. p. 520. ἱμᾶντα κύνειον interpretatur lorum, cui alligati canes educuntur ad venatum.

231. οὐ πρὸ τοῦ γ' ἐβράδυνας.

232. Χαριν. vir major natu.

233. Κονθύλη δῆμος Ἀττικῆς, τῆς Πτολεμαΐδος φυλῆς, (inauditum hoc nomen esse tribus atticae ait Fl. Chr.) ἢ Πανδίονος (Πανδιονίδος).

234. Ald. et Bern. Junta Χάρης. sed S.: Χάβης. οὕτως Ἡρωδιανὸς ἐν τῷ τρίτῳ τῆς καθόλου παρατίθεται τὸ ὄνομα διὰ τοῦ β, Χάβρης. τὸ δὲ Φλυεὺς ἀπὸ δήμου.

235. ita Rav., nisi quod γὲ forte neglectum est in eo libro, quod versui necessarium praebuit B Paris., recte probantibus viris doctis. Br. secundum membr. Paris. π. ὃ λοιπόν ἐστιν, ἀππαπαὶ, παπαὶ, παπαιάξ. πάρεσθ', adeste.

236. ἐν Βυζ. Byzantii facilem expugnationem duce Cimone, Olymp. 71, 1., ante Chr. nat. 471., h. e. ferme 50 ante actas Vespas intelligit H. Vossius. vide Thucydidis interpp. ad 1, 98.

238. τὸν ὅλμον. (alveum, *Backtrog*.) ξυλίνου ὄντος τοῦ ὅλμου. καὶ Ἡσίοδος (Opp. et D. 423.) ὅλμον μὲν τριπόδην τάμνειν S.

239. τοῦ κορκόρου. (vocatur etiam κόρχορος.) — λάχανόν τι

ἀλλ' ἐγκονῶμεν, ἄνδρες, ὡς ἔσται Λάχητι νυνί·
σίμβλον δέ φασι χρημάτων ἔχειν ἅπαντες αὐτόν.
χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ
ἥκειν ἔχοντας ἡμερῶν ὀργὴν τριῶν πονηρὰν
ἐπ' αὐτὸν, ὡς κολωμένους ὧν ἠδίκησεν. ἀλλὰ
σπεύδωμεν, ὦνδρες ἥλικες, πρὶν ἡμέραν γενέσθαι,
χὠρῶμεν, ἅμα τε τῷ λύχνῳ πάντη διασκοπῶμεν,
μή που λαθών τις ἐμποδὼν ἡμᾶς κακόν τι δράσῃ.

ΠΑ. τὸν πηλὸν, ὦ πάτερ, πάτερ, τουτονὶ φύλαξαι. Eurip. μεσῳδός.

ΧΟ. κάρφος χαμᾶθέν νυν λαβὼν τὸν λύχνον πρόβυσον.

ἄγριον καὶ εὐτελὲς ἐν Πελοποννήσῳ (et alibi: est enim *anagallis arvensis* Linn. sive anag. phoenicea Hoffmanni, *Ackergauckheil*, Hünerdarm etc., *Pappelkohl* secundum J. H. Vossium.), ὡς καὶ ἡ παροιμία (v. Hephaestion p. 46. et Gaisford., Erasmus Adag. p. 341. ed. Wechsel. *Dind.*) καὶ κόρκορος ἐν λαχάνοις. (simile illud *nos poma natamus.*) τὸ δὲ κατασχίσαντες, αὐτὸν τὸν ὅλμον δηλονότι· οὐ γὰρ τὸν κόρκορον. S.

240. ἔσται. ἢ δίκη, ἢ τιμωρία, ἢ τοιοῦτόν τι. τοῦτο δέ φησιν, ὡς τοῦ Κλέωνος εἰς δίκην ἐπαγαγόντος τὸν Λάχητα. στρατηγῆσαι δὲ αὐτόν φησι Δημήτριος πρὸ τριῶν ἐτῶν, εἰς Σικελίαν πεμφθέντα μετὰ νεῶν Λεοντίνοις βοηθήσοντα etc. S. — „Praestat historiam ex Thucydide cognoscere, qui, lib. 3. Lachetem Melanopi et Charoeadem Euphiletae duces missos cum imperio 20 navium in Siciliam scribit, ubi occiso Charoaede Laches solus fuit imperator etc. *Fl. Chr.* vid. Thuc. 3, 86., 90., 115. Be. Lachetem fraude aliqua usum esse ait in Sicilia, itaque inferius 804. et 862. traduci sub nomine Labetis canis. cf. seqq. et ann. ad 806.

241, 2. σίμβλον κυρίως εἰσὶν αἱ θῆκαι, ἔνθα αἱ μέλισσαι ἀποτίθενται τὸ μέλι. ὡς τοῦ Λάχητος δὲ τὰ δημόσια σφετερισαμένου, καὶ πλουτήσαντος. (χθὲς οὖν Κλέων.) κατ' ἐπιταγὴν δὲ τοῦ στρατηγοῦ καὶ οἱ δικασταὶ ἐκαλοῦντο. — S. κηδεμὼν, *curator*, praeses judicii. ἐν ὥρᾳ, tempori.

243. παρὰ τὸ κηρύσσεσθαι σιτία ἡμερῶν τριῶν τοῖς στρατιώταις ἐπαιξε. — S. cf. Pac. 312. πονηράν, quae ei negotium facessat, molestam, periculosam.

244. mendose libri κολουμένους, id quod plures animadverterunt. S. interpretatur κολάσοντας. cf. 258. Br. accipiebat pro κολούσαντας, a κολούω. vide Schneideri lex. gr. v. κολάζω. — ὑπερμέτρως libri ἀλλὰ γὰρ, corrigente Bentlejo.

246. χὠρῶμεν. h. e. καὶ ὁρῶμεν, et *videamus*, seu *caveamus*. perperam codd. χωρῶμεν, quod minus est quam σπεύδειν. Rhes. 537. ὅρα, κατ' ὄρφνην μὴ φύλαξιν ἐντύχῃς. ΔΙ. φυλάξομαί τοι etc.

248. παρέπονται αὐτοῖς παῖδες, καὶ πιθανῶς, ἵνα ἡ ὀρχήστρα πληρωθῇ· παῖς δέ (ἐστί) τις προηγούμενος μετὰ λύχνου, προσωρακὼς πηλόν. — S. metrum, auctore Hephaestione c. 15. p. 94. ed. Gaisford., τὸ καλούμενον Εὐριπίδειον τεσσαρεσκαιδεκασύλλαβον· οἷον παρὰ μὲν αὐτῷ Εὐριπίδῃ (fr. incert. 39. nostrae ed.) ἑῷος ἡνίχ' ἵππους ἐξέλαμψεν ἀστήρ· παρὰ δὲ Καλλιμάχῳ (fr. 106.) ἔνεστ' Ἀπόλλων τῷ χορῷ· τῆς λύρης ἀκούω etc. (⏑–⏑–⏑–⏑–|–⏑–⏑–⏑)

249. ἀμέτρως codd. χαμάθεν σύ νυν, et sequ. versu μοί γε νυν δοκω, quae certatim emendarunt viri docti. S.: κάρφος χαμάθεν. [ἐν] κάρφει (palea, festuca) γὰρ ἠρέμα τις

ΠΑ. οὔκ, ἀλλὰ τῳδί μοι δοκᾶ τὸν λύχνον προβύσειν.
ΧΟ. τί δὴ μαθὼν τῷ δακτύλῳ τὴν θρυαλλίδ' ὠθεῖς,
καὶ ταῦτα τοὐλαίου σπανίζοντος, ὦ 'νόητε;
οὐ γὰρ δάκνει σ', ὅταν δέῃ τίμιον πρίασθαι.
ΠΑ. εἰ νὴ Δί' αὖθις κονδύλοις νουθετήσεθ' ἡμᾶς,
ἀποσβέσαντες τοὺς λύχνους ἄπιμεν οἴκαδ' αὐτοί,
κἄπειτ' ἴσως ἐν τῷ σκότῳ, τουτουὶ στερηθεὶς,
τὸν πηλὸν, ὥσπερ ἀτταγᾶς, τυρβάσεις βαδίζων.
ΧΟ. ἦ μὴν ἐγώ σου χἀτέρους μείζονας κολάζω.
ἀλλ' οὗτοσί μοι βόρβορος φαίνεται πατοῦντι·
κοὐκ ἔσθ' ὅπως οὐχ ἡμερῶν τεττάρων τὸ πλεῖστον
ὕδωρ ἀναγκαίως ἔχει τὸν θεὸν ποιῆσαι.
ἔπεισι γοῦν τοῖσιν λύχνοις οὗτοιὶ μύκητες·
φιλεῖ δ', ὅταν τοῦτ' ᾖ, ποιεῖν ὑετὸν μάλιστα.
δεῖται δὲ καὶ τῶν καρπίμων ἄττα μή 'στι πρῳα
ὕδωρ γενέσθαι, κἀπιπνεῦσαι βόρειον αὐτοῖς.
τί χρῆμ' ἄρ' ὀὐκ τῆς οἰκίας τῆσδε συνδικαστὴς

προβύσσει. πρὸς τοὺς παῖδας δέ φησι τοὺς προπέμποντας αὐτόν. palea lucernam emungere jubet puerum.

250. τωδί. δεικτικῶς, τῷ λιχανῷ δακτύλῳ. προβύσσειν δὲ εἰς τὸ ἔμπροσθεν βαλεῖν τὸ ἐλλύχνιον. S. δοκῶ. cf. 177.

251. ὡς τοῦ παιδὸς τῷ δακτύλῳ ἐπισπασαμένου τὸ ἐλλύχνιον, καὶ ἐν τοσούτῳ ἐλαίου ἐκχυθέντος, εἰς τῶν πρεσβυτῶν, ὃς καὶ πατὴρ τοῦ παιδίου, ἀγανακτήσας κονδύλους αὐτῷ δίδωσιν. S.

252. codd. ὦ 'νόητε σύ. sustulere pronomen ἄμετρον Bentl. Br. aliique.

253. οὐ γὰρ λυπεῖ σε τὸ ἔλαιον πολλοῦ πιπρασκόμενον· οὐ γὰρ αὐτὸς ἀγοράζεις. πατρὸς δὲ υἱὸς ὢν μικρολόγου. S.

256. τουτουὶ, hujusce, mei.

257. ὁ ἀτταγᾶς ὄρνεόν ἐστι τερπόμενον ἐν ἕλεσι καὶ πηλώδεσι τόποις καὶ τέλμασιν, ὃν ἡμεῖς φαμεν ἀτταγῆνα. (cf. Ach. 823.) τυρβάσεις. ἀντὶ τοῦ ταράξεις. S.

260, 1. ἡμ. τεττ. per 4 dies. Fl. Chr. quatriduo. Bc. et alii. cf. 472. — τὸν θεὸν, Jovem pluvium.

262. οὗτοιὶ μύκ. φασὶν, ὅτι ὑετοῦ μέλλοντος γενέσθαι οἱ περὶ τὴν θρυαλλίδα τοῦ λύχνου σπινθῆρες ἀποπηδῶσιν, οὓς μύκητας νῦν λέγει, ὡς τοῦ λύχνου ἐναντιουμένου τῷ νοτερῷ ἀέρι. καὶ Ἄρατος (in Διοσημείοις) ἢ λύχνοιο μύκητες ἐγείρονται περὶ μύξαν Νύκτα κατὰ νοτίην. — καὶ Καλλίμαχος· (εὖτ' ἂν Λύχνου δαιομένου) ἄδδην ἐγένοντο μύκητες. S. „Virg. Georg. 1, 390.: nec nocturna quidem carpentes pensa puellae Nescivere hiemem, testa cum ardente viderent Scintillare oleum, et putres concrescere fungos.“ Fl. Chr. — φιλεῖ. ἤγουν ὁ Ζεύς. gl. Vict.

263. ita Fl. Chr. et alii. codd. numero adulterato ὅταν ᾖ τουτί.

264. ἐμφαίνει διὰ τούτων τὸ γεωργικὸν ἦθος, εὖ μάλα δεικνύων, ὅτι μέλει αὐτοῖς τῶν καρπίμων. S. Voss.: Noth thut es auch dem Feldgewächs, das nicht früh reif wird, Dass Wasser komm' und drauf sie anwehe frischer Nordhauch. — ap. Pollucem 7, 152., ubi haec affert, legitur καρπία πρώϊα: quem secutus Porsonus ap. Maltby ad Morell. lex. prosod. p. 327., 852. scribi jubet καρπίων.

πέπονθεν, ὡς οὐ φαίνεται δεῦρο πρὸς τὸ πλῆθος;
οὐ μὴν πρὸ τοῦ γ' ἐφολκὸς ἦν, ἀλλὰ πρῶτος ἡμῶν
ἡγεῖτ' ἂν ᾄδων Φρυνίχου· καὶ γάρ ἐστιν ἀνὴρ
φιλῳδός. ἀλλά μοι δοκεῖ στάντας ἐνθάδ', ὦνδρες,
ᾄδοντας αὐτὸν ἐκκαλεῖν, ἤν τί πως ἀκούσας
τοὐμοῦ μέλους ὑφ' ἡδονῆς ἐρπύσῃ θύραζε.
τί ποτ' οὐ πρὸ θυρῶν φαίνετ' ἄρ' ἡμῖν a. d. ἀνομοιόστ.
ὁ γέρων, οὐδ' ὑπακούει; ion. a min. d.
μιῶν ἀπόλωλε τὰς ἐμβάδας, ἢ προσέκοψ', as., dm. et da. d. h.
ἐν τῷ σκότῳ τὸν δάκτυλόν που, i. d. h.
εἶτ' ἐφλέγμην' αὐτὸ τὸ σφυρὸν γέροντος; as., 2 ith.
καὶ τάχ' ἂν βουβωνιῴη. t. d.
ἦ μὴν πολὺ δριμύτατός γ' ἦν τῶν παρ' ἡμῖν, as., a. d. br. et i. h.
καὶ μόνος οὐκ ἂν ἐπείθετ', ἀλλ' ὁπότ' ἀντιβολοίη, as., 2 da. tr. c.
κατακύπτων ἂν οὕτω *Λίθον ἔψεις* ἔλεγεν. gall.
τάχα δ' ἂν διὰ τὸν χθεσινὸν ἄνθρωπον, as., a. et cr. d. c.

268. *ἐφολκός*. ἐφολκὶς κυρίως λέγεται ἡ λέμβος, ἤτοι ἡ μικρὰ ναῦς, ἡ ὑφ' ἑτέρας μεγίστης νεὼς ἑλκομένη διὰ βραδύτητα. — S.

269. *Φρυνίχου τι, μέλος τι*. inferius, annotante Be., 1188. *ᾄδω δὲ πρῶτος Ἁρμοδίου*. de Phrynicho cf. 220.

270. *στάντας*. *πρὸ τῶν θυρῶν τοῦ Φιλοκλέωνος στάντες οἱ τοῦ Χοροῦ τὸ στάσιμον ᾄδουσι μέλος*.—S.

275. *ἐκ τοῦ εἰκότος τὴν τοῦ γέροντος ἐπὶ τὰ ἔνδον διατριβὴν τεκμαίρεται. βουβωνιῴη δὲ τὸν βουβῶνα ἀλγοίη*. S.

276. *τὸν δάκτυλον, pedis digitum*.

277. libri mendose et corruptis numeris — *ἐφλέγμηνεν αὐτοῦ — γέροντος ὄντος*. satis usitatum et hoc est genus versuum asynartetorum, et illud, quod 280. restitui delendo τις pronomine: nam vulgo ibi legitur *ἀντιβολοίη τις*, quam interpretationem esse intelligas ex similibus, quae protulit Matth. gr. §. 294, 2.

279. *δριμ., acerrimus judex*.

280. *ἀλλ' ὁπόταν* (sic). *ἤγουν ὁπότε μεταστῆσαι τοῦ δικάζειν παρεκάλει αὐτόν τις, ὅπως ἂν μὴ αἰδεσθείη διὰ τῶν ὀρθαλμῶν, κάτω κύπτων Λίθον ἔψεις ἔλεγε. παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀδυνάτων γενέσθαι τὸ Λίθον ἕψεις, ὡς καὶ τὸ Πλίνθον πλύνεις, καὶ Χύτραν ποικίλλεις, καὶ εἰς ὕδωρ γράφεις, καὶ Λιθίοπα λευκαίνεις, καὶ Κατὰ θάλατταν σπείρεις, καὶ τὰ τοιαῦτα*. S.

281. ll. metro aspero, quamvis explicabili (v. Hephaest. cap. 12., H. Elem. doctr. metr. p. 465.), *κάτω κύπτων*, ut in scholio. alias quoque confusa κατὰ et κάτω, velut Athen. 400, f., pro *γίνεται δὲ* (ὁ κούνικλος) *τὸ πλεῖον κατὰ γῆς* legendum est *γ. δὲ τὸ π. κάτω γῆς*. cf. 703.

282. *πάλιν στοχάζεται ἑτέραν πρόφασιν τῆς ἀπολείψεως αὐτοῦ, ὡς κρινομένου τινὸς, καὶ διαφύγοντος, τὴν καταδίκην ἀναξίως, καὶ ἐκ τούτου ὀδυνηθέντα ἀπολειφθῆναι*. S.

ὃς ἡμᾶς διεδύετ' ἐξαπατῶν, καὶ λέγων, as., gl. et dm.
ὡς φιλαθήναιος ἦν, da. d. h.
καὶ τὰν Σάμιῳ πρῶτος κατείποι, i. d. h.
διὰ τοῦτ' ὀδυνηθεὶς εἶτ' ἴσως κεῖται πυρέττων· i. tr. h.
ἔστι γὰρ τοιοῦτος ἀνήρ. gl. pol.
ἀλλ', ὤγαθ', ἀνίστασο, μηδ' οὕτω a. d.
σαυτὸν ἔσθιε, μηδ' ἀγανάκτει· Aeol. t.
καὶ γὰρ ἀνὴρ παχὺς ἥκει da. tr.
τῶν προδόντων τἀπὶ Θράκης. t. d.
ὃν ὅπως ἐγχυτριεῖς. — ὕπαγ', ὦ παῖ, ὕπαγε! as., 2 ion. a min. d. c.

ΠΑ. ἐθελήσεις τί μοι οὖν, ὦ πάτερ, ἢν σού τι δεηθῶ; ion. a min. t. στ.

ΧΟ. πάνυ γ', ὦ παιδίον· ἀλλ' εἰπέ, τί βούλει με πρίασθαι καλόν. ion. a min. pent. brach.

284. φιλ. correpta diphthongo pronuntiandum est metri gratia, ut δειλαιος 165., Ἀχαιῶν apud Euripidem Iph. A. 157., 158.

285. τὰ περὶ Σάμον ἐννεακαιδεκάτῳ ἔτει πρότερον ἐπὶ Περικλέους ἄρχοντος γέγονε. Μιλησίων γάρ ποτε καὶ Σαμίων μαχομένων Ἀθηναῖοι παρακληθέντες ὑπὸ Μιλησίων εἰς συμμαχίαν ἐπεστράτευσαν κατὰ τῶν Σαμίων, Περικλέους ἡγουμένου τοῦ Ξανθίππου. κακῶς δὲ διατεθέντες Σάμιοι ἐπεχείρησαν πρὸς τὸν βασιλέα τῶν Περσῶν ἀπελθεῖν. καὶ δὴ τοῦτο μαθόντες Ἀθηναῖοι τριήρεις πολεμικὰς κατ' αὐτῶν κατεσκεύασαν, Περικλέους εἰσηγησαμένου αὐτό (ll. αὐτῶν). τοῦτο δὲ μαθόντες Σάμιοι μηχανήν τινα κατεσκεύασαν κατ' αὐτῶν, ἣν μαθόντες Ἀθηναῖοι ὑπό τινος Καρυστίωνος ἐφυλάξαντο, καὶ Σαμίους μὲν κακῶς διέθηκαν, τὸν δὲ Καρυστίωνα ἐτίμησαν σφόδρα μετὰ τοῦ γένους, καὶ τῆς αὐτῶν πολιτείας ἠξίωσαν. ἀφ' οὗ τινος ἐξαπατήσαντος, καὶ εἰπόντος ἑαυτὸν εἶναι τὸν μηνυτὴν τοῦ σκαιωρήματος τῶν Σαμίων, καὶ διὰ τοῦτο ἀπολυθέντος, φησὶν ὠδυνῆσθαι τὸν Φιλοκλέωνα, ὡς ταῖς καταδίκαις βάλλον χαίροντα. S. cf. Thuc. 1, 115 sqq., quem laudavit Fl. Chr., et Theod. Panofkae Res Samiorum, librum editum Berol. 1822.

288. πρὸς Φιλοκλέωνά φησι. παχὺς δὲ πλούσιος. (cf. Pac. 617.) ἐκ δὲ τοῦ ἐναντίου λεπτοὺς τοὺς πένητάς φησιν (φασιν). S.

289. σαυτὸν ἔσθιε. Alcaeus ἔδωδ' ἑμαυτὸν, ὡς πολύπους. Be. „cf. Valck. ad fr. Callim. p. 107." D.

291. τἀπὶ Θράκης. novis rebus studere solebant Atheniensium socii Thraces. v. Lys. 103. H. Voss.

292. ἐγχυτριεῖς. ἀντὶ τοῦ φονεύσεις, ἐκ τοῦ παρεπομένου· καὶ ἐγχύτριαι αἱ τὰς χοὰς τοῖς τετελευτηκόσιν ἐπιφέρουσαι etc. S. — vide Suidam in ἐγχυτρίστριαι. Br. rursum S.: ὕπαγε. (redi.) εἰς τὴν οἰκίαν δηλονότι, ὡς κατασταθέντων αὐτῶν. παπία (sic) δὲ πάτερ.

293. — 310. haec antistrophica esse intellexit D., et probabiliter supplevit versum 305.; sed immodulatum 295. non tetigit, eique ut aptaret antistrophicum, de suo adjecit εἰπεῖν, et voce in duo versus distracta, quae ratio antiquata est, positaque praeter necessitatem forma ionica ἰρὸν, hoc edidit

ἔχεις ἐλ-
πίδα χρ. τ. νῷν ἢ π. Ἔ. ἰρὸν
εἰπεῖν;

similiter novavit 313., 316.

πέπονθεν, ὡς οὐ φαίνεται δεῦρο πρὸς τὸ πλῆθος;
οὐ μὴν πρὸ τοῦ γ' ἐφολκὸς ἦν, ἀλλὰ πρῶτος ἡμῶν
ἡγεῖτ' ἂν ᾄδων Φρυνίχου· καὶ γάρ ἐστιν ἀνὴρ
φιλῳδός. ἀλλά μοι δοκεῖ στάντας ἐνθάδ', ὦνδρες,
ᾄδοντας αὐτὸν ἐκκαλεῖν, ἤν τί πως ἀκούσας
τοὐμοῦ μέλους ὑφ' ἡδονῆς ἐρπύσῃ θύραζε.
τί ποτ' οὐ πρὸ θυρῶν φαίνετ' ἄρ' ἡμῖν a. d. ἀνομοιόστ.
ὁ γέρων, οὐδ' ὑπακούει; ion. a min. d.
μῶν ἀπόλωλε τὰς ἐμβάδας, ἢ προσέκοψ', as., dm. et da. d. h.
ἐν τῷ σκότῳ τὸν δάκτυλόν που, i. d. h.
εἶτ' ἐφλέγμην' αὐτὸ τὸ σφυρὸν γέροντος; as., 2 ith.
καὶ τάχ' ἂν βουβωνιῴη. t. d.
ἦ μὴν πολὺ δριμύτατός γ' ἦν τῶν παρ' ἡμῖν, as., a. d. br. et i. h.
καὶ μόνος οὐκ ἂν ἐπείθετ', ἀλλ' ὁπότ' ἀντιβολοίη, as., 2 da. tr. c.
κατακύπτων ἂν οὕτω *Λίθον* ἔψεις ἔλεγεν. gall.
τάχα δ' ἂν διὰ τὸν χθεσινὸν ἄνθρωπον, as., a. et cr. d. c.

268. ἐφολκός. ἐφολκὶς κυρίως λέγεται ἡ λέμβος, ἤτοι ἡ μικρὰ ναῦς, ἡ ὑφ' ἑτέρας μεγίστης νεὼς ἑλκομένη διὰ βραδύτητα. — S.

269. *Φρυνίχου τι, μέλος τι.* inferius, annotante Be., 1188. ᾄδω δὲ πρῶτος Ἁρμοδίου. de Phrynicho cf. 220.

270. στάντας. πρὸ τῶν θυρῶν τοῦ Φιλοκλέωνος στάντες οἱ τοῦ Χοροῦ τὸ στάσιμον ᾄδουσι μέλος.—S.

275. ἐκ τοῦ εἰκότος τὴν τοῦ γέροντος ἐπὶ τὰ ἔνδον διατριβὴν τεκμαίρεται. βουβωνιάω δὲ τὸν βουβῶνα ἀλγοίη. S.

276. τὸν δάκτυλον, *pedis digitum.*

277. libri mendose et corruptis numeris — ἐφλέγμηνεν αὐτοῦ — γέροντος ὄντος. satis usitatum et hoc est genus versuum asynartetorum, et illud, quod 280. restitui delendo τις pronomine: nam vulgo ibi legitur ἀντιβολοίη τις, quam interpretationem esse intelligas ex similibus, quae protulit Matth. gr. §. 294, 2.

279. δριμ., *acerrimus* judex.

280. ἀλλ' ὁπότ' ἂν (sic). ἤγουν ὁπότε μεταστῆσαι τοῦ δικάζειν παρεκάλει αὐτόν τις, ὅπως ἂν μὴ αἰδεσθείη διὰ τῶν ὀφθαλμῶν, κάτω κύπτων *Λίθον* ἔψεις ἔλεγε. παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀδυνάτων γενέσθαι τὸ *Λίθον* ἕψεις, ὡς καὶ τὸ Πλίνθον πλύνεις, καὶ *Χύτραν* ποικίλλεις, καὶ εἰς ὕδωρ γράφεις, καὶ *Αἰθίοπα* λευκαίνεις, καὶ Κατὰ θάλατταν σπείρεις, καὶ τὰ τοιαῦτα. S.

281. ll. metro aspero, quamvis explicabili (v. Hephaest. cap. 12., H. Elem. doctr. metr. p. 465.), κάτω κύπτων, ut in scholio. alias quoque confusa κατὰ et κάτω, velut Athen. 400, f., pro γίνεται δὲ (ὁ κονικλος) τὸ πλεῖον κατὰ γῆς legendum est γ. δὲ τὸ π. κάτω γῆς. cf. 703.

282. πάλιν στοχάζεται ἑτέραν πρόφασιν τῆς ἀπολείψεως αὐτοῦ, ὡς κρινομένου τινὸς, καὶ διαφύγοντος, τὴν καταδίκην ἀναξίως, καὶ ἐκ τούτου ὀδυνηθέντα ἀπολειφθῆναι. S.

ὡς ἡμᾶς διεδύετ' ἐξαπατῶν, καὶ λέγων, as., gl. et dm.
ὡς φιλαθήναιος ἦν, da. d. h.
καὶ τὰν Σάμιῳ πρῶτος κατείποι, i. d. h.
διὰ τοῦτ' ὀδυνηθεὶς εἶτ' ἴσως κεῖται πυρέττων· i. tr. h.
ἔστι γὰρ τοιοῦτος ἀνήρ. gl. pol.
ἀλλ', ὦγαθ', ἀνίστασο, μηδ' οὕτω a. d.
σαυτὸν ἔσθιε, μηδ' ἀγανάκτει· Aeol. t.
καὶ γὰρ ἀνὴρ παχὺς ἥκει da. tr.
τῶν προδόντων τὰπὶ Θρᾴκης. t. d.
ὃν ὅπως ἐγχυτριεῖς. — ὕπαγ', ὦ παῖ, ὕπαγε! as., 2 ion. a min. d. c.

ΠΑ. ἐθελήσεις τί μοι οὖν, ὦ πάτερ, ἢν σού τι δεηθῶ; ion. a min. t. στ.

ΧΟ. πάνυ γ', ὦ παιδίον· ἀλλ' εἰπέ, τί βούλει με πρίασθαι καλόν. ion. a min. pent. brach.

284. φιλ. correpta diphthongo pronuntiandum est metri gratia, ut δείλαιος 165., Ἀχαιῶν apud Euripidem Iph. A. 157., 158.

285. τὰ περὶ Σάμον ἐννεακαιδεκάτῳ ἔτει πρότερον ἐπὶ Περικλέους ἄρχοντος γέγονε. Μιλησίων γάρ ποτε καὶ Σαμίων μαχομένων Ἀθηναῖοι παρακληθέντες ὑπὸ Μιλησίων εἰς συμμαχίαν ἐπεστράτευσαν κατὰ τῶν Σαμίων, Περικλέους ἡγουμένου τοῦ Ξανθίππου. κακῶς δὲ διατεθέντες Σάμιοι ἐπεχείρησαν πρὸς τὸν βασιλέα τῶν Περσῶν ἀπελθεῖν. καὶ δὴ τοῦτο μαθόντες Ἀθηναῖοι τριήρεις πολεμικὰς κατ' αὐτῶν κατεσκεύασαν, Περικλέους εἰσηγησαμένου αὐτὸ (ll. αὐτῶν). τοῦτο δὲ μαθόντες Σάμιοι μηχανήν τινα κατεσκεύασαν κατ' αὐτῶν, ἣν μαθόντες Ἀθηναῖοι ὑπό τινος Καρυστίωνος ἐφυλάξαντο, καὶ Σαμίους μὲν κακῶς διέθηκαν, τὸν δὲ Καρυστίωνα ἐτίμησαν σφόδρα μετὰ τοῦ γένους, καὶ τῆς αὐτῶν πολιτείας ἠξίωσαν. ὡς οὖν τινος ἐξαπατήσαντος, καὶ εἰπόντος ἑαυτὸν εἶναι τὸν μηνυτὴν τοῦ σκαιωρήματος τῶν Σαμίων, καὶ διὰ τοῦτο ἀπολυθέντος, φησὶν ὠδυνῆσθαι τὸν Φιλοκλέωνα, ὡς ταῖς καταδίκαις μᾶλλον χαίροντα. S. cf. Thuc. 1, 115 sqq., quem laudavit Fl. Chr., et Theod. Panofkae Res Samiorum, librum editum Berol. 1822.

288. πρὸς Φιλοκλέωνά φησι. πλουσίους δὲ πλούσιος. (cf. Pac. 617.) ἐκ δὲ τοῦ ἐναντίου λεπτοὺς τοὺς πένητάς φησιν (φασιν). S.

289. σαυτὸν ἔσθιε. Alcaeus ἔδωδ' ἐμαυτόν, ὡς πολύπους. Be. „cf. Valck. ad fr. Callim. p. 107." D.

291. τάπὶ Θρᾴκης. novis rebus studere solebant Atheniensium socii Thraces. v. Lys. 103. *H. Voss.*

292. ἐγχυτριεῖς. ἀντὶ τοῦ φονεύσεις, ἐκ τοῦ παρεπομένου· καὶ ἐγχύτριαι αἱ τὰς χοὰς τοῖς τετελευτηκόσιν ἐπιφέρουσαι etc. S. — vide Suidam in ἐγχυτρίστριαι. Br. rursum S.: ὕπαγε. (redi.) εἰς τὴν οἰκίαν δηλονότι, ὡς κατασταθέντων αὐτῶν. παπία (sic) δὲ πάτερ.

293. — 310. haec antistrophica esse intellexit D., et probabiliter supplevit versum 305.; sed immodulatum 295. non tetigit, eique ut aptaret antistrophicum, de suo adjecit εἰπεῖν, et voce in duo versus distracta, quae ratio antiquata est, positaque praeter necessitatem forma ionica ἱρὸν, hoc edidit

ἔχεις ἐλ-
πίδα χρ. τ. νῷν ἢ π. Ἐ. ἱρὸν
εἰπεῖν;

similiter novavit 313., 316.

οἶμαι δέ σ' ἐρεῖν ἀστραγάλους δήποτε, παῖ. ion. a ma. tr. h.
ΠΑ. μὰ Δί', ἀλλ' ἰσχάδας, ὦ παππία· ἥδιον γάρ.
ΧΟ. Οὐκ ἄν asyn., ion. a min. dim. et anacr.
μὰ Δί', εἰ κρέμαισθέ γ' ὑμεῖς . . . anacr.
ΠΑ. μὰ Δί' οὔ τἄρα προπέμψω σε τολοιπόν. ion. a min. tr.
ΧΟ. ἀπὸ γὰρ τοῦδέ με τοῦ μισθαρίου sim. catal.
τρίτον αὐτὸν ἔχειν ἅλφιτα δεῖ, καὶ ξύλα, κἄψον·
asyn. τρίκ., a. ch. a.
σὺ δὲ σῦκά μ' αἰτεῖς. i. h.
ΠΑ. ἄγε νυν, ὦ πάτερ, ἢν μὴ τὸ δικαστήριον ἄρχων ἀντ.
καθίσῃ νῦν, πόθεν ὠνησόμεθ' ἄριστον; ἔχεις ἐλπίδα
χρηστήν τινα νῷν, ἢ πόρον Ἕλλας ἱερόν;
ΧΟ. ἀπαπαῖ, φεῦ, ἀπαπαῖ φεῦ μὰ Δί' οὐκ ἔγωγε νῷν
οἶδ'
ὁπόθεν γε δεῖπνον ἔσται.
ΠΑ. τί με δῆτ', ὦ μελέα μᾶτερ, ἔτικτες,

295. ll. ἀστ. δήπουθεν, ὦ παῖ. „astragali lusus erat puerulorum, et ap. Apollonium Rhod. Cupidinem habes cum Ganymede sic lusitantem. quin et ap. Philostratum operae est pretium videre imaginem ἀστραγαλιζόντων.“ *Fl. Chr.*

296. ἥδιον, ἥδυ τι.

297. οὐκ ἄν. ὠνήσομαι δηλονότι ἰσχάδας, εἰ κρεμασθέντες ἀπάγξοισθε. S.

298. ita nos olim et D. secundum Ray., qui habet οὔτ' ἄρα. alii οὐκ ἄρα. Bekk. οὐτἄρα.

299. μισθ. ὡς τριωβόλου τοῦ δικαστικοῦ ὄντος μισθοῦ. S. mendicitatem horum judicum perstringit.

301. S. σῦκά μ' αἰτεῖς. ἤγουν τρυφᾷν βούλει, ὅτι τρυφὴν φασι τὸ ἐσθίειν ἰσχάδας.

302. ἢν — νῦν, *si hodie praetor non exercet judicium.* „ἄρχων. infra 1395. ὕβριζ' ἕως ἂν τὴν δίκην ἄρχων καλῇ.“ *Be.*

303. ἐλπ. χρηστήν τινα. Plut. 212. ἔχω τιν' ἀγαθὴν ἐλπίδα. *Idem.* S.: πόρον Ἑλλάς. (sic etiam plerique ll. Arist., sed male, siquidem, servante Br., his verbis significatur Hellespontus.) νῦν πόρον τὸν ποριςμόν φησιν. (imo per jocum τὸν πορισμὸν vocat Hellespontum, h. e. perfugium seu praesidium salutis, quale fugienti Xerxi fuit Hellespontus: vid. Corn. Nep. Themist. c. 5.) ἐπήνεγκε δὲ τοῦτο παρὰ τὸ Πινδαρικὸν παν δείματι μὲν ὑπερπόντιον Ἑλλὰς πόρον ἱερόν. scribendum videtur παν δείματι μὲν ὑπὲρ πόντιον Ἕλλας πόρον ἱερόν, h. e. *ei, quem omnes metuunt trans fretum sacrum Helles*: neque enim fretum est ὑπερπόντιος πόρος, sed πόντιος. Persarum regem dici intellexit Thierschius.

307. vulgo μῆτερ, cum haec sint melica ex tragoedia. S.: πράγματα βόσκειν. ὁ λόγος ἐκ Θησέως Εὐριπίδου (fragm. 10. nostrae ed.). ἐκεῖ γὰρ ταῦτα λέγουσιν οἱ ταττόμενοι παῖδες εἰς βορὰν τῷ Μινωκενταύρῳ (Μινωταύρῳ. ταῦτα dicit totam illam orationem, quae hujusmodi fortasse fuit τί με — ἔτικτες, ἵνα με φράγματα β. π., *ut me septis*, i. e. incluso in labyrinthum Minotauro, τῷ φραττομένῳ, *devorandum praeberes*. puer dixit πράγματα βόσκειν, i. e. τρέφειν, ἔχειν, ἵνα μοι

ἵνα μοι πράγματα βόσκειν παρέχῃς;
ἀνόνητον ἄρ', ὦ θυλάκιόν, σ' εἶχον ἄγαλμ'. ἐέ,
πάρα νῷν στενάζειν!

παρ. πράγματα (ὥστε) βόσκειν (αὐτά). τὸ δὲ ἑξῆς, τὸ ἀνόνητον ἄρα Ἱππόλυτός ἐστιν ὁ λέγων ἐκεῖ (imo Hippolyto καλυπτομένῳ, quod Heathius animadvertit. v. Euripidis fab. fragm. p. 138.) ἀνόνητον ἄγαλμα, πάτερ, οἴκοισι τεκώσῃ. (ἀνόνητον ἄγαλμα πατὴρ Οἴκοισι τεκώσῃ.)

308. frustra codd. ἵν' ἐμοί.

309. θυλ. ὡς αὐτοῦ βαστάζοντος θύλακον. S. sacculum, quem fert ad recipiendas ficus, omnino servi praestans vicem, ut filius pauperis, vel parci.

310. πάρα, πάρεστι.

ΦΙΛΟΚΛΕΩΝ. ΧΟΡΟΣ. ΒΔΕΛΥΚΛΕΩΝ. ΣΩΣΙΑΣ. ΞΑΝΘΙΑΣ. ΚΥΩΝ.

ΦΙ. Φίλοι, τήκομαι μὲν πάλαι, antisp. d., ἐπῳδός.
διὰ τῆς ὀπῆς ὑμῶν ὑπακούων· asyn., i. h. et da d.
ἀλλὰ γὰρ οὐχ οἷός τ' εἰμ' ἰδεῖν, τί ποιήσω· asyn., do. et pher.
τηροῦμαι δ' ὑπὸ τῶνδ', ἐπεὶ βούλομαί γε πάλαι πάνυ asyn., 2 glyc.
μεθ' ὑμῶν ἐλθὼν ἐπὶ τοὺς καδίσκους κακόν τι ποιῆσαι. asyn., gl. pol. et sim. h.
ἀλλ', ὦ Ζεῦ, μέγα βρόντα, pher.
κἀμὲ ποίησον καπνὸν ἐξαίφνης, a. d.
ἢ Προξενίδην, ἢ τὸν Σέλλου

311. „Senex per foramen (fenestram in janua: vid Jacobs. ad Tat. 42, 7.) alloquitur Chorum, quia non potest domo exire.“ *Be.* D.

Φίλοι, τήκομαι μὲν
πάλαι διὰ τῆς ὀπῆς
ὑμῶν ὑπακούων.
Ἀλλ' οὐ γὰρ οἷός τ' ἔτ' εἰμ'
ἄδειν. τί ποιήσω;
τηρ. — ἐπεὶ
βούλομαί γε παλαί μεθ' ὑ-
μῶν — καδί-
σκους κακόν τι ποιῆσαι.
Ἀλλ' ὦ Ζεῦ Ζεῦ, μέγα βροντήσας
ἢ με ποίησον etc.

quae miror placuisse viro docto.

313. *ἰδεῖν* Dawes. Misc. crit. p. 267., merito adstipulantibus doctis, cum ineptum sit librorum *ᾄδειν*. simili menda inferius 1474. legebatur *ᾄδοντες* pro *ἰδόντες*. etiam male interpungunt — *ᾄδειν. τί ποιήσω.*

315. *ἐπὶ τοὺς καδ. τοὺς ἐν τῷ δικαστηρίῳ κάδους, ἐν οἷς τὰς ψήφους καθίεσαν, ὑποκοριστικῶς λέγει. ὀνομάζει δὲ ἀπὸ μέρους τὸ δικαστήριον, ὡς καὶ πρότερον* (93.) *κλεψύδραν αὐτὸ εἴρηκεν ἀπὸ τοῦ κειμένου ἐν αὐτῷ ἀγγείου, πρὸς ὃ οἱ ῥήτορες ἔλεγον. κακόν τι ποιῆσαι. καταδικάσαι τινά.* S. cf. 332.

317. *καπνόν. ὥστε διὰ βραχύτητα τῶν ὀπῶν τὴν ἔξοδον ποιήσασθαι.* S. sic Aeschylus Supplicibus 786. *μέλας γενοίμαν καπνὸς* etc.

318—322. *ἢ τοῦ Σέλλου. ἐπεὶ καπνὸν εἶπεν, ἐπήνεγκε τούτους, ὡς πτωχαλαζόνας* etc. S. „Inanes jactatores et promissores dicebantur *καπνοί*. fuit autem talis jactator iste Proxenides: in Avibus 1126. *Προξενίδης ὁ κομπασεύς*, quem locum indicavit S.“ *Be.* annotavit Fl. Chr., veteres vanitatem hominum per haec

τοῦτον, τὸν ψευδαμάμαξυν! a. paroem.
τόλμησον, ἄναξ, χαρίσασθαί μοι, a. d.
πάθος οἰκτείρας! ἤ με κεραυνῷ
διατινθαλέῳ σπόδισον ταχέως,
κἄπειτ' ἀνελών μ' ἀποφυσήσας
εἰς ὀξάλμην ἔμβαλε θερμήν·
ἤ δῆτα λίθον με ποίησον, ἐφ' οὗ
τὰς χοιρίνας ἀριθμοῦσιν. a. paroem.
ΧΟ. τίς γὰρ ἔσθ' ὁ ταῦτά σ' εἴργων, κἀποκλείων τὰς θύρας; t. t. c.
λέξον· πρὸς εὔνους γὰρ φράσεις. i. d.
ΦΙ. οὑμὸς υἱός. ἀλλὰ μὴ βοᾶτε· καὶ γὰρ τυγχάνει t. t. c.
οὑτοσὶ πρόσθεν καθεύδων· ἀλλ' ὕφεσθε τοῦ τόνου.
ΧΟ. τοῦ δ' ἕφεξιν, ὦ μάταιε, ταῦτα ὁρῶν σε βούλεται;
[τίνα πρόφασιν ἔχων;] dm.

tria significasse, *fumos*, *umbras*, *nubes*. Eupolis Autolyco καπνοὺς προφαίνει, καὶ σκιάς. cf. Coel. Rhodigini Lect. lib. 26. de Aeschine Selli filio Be. conferri jubet 448., ubi vocatur ὁ Σελαρτίου, et 1203. rursum S.: ψευδ. εἶδος ἀμπέλου ἡ ἀμάμαξυς, ἣν λέγουσιν ἀναδενδράδα. ὅλον δὲ εἴρηται παρὰ τὸ ψεύδεσθαι τὸν Αἰσχίνην, καὶ ψοφώδη νομιδῆ λέγειν· καὶ τὸ ξύλον γὰρ τῆς ἀμαμάξυος καιόμενον ψόφον ἀποτελεῖ. (vid. Schneideri lex. gr. h. v. „fortasse nihil aliud notat quam ψευδόπλουτον et jactatorem possessionum vitiferarum. sic in Equ. (579.) dixit senatum a Cleone factum plenum ψευδατραφύξιος (sic), i. e. vanitatum et mendaciorum, quia ἀτραφυξις genus est oleris cito excrescens." *Fl. Chr.*) διατινθ. δὲ διαθέρμῳ.

320. τόλμησον. βουλήθητι. „τολμ. χαρίσασθαί μοι. i. e. χάρισαι. vide Markl. ad Lysiam p. 385. ed. Reisk." *Br.* Soph. Philoct. 457. τόλμησον, ἐμβαλοῦ μ' ὅπῃ θέλεις ἄγων. cf. Elect. 994.

323. sequ. ἀποφ. τῶν γὰρ ἀπανθρακιζομένων ἰχθύων ἀποφυσῶσι τὴν σποδόν. — εἰς ὀξ. ὡς ἐπὶ ἰχθύων ὀπτῶν, ὀξάλμῃ ἐσθιομένων. S. Cratinus ap. Athen. 9. p. 385., laudante Be.: ἀνθ' ὧν πάντας ἑλὼν ὑμᾶς ἐρίηρας ἑταίρους Φρύξας, ἐψήσας, κἀπανθρακίσας, ὀπτήσας, Εἰς ἅλμην τε καὶ ὀξάλμην, κἄτα σκοροδάλμην, Χλιαρὸν ἐμβάπτων, ὃς ἂν ὀπτότατός μοι ἀπάντων Τμῶν φαίνηται, κατατρώξομαι, ὦ στρατιῶται. — ἀνελών, tanquam mortuum.

326. τὰς χοιρ. ἐν τῷ τῶν Ἱππέων δράματι εἴρηται, ὅτι χοιρίναις ἐχρῶντο πρὸ τῶν ψήφων οἱ δικασταί. ἦσαν δὲ κόγχαι τινὲς, ὡς φησιν Ἐπαφρόδιτος ἐν ταῖς Λέξεσι. S. vide ad Equ. 1220. apparet, super lapide solitos fuisse numerare suffragia urnis exemta. *Be.* „Pollux 8, 16., ubi vasa forensia recenset: χοιρίναι: πάλαι γὰρ χοιρίναις ἀντὶ ψήφων ἐχρῶντο, αἵπερ ἦσαν κόγχαι θαλάττιαι." *Br.*

327. — 330. ταῦτα. τὸ εἶναι σὺν ἡμῖν, καὶ δικάζειν. ὕφεσθε δὲ ὑποχαλᾶτε, ἐκ μεταφορᾶς τῶν πλοίων.

331. *quonam vero sub praetextu, o stulte, haec tibi facere vult?* S. τοῦ δ' ἕφέξειν (sic, ut Ven.). γράφεται καὶ ὑφέξειν, οἷον ὑποσχεῖν τι, (?) ὑπισχνούμενός σοι ἐπισχεῖ σε. (?) ἢ τίνος χάριν. παρὰ δὲ τοῖς Τραγικοῖς (in deperditis quidem fabulis) ἕφεξις ἡ πρόφασις. τί προφασιζόμενος συγκλείει σε; καὶ τὸ παρ' Ὁμήρῳ (Od. φ', 71.) οὐδέ τιν' ἄλλην μύθου ποιήσα-

ΦΙ. οὐκ ἐᾷ μ', ὦνδρες, δικάζειν, οὐδὲ δρᾶν οὐδὲν κακόν· t. t. c.
ἀλλά μ' εὐωχεῖν ἕτοιμός ἐστ', ἐγὼ δ' οὐ βούλομαι.
ΧΟ. τοῦτ' ἐτόλμησ' ὁ μιαρὸς χανεῖν; cret. tr.
ὦ Δημολογοκλέων, i. d. brach.
ὅτι λέγεις τι περὶ τῶν νέων ἀληθές! asyn., do. et ith.
οὐ γὰρ ἄν ποθ' οὗτος ἀνὴρ τοῦτ' ἐτόλμησεν λέγειν, t. t. c.
εἰ μὴ ξυνωμότης τις ἦν.
ἀλλ' ἐκ τούτων ὥρα τινά σοι ζητεῖν καινὴν ἐπίνοιαν, a. Aristoph.
ἥτις σε λάθρα τἀνδρὸς τουδὶ καταβῆναι δεῦρο ποιήσει.
ΦΙ. τίς ἂν οὖν εἴη; ζητεῖθ' ὑμεῖς, ὡς πᾶν ἂν ἔγωγε ποιοίην·
οὕτω κιττῶ διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν.
ΧΟ. ἔστιν ὁπῇ δῆθ', ἥντιν' ἂν ἔνδοθεν οἷός τ' εἴης διορύξαι,

σθαι ἐπισχεσίην ἐδύνασθε. hinc intelligas, verba τίνα πρόφασιν ἔχων a glossatore adscripta esse.

332. οὐδὲ δρ. οὐδὲν κακόν. cf. 315.

335, 6. vulgo — χανεῖν, ὁ Δημολογοκλέων ὅτι (in hoc intelligendum ἰστέον: v. Aristoph. Tagen. fr. II, 18. nostrae ed.) λέγ. τι περὶ τῶν νεῶν ἀλ.; quibus fidem habentes trepidant ineptiuntque partim scholiastae, quasi de navibus et trierarchia dicerent senes chorici. (alter schol. recte οὐ περὶ νεῶν ἐστιν ὁ λόγος etc.) vide, quid possit accentus: νέων enim scribendo sensum versus 336., quem omisit D., velut intractabilem, restituisse mihi videor. Chorus Cleonem, cui favet, vere quiddam dixisse ait de juvenibus Atheniensibus, scilicet, eos conjurare in perniciem reipublicae; quibuscum etiam Bdelycleonem sentire suspicatur, qui tantum ausus sit. cohaerent igitur, ut membra ejusdem orationis, versus 334. — 339., nec 337. immittenda erat Philocleonis persona, quod fecerunt librarii atque editores. oderunt senes, ut in Acharnensibus et Nubibus, gliscentem morum et disciplinae mutationem, juvenesque novis rebus studentes, et senibus honoratiores (Ach. 578.). — S. ὁ Δημολ. — τοῦτο εἴρηκε διὰ τὸ τὸν Κλέωνα πολυλόγον εἶναι, κ. τοῖς λόγοις (dum ad voluptatem populi loquitur) ἐξαπατᾶν τὸν δῆμον. ἐπὶ δὲ τὸ αὐτὸ ἦθος κατενήνεκται, (vultuose Chorum hoc dicere significat. v. 657., Nub. 1247.) ἐπεὶ ὁ Χορὸς πρὸς τοῦ Κλέωνος ἐτύγχανεν. Be. „Levibus de causis statim quemlibet suspectum habebant conjurationis, aut tyrannidis affectatae: cf. 472. item, notante H. Vossio, Equ. 442.) δεῦρο δὲ πρὸς ἡμᾶς. S.

338. ἐκ τούτων, *post haec acta*, quoniam ita se res habet.

341. ποιοίην posterior Junt., Elmsl. ad Eurip. Heraclid. 1017., D. ποοίην Bekk. vulgo ποιοίμην.

342. κιττῶ. ἐπιθυμῶ, ἀπὸ τῶν ἀρτίως τικτουσῶν γυναικῶν, καὶ ἐπιθυμουσῶν τινων. εἴρηται δὲ ἐπὶ τοῦ ὀρνέου τῆς κίττης, (κίττα pica glandaria Linn., germ. *Heher.*) ὅτερ ἐπιθυμητικῶς ἔχον τῶν ἀκροδρύων ταχέως δυσαρεστεῖται, ἐξ ὧν δ' (δὴ) ἂν ἐσθίοι, καὶ πάλιν ἑτέρων ἐπιθυμεῖ, καὶ μεταβάσεις ποιεῖται εἰς ἕκαστον τῶν δένδρων. διὰ τῶν σαν. τῶν δρυφάκτων (376.) — τοῦ δικαστηρίου. S. χοιρίνης. cf. 326. περιελθεῖν, *intrare* (judicium).

εἰτ' ἐκδῦναι ῥάκεσιν κρυφθεὶς, ὥσπερ πολύμητις Ὀδυσσεύς.

ΦΙ. πάντα πέφρακται, κοὐκ ἔστιν ὀπῆς οὐδ' εἰ σέρφῳ διαδῦναι.

ἀλλ' ἄλλο τι δεῖ ζητεῖν ὑμᾶς· ὀπίαν δ' οὐκ ἔστι γενέσθαι.

ΧΟ. μέμνησαι δῆθ', ὅτ' ἐπὶ στρατιᾶς κλέψας ποτὲ τοὺς ὀβελίσκους

ἴεις σαυτὸν κατὰ τοῦ τείχους ταχέως, ὅτε Νάξος ἑάλω;

ΦΙ. οἰδ'· ἀλλὰ τί τοῦτ'; οὐδὲν γὰρ τοῦτ' ἐστὶν ἐκείνῳ προσόμοιον.

ἤβων γὰρ, κἀδυνάμην κλέπτειν, ἰσχυόν τ' αὐτὸς ἐμαυτοῦ· a. d.

κοὐδείς μ' ἐφύλαττ', ἀλλ' ἐξῆν μοι

φεύγειν ἀδεῶς. νῦν δὲ ξὺν ὅπλοις

ἄνδρες ὁπλῖται διαταξάμενοι

κατὰ τὰς διόδους σκοπιωροῦνται·

τὼ δὲ δύ' αὐτῶν ἐπὶ ταῖσι θύραις

ὥσπερ με γαλῆν κρέα κλέψασαν

τηροῦσιν, ἔχοντ' ὀβελίσκους. a. par.

ΧΟ. ἀλλὰ καὶ νῦν ἐκπόριζε μηχανὴν ὅπως τάχιστα· t. t.

344. ὥσπερ πολ. Ὀδυσσεύς. cum Trojam adiret speculandi causa. vide Musgrav. ad Eurip. Hecub. 241. (226.) et, quos laudat, Homerum Odyss. δ', 242. seqq., Rhes. 712. (674.), Lycophr. 780.

345. σέρφῳ. ὅτι ἐν Ὄρνισί (82.) τινες τὸ εὖδει καταφαγὼν μύρτα καὶ σέρφους ἐξηγοῦνται καρπὸν τὸν σέρφον. ἔστι δὲ θυρίδιόν τι μικρόν. Κρατῖνος δὲ μύρμηκά φησι τὸν σέρφον· οἱ δὲ ζωΰφιον κωνωπῶδες, ἀφ' οὗ ἡ παροιμία ἔνεστι κἂν μύρμηκι κἂν σέρφῳ χολὴ, παρεγγυῶσα μηδὲ τῶν μικρῶν καταφρονεῖν. S.

346. ὀπίαν παρὰ τὴν ὀπὴν τὸ ὄνομα. [καὶ] τυφὸν δὲ λέγουσι τὸν ὀπίαν τὸν τῷ ὀπῷ τῆς συκῆς πνικνούμενον. S. lusus verborum.

347. ὑπομιμνήσκει αὐτὸν παλαιᾶς πράξεως τόλμαν. S.

348. Naxus capta est, duce Cimone, anno fere 50. ante actam hanc fabulam, cum seditionem conflassent Naxii. *H. Voss.* S. — τοῦ δὲ ἑάλω ἐκτείνουσι τὸ α συνήθως. ἔστι δὲ μία τῶν Κυκλάδων ἡ νῆσος. S.

349. τί τοῦτο; τί πλέον; *quid postea? was ist Das mehr?* Asclepiades Anthol. Palat. 1. p. 145. εἰ δὲ μέλαινα, τί τοῦτο;

350. ἰσχυόν τ' α. ἐμ., *measque vires integras habebam.* Be.

353. ridicule ὁπλίτας vocat servulos ὄντας σὺν ὅπλοις, quod generale nomen est, ut *arma* Latinorum.

354. σκοπ. κατοπτεύουσι, καὶ παραφυλάττουσιν. Ἑρμιππος δὲ καὶ ἐπὶ τοῦ ἀπὸ τῆς σκοπῆς (malim σκοπιᾶς. *Fl. Chr.*) θεωρεῖν. S. est haec propria vis verbi.

358. frustra Fl. Chr. aliique τάχισθ', quasi opus sit elisa vocali in fine versus et sententiae. cf. 369. etc. usurpatus tetrameter troch. παθητικῶς, ut 452., Ran. 507., ubi vide annot.

ἕως γὰρ, ὦ μελίττιον. i. d.
ΦΙ. διατραγεῖν τοίνυν κράτιστόν ἐστί μοι τὸ δίκτυον· t. t. c.
ἡ δέ μοι Δίκτυννα συγγνώμην ἔχοι τοῦ δικτύου.
ΧΟ. ταῦτα μὲν πρὸς ἀνδρὸς ἔστ' ἄνοντος ἐς σωτηρίαν.
ἀλλ' ἔπαγε τὴν γνάθον. i. d. br.
ΦΙ. διατέτρωκται τοῦτό γ'. ἀλλὰ μὴ βοᾶτε μηδαμῶς, t. t. c.
ἀλλὰ τηρώμεσθ', ὅπως μὴ Βδελυκλέων αἰσθήσεται.
ΧΟ. μηδὲν, ὦ 'τᾶν, δέδιθι, μηδὲν, ὡς ἐγὼ τοῦτόν γ', ἢν
γρύξῃ τι, ποιήσω δακεῖν τὴν καρδίαν, i. tr.
καὶ τὸν περὶ ψυχῆς δρόμον δραμεῖν, ἵν' εἰδῇ μὴ πατεῖν
i. t.

359. ἕως γ., ὦ μελ. ὀρθρος γὰρ, ὦ προσφιλέστατον μελίτιον. (sic, ut quaedam edd., in his Lugdunobatava a. 1624., et Küsteri: sed male.) δηλοῦσι γὰρ, ὅτι ἡμέρα γέγονεν.

361. πρὸς τὴν Ἄρτεμιν τοῦτο, ἐπειδὴ ἄγρευτος ἦν. παρὰ δὲ τὸ ὄνομα γελοιάζει· παρὰ γὰρ τὸ δίκτυον ἐπήγαγε τὸ Δίκτυνναν [Ἄρτεμιν] ἵλαον ἔσεσθαι. S. erat area aedium reti obducta, ne senex, tanquam avis, evolare posset. cf. 131., 164.

362. πρὸς ἀνδρὸς, viro digna, viri officium. S.: ἄνοντος. ἀντὶ τοῦ ἀνύοντος τὰ πρὸς σωτηρίαν καὶ εὑρίσκοντος. τὸ δὲ ἄνοντος γίνεται παρὰ τὸ ἄνω βαρύτονον, οὗ τὸ τρίτον τοῦ παθητικοῦ ἐνεστῶτος ἄνεται, ὡς τὸ μάλα γὰρ νὺξ ἄνεται. Suidas, notante Dobraeo, ἄνοις: ἀντὶ τοῦ ἀνύοις. Φρύνιχος. cf. ipse Dobr.; item Homer. Odyss. γ', 496., Pindar. Ol. 8, 9. et ibi H., qui annotavit, priorem verbi syllabam produci Anthol. Palat. 3. p. 670. vocabulum rarius ionicae dialecti, vel veteris atticae. intelligitur autem hoc vel quiddam simile, ὁδὸν, δρόμον, πορείαν. vid. Br. ad Av. 243. plene Eurip. 165. ἀνεμώκεος εἶδε δρόμον νεφέλας Ποσὶν ἐξανύσαιμι δι' αἰθέρος.

365. τηρ. cf. 1338.

366. ὦ 'τᾶν. cf. Plut. 66.

367. δακ. τὴν καρδίαν. ἀντὶ τοῦ δηχθῆναι καὶ λυπηθῆναι. — gl. Victor. cf. Ach. 1.

368. sequ. τὸν περὶ ψυχῆς. ἤγουν ἐκφυγεῖν σώσοντα τὴν ψυχήν. S. Eurip. Or. 849. de Oreste, cui capitale judicium instabat: Ὀρέστην κεῖνον οὐχ ὁρᾷς πέλας Στείχοντ', ἀγῶνα θανάσιμον δραμούμενον; Be. ἵν' εἰδῇ — ψηφίσματα. καὶ τοῦτο, ὡς φιλόδικος. ἔγκλημα δὲ ἦν ὑβρίσαι τὰ μυστήρια. — S. morte puniebantur, qui Cereris sacrum vulgassent arcanae, ut ait Flaccus Od. 3, 2, 26. cf. G. G. S. Köpkei liber germ. de legibus atque judiciis Graecorum, et inprimis Plutarchi Alcib. ed. Bähr. pagg. 183 seqq. gravissimum igitur crimen istud conferre cogitat Chorus in innocentem Bdelycleonem, quo eum a custodiendo patre absterreat. — εἰδῇ, sciat. cf. Soph. Antig. 450., Philoct. 811. — πατεῖν, conculcare, contemnere. „Aeschylus Agam. 341. οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν, ὅσοις ἀθίκτων χάρις πατοῖτο." Be. ψηφίσματα, νόμους (vid. Schömannus de comitiis Athen. p. 249., quem laudavit D.), h. e. mysteria Eleusinia. Plut. l. l. cap. 22.: παρὰ τὰ νόμιμα καὶ τὰ καθεστηκότα ὑπό τ' Εὐμολπιδῶν, καὶ Κηρύκων, καὶ τῶν ἱερέων τῶν ἐξ Ἐλευσῖνος, quae descriptio est illorum mysteriorum. S.: ἀντὶ τοῦ τὰ μυστήρια εἰπεῖν ψηφίσματα εἶπεν. — Cererem et Proserpinam, mysteriorum Eleus. praesides, κατ' ἐξοχὴν dici τὰ θεὼ, nemo ignorat. unde suspicor scribendum esse ταῖν θεοῖν. putide Rav. τῶν θεῶν.

τὰ ταῖν θεαῖν ψηφίσματα. i. d.
ἀλλ' ἐξάψας διὰ τῆς Θυρίδος τὸ καλώδιον εἶτα καθίμα a. Arist.
δήσας σαυτὸν, καὶ τὴν ψυχὴν ἐμπλησάμενος Διοπείθους.
ΦΙ. ἄγε νῦν, ἢν αἰσθομένω τούτω ζητῆτόν μ' ἐκκαλαμᾶσθαι
κἀνάσπαστον ποιεῖν εἴσω, τί ποιήσετε; φράζετε νυνί.
ΧΟ. ἀμυνοῦμέν σοι, τὸν πρινώδη θυμὸν ἅπαντες καλέσαντες,
ὥστ' οὐ δυνατόν σ' εἴργειν ἔσται· τοιαῦτα ποιήσομεν ἡμεῖς.
ΦΙ. δράσω τοίνυν γ', ὑμῖν πίσυνος, καὶ μανθάνετ'· ἤν τι πάθω 'γὼ,
ἀνελόντες καὶ κατακλαύσαντες θεῖναί μ' ὑπὸ τοῖσι δρυφάκτοις.
ΧΟ. οὐδὲν πείσει· μηδὲν δείσῃς. ἀλλ', ὦ βέλτιστε, καθίει
σαυτὸν θαρρῶν, κἀπευξάμενος τοῖσι πατρῴοισι θεοῖσιν.

370. καθίμα. χάλα. gl. Victor.

371. καὶ — Διοπείθους. ὡς παράστημά τι (indolem, vel animum) τοῦ Διοπείθους ἔχοντος μανιῶδες. ἦν δὲ ὁ Διοπείθης ῥήτωρ. μήποτε δὲ οὗτός ἐστιν ὁ καὶ παρὰ Φρυνίχῳ. (βούλει Διοπείθη μεταδραμῶ καὶ τύμπανα; vid S. ad Av. 989.) S. „Amipsias Comicus: Διοπείθει τῷ παραμαινομένῳ ap. S. ad Av. 989. posuit autem Comicus noster Diopithem pro furore Diopithis, per metonymiam subjecti pro adjuncto. sic in Acharnensibus Euripidem dicit pro ejus arte musica v. 483. (451.), καταπιὼν Εὐριπίδην.“ Be. cf. 450.

372. καλαμᾶσθαι. (sic.) ἀνασπάσαι, ἀπὸ τῶν τὴν καλάμην τῶν σπερμάτων ἀνασπώντων ἕνεκα στέγης τῶν οἰκημάτων. ἢ ἀντὶ τοῦ ἁνιμᾶν, ὡς οἱ τοῖς καλάμοις τοὺς ἰχθύας ἀνέλκοντες. (hoc rectius.) τὸν πρινώδη δὲ τὸν σκληρὸν, ἀπὸ τοῦ ξύλου τοῦ πρίνου. (cf. Ach. 180.) μανθάνετε δὲ σκοπεῖτε. τὸ δὲ ἤν τι πάθω ἀντὶ τοῦ ἐὰν συμβῇ με πεσόντα ἀποθανεῖν. S. notus hic euphemismus, quem Latini et aliae gentes imitantur.

374. καλ. evocantes, excitantes· haud nolim vitato homoeoteleuto ἁπάντη, omni modo.

375. ἔσται accessit ex Veneto. receperunt etiam Bekk. et D. vereor tamen ne sit glossema, nec minus verisimile videtur τούτῳ (371), quod haustum fuerit a vicino simili τοιαῦτα. Rav. τὰ τοιαῦτα.

376. μανθ., audite, attendite.

377. codd. itidem claudicante versu κλαύσαντες, quod emendarunt Bentl. et Br. S.: (ὑπὸ τ. δρυφάκτοις) — ἐν τῷ δικαστηρίῳ με θάψατε. δρύφακτοι γὰρ ξύλινοι θώρακες, τὰ διαφράγματα, ἢ τὰ περιτειχίσματα, ἢ κιγκλίδες, [περιφράγματα], τὰ νῦν ταυλωτὰ καλούμενα, τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα. (cancelli). — λέγει δὲ ἀπὸ μέρους τὸ δικαστήριον. S. cf. 527., 800.

379. πατρ. θεοῖσιν. dii πατρῷοι Atheniensibus erant Apollo et Iupiter. facete vero Comicus Philocleoni πατρῷον esse fingit Lycum heroëm, Pandionis filium, cui posita erat Athenis statua (cf. 789.) prope forum, ex eo vocatum τὸ ἐπὶ Λύκῳ δικαστήριον. vide Pollucem 8, 121. et Meursii Lect. att. 3, 9. Ex Br. cf. annot. ad sequ. versum.

ΦΙ. ὦ Λύκε δέσποτα, γείτων ἥρως, σὺ γὰρ, οἷσπερ ἐγὼ, κεχάρησαι
τοῖς δακρύοισιν τῶν φευγόντων αἰεί, καὶ τοῖς ὀλοφυρμοῖς,
ᾤκησας γοῦν ἐπίτηδες ἰὼν ἐνταῦθ', ἵνα ταῦτ' ἀκροῷο,
καὶ βουλήθης μόνος ἡρώων παρὰ τὸν κλάοντα καθῆσθαι,
ἐλέησον, καὶ σῶσον νυνὶ τὸν σαυτοῦ πληαιόχωρον·
κοὐ μήποτέ σου παρὰ τὰς κάννας οὐρήσω, μηδ' ἀποπαρδῶ.

ΒΔ. οὗτος, ἐγείρου!

ΣΩ. τί τὸ πρᾶγμι';

ΒΔ. ὥσπερ φωνή μέ τις ἐγκεκύκλωται.

ΣΩ. μῶν ὁ γέρων πῃ διαδύηται;

ΒΔ. μὰ Δί' οὐ δῆτ', ἀλλὰ καθιμᾷ αὐτὸν δήσας.

ΣΩ. ὦ μιαρώτατε, τί ποιεῖς; οὐ μὴ καταβήσει;

ΒΔ. ἀνάβαιν' ἀνύσας κατὰ τὴν ἑτέραν, καὶ ταῖσιν φυλλάσι παῖε,

380. ὦ *Λύκε δέσπ.* παρὰ τοῖς δικαστηρίοις (τῷ δικαστηρίῳ) τὸ τοῦ *Λύκου* ἱερὸν ἦν [καὶ ἡρῷον], ὅθεν φασὶν εἰρῆσθαι *Λύκου δεκάς*. (10 oratores publicos, a Solone constitutos, intelligit Fl. Chr., de quibus cf. annot. ad Plut. 563.) ἄλλως. *Λύκου ἡρῷον πρὸς τῷ δικαστηρίῳ ἦν*, ᾧ (οὗ) ἐμέριζον, ὅτε δικαστήρια (fort. δικαστηρία, intell. ἡμέρα, dies fastus), ἦν, τὸν παρὰ (imo τοπάρος, olim,) τοῖς λαχοῦσι τῶν Ἀθηναίων δικάζειν (τὸν) δικαστικὸν μισθὸν, τριώβολον. S. cf. Köpke *über Gesetzgebung der Gr.* p. 634. seqq. γείτων. foro vicina esse fingitur domus Philocleonis.

381. φευγ. τῶν κατηγορουμένων. gl. Victor.

383. παρὰ τὸν κλ. κ. ὡς τῶν καταδικασθέντων εὐθὺς παρὰ τὸ ἡρῷον κλαόντων. — S.

385. κάννας. τὰς ψιάθους. (septum e palis et plexis viminibus. *Br.*) λέγεται δὲ καὶ κάνης, καὶ κλίνεται τοῦ κάνητος. ὡς ψιάθοις δὲ περιφραττομένου τοῦ ἡρῴου, καὶ ἐστεγασμένου, φησὶν. οὐ παρὰ (τὰς) κάννας οὐρήσω, τουτέστιν οὐκ ἐνυβρίσω σου τὸ ἡρῷον, ἀλλὰ τιμήσω. S. τὸ κατατιλᾷν τῶν Ἑκαταίων Ran. 352. comparabat Be., H. autem Voss. illa Priapi ap. Horat. Sat. 1, 8, 37. *mentior at si quid, merdis caput inquiner albis Corvorum, atque in me veniant mictum atque cacatum Julius et fragilis Pediatia, furque Voranus.* Persius 1, 113.: *pinge duos angues. pueri, sacer est locus: extra Mejite.*

386. ἐγκεκλ. με, *circa me insonuit?*

387. libri versu perdito διαδύεται. vid. de hoc usu conjunctivi Matth. gr. §. 517. frustra D., διαδύεται αὖ;

388. οὐ μὴ κατ.; *nonne non descendes?* h. e. nonne redibis?

389. ταῖσιν φυλλ. ἐπεὶ κλάδοις παρακελεύεταί τισι παίειν αὐτὸν τοῖς πρὸ τῆς οἰκίας, διὰ τοῦτο ταῖς εἰρεσιώναις εἶπε. (*verbenis* ex ara Apollinis ἁγνιέως, quae erat ante vestibulum. vide Soph. El. 598., Eurip. Phoen. 596., Horat. Od. 4, 6, 28. Terent. Andr. 4, 3, 11.: *ex ara hinc sume verbenas tibi*; ubi vetus interpres „verbenae sunt omnes herbae frondesque festae ad aras coronandas" etc.) τὸ δὲ πρύμναν (sic libri. at Soph. Philoct. 458. εἰς ἀντλίαν, εἰς πρῷραν, εἰς πρύμνην, ὅποι —. notavit Elmsl.

ἦν πως πρύμνην ἀνακρούσηται, πληγεὶς ταῖς εἰρεσιώναις.
ΦΙ. οὐ ξυλλήψεσθ', ὁπόσοισι δίκαι τῆτες μέλλουσιν ἔσεσθαι,
ὦ Σμικυθίων, καὶ Τισιάδη, καὶ Χρήμων, καὶ Φερέδειπνε;
πότε δ', εἰ μὴ νῦν, ἐπαρήξετέ μοι, πρὶν μ' εἴσω μᾶλλον ἄγεσθαι;
ΧΟ. εἰπέ μοι, τί μέλλομεν κινεῖν ἐκείνην τὴν χολὴν, t. t. c.
ἀνομοιόστ.
ἥνπερ, ἡνίκ' ἄν τις ἡμῶν ὀργίσῃ τὴν σφηκίαν; as., 2 ith.
νῦν ἐκεῖνο, νῦν ἐκεῖνο τοὐξύθυμον,
ᾧ κολαζόμεσθα, κέντρον ἐντέτατ' ὀξύ.
ἀλλὰ θαλμάτια βαλόντες ὡς τάχιστα, παιδία, t. t. c.
θεῖτε, καὶ βοᾶτε, καὶ Κλέωνι ταῦτ' ἀγγέλλετε,
καὶ κελεύετ' αὐτὸν ἥκειν, t. d.
ὡς ἐπ' ἄνδρα μισόπολιν ὄντα κἀπολούμενον, as., 2 t. d. c.
ὅτι τόνδε λόγον εἰσφέρει, paeon. d. h.
ὡς χρὴ μὴ δικάζειν δίκας. ant. d.
ΒΔ. ὦ 'γαθοὶ, τὸ πρᾶγμ' ἀκούσατ', ἀλλὰ μὴ κεκράγετε. t. t. c.

ad Eurip. Iphig. Taur. 118., veterem formam ap. Atticos esse *πρύμνη*, ut *λίμνη*, recentiorem *πρύμνα*, ut *μέριμνα:* nomina enim, quorum genitivus desinat in *ης*, corripere *α* nominativi atque accusativi. quare h. l. scribi jussit *πρύμνην*, quem recte secutus est D.) *κρούσασθαι φασί τινες λέγεσθαι, ὅταν μετακαθίσαντες οἱ ἐρέται ἐλαύνοιεν ὀπίσω ἐπὶ τὴν πρύμναν, ὅταν εἰς λιμένα εἰσέρχωνται, ἵνα τὴν πρύμναν εἰς γῆν ἔχωσι νεύουσαν, καὶ τὴν πρῴραν ἔξω, ὅπως ἄνευ τροπῆς εἴη εἰς ἔξοδον ἡ ναῦς. τοῦτο οὖν φησι „παῖε αὐτὸν τοῖς κλάδοις, ὅπως ἀνακρούσηται τὴν πρύμναν,“ τουτέστιν εἰς τουπίσω ἀναδράμῃ.* — S.

390. quid proprie sit *εἰρεσιώνη*, vide ad Plut. 1050. *Be.*

391. *τῆτες. ἐπ' ἔτος.* gl. Vict.

392. *τοὺς τοῦ Χοροῦ ἐξ ὀνόματος καλεῖ. κολαζόμεσθα* (sic) *δὲ ἀντὶ τοῦ κολάζομεν.* (imo significat *punimus in usum nostrum*, quo triobolum mereamus.)

394. *κινεῖν — χολήν.*, sic Horat. Epist. 1, 19, 19.: o imitatores, servum pecus, *ut mihi saepe Bilem*, saepe jocum, *vestri movere tumultus!*“ Fl. Chr.

395. *ἥνπερ κινοῦμεν.*

398. *Θαλμ. βαλ.*, projectis palliis, quo expeditius currant. alias properantes satis habent pallium colligere; velut Ergasilus Plautinus Capt. 4, 1, 12. *conjiciam in collum pallium, primo ex med hanc rem ut audiat.* ibi Casaub.: Vett. Graeci et Romani subligaculis, uti nos hodie, extra stadium aut scenam non utebantur: itaque illi pallium, hi togam, ad calceos demittebant. quodsi quid illis, qui navi et actuosi haberi volebant, diligentius faciendum esset, vel pallium ponebant, vel in humeros rejiciebant.“ etc. similiter Br.

401. *μισόπολιν.* soluta cretici syllaba postrema, quod ferendum in commissura metri asynarteti. gl. Victor.: *ἄνδρα μισ. τὸν Βδελυκλέωνα. κἀπολ. ὀφείλοντα ἀπολέσθαι.*

402. *quia hanc rem rogavit.*

405 ΧΟ. νὴ Δί' ἐς τὸν οὐρανόν γ'· ὡς τόνδ' ἐγὼ οὐ μιθήσομαι.
ταῦτα δῆτ' οὐ δεινὰ καὶ τυραννίς ἐστιν ἐμφανής;
ὦ πόλι καὶ Θεώρου θεοσεχθρία, do.
κεἴ τις ἄλλος προέστηκεν ἡμῶν κόλαξ! cr. t.
ΞΑ. Ἡράκλεις, καὶ κέντρ' ἔχουσιν! οὐχ ὁρᾷς, ὦ δέσποτα; t. t. c.
410 ΒΔ. οἷς γ' ἀπώλεσαν Φίλιππον ἐν δίκῃ τὸν Γοργίου;
ΧΟ. καὶ σέ γ' αὖθις ἐξολοῦμεν· ἀλλ' ἅπας ἐπίστρεφε
δεῦρο, κἀξείρας τὸ κέντρον εἶτ' ἐπ' αὐτὸν ἴεσο,
ξυσταλείς, εὔτακτος, ὀργῆς καὶ μένους ἐμπλήμενος,
ὡς ἂν εὖ εἰδῇ τὸ λοιπὸν, σμῆνος οἷον ὤργισεν.
415 ΞΑ. τοῦτο μέντοι δεινὸν ἦδη νὴ Δί', εἰ μαχούμεθα,
ὡς ἔγωγ' αὐτῶν ὁρῶν δέδοικα τὰς ἐγκεντρίδας.
ΧΟ. ἀλλ' ἀφίει τὸν ἄνδρ'· εἰ δὲ μή, φήμ' ἐγὼ cr. t.
τὰς χελώνας μακαριεῖν σε τοῦ δέρματος.
ΦΙ. εἶα νῦν, ὦ ξυνδικασταὶ, σφῆκες ὀξυκάρδιοι, t. t. c.
420 οἱ μὲν εἰς τὸν πρωκτὸν αὐτῶν εἰσπέτεσθ' ὠργισμένοι,
οἱ δὲ τῷφθαλμῷ κύκλῳ κεντεῖτε, καὶ τοὺς δακτύλους!

405. ἐς τὸν οὐρ. λείπει κεκράξομαι. gl. Victor.

406. haec a Choro pronunciari intellexerunt Bentl. et Tyrwhittus, quae libri habent sub persona Bdelycleonis.

407. ita codex B Paris., item Bekk., tanquam e Ravennate, vulgo πόλις, corrupto dochmiaco, qualem hunc versum esse quivis sentiat. Fl.: „Theorus perstringitur alibi (Ach. 134.) a nostro Comico, ut perjurus et moechus, olim missus ad Sitalcem ab Atheniensibus; hic vero tanquam assentator et δημαγωγὸς, quique cum Cleone praefuerit judiciis" etc. cf. 42. S.: θεοσεχθρία. (sic etiam Ven., et similiter Rav. θεὸς ἐχθρία. soloecum est, quod alibi legitur θεοισεχθρία, excogitatum illud, sicut πόλις, ab eo, qui versum creticum exsculperet, similem sequenti. de forma θεοσεχθρία pro θεοεχθρία v. Lobeck. ad Phryn. p. 649.) καὶ Ἄρχιππος ἐν Πλούτῳ — τις ἡ πανουργία τε καὶ θεοσεχθρία;

408. sic idem codex, non ὑμῶν, merito probantibus viris doctis. joco inexpectato dictum κόλαξ pro ῥήτωρ vel quodam simili.

410. ἐν [τῇ] δίκῃ ἀντὶ τοῦ δικάζοντες. οὗτος δὲ ὁ Γοργίας κωμῳδεῖται ὡς προδότης, καὶ βάρβαρος. S. hos ambos tanquam sycophantas et barbaros notat in Av. 1700. etc. Be.

411. ἐπίστρεφε. activum sensu medii.

414. σμῆνος. κυρίως τὸ πλῆθος τῶν μελισσῶν· ἐπιτηδείως δὲ καὶ ἐνταῦθα τοῦτο εἶπεν, ὅτι σφηκῶδες τὸ σύστημα τῶν γερόντων. S.

417. testudines beatas eum praedicaturum esse ait propter tergi duritiem. Be. conferri jussit infra 1248.

421. sic Fl. Chr. aliique, sublato glossemate ἀμέτρῳ. vulgo enim ll. — κεντεῖθ', οἱ δὲ καὶ τ. δ.

ΒΔ. ὦ, Μίδα καὶ Φρὺξ, βοηθεῖν δεῦρο, καὶ Μασυντία, t. t. c.
καὶ λάβεσθε τουτουΐ, καὶ μὴ μεθῆσθε μηδενί·
εἰ δὲ μή, ᾽ν πέδαις παχείαις οὐδὲν ἀριστήσετε·
ὡς ἐγὼ πολλῶν ἀκούσας οἶδα θρίων τὸν ψόφον.
ΧΟ. εἰ δὲ μὴ τοῦτον μεθήσεις, ἔν τί σοι παγήσεται.
ΦΙ. ὦ Κέκροψ ἥρως ἄναξ, τὰ πρὸς ποδῶν Δρακοντίδη,
περιορᾷς οὕτω μ᾽ ὑπ᾽ ἀνδρῶν βαρβάρων χειρούμενον,
οὓς ἐγὼ ᾽δίδαξα κλάειν τέτταρ᾽ ἐς τὴν χοίνικα;
ΧΟ. εἶτα δῆτ᾽ οὐ πόλλ᾽ ἔνεστι δεινὰ τῷ γήρᾳ κακά;
δηλαδή· καὶ νῦν γε τούτω τὸν παλαιὸν δεσπότην
πρὸς βίαν χειροῦσιν, οὐδὲν τῶν πάλαι μεμνημένοι
διφθερῶν, κἀξωμίδων, ἃς οὗτος αὐτοῖς ἠμπόλα,
καὶ κυνᾶς· καὶ τοὺς πόδας χειμῶνος ὄντος ὠφέλει,
ὥστε μὴ ῥιγῶν ἑκάστοτ᾽. ἀλλὰ τούτοις γ᾽ οὐκ ἔνι

422. libri ὦ *Μίδα*, et metro corrupto *βοηθεῖτε*, quae est interpretatio. usurpatus infinit. pro imperativo, ut Ran. 169. et passim. alii *βοήθει*, quod minus verisimile. ordo ὦ *βο. δεῦρο, καὶ Μίδα Φρὺξ, καὶ Μασ., heu, succurrite, et Mida Phryx, et Mas.* neque enim duo sunt Midas et Phryx. Phrygum rex fuit Midas ille mythicus. cf. 440.

425. ὅτι παρὰ τὴν παροιμίαν *πολλῶν ἐγὼ θρίων ψόφους ἀκήκοα. τὰ γὰρ θρῖα καιόμενα ψοφεῖ. εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν δι᾽ ἀπειλῆς θόρυβον καὶ κόμπον ἐμποιούντων διακενῆς.* S.

426. *ἔν τι σοι. κέντρον.* gl. Vict.

427. *τὰ πρὸς ποδῶν, quod ad pedes attinet.* de Dracontide tum reo vide 157. S.: *ὁ Φιλοκλέων ἑλκόμενος ὑπὸ τῶν οἰκετῶν τὸν οἰκιστὴν τῆς πόλεως ἐπικαλεῖται. εἰσὶ δὲ οἵ φασι τὸν Κέκροπα διφυᾶ γεγονέναι, καὶ τὰ κάτω ὄφεως ἐσχηκέναι.* (vide Apollod. 3, 13. et ejus interpp.) *καὶ διὰ τοῦτο πρὸς τοὔνομα κεχαριέντισται.*

428. *ἀνδρῶν βαρβάρων. τῶν οἰκετῶν.* gl. Victor.

429. capiebat *χοίνιξ* 4 *κοτύλας*: dicit igitur senex, se velut plena mensura fiere docuisse servulos, h. e. cumulate mensum iis esse plagas; nunc illos par pro pari referre. argutatur S., simul pedicas (*χοίνικας*) significari putans.

433. *διφθερῶν.* Suidas: *διφθέραι: ποιμενικὸν περιβολαῖον ἐκ δερμάτων.* cf. S. et interpp. ad Nub. 72. Conc. 80. *τὴν τοῦ πανόπτου διφθέραν ἐνημμένος.* Be. *rensnum.* Voss.: *Pelzjacken.* — S. *κἀξωμ. ἱμάτια δουλικὰ καὶ ἑτερομάσχαλα. S. χιτῶνα δουλικὸν* ab Hesychio vocari *τὴν ἐξωμίδα* notavit Fl. Chr. ad Lys. 663., et vicem tunicae et pallii (*χιτῶνος* et *ἱματίου*) fuisse, ut quae et indui potuerit, et superindui. cf. Nitschii librum germ., a Kōpkeo editum, de antiquit. gr. p. 624. sequ. et Schneiderum lex. gr. h. v.

434. *κυνᾶς. ταῖς κυνείαις περικεφαλαίαις πρὸς τὸν ὄμβρον ἐχρῶντο. καὶ ἐν Νεφέλαις* (268.) *ὁ πρεσβύτης τὸν ὄμβρον φοβούμενος τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμονα ἔχοντα.* S.

435. *ῥιγῶν. ἀντὶ τοῦ ῥιγοῦν.* (ut Ach. 1077.) *δώριον δὲ τοῦτο κατακρατῆσαν παρὰ Ἀττικοῖς.* S.

οὐδ' ἐν ὀφθαλμοῖσιν αἰδὼς τῶν παλαιῶν ἐμβάδων.
ΦΙ. οὐκ ἀφήσεις οὐδὲ νυνί μ', ὦ κάκιστον θηρίον,
οὐδ' ἀναμνησθεὶς, ὅθ' εὗρὼν τοὺς βότρυς κλέπτοντά σε
προσαγαγὼν πρὸς τὴν ἐλάαν ἐξέδειρ' εὖ κἀνδρικῶς,
ὥστε σε ζηλωτὸν εἶναι; σὺ δ' ἀχάριστος ἦσθ' ἄρα.
ἀλλ' ἄνες με καὶ σὺ, καὶ σὺ, πρὶν τὸν υἱὸν ἐκδραμεῖν!
ΧΟ. ἀλλὰ τούτων μὲν τάχ' ἡμῖν δώσετον καλὴν δίκην,
οὐκέτ' ἐς μακρὰν, ἵν' εἰδῆθ', οἷόν ἐστ' ἀνδρῶν τρόπος
ὀξυθύμιων, καὶ δικαίων, καὶ βλεπόντων κάρδαμα.
ΒΔ. παῖε, παῖ', ὦ Ξανθία, τοὺς σφῆκας ἀπὸ τῆς οἰκίας!
ΞΑ. ἀλλὰ δρῶ τοῦτ'· ἀλλὰ καὶ σὺ τῦφε πολλῷ τῷ καπνῷ.
ΣΩ. οὐχὶ σοῦσθ', οὗκ, ἐς Κόρακας; οὐκ ἄπιτε; παῖε τιᾷ ξύλῳ!
ΞΑ. καὶ σὺ προσθεὶς Αἰσχίνην ἔντυφε τὸν Σελλαρτίου. —
ἆρ' ἐμέλλομέν ποθ' ὑμᾶς ἀποσοβήσειν τῷ χρόνῳ; —
ἀλλὰ μὰ Δί' οὐ ῥᾳδίως οὕτως ἂν αὐτοὺς διέφυγες,
εἴπερ ἔτυχον τῶν μελῶν τῶν Φιλοκλέους βεβρωκότες.

346. οὐδὲ τῶν π. ε. ne veterum quidem calceorum. ridicule pro εὐεργεσιῶν.

439. πρὸς τὴν ἐλάαν. cui arbori servum alligavit.

440. ζηλωτὸν dictum εἰρωνικῶς. „ἦσθ' ἄρα. cf. Heindorf. ad Plat. Phaed. p. 54." D. vide etiam inferius 789.

443. οὐκέτ' ἐς μακράν. similiter, notante Be., Aeschylus Suppl. 816. οὐ μάλ' ἐς μακράν, Demosth. Olynth. 2. δείξειν οὐκ εἰς μακράν, h. e. statim.

444. κάρδαμα. ἤγουν δριμύτατα· τοιαῦτα γὰρ τὰ κάρδαμα. τῦφε δὲ καίων δίωκε. ὁ γὰρ καπνὸς διώκει τὰς μελίσσας, καὶ τοὺς σφῆκας. S. βλεπ, κ. ἰ. e. δριμύτατα, acerrime videntium. nihil enim acrius nasturtio, quod a tormento narium dictum (Cic. Tusc. Quaest. 5, 34.) etc. Fl. Chr. Plin. 19, 8.: nasturtium, quod odore et seminis acrimonia sternutamenta movet. est lepidium sativum Linn., die Gartenkresse. vid. Billerbeckii Flora class. p. 166. — cf. Ran. 564. (βλέποντ' ὀρίγανον.)

447. ἐς Κόρακας. vide Plut. 390. etc.

448. ἀντὶ τοῦ καπνὸν εἰπεῖν ἢ πῦρ, Αἰσχίνην εἶπεν, ἐπεὶ Καπνὸς ἐκαλεῖτο. (cf. 318.) ἄλλως. παίζει παρὰ τὸν Σέλλου Αἰσχίνην, καπνώδη διὰ τὴν ἀλαζονείαν. ἀντὶ δὲ τοῦ εἰπεῖν Σέλλου, ἔπαιξεν ἐπεκτείνας Σελλαρτίου, ἵνα πάλιν ὡς καπνὸν κωμῳδήσῃ, καὶ ψευδόκλουτον (imo ἀρτίπλουτον), παρὰ τὸ σέλας (καὶ τὸ ἄρτι). ὁ γὰρ καπνὸς τοῦ σέλαος γέννημα. S.

449. minus animose libri: — τῷ χρόνῳ. ἄρα valet ἆρ' οὔ. vid. Matth. gr. §. 609. comparavit. Be. Ran. 261., Nub. 1305.

450. haec servus ad Bdel. minus recte ll. ΒΔ. ἀλλὰ etc.

451. ὡς τοῦ Φιλοκλέους ἀγρίου ὄντος ἐν τῇ μελοποιΐᾳ. ὁ Σοφοκλῆς γὰρ ἡδύς· διὸ καὶ μέλιττα ἐκαλεῖτο. ἔπαιξεν οὖν, ὡσεὶ εἶπεν εἴπερ τὴν πικρίαν αὐτοῦ καὶ τὴν σκληρότητα εἶχον, οὐκ ἂν αὐτοὺς ῥᾳδίως διέφυγες, ὡς τοῦ Φιλοκλέους ὄντος σκληροῦ σφόδρα, καὶ δριμυτάτου. S. B. ad Av. 284.: „S. duo fuisse Tragicos Philoclis nomine tradit (v. Fabric. Bibl. gr. 2. p. 314. Harl.); perperam autem Comicus quoque Philocles commemoratur (v. Küster. ad Suid. 3, 604., Harl. ad Fabric. 2, 482.)" H. Voss.: „Dieser,

ΧΟ. ἆρα δῆτ' οὐκ αὐτόδηλα τοῖς πένησιν, ἡ τυραννὶς
t. t. ἀνομοιόστ.
ὡς λάθρᾳ γ' ἐλάνθαν' ὑπιοῦσά με, as., 2 t. h.
εἰ σύ γ', ὦ πόνῳ πονηρὲ καὶ κομηταμυνία, t. t. c.
455 τῶν νόμων ἡμᾶς ἀπείργεις, ὧν ἔθηκεν ἡ πόλις,
οὔτε τιν' ἔχων πρόφασιν, οὔτε λόγον εὐτράπελον, pae. t.
αὐτὸς ἄρχων μόνος; pae. d.
ΒΔ. ἔσθ' ὅπως ἄνευ μάχης καὶ τῆς κατοξείας βοῆς t. t. c.
ἐς λόγους ἐλθωμεν ἀλλήλοισι καὶ διαλλαγάς;
460 ΧΟ. σοὶ 'ς λόγους, ὦ μισόδημε, καὶ μοναρχίας ἐραστά, t. t.
καὶ ξυνὼν Βρασίδᾳ, καὶ φορῶν κράσπεδα cr. t.
στεμμάτων, τήν θ' ὑπήνην ἄκουρον τρέφων;
ΒΔ. νὴ Δί' ἦ μοι κρεῖττον ἐκστῆναι τὸ παράπαν τοῦ πατρὸς
t. t. c.

ein Zeitgenosse des Sofokles, schrieb elende Tragödien, und so bitter, dass er den Beinamen *Galle* erhielt." — *τῶν μελῶν — βεβρωκότες.* cf. 370.

452. *αὐτόδηλα* atticismus notissimus. Bekk. tamen *αὐτὰ δῆλα*. cf. 431. etc.

454. *ὦ πόνῳ πονηρέ. ὦ ἀσκήσει καὶ μελέτῃ πεπονημένε τῆς τυραννίδος.* (cf. Lys. 350.) *τὸ δὲ κομηταμυνία συνέθηκεν παρὰ τὸ κομᾶν, ὅ ἐστι φρονεῖν μέγα (ἐκ δὲ τούτου δηλοῖ τὸ λακωνίζειν, παρόσον μέγα ἐφρόνουν οἱ Λάκωνες εἰς ἀνδρίαν), καὶ παρὰ τὸν Ἀμυνίαν, ὃς διεβάλλετο ὡς μισόδημος. ἀμφότερα οὖν τὰ τῆς συνθέσεως εἰς οὐδὲν τείνει ἢ ὡς ἐναντίον ὄντα τῆς πόλεως καὶ τύραννον.* S. proverbium *οὐδεὶς κομήτης, ὅστις οὐ ψηνίζεται* commemoravit Be.; de Amynia conferri jussit infra 1224. vide etiam 74.

456. *λόγον εὐτρ. ἀπολογίαν πιθανὴν, καὶ εὖ τετραμμένην.* S.

458. *κατοξ. τῆς σφοδρᾶς, καὶ τῆς ὀξείας.* gl. Victor. fort. *τ. σφοδρῶς ὀξ.* vel delenda sunt verba *καὶ τ. ὀ.*

459. vulgo *σοὶ λόγους*, imperfecta oratione.

461. *καὶ ξυνὼν Βρασίδᾳ. ἀντὶ τοῦ λακωνίζων· ὅτι οἱ λακωνίζοντες τοιαῦτα ἐπετήδευον, ὥστε μακρὰ τὰ κράσπεδα φορεῖν, ὅ ἐστι τοὺς κρωσσούς.* (*κροσσούς.*) — [*καὶ*] *Βρασίδας γὰρ στρατηγὸς Λακεδαιμονίων.* (cf. Pac. 282., 618.) *ἐκ στεμμάτων* (sic.) *δὲ ἀντὶ τοῦ ἐρίων.* — S. *κράσπεδα τὰ ἐν τῷ ἄκρῳ τοῦ ἱματίου κεκλωσμένα ῥάμματα, καὶ τὸ ἄκρον αὐτοῦ.* gl. Vict. fimbriae sunt ex lana: nam *στέφειν*, unde *στέμματα*, est colum nubere etc. *Fl. Chr.*

462. *ὑπήνην.* — „Priscis Graecis *ὑπήνη* erat superioris labri barba, quae etiam *μύσταξ* dicebatur. Aristot. H. A. 3, 11. *περὶ δὲ τὸ γένειον τοῖς μὲν συμβαίνει καὶ τὴν ὑπήνην, καὶ τὸ γένειον δασὺ ἔχειν.* Diodorus l. 5. *οἱ δὲ εὐγενεῖς τὰς μὲν παρειὰς ἀπολειαίνουσι, τὰς δὲ ὑπήνας ἀνειμένας ἐῶσιν, ὥστε τὰ στόματα αὐτῶν ἐπικαλύπτεσθαι.*" *Palmer.* cf. schol. min. ad Hom. Odyss. *κ'*, 279. contra Eustath. p. 1353, 56.: *ὑπήνην κυρίως καλοῦσιν τοῦ πώγωνος τὰς κάτω τρίχας, μύστακας δὲ τὰς ἄνω χείλους* [*τρίχας*]. jamque Hesychii tempore videtur ea vox fuisse ambigui significatus: sic enim ille *ὑπήνη: τὸ γένειον, ἤτοι πώγων· ἄλλοι μύσταξ,* [*ἄλλοι ὑπήνη·*] *ὅ ἐστιν* (*ὁ*) *ὑπὸ τὴν ῥῖνα τόπος.*

463. *ἔκστ. τὸ π. τοῦ πατρός. ἀντὶ τοῦ μὴ ἔχειν πατέρα.* gl. Vict.

μᾶλλον ἢ κακοῖς τοσούτοις ναυμαχεῖν ὅσημέραι.
ΧΟ. οὐδὲ μέν γ' οὐδ' ἐν σελίνῳ σοῦστιν, οὐδ' ἐν πηγάνῳ
(τοῦτο γὰρ παρεμβαλοῦμεν τῶν τριχοινίκων ἐπῶν)·
ἀλλὰ νῦν μὲν οὐδὲν ἀλγεῖς, ἀλλ' ὅταν ξυνήγορος
ταὐτὰ ταῦτά σου καταντλῇ, καὶ ξυνωμότας καλῇ.
ΒΔ. ἆρ' ἄν, ὦ, πρὸς τῶν θεῶν, ὑμεῖς ἀπαλλαχθεῖτέ μου,
ἢ δέδοκται μὲν δέρεσθαι καὶ δέρειν δι' ἡμέρας;
ΧΟ. οὐδέποτέ γ'. οὐχ, ἕως ἄν τί μου λοιπὸν ᾖ, cr. t.
ὅστις ἡμῶν ἐπὶ τυραννίδ' ἐστάλης. t. tr. c.
ΒΔ. ὡς ἅπανθ' ὑμῖν τυραννὶς ἐστι, καὶ ξυνωμόται, t. t. c.

464. *ναυμαχεῖν. δέον εἰπεῖν μάχεσθαι.* S. fieri potest, ut ridiculi causa ita dixerit, quemadmodum Ran. 403.; sed omnino ea metaphora convenit hominibus maritimis, quales erant Athenienses.

465. *παροιμία ἐπὶ τῶν μηδὲ κατὰ τὸ ἐλάχιστον διηνυκότων οἷς ἐπέθεντο. μετενήνεκται δὲ ἀπὸ τῶν κήπων. ἐν γὰρ τοῖς λεγομένοις περικήποις τὰ σέλινα καὶ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν „οὔπω οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος," καθάπερ οἱ ἐν τοῖς κήποις εἰσιόντες ἐν τοῖς σελίνοις εἰσίν. ἄλλως. — παροιμία „οὐδ' ἐν σελίνοις εἰσί." φησὶν οὖν, ὅτι οὔπω σοι οὐδὲ ἀρχὴ γέγονε τῶν παρ' ἡμῶν ἐσομένων.* S. *σοῦστιν.* Bekk., D. Rav. *που 'στιν.* haud inepte Fl. Chr. scribendum putabat *πώ 'στιν*, quae fuisse videtur scriptura scholiastarum. — *σέλινον* est apium, *Silge*, de quo Billerbeck. Flor. class. p. 70. et, quos laudavit, Dioscor. 3, 74., Theophrast. H. pl. 1, 4., Plin. H. N. 20, 11. intelligendum h. l. *σέλινον κηπαῖον*, *apium graveolens* Linn., quod et apium dicitur *κατ' ἐξοχήν*, *der Gartensellerie.* *πηγάνου* 3 genera recenset Dioscor. 3, 52., *κηπαῖον*, (rutam hortensem, *die gemeine Raute*), *ὀρεινὸν*, *ἄγριον*, seu *μᾶλν.* vid. Billerbeck. l. l. p. 110.

466. *τριχ. ἀντὶ τοῦ εὐτελῶν* (?) *στίχων.* — (*ἄλλως.*) *τριχ. οὐν ἀντὶ τῶν τριῶν χοινίκων ἀξίων.* recte; itaque per tropum τριχοίνικον dici potest, quidquid vulgarem mensuram seu modum excedit, res magni momenti: nam *χοῖνιξ* frumenti victus hominis censebatur quotidianus, male alter schol. *ἀντὶ τῶν εὐτελῶν στίχων.* imo gravissime Chorus hoc ne initium quidem esse dicit malorum Bdelycleonis in judicio. *ξυνήγορος δὲ ῥήτωρ. καταντλῇ δὲ καταχέῃ, κατηγορῇ. Ex S. τριχ.* sic *ῥῆμα μυριάμφορον* in Pace 510. *Be.*

468. *καὶ ξυν. ὡς αὐτῶν συνεχῶς λεγόντων, ὅτι ταῦτα τυραννίς ἐστι, καὶ ξυνωμοσία. οὐδὲν ἄλλο, φησὶ, μεμελέτηται ἡμῖν* (imo *ὑμῖν*) *ἢ ταῦτα.* (cf. 338.) *δέρεσθαι δὲ καὶ δέρειν ἐπὶ τοῦ τύπτεσθαι.* S.

470. *μέν.* libri mendose *μοι.*

471. *ἕως — ᾖ. ἀντὶ τοῦ ἕως ἂν λείψανόν μου ὑπολείπηται.* S.

472. frustra D., creticum sectatus, *ὧδ' ἐστ.*

473. ll. minus recte *ἡμῖν*, menda frequente. annotavit Be., Athenienses expulsis Pisistratidis sedulo cavisse, ne iterum subirent jugum tyrannidis; ejusque metu, si quid insoliti in urbe accidisset, statim suspicionem de dissolvendo statu populari habuisse; velut, cum Hermae mutilati fuissent et mysteria profanata tempore Alcibiadis, *πάντα αὐτοῖς ἐδόκει ἐπὶ ξυνωμοσίᾳ ὀλιγαρχικῇ καὶ τυραννικῇ πεπράχθαι*, ut ait Thuc. 6, 27. quem metum nimis suspicacem reprehendens Demosth. de Syntaxi p. 176.: *ἀνέωξάν τινες*, inquit, *πρώην δῆπου τὸ ὀπισθόδομον· οὐκοῦν οἱ παριόντες ἅπαντες τὸν δῆμον καταλελῦσθαι, τοὺς νόμους οὐκέτ' εἶναι, τοιαῦτ' ἔλεγον. καί τοι, ὦ ἄνδρες Ἀθηναῖοι, σκοπεῖτε,*

ἦν τε μείζον, ἦν τ' ἔλαττον πρᾶγμά τις κατηγορῇ·
ἧς ἐγὼ οὐκ ἤκουσα τοὔνομ' οὐδὲ πεντήκοντ' ἐτῶν,
νῦν δὲ πολλῷ τοῦ ταρίχους ἐστὶν ἀξιωτέρα,
ὥστε καὶ δὴ τοὔνομ' αὐτῆς ἐν ἀγορᾷ κυλίνδεται.
ἦν μὲν ὠνῆταί τις ὀρφώς, μεμβράδας δὲ μὴ θέλῃ,
εὐθέως εἴρηχ' ὁ πωλῶν πλησίον τὰς μεμβράδας
„Οὗτος ὀψωνεῖν ἔοιχ' ἄνθρωπος ἐπὶ τυραννίδι."
ἢν δὲ γήτειον προσαιτῇ τις ἀφύαις ἡδύσματι,
ἡ λαχανόπωλις παραβλέψασα φησὶ θατέρῳ
„Εἰπέ μοι, γήτειον αἰτεῖς; πότερον ἐπὶ τυραννίδι,
ἢ νομίζεις τὰς Ἀθήνας σοὶ φέρειν ἡδύσματα;
ΞΑ. κἀμέ γ' ἡ πόρνη χθὲς εἰσελθόντα τῆς μεσημβρίας,
ὅτι κελητίσαι κέλευον, ὀξυθυμηθεῖσά μοι
ἤρετ', εἰ τὴν Ἱππίου καθίσταμαι τυραννίδα.

ἂν ἀληθῆ λέγω· οἱ μὲν ταῦτα ποιοῦντες ἄξια ἐποίουν θανάτου, ὁ δὲ δῆμος οὐ διὰ τοῦτο καταλύεται. πάλιν κώπας τις ὑφείλετο· μαστιγοῦν, στρεβλοῦν, πάντες ἐβόων, λέγοντες καταλύεσθαι τὸν δῆμον· ἐγὼ δὲ τί φημι; τὸν μὲν ὑφαιρούμενον θανάτου ποιεῖν ἄξια, ὥσπερ ἐκείνους, τὸν δῆμον δ' οὐ διὰ τούτων καταλύεσθαι. cf. 919.

475. πεντ. ἐτῶν. ἀντὶ τοῦ εἰς πεντηκοστὸν ἔτος, καὶ ἐκ πολλοῦ χρόνου, οὐκ ἤδειν τὸ ὄνομα τῆς τυραννίδος. S. cf. 260.

476. ἀξιωτέρα. εὐωνοτέρα, καὶ ἐν ἀγορᾷ εἰθισμένη λέγεσθαι. κυλίνδεται δὲ περιφέρεται. S.

478. ὀρφῶς. (sic etiam libri Aristoph.) ἐν τοῖς πλείστοις ὀρφῶς, ἔν τισι δὲ ὀρφούς. (codd. Athenaei l. 7., t. 3. p. 155. ed. Schweigh., qui h. l. citat, habent ὀρφὼς ὀξυτόνως. *Dind.*, qui ita scripsit.) μήποτε δὲ καὶ τὸ ἐνικὸν τοῦ ἰχθύος οὕτως ἔλεγον, ὀρφώς. ὡς λαγὼς καὶ ταώς. μεμβρὰς δὲ εἶδος ἀφύης. S. ὀρφὼς sive ὀρφὸς, quem Latini quoque *orphum* appellant (Voss. *Orfen*), piscis est cartilaginosus, (Plato Com. Cleophonte: σὲ γὰρ, γραῦ, ξυγκατῴκισεν σαπρὰν, Ὀρφοῖσι σελαχίοις τε καὶ φάγροις βοράν.) qui littore et terra potius gaudet quam pelago, fuitque in pretio ap. Graecos, ut notavit Fl. Chr. vidd. Aristot. H. A. 8, 13., Athen. l. l., Oppian., Plin. — membradas ex apuis Phalericis gigni auctor est Aristot. l. l. 6, 15.

481. γήτειον, γήθυον, γηθυλλὶς, *allium schoenoprasum* Linn., *Schnittlauch*. vid. Billerbeck. Flor. class. p. 89. — ἡδύσματι, *pro condimento*, scripsi, cum in libris legatur ἥδυσμά τι, quod mihi videtur frigere. vid. Matth. gr. §. 403. — de apuis cf. Ach. 605, 848.

482. θατ. τῷ ἑτέρῳ ὀφθαλμῷ αὐτόν φησι χαλεπῶς ὑποβλεψαμένη „Σοῦ ἐστι τὸ (τοῦτο) φαγεῖν," ὡς οὐκ ἄξιον ἡγουμένη τὸν τυχόντα φαγεῖν γήτειον. S.

484. νομίζεις [τ. Ἀθ.] φησὶν, ὅτι διὰ σὲ φύουσιν αἱ Ἀθῆναι ἡδύσματα; S.

485. τῆς μεσ. minus aptum veneri tempus: v. ann. ad Ach. 241., Lys. 60. Celsus I, 1. de concubitu: *Idem interdiu pejor est, tutior noctu.*

486. κελητίσαι. ἱππάσασθαι sensu obscoeno. ludit isto verbo, in quo inest significatio τοῦ ἵππου, et nomine Ἱππίας.

487. εἰ — καθίσταμαι. ἀντὶ τοῦ εἰ καταστῆσαι βούλομαι ἐμαυτῷ τυραννίδα. οὗτος δὲ τύραννος δεινὸς, τοῦ πατρὸς Πεισιστράτου τυραννικώτερος. (sed occiso demum

ΒΔ. ταῦτα γὰρ τούτοις ἀκούειν ἥδ', εἰ καὶ νῦν ἐγὼ,
τὸν πατέρ' ὅτι βούλομαι, τούτων ἀπαλλαχθέντα τῶν
490 ὀρθροφοιτοσυκοφαντοδικοταλαιπώρων τρόπων,
ζῆν βίον γενναῖον, ὥσπερ Μόρυχος, αἰτίαν ἔχω
ταῦτα δρᾶν ξυνωμότης ὢν, καὶ φρονῶν τυραννίδα.
ΦΙ. νὴ Δί' ἐν δίκῃ γ'. ἐγὼ γὰρ οὐδ' ἂν ὀρνίθων γάλα
ἀντὶ τοῦ βίου λάβοιμ' ἄν, οὗ με νῦν ἀποστερεῖς,
495 οὐδὲ χαίρω βατίσιν, οὐδ' ἐγχέλυσιν, ἀλλ' ἥδιον ἄν
δικίδιον σμικρὸν φάγοιμ' ἂν ἐν λοπάδι πεπνιγμένον.
ΒΔ. νὴ Δί' εἰθίσθης γὰρ ἥδεσθαι τοιούτοις πράγμασιν·
ἀλλ' ἐὰν σιγῶν ἀνάσχῃ καὶ μάθῃς ᾽αγὼ λέγω,
ἀναδιδάξειν σ' οἴομαί γ', ὡς πάντα ταῦθ' ἁμαρτάνεις.
500 ΦΙ. ἐξαμαρτάνω δικάζων;
ΒΔ. καταγελώμενος μὲν οὖν
οὐκ ἐπαΐεις ὑπ' ἀνδρῶν, οὓς σὺ μονονοὺ προσκυνεῖς,
ἀλλὰ δουλεύων λέληθας.
ΦΙ. παῦε δουλείαν λέγων,

fratre Hipparcho.) ὁ δὲ Ἱππίας ἐτυράννευσεν (ab anno Ol. 63, 1., ante Chr. nat. 528.), οὐχ ὁ Ἵππαρχος. (ita Thuc. 1, 20.; 6, 54.) κοινῶς δὲ πάντες οἱ Πεισιστρατίδαι τύραννοι ἐλέγοντο. παίζει (παίζων) δὲ καὶ ἅμα πρὸς τὸ τῆς συνουσίας σχῆμα τὸν Ἱππίαν ἔλαβεν. — κελητίζειν δὲ κυρίως τὸ κέλητα ἐλαύνειν. S.

488. εἰ, quandoquidem.

490. ὀρθρ. παρὰ τὸ ὀρθεύειν (ὀρθρεύειν), καὶ φοιτᾶν, καὶ συκοφαντεῖν, καὶ ἐν δίκαις ταλαιπωρεῖν. S.

491. ὥσπερ Μόρυχος. ἐν εἰρωνείᾳ, ὅτι τρυφερὸς καὶ ἡδύβιος κωμῳδεῖται. αἰτίαν δὲ μέμψιν καὶ ἔγκλημα. Ex S. de Morycho cf. 1106., Pac. 951., Ach. 834.

493. ὀρνίθων γάλα. παροιμία ἐπὶ τῶν λίαν εὐδαιμονούντων, καὶ πάντα κεκτημένων, ὡς καὶ ἐκ τῶν ἀδυνάτων πόρους κομίζεσθαι. ἀδύνατον γὰρ ἐξ ὀρνίθων γάλα ποτὲ λαβεῖν. (Hühnermilch sprüchwörtlich für Segen über Segen. Die Fruchtbarkeit der Insel Samos war so gross, dass, wie gefabelt ward, selbst die Hühner Milch gaben. H. Voss. cf. Strab. p. 945. et qui praeterea laudantur auctores ad Av. 733.) — βατὶς δὲ εἶδος ἰχθύος. (raja: vide Pac. 770.) καὶ βατιοσκόποι (βατιδοσκόποι, ut Pac. l. l.) οἱ ὀψοφάγοι. S.

495. anguillae, praesertim Copaïcae, in cupediis habebantur. vide Pac. 948., Ach. 827.

496. πεπνιγμένον. δέον εἰπεῖν ἑψημένον, φησὶ πεπνιγμένον, ἀπὸ τοῦ συμβαίνοντος ὑπὸ τῶν δικαστῶν τοῖς δικαζομένοις. S. κρέα πεπνιγμένα et πνικτὰ sunt, quae in vase obturato coquuntur, et simul torrentur in vapore et proprio succo: vide Athenaeum 9. p. 396., ubi hic locus citatur etc. Be.

501. οὗς σὺ etc. οὓς οὐχὶ μόνον τιμᾷς, καὶ σέβεις, ὡς βελτίους, ἀλλὰ καὶ ὡς δεσπόταις ὑποτάττῃ· λέγει δὲ τοὺς δημαγωγούς, ὧν προστάξει δικάζουσιν, ὑφ' ὧν καὶ τὸν μισθὸν λαμβάνουσιν. S.

502. ἀλλὰ δ. λ. ὅτι πρὸς τὰς ὑποσχέσεις τῶν δημαγωγῶν ἐδίκαζον etc. S. παῦε, παύου. v. Ach. 811. etc.

ὅστις ἄρχω τῶν ἁπάντων.

ΒΔ. οὐ σύ γ', ἀλλ' ὑπηρετεῖς,
οἰόμενος ἄρχειν· ἐπεὶ δίδαξον ἡμᾶς, ὦ πάτερ,
ἥτις ἡ τιμή 'στί σοι, καρπουμένῳ τὴν Ἑλλάδα.

ΦΙ. πάνυ γε· καὶ τούτοισί γ' ἐπιτρέψαι θέλω.

ΒΔ. καὶ μὴν ἐγώ.
ἄφετε νῦν ἅπαντες αὐτόν.

ΦΙ. καὶ ξίφος γέ μοι δότε·
ἢν γὰρ ἡττηθῶ λέγων σου, περιπεσοῦμαι τῷ ξίφει.

ΒΔ. εἰπέ μοι, τί δ', ἢν, τὸ δεῖνα, τῇ διαίτῃ μὴ 'μμένῃς;

ΦΙ. μηδέποτε πίοιμ' ἀκράτου μισθὸν ἀγαθοῦ δαίμονος.

ΧΟ. νῦν δὲ τὸν ἐκ θημετέρου γυμνασίου ch. tr. ἀνομοιόστ.
λέγειν τι δεῖ καινὸν, ὅπως φανήσει asyn., 2 i. h.
μὴ κατὰ τὸν νεανίαν τόνδε λέγειν. ὁρᾷς γὰρ, as., ch. d. et sim. c.
ὡς σοὶ μέγας ἐστὶν ἀγὼν, a. d. br.

505. καρπ. τὴν Ἑλλ. τοὺς φόρους γὰρ ἐλάμβανον οἱ Ἀθηναῖοι. ὁ δὲ λόγος „τί σοι ἐκ τούτων Ἀθηναίῳ ὄντι προσγίνεται, τὸ δικαστικὸν μόνον λαμβάνοντι; οἱ γὰρ δημαγωγοὶ πάντα λαμβάνουσιν.“ S.

506. καὶ — θέλω. sic Demosth. dixit ἐπιτρέπειν τοῖς οἰκείοις, i. e. δικαστὰς αἱρεῖσθαι, *judices eos capere*; et Lysias ἐπέτρεψεν ἀνδράσιν, i. e. *arbitros constituit*. — Fl. Chr.

507. ἄφετε νῦν ἅ. α. πρὸς τοὺς Σφῆκάς φησιν, ἅτι ἄφετε αὐτόν. ἢ πρὸς τοὺς οἰκέτας τοὺς κατέχοντας τὸν Φιλοκλέωνα. S. imo utrosque absistere ab illo jubet. ceterum similiter senex Acharnensibus 291. — verba καὶ ξίφος — τῷ ξίφει a Philocleone pronunciari, indicio est 682.; neque talis affectus decet filium quietiorem, cui tribuuntur in codd. animadvertit D.

509. τὸ δεῖνα. hoc vocabulo patrem familiariter significat, ne nomine appellandus sit, potuitque idem dicere ὁ δεῖνα pro ὦ δεῖνα. interpres *malum*. v. Ran. 869., ubi praesens Aeschylus audit ὁ δεῖνα, Thesm. 585. seqq.

510. δέον εἰπεῖν ἄκρατον ἀγαθοῦ δαίμονος, τὸν μισθὸν εἴρηκεν, ὑπεμφαίνων τὸ φιλόδικον. S. de potione in honorem ἀγαθοῦ δαίμονος vid. annot. ad Pac. 300., Equ. 85. verba sic explico per ellipsin μηδ. πίοιμι μισθὸν (ἀντὶ) ἀκρ. ἀ. δ., *ne bibam mercedem* (judicum) *pro meraco* etc.

511. ἐκ θημ. ἐκ τοῦ ἡμετέρου. τοῦτο δὲ πρὸς τὸν Κλέωνα. S.

512, 513. male libri: — φανήσει. (vel φανήσῃ.) ΒΔ. ἐνεγκάτω. — παρακελεύη· μὴ κατὰ τὸν νεανίαν, alieno loco insertis versibus 517. et 518.; quod sero animadvertit Br.; alii glandibus vescentes reperta fruge verba ἐνεγκάτω — παρακελεύη velut παρενθέτως dicta esse putant, interrupta Chori oratione, quo nihil inutilius inficetiusque excogitari potest. suboluit hoc etiam scholiastae, qui sic ad sequ. versum: μὴ κατὰ τὸν νεανίαν. τινὲς τοῦτο πρὸς τὸ ἄνω, ὅπως φανήσῃ μὴ κατὰ τόνδε λέγειν, ἀλλὰ δηλονότι πραγματικώτερον αὐτοῦ, καὶ βέλτιον. — de metro versus 513. vid. Hephaest. c. 15, 15., p. 101. ed. Gaisford.

514. ita Junt. 2. vulgo ἔστ'. praeterea nihil mutandum esse sentio cum Dobraeo, etsi rectum esset etiam ἀγών. Thuc. 2, 45., notante D.: ὁρῶ μέγαν τὸν ἄγῶνα. sed contra Pac. 276. νῦν ἀγὼν μέγας.

καὶ περὶ τῶν ἁπάντων, εἴπερ, ὃ μὴ γένοιτο, as., 2 ch. d. c.
νῦν οὗτος ἐθέλει κρατῆσαι. as., i. et t.
ΒΔ. ἐνεγκάτω μοι δεῦρο τὴν κίστην τις ὡς τάχιστα. i. t. c.
ΧΟ. ἀτὰρ φανεῖ ποιός τις ὢν, ἣν ταῦτα παρακελεύῃ.
ΒΔ. καὶ μὴν ὅσ' ἄν λέξῃ γ', ἁπλῶς μνημόσυνα γράψομαι
'γώ.
ΦΙ. τί γὰρ φάθ' ὑμεῖς, ἢν ὁδί με τῷ λόγῳ κρατήσῃ;
ΧΟ. οὐκέτι πρεσβυτῶν ὄχλος χρήσιμος ἔστ' οὐδ' ἀκαρῆ· ch. t.
σκωπτόμενοι δ' ἂν ἐν ταῖσιν ὁδοῖς ἁπάσαις do. h.
Θαλλοφόροι καλοίμεθ', ἀντωμοσιῶν κελύφη. anacr.
ἀλλ' ὦ περὶ τῆς πάσης μέλλων βασιλείας ἀντιλογήσειν
a. Arist.
τῆς ἡμετέρας, νυνὶ θαῤῥῶν πᾶσαν γλῶτταν βασάνιζε!
ΦΙ. καὶ μὴν εὐθύς γ' ἀπὸ βαλβίδων περὶ τῆς ἀρχῆς ἀπο-
δείξω

516. notum genus metri, quod alii aliter corruperunt. Pindarus Ol. 2, 1. ἀναξιφόρμιγγες ὕμνοι, Soph. Oed. R. 616. πιθοῦ θελήσας, φρονήσας τ' et Trach. 483. τετράορον φάσμα ταύρου. — ἐθέλει, μέλλει. vid. Viger. 5, 8, 10. Eurip. Tro. 27. νοσεῖ τὰ τῶν θεῶν, οὐδὲ τιμᾶσθαι θέλει.

517. ὁ παῖς τοῦτό φησιν, ὡς ἐν τῇ κίστῃ γραμματείου τινὸς ὄντος, ὅπου τὰ κεφάλαια τῶν ὑπὸ τοῦ πατρὸς λεγομένων ἐνεγέγραπτο. (imo ἐγγραφήσεται.) ἵνα φησὶ, λαβὼν χάρτην, ἀναγράψαιμι τῶν λεγομένων τὰ κεφάλαια. S.

518. was wunder meinst du denn su sein, wenn du dir dieses foderst?

519. ἁπλῶς γράψομαι, obiter perscribam, non λέξῃ γ' ἁπλῶς, ut vulgo legitur. annotavit Br. S.: μνημ. (γρ.) εἰς τὸ μνημονεῦσαι ἀπογράψομαι.

521. Chorus, Philocleonem sibi minus fidere videns, debilem senectutem contemnit. S. οὐδ' ἀκαρῆ. Plut. 244. οὐδὲ βραχύ, οὐδὲ τὸ τυχόν. cf. 672.

522. Θαλλοφόροι. sapientior scholiastarum: Θαλλοφόρους ἔφη, βουλόμενος τοὺς γέροντας δηλῶσαι, ἐπειδὴ ἐν τοῖς Παναθηναίοις οἱ γέροντες θαλλοὺς ἔχοντες ἐπόμπευον. ὡς οὖν εἰς οὐδὲν ὄντων χρησίμων αὐτῶν ἔξω τοῦ Θαλλοφορεῖν, οὕτως αὐτοὺς ἐπέσκωψεν. — S. „Xenophon Symposio, 4, 17. Θαλλοφόρους γὰρ τῇ Ἀθηνᾷ τοὺς καλοὺς γέροντας ἐκλέγονται. cf. Meursii Panathen. c. 20." Be. — ἀντωμοσιῶν. τῶν δικῶν. (a parte.) ἀντωμοσίαι δὲ ἐκαλοῦντο, ὅταν ὁ ἐγκαλούμενος περὶ κλοπῆς ἐν τῷ δικαστηρίῳ ὀμωμόκει πρὸ δικῆς, καὶ ὁ ἐνάγων δὲ αὐτὸν ἀντομωμόκει αὐτὸν εἶναι τὸν ληστήν. — (cf. Köpkei librum de leg. et jud. Gr. p. 679.) κελύφη. καλύμματα δικῶν, ἢ τῶν ἐγκλημάτων. κελύφη δὲ τὰ τῶν ὠῶν καλύμματα. ὡσεὶ ἔλεγεν ἀποβλήματα δικῶν. S.

524. sed nostra agedum qui regna paras et opes defendere verbis Adversum inimicos, incipe nunc vires expendere linguae. Fl. Chr.

526. ἀπὸ βαλβ. ἀπ' ἀρχῆς εὐθέως. ἀπὸ μεταφορᾶς τῶν σταδιοδρομούντων. βαλβὶς γάρ ἐστιν ἡ ἀφετηρία, γραμμὴ δή, ἐφ' ἧς ἑστήκεσαν, ἕως ἂν ἀποσημανθῇ ὁ δρόμος αὐτοῖς. S.

τῆς ἡμετέρας, ὡς οὐδεμιᾶς ἥττων ἐστὶν βασιλείας.
τί γὰρ εὔδαιμον καὶ μακαριστὸν μᾶλλον νῦν ἐστι δικαστοῦ,
ἢ τρυφερώτερον, ἢ δεινότερον ζῶον, καὶ ταῦτα γέροντος;
ὃν πρῶτα μὲν ἕρποντ' ἐξ εὐνῆς τηροῦσ' ἐπὶ τοῖσι δρυφάκτοις
ἄνδρες μεγάλοι, καὶ τετραπήχεις· κἄπειτ' εὐθὺς προσιόντι
ἐμβάλλει μοι τὴν χεῖρ' ἀπαλὴν, τῶν δημοσίων κεκλοφυῖαν·
ἱκετεύουσίν θ' ὑποκύπτοντες, τὴν φωνὴν οἰκτροχοοῦντες,
„Οἰκτειρόν μ', ὦ πάτερ, αἰτοῦμαί σ', εἰ καὐτὸς πώποθ' ὑφείλου,
ἀρχὴν ἄρξας, ἢ 'πὶ στρατιᾶς τοῖς ξυσσίτοις ἀγοράζων,"
ὃς ἔμ' οὐδ' ἂν ζῶντ' ἤδειν, εἰ μὴ διὰ τὴν προτέραν ἀπόφευξιν.

Βδ. τουτὶ περὶ τῶν ἀντιβολούντων ἔστω τῶν μνημοσύνων μοι.

528. ita Bekk., D. Rav. εὔδαιμον ἢ καὶ μακ., claudicante versu. Phil. Junta εὔδαιμόν γ' ἢ καὶ μακ. Lugdunobat. a. 1624. K., Be., Br. aliique εὔδαιμόν γ' ἢ μακ. probabiliter D.: „ἢ librariorum emendatio est propter seqq. facta. Theopompus Athenaei t. 4. p. 474. ἐσπούδαζον δὲ δοκεῖν εὐδαίμονες εἶναι καὶ μακαριστοί. ibid. p. 475. συνῆν μετὰ τῶν ὑπάρχων εὐδαίμων καὶ μακαριστὸς ὤν."

529. δειν., terribilius, idque senex, cum senes non soleant timeri. — ζῶον, *animans*. Be. adscripsit illa ex Pluto, 438.: ἧς (Πενίας) οὐδαμοῦ Οὐδὲν πέφυκε ζῶον ἐξωλέστερον.

530. τηροῦσ', *expectant*. δρυφ. cf. 376.

531. ἄνδρες μ., καὶ τ. lictores et ostiarios intelligit Fl. Chr.; sed verisimilius est, dici viros potentes muneribusque functos reip. „Ran. 953. γενναίους, καὶ τετραπήχεις." *Be.*

532. ἐμβάλλει τις αὐτῶν. ellipsis frequens. S.: ὃ ποιοῦσι τοῖς δικασταῖς οἱ θωπευτικῶς προσιόντες, ἡρέμα ἐφαπτόμενοι τῆς χειρὸς ἐν τῷ ἀσπάζεσθαι etc. hoc modo reos, cum cives, tum socios, quibus Athenae ad judicia proficiscendum erat, judicibus blandiri solitos fuisse ait Be. secundum Xenophontem de rep. Athen. 1, 18.

533. οἰκτροχ. οἰκτρὰ χέοντες. Ὅμηρος (Od. τ', 521.) ἥτε πολὺ (sic) τρωπῶσα (ll. mendose τρωχῶσα) χέει πολυηχέα φωνήν. S.

535. ἀρχὴν ἄρξας, *magistratum gerens*. late patet significatio vocabuli ἀρχὴ, de quo copiose dixit Ant. Baumstark. in disputatione de Curatoribus Emporii et Nautodicis ap. Athenn. p. 15. seqq.; μάλιστα δ', ὡς ἁπλῶς εἰπεῖν, inquit Aristot. Polit. 4, 12., ἀρχὰς λεκτέον ταύτας, ὅσαις ἀποδέδοται βουλεύσασθαί τε περί τινων, καὶ κρῖναι, καὶ ἐπιτάξαι, καὶ μάλιστα τοῦτο· τὸ γὰρ ἐπιτάττειν ἀρχικώτερόν ἐστιν.

536. ὅστις οὐδ' ἂν λόγου μ' ἠξίωσεν, εἰ μὴ εὐηργετήθη ὑπ' ἐμοῦ. S. Voss.: *Dem war auch nicht, ob ich lebte, bewusst, wenn nicht zuvor ich ihm aushalf.* (*durchhalf*, nisi jam ante mea ope absolutus esset.)

537. ll. neque aperta sententia (nisi quis probet Brunckii explicationem hanc „τουτὶ, signum hoc, quod in pugillari exaro"), et debilibus numeris τὸ μνημόσυνόν μοι. cf. 519, 561. ἐν τῷ γραμματείῳ ὁ Βδελ. ἀπογράφεται, ὅτι ἀντιβολοῦνται οἱ δικασταὶ, ὡς καὶ ἄνω (517., 519.) εἴρηκεν, ἵν' ἔχῃ τοῦτο εἰς κατηγο-

ΦΙ. εἶτ' εἰσελθὼν ἀντιβοληθεὶς, καὶ τὴν ὀργὴν ἀπομορχθεὶς,
ἔνδον τούτων, ὧν ἂν φάσκω, πάντων οὐδὲν πεποίηκα,
ἀλλ' ἀκροῶμαι πάσας φωνὰς ἱέντων εἰς ἀπόφευξιν.
φέρ' ἴδω, τί γὰρ οὐκ ἔστιν ἀκοῦσαι θώπευμ' ἐνταῦθα δικαστῇ;
οἱ μέν γ' ἀποκλάονται πενίαν αὑτῶν, καὶ προστιθέασι.
κακὰ πρὸς τοῖς οὖσιν, ἕως ἀνιὼν ἂν ἰσώσῃ τοῖσιν ἐμοῖσιν·
οἱ δὲ λέγουσιν μύθους ἡμῖν, οἱ δ' Αἰσώπου τι γέλοιον·
οἱ δὲ σκώπτουσ', ἵν' ἐγὼ γελάσω, καὶ τὸν θυμὸν κατάθωμαι.
κἂν μὴ τούτοις ἀναπειθώμεσθα, τὰ παιδάρι' εὐθὺς ἀνέλκει,
τὰς θηλείας, καὶ τοὺς υἱεῖς, τῆς χειρός· ἐγὼ δὲ ἀκροῶμαι.
τὰ δὲ συγκύπτονθ' ἅμα βληχᾶται· κἄπειθ' ὁ πατὴρ ὑπὲρ αὐτῶν,
ὥσπερ θεὸν, ἀντιβολεῖ με τρέμων τῆς εὐθύνης ἀπολῦσαι,
„Εἰ μὲν χαίρεις ἀρνὸς φωνῇ, παιδὸς φωνὴν ἐλεήσαις·"
εἰ δ' αὖ τοῖς χοιριδίοις χαίρω, θυγατρὸς φωνῇ με πιθέσθαι,
χἠμεῖς αὐτῷ τότε τῆς ὀργῆς ὀλίγον τὸν κόλλοπ' ἀνείμεν.

ρίαν αὐτῶν. ἀπομορχθεὶς δὲ ἀποβαλών. S.

539. ἀντὶ τοῦ ἃ ἐξωθεν ἐπαγγέλλομαι ποιεῖν, ἔνδον οὐ ποιῶ. τοιοῦτοι γὰρ οἱ δικασταί· παραχρῆ μὲν ἐπαγγέλλονται, ὕστερον δὲ ἀρνοῦνται. S.

543. ita Venetus, nisi quod caret ἄν particula, quam praebent alii libri. ἀνιὼν (scil. τις) *ascendens, progrediens*, donec mala sua, seu vera, seu conficta, meis (judicis) aequaverit, quo misericordia mea commoveatur. hoc Catone contentus mitto pericula doctorum improbabilia. S. κακὰ πρὸς τοῖς οὖσιν. ἐν σχήματι εἴρηκε, μεταβὰς ἀπὸ τοῦ πληθυντικοῦ εἰς τὸ ἑνικόν. ὁ δὲ νοῦς „ἕως ἂν οὗτοι τὰ κακὰ τὰ ἡμέτερα ἀποφήνωσι τοῖς ἑαυτῶν ἴσα. ἄλλως. ἀντὶ τοῦ τοσαῦτα λέγουσιν, ἕως ἂν αὐτοὺς (αὐτοὺς, vel ἑαυτοὺς) πένητας ἀποδείξωσιν, ὡς ἐγώ. imago petita est a venditoribus, plus plusque appendentibus mercis, donec justa sit mensura.

544. μύθους, fabulas mythicas. „Αἰσώπου τι γ. cf. inferius 1215. sequ." *Be.*

546. Bekkeri emendatio. codd. fere ἀναπειθόμεθα, τὰ παιδ., sed Rav. ἀ — θώμεθα. S.: εὐθὺς ἀν. εἰς τὸ βῆμα. — cf. 942.

547. εἰρωνικῶς ingeminat τὸ ἀκροῶμαι, quasi is, qui tam hebes sit atque stupidus, ut nihil possit nisi audire, quae illi dicant, nec quidquam reponat. cf. 540.

548. βληχᾶται. ποιὰν φωνὴν ἀφίησιν ἐλεεινήν. ἐκ δὲ τῆς ἀσήμου φωνῆς δηλοῖ τὴν βραχείαν τῶν παίδων ἡλικίαν. S.

549. τῆς εὐθ. ἀπ. τῆς δίκης παρεκβάλλων (παρεκβάλλειν). gl. Victor.

550. ἀρνὸς, agni, pueri.

551. τοῖς χοιρ. porcellis, puellis. S.: ἴσως ὅτι χοῖρος προσαγορεύεται τὸ γυναικεῖον αἰδοῖον.

552. τὸν κόλλοπ'. ἀντὶ τοῦ τὴν τάσιν τῆς ὀργῆς. ἢ τὸ στερεώτατον τῆς ὁρμῆς, ἀπὸ τοῦ κατὰ τὸν τένοντα κόλλοπος. ἔστι δὲ δέρμα στερεώτατον. — ἢ κόλλοπες λέγονται οἱ πασσαλίσκοι τῆς κιθάρας,

ἆρ' οὐ μεγάλη τοῦτ' ἔστ' ἀρχὴ, καὶ τοῦ πλούτου καταχήνη;

ΒΔ. δεύτερον αὖ σου τουτὶ γράφομαι, — τὴν τοῦ γ' οἴκου καταχήνην·

καὶ τἀγαθά μοι μέμνησ', ἄχεις, φάσκων τῆς Ἑλλάδος ἄρχειν.

ΦΙ. παίδων τοίνυν δοκιμαζομένων αἰδοῖα πάρεστι θεᾶσθαι·
κἂν Οἰαγρος εἰσέλθῃ φεύγων, οὐκ ἀποφεύγει, πρὶν ἂν ἡμῖν
ἐκ τῆς Νιόβης εἴπῃ ῥῆσιν τὴν καλλίστην ἀπολέξας·
κἂν αὐλητής γε δίκην νικᾷ, ταύτης ἡμῖν ἐπίχειρα
ἐν φορβειᾷ τοῖσι δικασταῖς ἔξοδον ηὔλησ' ἀπιοῦσι·

εἰς οὓς ἀποδεσμοῦνται αἱ νευραὶ, καὶ τείνονται στρεφομένων. ὀργῆς οὖν κόλοπα ἀντὶ τοῦ τὴν τάσιν τῆς ὀργῆς. S. haec interpretatio magis quam altera placuit viris doctis.

553. καταχήνη. καταγέλως, καταφρόνησις. S.

554. Rav. δ. ἄν σου τ. γράψομαι, τ. τοῦ οἴκου, γρ. καὶ πλούτου, κατ. alii libri fere: δ. αὖ ταυτὶ γράψομαι, τὴν τοῦ πλούτου κατ., quae correctio est ejus, qui nesciret quid faceret verbo οἴκου. at εἰρωνικῶς Bdelycleo, postquam clare dixit illa δεύτ. αὖ σου τ. γράφομαι (nam ita scribendum est cum Br. metri gratia), submissa voce et conversus ad spectatores addit τὴν τοῦ γ' οἴκου κατ., rei familiaris neglectionem, dum in foro assides, judiciisque vacas.

555. ita S., Fracinus, Bekk., D. Rav. quoque ἄρχειν. perperam alii τὴν Ἑλλ. ἀρχήν.

556. πρὸς τὸ ἔθος. Ἀριστοτέλης δέ φησιν, ὅτι ψήφῳ ἐγγραφόμενοι δοκιμάζονται οἱ νεώτεροι, μὴ ἐτῶν ἡ εἶεν. ἴσως δ' ἂν περὶ τῶν κρινομένων παίδων εἰς τοὺς γυμνικοὺς ἀγῶνας λέγει, οὐχ ὡς ἐν δικαστηρίῳ κρινομέναν, ἀλλ' ὑπὸ τῶν πρεσβυτέρων. ἄλλως. τῶν γὰρ παίδων τὴν ἡλικίαν δοκιμάζοντες τὰ αἰδοῖα ἐσκόπουν διὰ τὸ δεῖσθαι αὐτῶν εἰς τὸ χρησιμεύειν ἐν τοῖς λειτουργίαις. S. αἰδοῖα, quia nudi adstabant pueri. vid. Petit. Leg. att. p. 227., quem laudavit Br. H. Voss.: „Mit dem 18. Jahre trat der Jüngling in den Stand des jungen Mannes, *Efebos*, dessen Reife durch eine Schau [δοκιμασία, Musterung], beurkundet ward. Dann, einen Lorbeerkranz auf dem Haupte, opferte er dem Herakles, liess sich die Haare scheeren, die er als Weihgeschenk nach Delfi brachte, (κουρεῶτις: at haec pertinet ad inscriptionem ap. Curiales anno 15.: vide Fl. Chr. ad h. l. et Br. ad Av. 1675.) und schwur den Bürgereid."

557. ὅτι τραγικὸς ὑποκριτὴς ὁ Οἴαγρος, εἴρηται πρότερον. ὡς θαυμάζων δὲ αὐτόν φησιν, ὅτι κἂν ἐκεῖνος ὁ μέγας καταδικασθῇ. ἐκ τῆς Νιόβης δέ· καὶ γὰρ ὑπεκρίθη τὴν Νιόβην ἢ Σοφοκλέους, ἢ Αἰσχύλου. ἐπίχειρα δὲ μισθούς, τὰ ἀπὸ τῶν χειρῶν κέρδη. S.

559. ταύτης, τῆς δίκης.

560. φορβειαί εἰσι τὰ δέρματα τὰ περὶ τὸ στόμα τῶν αὐλητῶν προσδεσμευόμενα, ὅπως ἂν σύμμετρον τὸ πνεῦμα πεμπόμενον ἡδεῖαν τὴν φωνὴν τοῦ αὐλοῦ ποιήσῃ. ὃ δὲ λέγει, τοῦτό ἐστιν „ἐπὰν νικήσῃ αὐλητὴς, ἀντίδοσιν τούτου προπέμπει ἡμᾶς μετὰ αὐλοῦ." ἔθος δὲ ἦν ἐν ταῖς ἐξόδοις τῶν τῆς τραγῳδίας χορικῶν προσώπων προηγεῖσθαι αὐλητὴν, ὥστε αὐλοῦντα προ-

κἂν ἀποθνήσκων ὁ πατήρ τῳ δῷ καταλείπων παῖδ' ἐπίκληρον,
κλάειν ἡμεῖς μακρὰ τὴν κεφαλὴν εἰπόντες τῇ διαθήκῃ
καὶ τῇ κόγχῃ τῇ πάνυ σεμνῶς τοῖς σημείοισιν ἐπούσῃ,
ἔδομεν ταύτην ὅστις ἂν ἡμᾶς ἀντιβολήσας ἀναπείσῃ.
καὶ ταῦτ' ἀνυπεύθυνοι δρῶμεν, τῶν δ' ἄλλων οὐδεμί' ἀρχή.

ΒΔ. τουτὶ γάρτοι σεμνὸν τούτων σ', ὧν εἴρηκας, μακαρίζω·
τῆς δ' ἐπικλήρου τὴν διαθήκην ἀδικεῖς ἀνακογχυλιάζων.

ΦΙ. ἔτι δ' ἡ Βουλὴ χὠ δῆμος ὅταν κρῖναι μέγα πρᾶγμ' ἀπορήσῃ,
ἐψήφισται τοὺς ἀδικοῦντας τοῖσι δικασταῖς παραδοῦναι·
εἶτ' Εὔαθλος χὠ μέγας οὗτος κολακώνυμος ἀσπιδαποβλὴς
οὐχὶ προδώσειν ὑμᾶς φασιν, περὶ τοῦ πλήθους δὲ μαχεῖσθαι·
κἀν τῷ δήμῳ γνώμην οὐδεὶς πώποτ' ἐνίκησεν, ἐὰν μὴ

πέμπειν· ὅπερ ἔλαβεν εἰς ἰδιότητα τῶν δικαστῶν ὁ Φιλοκλέων. S.

561. ἐπίκληρον. une héritière. — Fl. Chr. ad quam rediit omnis hereditas. Be. cf. S.

562. τὴν κεφαλήν. quod attinet ad summam, i. e. ipsas tabulas testamenti, quibus opponit sigilla.

563. τῇ κόγχῃ. τοῖς σημείοις, ὡς κόγχας ἐπιτιθέντων ταῖς σφραγῖσιν ἀσφαλείας ἕνεκα. — S.

564. ἐκδίδομεν αὐτὴν, φησὶ, τῷ δωροδοκοῦντι ἡμᾶς. S.

565. ἀρχή. intell. δρᾷ ταῦτα.

566. σεμνὸν mire D. ed. Didot. σε μόνον. immisi σὲ, quod legisse videtur S. (κατὰ τοῦτό σε, φησὶ, μακαρίζω, τὸ ἀνεγκλήτως πράττειν.)

567. Suidas ἀνακογχυλιάσαι· ἀναγαργαρίσασθαι. similiter Pollux 6, 25. hic autem facete Comicus ad alium sensum detorquens hoc vocabulum, quia τὴν κόγχην dixit, ἀποκογχυλιάζειν usurpavit pro ἀνασπᾶν τὴν κόγχην. muniebant enim sigilla conchyliis, quo conservarentur. Ex Br.

568. ἡ Βουλὴ χὠ δῆμος. sic Latini senatus populusque Rom.: ut Βουλὴ sit τὸ πρῶτον τάξει καὶ τιμῇ, at multiceps illa bestia secundum habeat locum, sit tamen τὸ κύριον καὶ ἄρχον. etiam ap. Thuc. hic ordo observatur. Fl. Chr. „v. Schoemann. de comitiis Athen. p. 156." D.

570. Εὔαθλος ῥήτωρ συκοφάντης, οὗ μνημονεύει καὶ ἐν Ἀχαρνεῦσι (665.) καὶ ἐν Ὀλκάσιν (fr. 19.), οὗτός ἐστιν (ἔσθ') ὑμῖν πονηρὸς τοξότης συνήγορος, Ὥσπερ Εὔαθλος. μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Πεισάνδρῳ, καὶ Κρατῖνος ἐν Θρᾴτταις. κολακώνυμον δὲ εἶπε τὸν Κλεώνυμον. εἴρηται δὲ, ὅτι κόλαξ καὶ ὁ ψασπις. (Nub. 352. etc.) τὸ δὲ οὐχὶ προδώσειν ἡμᾶς (ὑμᾶς), ἐπεὶ λέγουσι τὰ τοιαῦτα οἱ ῥήτορες, ὡς ὑπὲρ ἡμῶν (ὑμῶν) ἀγωνίζομαι, καὶ οὐχὶ προδώσω τὴν πόλιν. S.

572. sequ. S. ὅτι ὁ δημογερῶν ἐν τῷ δήμῳ, φησὶν, οὐκ ἴσχει τῆς νίκης τὴν ψῆφον ἄνευ τῆς κρίσεως τῶν δικαστῶν, εἰ μὴ πρότερον πρὸς μίαν δίκην δικάσαντες οἱ δικασταὶ παρεῖεν, καὶ ἐπιτρέψειεν. — Equ. 50. ὦ Δῆμε, λοῦσαι, πρῶτον ἐκδικάσας μίαν. Be. H. Voss.: „Sobald die Richter einem Redner den Sieg

εἶπῃ τὰ δικαστήρι᾽ ἀφεῖναι πρώτιστα μίαν δικάσαντας·
αὐτὸς δ᾽ ὁ Κλέων ὁ κεκραξιδάμας μόνον ἡμᾶς οὐ περιτρώγει,
ἀλλὰ φυλάττει διὰ χειρὸς ἔχων, καὶ τὰς μυίας ἀπαμύνει.
σὺ δὲ τὸν πατέρ᾽ οὐδ᾽ ὁτιοῦν τούτων τὸν σαυτοῦ πώποτ᾽ ἔδρασας·
ἀλλὰ Θέωρος, καὶ τοὔστιν ἀνὴρ Εὐφημίου οὐδὲν ἧττον,
τὸν σφόγγον ἔχων ἐκ τῆς λεκάνης τἀμβάδι᾽ ἡμῶν περικωνεῖ.
σκέψαι δ᾽, ἀπὸ τῶν ἀγαθῶν οἷον ἀποκλείεις καὶ κατερύκεις,
ἣν δουλείαν οὖσαν ἔφασκες καὶ ὑπηρεσίαν ἀποδείξειν.

ΒΔ. ἔμπλησο λέγων· πάντως γάρ τοι παύσει ποτὲ, κἀναφανήσει
πρωκτὸς λουτροῦ περιγιγνόμενος τῆς ἀρχῆς τῆς περισέμνου.

ΦΙ. ὃ δέ γ᾽ ἥδιστον τούτων ἐστὶν πάντων, οὗ ᾽γὼ ᾽πιλελήσμην·
ὅταν οἰκαδ᾽ ἴω τὸν μισθὸν ἔχων, κἄπειθ᾽ ἥκωθ᾽ ἅμα πάντες

zuerkannt, fodert er, dass sie fortgehen, aus Furcht, sie möchten nach Laune zurückstimmen.“ at ita ignominia judices afficiuntur, cum cetera, quae hic commemorantur a sene, ad honorem eorum atque gloriam, quamvis vanam, pertineant. quare hoc dici puto: postquam senatus vel populus Atheniensis (568.) rem aliquam magnam judicibus decernendam commiserit, oratores in concione, ad voluntatem judicum loquentes, ante omnia hoc dicere solere, dimittendos esse eos una illa causa judicata; quo pacto fieri, ut minima illi molestia mercedem suam judicialem auferant. (cf. 584.) *μίαν δίκην.*

574. *κατ᾽ ἐξοχὴν τὸ αὐτός.* *κεκραξιδάμας δὲ ὁ τῇ βοῇ δαμάζων.* S. de eodem Cleone in Equ. 137. *ἅρπαξ, κεκράκτης.* Be.

575. Cleon Equ. 59. *βυρσίνην ἔχων Δειπνοῦντος (Δήμου) ἑστὼς ἀποσοβεῖ τοὺς ῥήτορας.* Be. *διὰ — ἀπ.* utrumque adulatorie.

577. De Theoro dictum ad 42. *Εὐφημίου.* *ὅτι Εὐφήμιος τῶν ἄγαν διαβαλλομένων ἐπὶ κολακείᾳ ἐστὶν, ᾧ παρείκασε τὸν Θέωρον διὰ κολακείαν τὰ ὑποδήματα τῶν δικαστῶν ἀποψῶντα, καὶ ἀλείφοντα. μετῆκται δὲ ἀπὸ τῶν ἀγγείων· κυρίως γὰρ περικωνῆσαί ἐστι τὸ πισσῶσαι τὰ κεράμια.* S.

578. ita D. libri *σπόγγον*, *ἑλληνικῶς.* cf. Ach. 429.

580. ita Rav., Bentl. vulgo *ἔφασκες χὑπηρεσίαν.*

581. *ἔμπλησο.* *κορέσθητι.* gl. Victor.

582. *παροιμιακὸν τοῦτο ἐπὶ τῶν ἐπὶ κακῷ τῷ ἑαυτῶν νικώντων. ἢ ἐπὶ τῶν ἀεὶ μολυνομένων, καὶ βιαζομένων καθαίρεσθαι.* *ὁ γὰρ πρωκτὸς πλυνόμενος περιγίνεται τῆς καθάρσεως, καὶ ἔτι μολύνεται* etc. S. *τῆς ἀρχῆς τ. περ. quod attinet ad magnificum tuum imperium*, seu *magistratum.*

κἂν ἀποθνήσκων ὁ πατὴρ τῷ δῷ καταλείπων παῖδ' ἐπίκληρον,
κλάειν ἡμεῖς μακρὰ τὴν κεφαλὴν εἰπόντες τῇ διαθήκῃ
καὶ τῇ κόγχῃ τῇ πάνυ σεμνῶς τοῖς σημείοισιν ἐπούσῃ,
ἔδομεν ταύτην ὅστις ἂν ἡμᾶς ἀντιβολήσας ἀναπείσῃ.
καὶ ταῦτ' ἀνυπεύθυνοι δρῶμεν, τῶν δ' ἄλλων οὐδεμί' ἀρχή.

ΒΔ. τουτὶ γάρτοι σεμνὸν τούτων σ', ὧν εἴρηκας, μακαρίζω·
τῆς δ' ἐπικλήρου τὴν διαθήκην ἀδικεῖς ἀνακογχυλιάζων.

ΦΙ. ἔτι δ' ἡ Βουλὴ χὠ δῆμος ὅταν κρῖναι μέγα πρᾶγμ' ἀπορήσῃ,
ἐψήφισται τοὺς ἀδικοῦντας τοῖσι δικασταῖς παραδοῦναι·
εἶτ' Εὔαθλος χὠ μέγας οὗτος κολακώνυμος ἀσπιδαποβλὴς
οὐχὶ προδώσειν ὑμᾶς φασιν, περὶ τοῦ πλήθους δὲ μαχεῖσθαι·
κἀν τῷ δήμῳ γνώμην οὐδεὶς πώποτ' ἐνίκησεν, ἐὰν μὴ

πέμπειν· ὅπερ ἔλαβεν εἰς ἰδιότητα τῶν δικαστῶν ὁ Φιλοκλέων. S.

561. ἐπίκληρον. une héritière. — Fl. Chr. ad quam rediit omnis hereditas. Be. cf. S.

562. τὴν κεφαλήν. quod attinet ad summam, i. e. ipsas tabulas testamenti, quibus opponit sigilla.

563. τῇ κόγχῃ. τοῖς σημείοις, ὡς κόγχας ἐπιτιθέντων ταῖς σφραγῖσιν ἀσφαλείας ἕνεκα. — S.

564. ἐκδίδομεν αὐτὴν, φησὶ, τῷ δωροδοκοῦντι ἡμᾶς. S.

565. ἀρχή. intell. δρᾷ ταῦτα.

566. σεμνὸν mire D. ed. Didot. σε μόνον. immisi σὲ, quod legisse videtur S. (κατὰ τοῦτό σε, φησὶ, μακαρίζω, τὸ ἀνεγκλήτως πράττειν.)

567. Suidas ἀνακογχυλιάσαι· ἀναγαργαρίσασθαι. similiter Pollux 6, 25. hic autem facete Comicus ad alium sensum detorquens hoc vocabulum, quia τὴν κόγχην dixit, ἀποκογχυλιάζειν usurpavit pro ἀνασπᾶν τὴν κόγχην. muniebant enim sigilla conchyliis, quo conservarentur. Ex Br.

568. ἡ Βουλὴ χὠ δῆμος. sic Latini *senatus populusque Rom.*: ut Βουλὴ sit τὸ πρῶτον τάξει καὶ τιμῇ, at multiceps illa bestia secundum habeat locum, sit tamen τὸ κύριον καὶ ἄρχον. etiam ap. Thuc. hic ordo observatur. Fl. Chr. „v. Schoemann. de comitiis Athen. p. 156." D.

570. Εὔαθλος ῥήτωρ συκοφάντης, οὗ μνημονεύει καὶ ἐν Ἀχαρνεῦσι (665.) καὶ ἐν Ὀλκάσιν (fr. 19.), οὗτός ἐστιν (ἔσθ') ὑμῖν πονηρὸς τοξότης συνήγορος, Ὥσπερ Εὔαθλος. μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Πεισάνδρῳ, καὶ Κρατῖνος ἐν Θρᾴτταις. κολακώνυμον δὲ εἶπε τὸν Κλεώνυμον. εἴρηται δὲ, ὅτι κόλαξ καὶ ῥίψασπις. (Nub. 352. etc.) τὸ δὲ οὐχὶ προδώσειν ἡμᾶς (ὑμᾶς), ἐπεὶ λέγουσι τὰ τοιαῦτα οἱ ῥήτορες, ὡς ὑπὲρ ἡμῶν (ὑμῶν) ἀγωνίζομαι, καὶ οὐχὶ προδώσω τὴν πόλιν. S.

572. sequ. S. ὅτι ὁ δημογορῶν ἐν τῷ δήμῳ, φησὶν, οὐκ ἴσχει τῆς νίκης τὴν ψῆφον ἄνευ τῆς κρίσεως τῶν δικαστῶν, εἰ μὴ πρότερον πρὸς μίαν δίκην δικάσαντες οἱ δικασταὶ παρεῖεν, καὶ ἐπιτρέψειεν. — Equ. 50. ὦ Δῆμε, λοῦσαι, πρῶτον ἐκδικάσας μίαν. Be. H. Voss.: „Sobald die Richter einem Redner den Sieg

εἴπῃ τὰ δικαστήρι' ἀφεῖναι πρώτιστα μίαν δικάσαντας·
αὐτὸς δ' ὁ Κλέων ὁ κεκραξιδάμας μόνον ἡμᾶς οὐ περιτρώγει,
575 ἀλλὰ φυλάττει διὰ χειρὸς ἔχων, καὶ τὰς μυίας ἀπαμύνει.
σὺ δὲ τὸν πατέρ' οὐδ' ὁτιοῦν τούτων τὸν σαυτοῦ πώποτ' ἔδρασας·
ἀλλὰ Θέωρος, καὶ τοὔστιν ἀνὴρ Εὐφημίου οὐδὲν ἐλάττων,
τὸν σφόγγον ἔχων ἐκ τῆς λεκάνης τἀμβάδι' ἡμῶν περικωνεῖ.
σκέψαι δ', ἀπὸ τῶν ἀγαθῶν οἵων ἀποκλείεις καὶ κατερύκεις,
580 ἣν δουλείαν οὖσαν ἔφασκες καὶ ὑπηρεσίαν ἀποδείξειν.

ΒΔ. ἔμπλησο λέγων· πάντως γάρ τοι παύσει ποτὲ, κἀναφανήσει
πρωκτὸς λουτροῦ περιγιγνόμενος τῆς ἀρχῆς τῆς περισέμνου.

ΦΙ. ὃ δέ γ' ἥδιστον τούτων ἐστὶν πάντων, οὗ 'γὼ 'πιλελήσμην·
ὅταν οἰκαδ' ἴω τὸν μισθὸν ἔχων, κἄπειθ' ἥκονθ' ἅμα πάντες

zuerkannt, fodert er, dass sie fortgehen, aus Furcht, sie möchten nach Laune zurückstimmen." at ita ignominia judices afficiuntur, cum cetera, quae hic commemorantur a sene, ad honorem eorum atque gloriam, quamvis vanam, pertineant. quare hoc dici puto: postquam senatus vel populus Atheniensis (568.) rem aliquam magnam judicibus decernendam commiserit, oratores in concione, ad voluntatem judicum loquentes, ante omnia hoc dicere solere, dimittendos esse eos una illa causa judicata; quo pacto fieri, ut minima illi molestia mercedem suam judicialem auferant. (cf. 584.) *μίαν δίκην.*

574. *κατ' ἐξοχὴν τὸ αὐτός. κεκραξιδάμας δὲ ὁ τῇ βοῇ δαμάζων.* S. de eodem Cleone in Equ. 137. *ἅρπαξ, κεκράκτης.* Be.

575. Cleon Equ. 59. *βυρσίνην ἔχων Δειπνοῦντος (Δήμου) ἑστὼς ἀποσοβεῖ τοὺς ῥήτορας.* Be. *διὰ — ἀπ.* utrumque adulatorie.

577. De Theoro dictum ad 42. *Εὐφημίου. ὅτι Εὐφήμιος τῶν ἄγαν διαβαλλομένων ἐπὶ κολακείᾳ ἐστὶν, ᾧ παρείκασε τὸν Θέωρον διὰ κολακείαν τὰ ὑποδήματα τῶν δικαστῶν ἀποψῶντα, καὶ ἀλείφοντα. μετῆκται δὲ ἀπὸ τῶν ἀγγείων· κυρίως γὰρ περικωνῆσαί ἐστι τὸ πισσῶσαι τὰ κεράμια.* S.

578. ita D. libri *σπόγγον, ἑλληνικῶς.* cf. Ach. 429.

580. ita Rav., Bentl. vulgo *ἔφασκες χὑπηρεσίαν.*

581. *ἔμπλησο.* κορέσθητι. gl. Victor.

582. *παροιμιακὸν τοῦτο ἐπὶ τῶν ἐπὶ κακῷ τῷ ἑαυτῶν νικώντων. ἢ ἐπὶ τῶν ἀεὶ μολυνομένων, καὶ βιαζομένων καθαίρεσθαι. ὁ γὰρ πρωκτὸς πλυνόμενος περιγίνεται τῆς καθάρσεως, καὶ ἔτι μολύνεται* etc. S. *τῆς ἀρχῆς τ. περ. quod attinet ad magnificum tuum imperium*, seu *magistratum.*

ἀσπάζωνται διὰ τἀργύριον, καὶ πρῶτα μὲν ἡ θυγάτηρ με
ἀπονίζῃ καὶ τὼ πόδ' ἀλείφῃ, καὶ προσκύψασα φιλήσῃ,
καὶ παππάζουσ' ἅμα τῇ γλώττῃ τὸ τριώβολον ἐκκαλα-
μᾶται·
καὶ τὸ γύναιόν μ' ὑποθωπεῦσαν φυστὴν μᾶζαν προσε-
νέγκῃ,
κἄπειτα καθεζομένη παρ' ἐμοὶ προσαναγκάζῃ· „Φάγε
τουτί!
Ἔντραγε τουτί!“ τούτοισιν ἐγὼ γάνυμαι, κεἰ μή με
δεήσει
εἰς σὲ βλέψαι, καὶ τὸν ταμίαν, ὅπότ' ἄριστον παραθήσει
καταρασάμενος, καὶ τονθορύσας, ἀλλ', ἢν μή μοι ταχὺ
μάξῃ,
τάδε κέκτημαι πρόβλημα κακῶν, σκευὴν βελέων ἀλεωρήν.
κἂν οἶνόν μοι μὴ 'γχῇς σὺ πιεῖν, τὸν ὄνον τόνδ' ἐσκεκό-
μισμαι
οἴνου μεστὸν, κἄτ' ἐγχέομαι κλίνας· οὗτος δὲ κεχηνὼς
βρωμιησάμενος τοῦ σοῦ δίνου μέγα καὶ στράτιον κατέ-
παρδεν.
ἆρ' οὐ μεγάλην ἀρχὴν ἄρχω, καὶ τοῦ Διὸς οὐδὲν ἐλάττω,

586. ὅτι παλαιὰ ἡ διὰ (fort. παλαιοῖς ἡδεῖα ἡ) τῶν γυναικῶν τημελία, καὶ οὕτως ἐτημέλουν τοὺς πατέρας, καὶ γέροντας, ὥστε μετὰ τὸ νίψαι ἀλείφειν τοὺς πόδας. Εὐφρόνιος δὲ καὶ τοὺς παρ' Ὁμήρῳ (Il. β', 44.) λιπαροὺς πόδας οὕτως ἀποδιδόναι τινάς φησι. S. „poëta vetus: *bona femina lavit et unxit.*“ Fl. Chr.

587. Ven., D., παππίζουσ'. παππ. i. e. πάππαν με καλοῦσα, ut loquitur in Pace 120. *Be.* S.: ἐκκαλ. ἀποσπᾷ, ἀπὸ τῶν διὰ καλάμου τοὺς ἰχθύας ἀγρευόντων. Be.: — „solebant in ore gestare pecuniam.“ cf. 761.

589. φυστὴ μάζα ἡ ἐξ ἀλφίτων καὶ οἴνου. ὀξυτόνως δὲ, ὥς φησιν Ἡρωδιανός. S.

590. seqq. ἔντραγε. ἐντρύφησον. παραθήσει — καταρασ. τὸ ἐπαχθὲς τῶν οἰκετῶν σημαίνει. gl. Victor.

590. — 93. κεἰ — μάξῃ, τάδε —. ita D. male ll. καὶ μή με δεήσῃ — τονθ., ἄλλην μή μοι τ. μάξῃ. τάδε —.

592. τονθ. γογγύσας. ἔστι δὲ ποιὰ φωνή. gl. Vict. cf. Ran. 700.

593. τάδε. τὰ ἐκ δικαστηρίου χρήματα. σκευὴν δὲ πανοπλίαν. — S. βελ. ἀλεωρὴν dictum pro ἀλεύουσαν βέλη. vide Pac. 520., 838., Matth. gr. §. 429, 4.

594. τὸν ὄνον. εἶδος ἀγγείου· ἴσως δὲ διάπλασμα ἔχον ὄνου μορφήν. S.

595. κλίνας. ἀνακλιθείς. gl. Vict. οὗτος δέ. ὁ ὄνος. ἔπαιξε δὲ ὡς πρὸς τὸ ζῶον. βρωμᾶσθαι δέ ἐστι τὸ πεινῶντα τὸν ὄνον ὀγκᾶσθαι. δῖνος δέ ἐστιν ἀγγεῖόν τι κεραμεῖον, οἴνου, οἷον πρόχυμα, βάσιν οὐκ ἔχον, ἀλλὰ στρογγύλον κάτω. — S.

596. Hesych. στράτιον: πολεμικὸν, ἢ φοβερόν. Photius: στράτιον: τὸ μέγα, καὶ σοβαρόν. *Br.*

ὅστις ἀκούω ταῦθ', ἅπερ ὁ Ζεύς; a. d.
ἦν γοῦν ἡμεῖς θορυβήσωμεν, πᾶς τις φησὶν τῶν παριόντων, a. t.
„Οἷον βροντᾷ τὸ δικαστήριον, ὦ Ζεῦ βασιλεῦ!" κἂν ἀστράψω,
ποππύζουσιν, κἀγκεχόδασιν μ' οἱ πλουτοῦντες καὶ πάνυ σεμνοὶ,
καὶ σὺ δέδοικάς με μάλιστ' αὐτός· a. d.
νὴ τὴν Δήμητρα, δέδοικας· ἐγὼ δ' ἀπολοίμην, εἰ σε δέδοικα. a. Arist.
ΧΟ. οὐπώποθ' οὕτω καθαρῶς as., i. ch. et dm. ἀνομοιόστ.
οὐδενὸς ἠκούσαμεν οὐδὲ ξυνετῶς λέγοντος. ch. t. c.
ΦΙ. οὔκ· ἀλλ' ἐρήμας ᾤεθ' οὗτος ῥᾳδίως τρυγήσειν. i. t. c.
καλῶς γὰρ ᾔδειν, ὡς ἐγὼ ταύτῃ κράτιστός εἰμι.
ΧΟ. ὡς δὲ πάντ' ἐπελήλυθε, κοὐδὲν παρῆλθεν, asyn., pher. et dm. h.
ὥστ' ἔγωγ' ἠὐξανόμην ἀκούων, asyn., t. et. i.
κἀν Μακάρων δικάζειν αὐτὸς ἔδοξα νήσοις, asyn., 2 ch. d. c.
ἡδόμενος λέγοντι! ch. d. c.
ΦΙ. ὥσθ' οὗτος ἤδη σκορδινᾶται, κἄστιν οὐκ ἐν αὑτοῦ! i. t. c.

598. ἅπερ ὁ Ζεύς. ἃ τῷ Διΐ εἰώθασι λέγειν. S.

600. sequ. κἂν ἀστρ. (640.) φόβον (χόλον) κατ' ἀρχὴν δείξω. ποππ. ἔθος γὰρ ταῖς ἀστραπαῖς ποππύζειν. (v. Schneideri lexicon h. v.) — S. μ' est μοι.

603. νὴ τὴν Δήμ. per Cererem vel more agricolarum jurat, vel potius tanquam mysteriis Eleusiniis initiatus, ut plurimi Atheniensium. vide Fischer. ad Plut. 841. etc.

604. καθ. σαφῶς, ἀκριβῶς. Hesych.

606. οὔκ. modeste tanta se laude dignum esse negat. S.: ἀλλ' ἐρ. παροιμία Οὐκ ἐρήμας τρυγήσεις, ἐπὶ τῶν ἀδεῶς τι πραττόντων, ὡς μηδενὸς αὐτοῖς ἀντιπράττοντος [ἐρήμας τρυγήσειν]. ἔστι δὲ ἀπὸ τῶν τὰς ἀμπέλους τηρούντων ἀφροντίστως. Be.: Putabat, me causam meam deserturum. cf. Concion. 883.

607. καλῶς γ. ᾔδειν. (est haec 3. pers. sing., ut supra 536. Br.) — οὕτως πιθανώτατα ἔμελλον ἐρεῖν. ταύτῃ. — ἐν τῷ δημηγορεῖν. — S.

608. Θαυμάζει ὁ Χορὸς Φιλοκλέωνος τὴν κατάστασιν. S. Germani simili metaphora dicunt etwas durchgehen. Voss.: *Wie doch alles hindurch er ging, Und nichts vorbeiging.*

609. 610. ηὐξανόμην, ἐμεγαλιζόμην, so dass ich grösser mich fühlt' im Hören. S.: δικάζειν. ἀντὶ τοῦ εἰπεῖν οἰκεῖν δικάζειν εἶπεν, ὡς φιλόδικος. de insulis Beatorum vidd. Hesiod. O. et D. 171., Eurip. Hel. 1571., Horat. Od. 4, 8, 27. etc. αὐτός. μόνος.

612. σκορδινᾶσθαί ἐστιν ὃ ποιοῦσιν οἱ ἐξ ὕπνου ἀνιστάμενοι,

ἢ μὴν ἐγώ σε τήμερον σκύτη βλέπειν ποιήσω.

ΧΟ. δεῖ δέ σε παντοίας πλέκειν εἰς ἀπόφευξιν παλάμας· ch. t.

τὴν γὰρ ἐμὴν ὀργὴν πεπᾶναι χαλεπὸν ch. tr.

μὴ πρὸς ἐμοῦ λέγοντι. ch. d. c.

πρὸς ταῦτα μύλην ἀγαθὴν ὥρα ζητεῖν σοι καὶ νεόκοπτον, a. Arist.

ἢν μή τι λέγῃς, ἥτις δυνατὴ τὸν ἐμὸν θυμὸν κατερεῖξαι.

ΒΔ. χαλεπὸν μέν, καὶ δεινῆς γνώμης, καὶ μείζονος ἢ 'πὶ τρυγῳδοῖς,

ἰάσασθαι νόσον ἀρχαίαν ἐν τῇ πόλει ἐντετοκυῖαν·

ἀτὰρ, ὦ πάτερ ἡμέτερε Κρονίδη . . .

ΦΙ. παῦσαι καὶ μὴ πατέριζε·

εἰ μὴ γὰρ, ὅπως δουλεύω 'γὼ, τουτὶ ταχέως με διδάξεις,

οὐκ ἔστιν ὅπως οὐχὶ τεθνήξει, κἂν χρῇ σπλάγχνων ἀπέχεσθαι.

ΒΔ. ἀκρόασαι νῦν, ὦ παππίδιον, χαλάσας ὀλίγον τὸ μέτωπον.

καὶ μετὰ χάσμης τὰ μέλη ἐκτείνοντες. φησὶν οὖν, ὅτι χασμᾶται, καὶ διατείνεται ὑπὸ τῆς ἀθυμίας. S. cf. Ran. 873. etc. *itaque ille jam pandiculatur* etc.

613.—615. σκύτη βλέπειν. ὃ ἐσπι πληγάς σοι ἐμβαλῶ. παροιμίᾳ δὲ ἐλέγετο ἐπὶ τῶν δειλιώντων. — πεπᾶναι δὲ μαλάξαι, ὑποχαλάσαι. S.

614. παλ., μηχανὰς, artes, dolos.

616. μὴ π. ἐ. λέγοντι. ἀντὶ τοῦ μὴ ὑπὲρ ἐμοῦ, μὴ ἀρέσκοντά μοι λέγοντι. πάντως γὰρ κατὰ τοῦ δικάζειν ἔμελλε λέγειν. S. *non e re mea dicenti.* vid. Koen. ad Corinth. p. 44. (106.) *Br.* cf. Soph. Oed. R. 1354. etc.

617. μύλην, lapidem molarem.

618. ἢν — λέγῃς, *si nihil dicis* (quod momentum habeat). cf. Nub. 800. κατ. καταθραῦσαι. — S.

619. δεινῆς γνώμης. ἀντὶ τοῦ μείζονος ἢ κατὰ κωμῳδίαν ἐστὶ τὸ ἰᾶσθαι νόσον πεπαλαιωμένην ἐν τῇ πόλει. λέγει δὲ τὸ φιλόδικον. ἐντετοκυῖαν δὲ ἐγγενηθεῖσαν, ἢ ἐμφωλεύουσαν. S. *magnae mentis, magni ingenii.* Be.: *altioris indaginis quam pro comico captu.*

621. ὦ π. ἡμ. Κρον. Homeri verba Odyss. α', 45. — πατ. κατέρα κάλει. ἔμελλε δὲ εἰπεῖν σοὶ πάντα δυνατά ἐστιν, ὦ Ζεῦ, καὶ διέκοψεν ὁ Φιλοκλέων.

623. κἂν χρῇ. κἂν ὡς ἀνδροφόνος λογισθῶ, καὶ τῶν θυσιῶν μὴ μεταλάβω. κατὰ τὸ ἔθος δὲ, ὅτι οἱ ἀνδροφόνοι οὐ μεταλαμβάνουσι θυσιῶν. S. — „Erat hoc vetustum genus excommunicationis, ut vocant, non esse inter ὁμοτραπέζους, vel, ut ait Aristot. in Politicis, ὁμόκαπνος. sic Orestes exul propter caedem matris et furiis agitatus hospitum mensae, ad quos deveniebat, non participavit, sed praebita sunt ei, ut ait Eurip. in Taurica Iphig., ξένια μονοτράπεζα. sic Circe ap. Apollonium Rhod. non assedit Iasoni et Medeae, nisi prius purgatis a caede Absyrti." — *Fl. Chr.* cf. Soph. Oed. R. initio, Köpke über Gesetzgeb. der Gr. p. 526. etc.

624. χαλ. παυσάμενος τῆς ὀργῆς· ἔθος γὰρ τοῖς ὀργιζομένοις αἴρειν τὰς ὀφρῦς. S.

καὶ πρῶτον μὲν λόγισαι φαύλως, μὴ ψήφοις, ἀλλ' ἀπὸ χειρὸς,
τὸν φόρον ἡμῖν ἀπὸ τῶν πόλεων ξυλλήβδην τὸν προσιόντα·
κἄξω τούτου τὰ τέλη χωρὶς, καὶ τὰς πολλὰς ἑκατοστὰς,
πρυτανεῖα, μέταλλ', ἀγορὰς, λιμένας, μισθοὺς, καὶ δημιόπρατα·
τούτων πλήρωμα τάλαντ' ἐγγὺς δισχίλια γίγνεται ἡμῖν.
ἀπὸ τούτων νυν κατάθες μισθὸν τοῖσι δικασταῖς ἐνιαυτοῦ,
ἓξ χιλιάσιν (κοὔπω πλείους ἐν τῇ χώρᾳ κατένασθεν)·

625. μὴ ψήφοις. πολλαχοῦ δῆλον, ὅτι ψήφοις ἐλογίζοντο οἱ παλαιοὶ, ἀφ' οὗ τὸ ψηφίζειν. — τὸ δὲ φαύλως ἁπλῶς, ἀφελῶς. — S. ἀπὸ χειρὸς, *digitis computando.* Be.: Supputationem facit redituum, ut ostendat, posse plebem aliunde ali: ut non necesse sit eam mercedi judiciariae adeo inhiare.

626. seqq. τὸν φόρον etc. tributa sociorum. Schömann. de comitiis Athen. p. 286.: „In his quae memorantur τέλη tributa sunt inquilinorum, vectigalia artium, aliaque hujusmodi; ἑκατοσταὶ autem portoria quaedam esse videntur in Piraeeo exacta; quanquam alibi frequentior est πεντηκοστῆς seu quinquagesimae mentio; (S.: ἑκατοστὰς δὲ τὰς ὑπὲρ τοῦ τέλους χορηγουμένας ἀπὸ τῶν πόλεων. Voss.: *Hiernächst auch die Zolleinkünfte dazu, und so manch Ein Pfennig vom Hundert.)* ἀγορὰς et λιμένας nominat propterea, quod in foris ac portubus mercium importatarum, exportatarum, ac venditarum vectigalia pendenda erant; μισθοὺς autem esse puto, quae alias μισθώματα aut μισθώσεις dicuntur, pensiones aedium, agrorum, pascuorum, aliarumque rerum publicarum, quae privatis elocari solebant; πρυτανεῖα sunt pecuniae quaedam a litigantibus ante judicium depositae, qualia erant quae ap. Rom. sacramenta dicebantur; δημιόπρατα denique sunt bona publicata, quorum venditorum pretia in aerarium redigebantur." de hisce S. —: δημιόπρατα. ἐδήμευον γάρ τινας (interfectores, sacrilegos, proditores patriae etc.), καὶ τὰς οὐσίας αὐτῶν κοινὰς ἐποιοῦντο.

628. μέταλλα. argentifodinas Atheniensium in Laurio monte, de quibus vide Ran. 674. et Böckhii disputationem in scriptis Academiae Berol. ann. 1814. et 1815., eorumque alia metalla quaedam thracia, praesertim in Pangaeo monte, de quibus cf. Rhes. 384., 875., 924., Strabonem Excerpt. libri 7, 17., *Demosthenes' Staatsreden*, übers. u. erläutert von F. Jacobs p. 103.

629. de summa redituum atticorum vide inprimis Böckhii *Staatshaushalt der Athener* 1. p. 465.

631. κατένασθεν, κατενάσθησαν, h. e. κατῳκίσθησαν, ut ἔταφεν, ἔκρυφθεν ap. Aeschylum et Euripidem: vide Matth. gr. §. 199, 5. H. Voss.: „6000 Richter wurden alljährlich für die 10 Gerichtshöfe erwählt; aber nur wenn sie beschäfftigt waren, empfingen sie ihren Sold. In wichtigen Fällen zwar vereinigten sich mehrere Gerichtshöfe zu 1000, 1500, 2000, ja zu 6000 Mann; [vide Köpkei *Gesetzg. u. Gerichtsverf. d. Gr.* p. 629. et, quem laudat, Andocidem de myster. p. 253.] aber auch kleinere Versammlungen von 200, 300, 400 finden sich; und in Kriegszeiten ruheten die Gerichte manchmal ganz. — Arist. nimmt die möglich grösste Zahl als die gewöhnliche an." [imo ex re sua id facit Bdelycleo, quo ostendat, ne tot quidem judicum mercede eam pecuniam absumi, quae comparanda sit cum summa redituum atticorum.]

γίγνεται ὑμῖν ἑκατὸν δήπου καὶ πεντήκοντα τάλαντα.
ΦΙ. οὐδ' ἡ δεκάτη τῶν προσιόντων ἡμῖν ἄρ' ἐγίγνεθ' ὁ μισθός;
ΒΔ. μὰ Δί' οὐ μέντοι.
ΦΙ. καὶ ποῖ τρέπεται δὴ ταῦτα τὰ χρήματα τἄλλα;
ΒΔ. ἐς τούτους τοὺς „Οὐχὶ προδώσω τὸν Ἀθηναίων κολοσυρτὸν,
ἀλλὰ μαχοῦμαι περὶ τοῦ πλήθους αἰεί.“ σὺ γάρ, ὦ πάτερ, αὐτοὺς
ἄρχειν αἱρεῖ σαυτοῦ, τούτοις τοῖς ῥηματίοις περιπεφθείς.
κἄθ' οὗτοι μὲν δωροδοκοῦσιν κατὰ πεντήκοντα τάλαντα
ἀπὸ τῶν πόλεων, ἐπαπειλοῦντες τοιαυτί, κἀναφοβοῦντες
„Δώσετε τὸν φόρον, ἢ βροντήσας τὴν πόλιν ὑμῶν ἀνατρέψω.“
σὺ δὲ τῆς ἀρχῆς ἀγαπᾷς τῆς σῆς τοὺς ἀργελόφους περιτρώγων·
οἱ δὲ ξύμμαχοι ὥς ᾔσθηνται τὸν μὲν σύρφακα τὸν ἄλλον
ἐκ κηθαρίου λαγαρυζόμενον, καὶ τραγαλίζοντα τὸ μηδὲν,

632. εἰς ἱ μῆνας λογίζεται τὸν ἐνιαυτὸν, ὡς τῶν β' εἰς ἑορτὰς προχωρούντων. ἑκάστῳ γὰρ τριώβολον τοῦ μηνὸς (imo τῆς ἡμέρας), ἐ τοῦ μηνὸς τάλαντα ἐποίει. — S. — Observandum, unumquemque mensem non plus nec minus habere quam 30 dies. jam si sexies mille hominibus dentur quotidie terni oboli, summa expensarum unius mensis erunt oboli 540,000; tot autem oboli, drachmae 6 obolis constante, faciunt drachmas 90,000; tot drachmae, mina ex 100 constante, faciunt minas 900; tot minae, quarum 60 continet talentum, faciunt talenta 15; decies quindecim autem sunt 150, quae est summa expensarum unius anni. *F Be.*

633. οὐδ' ἡ δεκάτη. nam decima pars de 2000 non est 150, sed 200. *Be.*

634. Be.: ποῖ τρέπ.—τὰ χρήματα; Isaeus de Philoctemonis hereditate: ἡρώτων, ὅπου (ὅποι) τετραμμένα εἴη τὰ χρήματα.

635. salse pessimos demagogos significat orationibus illis, quibus palpare solerent concionem. cf. 570. „τὸν Ἀθ. κολ. Plut. 532. γραδίων κολοσυρτόν (colluviem). mox σύρφακα, quod idem.“ *Be.*

637. περιπεφθείς, ἀπατηθείς. S. a verbo περιπέπτειν, v. Plut. 159.

641. τοὺς ἀργ. τὰ περιττὰ καὶ ἄχρηστα. ἀργέλοφοι γὰρ τῆς μηλωτῆς (mastrucae, pellis villosae,) οἱ πόδες, οὓς ποδεῶνας καλοῦσι, καὶ οὗτοι ἄχρηστοι. S.

642, 3. σύρφακα. τὸ ἱκανὸν πλῆθος τῶν δικαστῶν τὸν ὀχλώδη, καὶ συρφετώδη (τὸ ὀχλῶδες, καὶ συρφετῶδες), ἐξ εὐτελῶν τρεφόμενον. (τὸν ἄλλον. τὸν κακὸν, ut ἄλλως dicunt pro κακῶς, ματαίως. v. indicem Aeschyli v. ἄλλος, Valck. Diatr. Eurip. p. 112.) κηθάριον γὰρ πλέγμα ἐστὶ κανισκῶδες, ἐπιτιθέμενον τῇ κληρώτιδι τῶν ψήφων. λαγαριζόμενον δὲ (sic, ut vulgo libri; sed A Paris. et Suid. λαγαρυζόμενον, quos Br. aliique secuti sunt. vid. Schneideri lex. gr. v. λαγαρίζω.) τὰ λάγαρα (λαγαρὰ) ἐσθίοντα, ὅ ἐστιν εὐθραστα (Bekk. εὔθρανστα,

σὲ μὲν ἡγοῦνται Κόννου ψῆφον, τούτοισι δὲ δωροδοκοῦσιν
645 ὕρχας, οἶνον, δάπιδας, τυρὸν, μέλι, σήσαμα, προσκεφάλαια,
φιάλας, χλανίδας, στεφάνους, ὅρμους, ἐκπώματα, πλοῦ-
τον ὑγίειαν·
σοὶ δ' ὧν ἄρχεις, πολλὰ μὲν ἐν γῇ, πολλὰ δ' ἐφ' ὑγρᾷ
πιτυλεύσας,
οὐδεὶς οὐδὲ σκορόδου κεφαλὴν τοῖς ἐψητοῖσι δίδωσι.
ΦΙ. μὰ Δί', ἀλλὰ παρ' Εὐχαρίδου καὐτὸς τρεῖς ἀγλίθας
μετέπεμψα.

fragilia) καὶ εὐτελῆ τινα. — τρωγαλιζόμενον, (sic.) ὡς ἂν πέντητας. λαγαριζόμενον δὲ ἀντὶ τοῦ ἀποξύοντα, ὡς ἀπὸ τῶν δικαστικῶν ἀγγείων. ταῦτα δὲ ὡς περὶ πενήτων. propter mercedem exiguam, qua se sustinent, nihilo victitare ait judices.

644. *Κόννου ψῆφον. κιθαρῳδὸς ἦν νέος.* (? fort. *κιθαρῳδὸς ἐννεὸς*, (v. S. ad Equ. 62.) *citharoedus stupidus*, qui rem facere nesciret, quamvis arte praestans, et Socratis magister, teste Cic. Epist. ad Div. 9, 22.) *ἔστι δὲ παροιμία ἐπὶ τῶν μηδὲν ἀξίων. Καλλίστρατος δὲ παροιμίαν φησὶ Κόννου θρίον, παρ' ἣν παίζει. — μήποτε δὲ οὐδὲ ὅλως ἔστι Κόννος, ἀλλὰ Κοννᾶς, ὃν προενεκτέον ὡς Μίδας. Κόννου ψῆφος, οἷον τὸ μηδέν.* — cf. Suid. v. *Κοννᾶς*, Erasmi Adag. 2, 2, 21., interpp. ad Equ. 496., quo loco K. annotavit, Connam fuisse tibicinem seu citharoedum, eumque pauperem, licet ob praestantiam artis victoriam Olympiae reportaverit. apud Be. parodia legitur versus Hesiodei: *ἔσθιε καὶ σῇ γαστρὶ δίδου χάριν, ὄφρα σε λιμὸς Ἐχθαίρῃ· Κοννᾶς δὲ πολυστέφανος νικήσει.* figurate Bdelycleo patrem existimari dicit calculum Connae, *θητὸς*, h. e. civis ejus, cujus haberetur quidem ratio in concione, sed non admodum diligenter. — *τούτοισι.* demagogis. cf. 635. seqq. — *δωρ.* cf. 1001.

645. *ὕρχας.* *κεράμινα ἀγγεῖα, ὑποδεκτικὰ ταρίχων, δύο ὦτα ἔχοντα. δάπιδας. τὰς ψιλὰς, καὶ μὴ μαλλωτὰς δάπιδας, (τάπιδας) λέγουσι.* — S. *σήσαμα.* folia sesami, vel potius *σησαμούντια. πόπανα.* vid. annot. ad Pac. 820.

646. *ὅρμους.* *περιτραχήλιον κόσμον.* gl. Vict. — *πλοῦτον ὑγίειαν.* h. e. velut *πλούτου ὑγίειαν*, non *opes sanas*, sive *opes cum sanitate*, ut vulgo reddunt h. l. et Av. 731., Equ. 1007., ubi quidem Wielandius haud male *Wohlseinsfülle*, Voss. et ibi et hoc ipso loco *Fülle des Reichthums.* scilicet sanitatem donare nemo potest, divitias omnisque generis opes potest, quas animo complectitur Comicus, cum dicit *πλουθυγίειαν.* Av. 693. *πῶς δ' ὑγίειαν δώσουσ' αὐτοῖς, οὖσαν παρὰ τοῖσι θεοῖσιν; ΠΕ. ἢν εὖ πράττωσ', οὐχ ὑγίεια μεγάλη τοῦτ' ἐστί; σάφ' ἴσθι, Ὡς ἄνθρωπός γε κακῶς πράττων ἀτεχνῶς οὐδεὶς ὑγιαίνει.* serio Pindarus *ὑγίεντα ὄλβον* pro *ἱκανῷ* dixit Ol. 5, 55.

647. ita Fl. Chr., Bekk., D. prior Junt. *σὺ δ' ὤν*, ceteri libri *σὺ δέ γ' ὤν*, cum opus sit dativo referendo ad *δίδωσι.* illos, quibus senex se imperare putet, demagogis omnia dare ait Bdelycleo, sublini autem os Philocleoni et judicibus. — *ὑγρᾷ. θαλάττῃ.* — *πιτυλ.*, *satagens*, *πολλὰ πονήσας* (654.). S.: *πίτυλος καλεῖται ἡ καταβολὴ τῆς κώπης.* haec prima est verbi ejus significatio; sed figurate, neque uno modo, et ipsum et ab eo derivata dici nemo ignorat, velut ille ap. S.: *οἷόν ἐστιν ἰχθύων γένεσιν ἰδεῖν ἐν κολύμβοις πιτυλίζουσαν.*

648. *τοῖς ἐψ. τοῖς ἰχθυδίοις.* S.

649. *ἀγλίδας.* *αἱ κεφαλαὶ τῶν σκορόδων.* —. *εὔηθες* (imo *ἄηθες*,

650 ἀλλ' αὐτήν μοι τὴν δουλείαν οὐκ ἀποφαίνων ἀποκναίεις.
ΒΔ. οὐ γὰρ μεγάλη δουλεία 'στὶν τούτους μὲν ἅπαντας ἐν ἀρχαῖς
αὐτούς τ' εἶναι, καὶ τοὺς κόλακας τοὺς τούτων, μισθοφοροῦντας,
σοὶ δ' ἤν τις δῷ τοὺς τρεῖς ὀβολοὺς, ἀγαπᾷς, οὓς αὐτὸς ἐλαύνων,
καὶ πεζομαχῶν, καὶ πολιορκῶν, ἐκτήσω, πολλὰ πονήσας;
655 καὶ πρὸς τούτοις ἐπιταττόμενος φοιτᾷς, ὃ μάλιστά μ' ἀπάγχει,
ὅταν εἰσελθὼν μειράκιόν σοι κατάπυγον, Χαιρέου υἱός,
ὠδὶ διαβὰς διακινηθεὶς τῷ σώματι, καὶ τρυφερανθεὶς,
ἥκειν εἴπῃ πρῳ, κἂν ὥρᾳ δικάσονθ', „ὡς, ὅστις ἂν ὑμῶν
ὕστερος ἔλθῃ τοῦ σημείου, τὸ τριώβολον οὐ κομιεῖται."
660 αὐτὸς δὲ φέρει τὸ συνηγορικὸν, δραχμὴν, κἂν ὕστερος ἔλθῃ·
καὶ κοινωνῶν τῶν ἀρχόντων ἑτέρῳ τινὶ τῶν μεθ' ἑαυτοῦ.
ἤν τίς τι διδῷ τῶν φευγόντων, ξυνθέντε τὸ πρᾶγμα δύ' ὄντε
ἐσπουδάκατον, κᾆθ', ὡς πρίονθ', ὁ μὲν ἕλκει, ὁ δ' ἀνατένδωκε·

inusitatum; sed vide lexica v. μεταπέμπειν.) δὲ [καὶ] τὸ μετέπεμψα (*misi qui peteret*, germ. *ich liess holen.*) ἀντὶ τοῦ μεταπεμψάμην. Εὐχαρίδης δὲ ὄνομα σκοροδοπώλου. S.

650. τὴν δουλείαν. quam dixit Bdelycleo superius 502. S.: ἀποκναίεις. λυπεῖς, ὀδυνᾷς, ἀπολλύεις. — τί οὐ καθεύδεις; σύ μ' ἀποκναίεις περιπατῶν Μένανδρος Μισουμένῳ. S.

653. τοὺς τρ. ὀβ. mercedem judicialem et comitialem. — ἐλαύνων, *remigans.*

655. ἐπιτ. φοιτᾷς, *abis jussus* (non sponte tua) *in judicium.* Be. ἀπάγχει, strangulat, excruciat.

656. κατ. πεπορνευμένον. Χαιρ. υἱός. οἷον οὐδὲ γνήσιος πολίτης· τὸν γὰρ Χαιρέαν Εὔπολις ἐν Βάπταις ὡς ξένον κωμῳδεῖ. S.

657. h. e. διαβάς, ὠδὶ διακινηθεὶς etc. sic moto molliter corpore, dum ingreditur. Be.: „διακ. Thesm. 170. διεκίνουν Ἰωνικῶς." S.: τρυφ. ἀντὶ τοῦ μαλακῶς σταθείς.

658. ὅστις — κομιεῖται. verba filii istius Chaereae. S.: ὡς ἔθους ὄντος πρὸς σημεῖόν τι ἐκκείμενον ἀθροίζεσθαι τοὺς δικαστάς. ἐν ἤθει δὲ ταῦτα. (v. ann. ad 335.) conferunt Thesm. 284. et Schoemann. de comitiis Athen. p. 153.

660. τὸ συνηγ. ὑπὲρ τοῦ συνηγορῆσαι. ἐλάμβανον γὰρ οἱ ῥήτορες δραχμὴν, ὅτε συνηγόρουν ὑπὲρ τῆς πόλεως ἢ ὑπὲρ ἄλλου τινός. ἐκ τούτου δὲ φαίνεται, ὅτι μισθοφόρος ἦν ἡ ἀρχή. κληρωτοὺς δὲ γενομένους δέκα συνηγόρους Ἀριστοτέλης (Polit. p. 503., ubi vid. Schneider. *Dind.*) φησίν. et quidem in annum, ut notavit Fl. Chr.

663. vett. edd. πρίον vel πρίον', ex quo πρίονθ' eruit Reisig. Conject. 1. p. 312., probante D. iidem praeter necessitatem ἐσπουδ., χὥσπερ πρίονθ' etc. MSS. fere πρίων, quod placuit Brunckio et aliis. S.: κᾆθ'

σὺ δὲ χασκάζεις τὸν κωλακρέτην, τὸ τ τ ὁμενόν σε λέληθε.

665 ΦΙ. ταυτί με ποιοῦσ'; οἴμοι, τί λέγεις; ὡς μου τὸν θῖνα ταράττεις,
καὶ τὸν νοῦν μου προσάγεις μᾶλλον· κοὐκ οἶδ' ὅ τι χρῆμά με ποιεῖς.

ΒΔ. σκέψαι τοίνυν γ', ὡς, ἐξόν σοι πλουτεῖν καὶ τοῖσιν ἅπασιν,
ὑπὸ τῶν ἀ̓ν ἀεὶ δημιζόντων οὐκ οἶδ' ὅπῃ ἐγκεκύκλωσαι,
ὅστις, πόλεων ἄρχων πλείστων ἀπὸ τοῦ Πόντου μέχρι Σαρδοῦς,

ὡς πρίονα. ὡς οἱ πρίζοντες διαφιλονεικοῦσι, τίς πρὸς ἑαυτὸν ἑλκύσει (ἕλκυει): quo firmatur emendatio Reisigii, quam admisi.

664. χασκ. ἀντὶ τοῦ ἐπιτηρεῖς, πότε ἔλθῃ ὁ κωλακρέτης, καὶ ἐνέγκῃ σοὶ τὸ τριώβολον. κωλακρέτης δὲ καλεῖται ὁ κατέχων τὰ χρήματα τῆς πόλεως, ὁ ταμίας τοῦ δικαστικοῦ μισθοῦ, καὶ τῶν εἰς θεοὺς ἀναλωμάτων. νόμος δὲ ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τοὺς ἱερέας (imo τοὺς κωλακρέτας: vid. Schneideri lex. gr. h. v.) λαμβάνειν, ἃ εἰσιν οἷον δέρματα, καὶ κωλαί. ἐπιτηρεῖς, φησὶ, τὸν ταμίαν, πότε τὸν μισθὸν λήψῃ. S. — Androtion ap. S. ad Av. 1548., annotante Fl. Chr., τοῖς δὲ ἰοῦσι Πνθῶδε θεωροῖς τοὺς κωλακρέτας διδόναι ἐκ τῶν ναυκληρικῶν ἐφόδιον ἀργύρια, καὶ εἰς ἄλλο ὅ τι ἂν δέῃ ἀναλῶσαι. ταμίαι δὲ ἦσαν (quaestores publici aerarii. *Fl. Chr.*), καὶ προεστῶτες τῆς δημοσίας σιτήσεως. cf. 681.

665. τὸν θῖνα ταρ. ἐκ βυθοῦ με κινεῖς, ἀντὶ τοῦ τὴν καρδίαν. Εὐφρόνιος δὲ καὶ σεσημειῶσθαί φησιν, ὅτι τὸν θῖνα ἀρσενικῶς, ὡς Ὅμηρος εἴρηκεν. (ἄλλως) παρόσον καὶ ὁ θὶς ἐν βάθει τοῦ πελάγους κεῖται, καὶ τὸ θυμικὸν ἐν τῇ καρδίᾳ. S. metaphora a tempestate. Soph. Oed. Col. 1152. πάντοθεν βόρειος ὥς τις ἀκτὰ Κυματοπλὴξ χειμερία κλονεῖται etc. ὁ θὶς Homerus Odyss. μ', 45. aliique.

666. καὶ — μᾶλλον, *facisque ut magis advertam animum.* Be. similiter dicunt προσέχειν τὸν νοῦν, quod est consequens illius. S.: κοὐκ οἶδ' ὅ τι χρ. εἰς τί με διαθήσεις. τοῦτο δέ φησιν ὡς ἤδη ἠττώμενος, καὶ δεδοικώς, ὅτι ἐπὶ ξίφους τὰ τῆς δημηγορίας ἦν αὐτῷ.

668. vulgo ὑπὸ τῶν αἰεῖ δ. ο. ὅποι ἐγκεκύκλησαι, in quibus primum αἰεὶ non est sermonis familiaris et Comicorum, deinde non agitur h. l. ἐγκυκλεῖν vel ἐκκυκλεῖν (nam illud inusitatum est), verbum theatri, sed ἐγκυκλοῦσθαι dicitur populus Atheniensis, i. e. circumdari semper atque includi a demagogis, et prohiberi ne pariter atque ipsi ditetur. emendatio proclivis, siquidem η οι ω haud, raro confusa sunt in libris, ἂν autem et sententiam juvat, et facile neglectum fuerit ante ἀεί (ἄαει). δημίζ. dictum ut κατέριζε 622., ab illis, qui nil nisi populum crepant. cf. 634. sequ. S., a consequenti, τῶν τὸν δῆμον ἀπατώντων.

669. ἀπὸ — Σαρδοῦς. haec non ad vivum resecanda sunt, siquidem nunquam Sardinia insula juris aut ditionis fuit Atheniensium; et quod ad Pontum attinet, unicam urbem Amisum, τρίτον ὑπ' Ἀθηνοκλέους καὶ Ἀθηναίων ἐποικισθεῖσαν, Πειραιᾶ μετονομασθῆναι ait Strabo 12, 3., vol. 3. p. 24. ed. Tauchniz. sunt igitur hi fines existimandi Atheniensium navigationis potius quam imperii; verum loquitur A., ut hodieque loquuntur, cum Anglos maris imperium tenere dicunt, non quo illi dominentur in omnes gentes maritimas, sed quod earum nulla eos potentia maris aequiparat.

ἀλλ' αὐτήν μοι τὴν δουλείαν οὐκ ἀποφαίνων ἀποκναίεις.
ΒΔ. οὐ γὰρ μεγάλη δουλεία 'στὶν τούτους μὲν ἅπαντας ἐν ἀρχαῖς
αὐτούς τ' εἶναι, καὶ τοὺς κόλακας τοὺς τούτων, μισθοφοροῦντας,
σοὶ δ' ἤν τις δῷ τοὺς τρεῖς ὀβολούς, ἀγαπᾷς, οὓς αὐτὸς ἐλαύνων,
καὶ πεζομαχῶν, καὶ πολιορκῶν, ἐκτήσω, πολλὰ πονήσας;
καὶ πρὸς τούτοις ἐπιταττόμενος φοιτᾷς, ὃ μάλιστά μ' ἀπάγχει,
ὅταν εἰσελθὼν μειράκιόν σοι κατάπυγον, Χαιρέου υἱὸς,
ὠδὶ διαβὰς διακινηθεὶς τῷ σώματι, καὶ τρυφερανθεὶς,
ἥκειν εἴπῃ πρῳ, κἂν ὥρᾳ δικάσονθ', „ὡς, ὅστις ἂν ὑμῶν
ὕστερος ἐλθῃ τοῦ σημείου, τὸ τριώβολον οὐ κομιεῖται."
αὐτὸς δὲ φέρει τὸ συνηγορικὸν, δραχμὴν, κἂν ὕστερος ἔλθῃ·
καὶ κοινωνῶν τῶν ἀρχόντων ἑτέρῳ τινὶ τῶν μεθ' ἑαυτοῦ,
ἤν τίς τι διδῷ τῶν φευγόντων, ξυνθέντε τὸ πρᾶγμα δύ' ὄντε
ἐσπουδάκατον, κἄθ', ὡς πρίονθ', ὁ μὲν ἕλκει, ὁ δ' ἀνανέδωκε·

inusitatum; sed vide lexica v. μεταπέμπειν.) δὲ [καὶ] τὸ μετέπεμψα (*misi qui petcret*, germ. *ich liess holen.*) ἀντὶ τοῦ μεταπεμψάμην. Εὐχαρίδης δὲ ὄνομα σκοροδοπώλου. S.

650. τὴν δουλείαν. quam dixit Bdelycleo superius 502. S.: ἀποκναίεις. λυπεῖς, ὀδυνᾷς, ἀπολλύεις. — τί οὐ καθεύδεις; σύ μ' ἀποκναίεις περιπατῶν Μένανδρος Μισουμένῳ. S.

653. τοὺς τρ. ὀβ. mercedem judicialem et comitialem. — ἐλαύνων, *remigans.*

655. ἐπιτ. φοιτᾷς, *abis jussus* (non sponte tua) *in judicium.* Be. ἀπάγχει, strangulat, excruciat.

656. κατ. πεπορνευμένον. Χαιρ. υἱός. οἷον οὐδὲ γνήσιος πολίτης· τὸν γὰρ Χαιρέαν Εὔπολις ἐν Βάπταις ὡς ξένον κωμῳδεῖ. S.

657. h. e. διαβὰς, ὠδὶ διακινηθεὶς etc. sic moto molliter corpore, dum ingreditur. Be.: „διακ. Thesm. 170. διεκίνουν Ἰωνικῶς." S.: τρυφ. ἀντὶ τοῦ μαλακῶς σταθείς.

658. ὅστις — κομιεῖται. verba filii istius Chaercae. S.: ὡς ἔθους ὄντος πρὸς σημεῖόν τι ἐκκείμενον ἀθροίζεσθαι τοὺς δικαστάς. ἐν ᾗδει δὲ ταῦτα. (v. ann. ad 335.) conferunt Thesm. 284. et Schoemann. de comitiis Athen. p. 153.

660. τὸ συνηγ. ὑπὲρ τοῦ συνηγορῆσαι. ἐλάμβανον γὰρ οἱ ῥήτορες δραχμὴν, ὅτε συνηγόρουν ὑπὲρ τῆς πόλεως ἢ ὑπὲρ ἄλλου τινός. ἐκ τούτου δὲ φαίνεται, ὅτι μισθοφόρος ἦν ἡ ἀρχή. κληρωτοὺς δὲ γενομένους δέκα συνηγόρους Ἀριστοτέλης (Polit. p. 503., ubi vid. Schneider. *Dind.*) φησίν. et quidem in annum, ut notavit Fl. Chr.

663. vett. edd. πρίον vel πρίον', ex quo πρίονθ' eruit Reisig. Conject. 1. p. 312., probante D. iidem praeter necessitatem ἐσπουδ., χὥσπερ πρίονθ' etc. MSS. fere πρίων, quod placuit Brunckio et aliis. S.: κἄθ'

σὺ δὲ χασκάζεις τὸν κωλακρέτην, τὸ τ τ ὁμενόν σε λέληθε.

665 ΦΙ. ταυτί με ποιοῦσ'; οἴμοι, τί λέγεις; ὡς μου τὸν θῖνα ταράττεις,
καὶ τὸν νοῦν μου προσάγεις μᾶλλον· κοὐκ οἶδ' ὅ τι χρῆμά με ποιεῖς.

ΒΔ. σκέψαι τοίνυν γ', ὡς, ἐξὸν σοι πλουτεῖν καὶ τοῖσιν ἅπασιν,
ὑπὸ τῶν ἀν ἀεὶ δημιζόντων οὐκ οἶδ' ὅπῃ ἐγκεκύκλωσαι,
ὅστις, πόλεων ἀρχῶν πλείστων ἀπὸ τοῦ Πόντου μέχρι Σαρδοῦς,

ὡς πρίονα. ὡς οἱ πρίζοντες διαφιλονεικοῦσι, τίς πρὸς ἑαυτὸν ἑλκύσει (ἑλκύει): quo firmatur emendatio Reisigii, quam admisi.

664. χασκ. ἀντὶ τοῦ ἐπιτηρεῖς, πότε ἔλθῃ ὁ κωλακρέτης, καὶ ἐνέγκῃ σοὶ τὸ τριώβολον. κωλακρέτης δὲ καλεῖται ὁ κατέχων τὰ χρήματα τῆς πόλεως, ὁ ταμίας τοῦ δικαστικοῦ μισθοῦ, καὶ τῶν εἰς θεοὺς ἀναλωμάτων. νόμος δὲ ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τοὺς ἱερέας (imo τοὺς κωλακρέτας: vid. Schneideri lex. gr. h. v.) λαμβάνειν, ἃ εἰσιν οἷον δέρματα, καὶ κωλαί. ἐπιτηρεῖς, φησί, τὸν ταμίαν, πότε τὸν μισθὸν λήψῃ. S. — Androtion ap. S. ad Av. 1548., annotante Fl. Chr., τοῖς δὲ ἰοῦσι Πυθῶδε θεωροῖς τοὺς κωλακρέτας διδόναι ἐκ τῶν ναυκληρικῶν ἐφόδιον ἀργύρια, καὶ εἰς ἄλλο ὅ τι ἂν δέῃ ἀναλῶσαι. ταμίαι δὲ ἦσαν (quaestores publici aerarii. Fl. Chr.), καὶ προεστῶτες τῆς δημοσίας σιτήσεως. cf. 681.

665. τὸν θῖνα ταρ. ἐκ βυθοῦ με κινεῖς, ἀντὶ τοῦ τὴν καρδίαν. Εὐφρόνιος δὲ καὶ σεσημειῶσθαί φησιν, ὅτι τὸν θῖνα ἀρσενικῶς, ὡς Ὅμηρος εἴρηκεν. (ἄλλως) παρόσον καὶ ὁ θὶς ἐν βάθει τοῦ πελάγους κεῖται, καὶ τὸ θυμικὸν ἐν τῇ καρδίᾳ. S. metaphora a tempestate. Soph. Oed. Col. 1152. πάντοθεν βόρειος ὡς τις ἀκτὰ Κυματοπλὴξ χειμερία κλονεῖται etc. ὁ θὶς Homerus Odyss. μ', 45. aliique.

666. καὶ — μᾶλλον, *facisque ut magis advertam animum*. Be. similiter dicunt προσέχειν τὸν νοῦν, quod est consequens illius. S.: κοὐκ οἶδ' ὅ τι χρ. εἰς τί με διαθήσεις. τοῦτο δέ φησιν ὡς ἤδη ἠττώμενος, καὶ δεδοικὼς, ὅτι ἐπὶ ξίφους τὰ τῆς δημηγορίας ἦν αὐτῷ.

668. vulgo ὑπὸ τῶν αἰεὶ δ. ο. ὅποι ἐγκεκύκλησαι, in quibus primum αἰεὶ non est sermonis familiaris et Comicorum, deinde non agitur h. l. ἐγκυκλεῖν vel ἐκκυκλεῖν (nam illud inusitatum est), verbum theatri, sed ἐγκυκλοῦσθαι dicitur populus Atheniensis, i. e. circumdari semper atque includi a demagogis, et prohiberi ne pariter atque ipsi ditetur. emendatio proclivis, siquidem η οι ω haud, raro confusa sunt in libris, ἂν autem et sententiam juvat, et facile neglectum fuerit ante ἀεί (ᾶαει). δημίζ. dictum ut κατέριζε 622., ab illis, qui nil nisi populum crepant. cf. 634. sequ. S., a consequenti, τῶν τὸν δῆμον ἀπατώντων.

669. ἀπὸ — Σαρδοῦς. haec non ad vivum resecanda sunt, siquidem nunquam Sardinia insula juris aut ditionis fuit Atheniensium; et quod ad Pontum attinet, unicam urbem Amisum, τρίτον ὑπ' Ἀθηνοκλέους καὶ Ἀθηναίων ἐποικισθεῖσαν, Πειραιᾶ μετονομασθῆναι ait Strabo 12, 3., vol. 3. p. 24. ed. Tauchniz. sunt igitur hi fines existimandi Atheniensium navigationis potius quam imperii; verum loquuntur A., ut hodieque loquuntur, cum Anglos maris imperium tenere dicunt, non quo illi dominentur in omnes gentes maritimas, sed quod earum nulla eos potentia maris aequiparat.

οὐκ ἀπολαύεις πλὴν τοῦθ', ὃ φέρεις, ἀκαρῆ· καὶ τοῦτ' ἐρίῳ σοι
ἐνστάζουσιν κατὰ μικρὸν ἀεὶ τοῦ ζῆν ἕνεχ', ὥσπερ ἔλαιον.
βούλονται γάρ σε πένητ' εἶναι· καὶ τοῦθ' ὧν εἵνεκ', ἐρῶ σοι·
ἵνα γιγνώσκῃς τὸν τιθασευτὴν, κἄθ', ὅταν οὗτός γ' ἐπισίζῃ,
ἐπὶ τῶν ἐχθρῶν τιν' ἐπιῤῥύξας, ἀγρίως αὐτοῖς ἐπιπηδᾷς.
εἰ γὰρ ἐβούλοντο βίον πορίσαι τῷ δήμῳ, ῥᾴδιον ἦν ἄν.
εἰσίν γε πόλεις χίλιαι, αἳ νῦν τὸν φόρον ἡμῖν ἀπάγουσι·
τούτων εἴκοσιν ἄνδρας βόσκειν εἴ τις προσέταξεν ἑκάστῃ,
δύο μυριάδες τῶν δημοτικῶν ἔζων ἐν πᾶσι λαγῴοις,
καὶ στεφάνοισιν παντοδαποῖσιν, καὶ πύῳ, καὶ πυαρίτῃ,

670. ἀκαρὲς Br. secundum Suid. h. v. cf. 520. S.: τοῦθ', τοῦτο, ὃ φορεῖς ἱμάτιον: sed abhorrent ab hoc sensu verba sequentia καὶ τοῦτ' — ἔλαιον. intelligenda merces judicialis, quemadmodum dicitur μισθὸν φέρειν sive uno verbo μισθοφορεῖν. rursum S.: καὶ τοῦτ' ἐρ. σοι. ἀπὸ μεταφορᾶς τῶν τὰ ὦτα ἁλγούντων, καὶ δι' ἐρίου ἐπισταζομένων ἔλαιον καταβραχύ. —

671. ἔλεὸν Suid. v. ἀκαρὲς, h. e. ἔλαιον, merito Bentlejo aliisque probantibus. quod vulgo legitur, ἄλευρον positum esse videtur ab eo, qui requireret vocabulum ad victum pertinens propter verba τοῦ ζῆν ἕνεκα, cum hic sit ordo: καὶ τοῦτ' ἐρίῳ σοι ἀεὶ ἐνστάζουσι κατὰ μικρὸν, ὥσπερ ἔλαιον, τοῦ ζῆν ἕνεκα. inepte Be.: ὥσπερ ἄλευρον. παρὰ προσδοκίαν pro ἔλαιον aut alio liquore.

673. τιθασ. ἓν σ διὰ τὸ μέτρον. τὸν θεραπεύοντά σε, καὶ ἐκτρέφοντα, καὶ κολακεύοντα. ἐπισίζῃ. Λυκόφρων καὶ οἱ περὶ Ἐρατοσθένη τὸ ἐπαφιέναι τοὺς κύνας ἐπισίζειν. ἀπὸ τῆς ἐπιφθέγξεως οὖν ἐπισίζειν. καὶ τὸ ἐπιῤῥύξαι ἐφορμῆσαι ὁμοίως τῇ φωνῇ. S.

676. πόλεις χίλιαι. ἀντὶ τοῦ πολλαὶ τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο. ἢ καὶ ἀπὸ ἱστορίας τὸ τοιοῦτον ἔλαβεν. S. sane pro πολλαὶ dixit.

677. frustra Br. auctore Dawesio Misc. crit. p. 271. ed. Lips. προσέταττεν et sequ. versu ἔζων ἂν πᾶσι λαγῴοις, quasi necesse sit dici προσέταττεν, quia praecessit ἐβούλοντο et ἦν, ἔζων autem non *viverent*, sed nihil aliud significare possit quam *vivebant*, cum et conveniat huic orationi aoristus, docentibus grammaticis, in quibus Matthiaeo gr. §. 158., et ἔζων dictum pro ἔζων ἄν nihil habeat insoliti, ut ostendit idem Matth. l. l. §. 508. annot. 1. adde Eurip. Med. 478. ed. Elmsl., et Rhes. 804., ubi quae codd. praebent, σύγγνωστον ἦν et ἦλθεν, servanda censeo, quemadmodum Helen. Eurip. 735. legitur ἦν ἔτλην pro ἦν ἔτλην ἄν, etc.

678. ἐν πᾶσι λαγ. ἐν κρέασι λαγῶν, ἐν ἀγαθοῖς πᾶσι. τοῦτο γὰρ δηλοῖ τὸ ἐν πᾶσι λαγ., ἀντὶ τοῦ ἐν τρυφῇ. S. conferunt Ach. 959. ὥπερ μ' ἐτρεφέτην Ἐν πᾶσι βολίτοις.

679. πυριάτῃ. (sic etiam membr. Paris., 2 Juntinae, Pollux 6, 54., Suid. h. v., H. Steph. Thesaur. 3. col. 608, B., Casaub. ad Athen. p. 910. l. 58., Br. in annot. ad h. l., probatque eam scripturam etiam Schneider. in lex. gr.; sed recte a πύαρ derivatur πυαρίτης (ζῶμος), ut a πῦρ πυρίτης etc.) πυριάτης τὸ πυρίεφθον ὑπό τινων προσαγορευόμενον, ὃ κατασκευάζουσιν ἐκ τοῦ πρώτου γάλακτος (h. e. ἐκ τοῦ πύου)

ἄξια τῆς γῆς ἀπολαύοντες, καὶ τοῦ Μαραθῶνι τροπαίου·
νῦν δ', ὥσπερ ἑλαολόγοι, χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν ἔχοντι.

ΦΙ. οἴμοι, τί πέπονθ'; ὥσπερ νάρκη μου κατὰ χειρὸς καταχεῖται,
καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν, ἀλλ' ἤδη μαλθακός εἰμι.

ΒΔ. ἀλλ' ὁπόταν μὲν δείσω' αὐτοὶ, τὴν Εὔβοιαν διδόασιν ἡμῖν, καὶ σῖτον ὑφίστανται κατὰ πεντήκοντα μεδίμνους ποριεῖν· ἔδοσαν δ' οὐπώποτέ σοι πλὴν πρώην πέντε μεδίμνους
(καὶ ταῦτα μόλις ξενίας φεύγων ἔλαβες κατὰ χοίνικα) κριθῶν. ὧν εἵνεκ' ἐγώ σ' ἀπέκλειον ἀεὶ a. d.

μετὰ τὸν τόκον etc. S. Martialis, laudante Fl. Chr., 13, 35.: *Surripuit pastor quae, nondum stantibus haedis, De primo matrum lacte* colostra *damus.*

680. ita Bentl.; Elmsl. ad Acharn. 348., D. libri τοῦ 'ν Μαρ., quod durum et minus elegans. vid. Matth. gr. §. 405, b.

681. ἑλαολόγοι Suid. h. v., Dind. vulgo ἑλαιολόγοι. S.: εὐτελεῖς γὰρ οἱ τὰς ἐλαίας μισθοῦ συνάγοντες. — χωρ. — ἔχοντι. *sectamini eum, qui habet mercedem*, ideoque dare potest, ut H. interpretatur ap. Schäfer. ad Gregor. Cor. p. 863. cf. 664.

682. ita Suid. v. νάρκη, nisi quod habet τῆς χειρὸς, ubi K.: τί πέπονθ'; ὡς νάρκη. libri Arist.: τί ποθ', ὥσπερ νάρκη, μου κατὰ τῆς χ. κατ. — gl. Vict.: νάρκη, μυρμηκίασις (?), ὀκνηρία. *torpor.* Voss.: *Weh mir, was doch, wie ein starrender Krampf, mir über die Hand sich verbreitet!* sequebatur ille scripturam vulgarem.

683. καὶ τὸ ξίφος οὐ δύν. ὥσπερ ὁ Μενέλαος. τοῦτον γάρ φασιν ὁρμήσαντα ἐπὶ τὴν Ἑλένην ἀποβαλεῖν τὸ ξίφος. ἡ δὲ ἱστορία παρ' Ἰβύκῳ, καὶ Εὐριπίδῃ. (Androm. 609., quo pertinere videtur Orest. 1255. αρ' εἰς τὸ κάλλος ἐκπεκώφηται ξίφη; cf., monstrante Be., Lys. 155.) παίζει δὲ (?), ἐπειδὴ ξίφος ἥτησε (506.), καὶ ὁρᾷ ἑαυτὸν κατακρατηθέντα. S.

684. αὐτοί. οἱ ῥήτορες. λόγῳ γὰρ καὶ τὴν Εὔβοιαν διδόασι. S. verbis dant, i. e. promittunt, Euboeam sorte inter ipsos distribuendam, ut Aeginam distribuerunt. (vid. Ran. 349.) Be. cf. Nub. 203., ubi annotaverunt, inde a Periclis inprimis temporibus coepisse morem τῶν κληρουχιῶν, h. e. colonias deducendi in agros hostium occupatos.

685. σῖτον ὑφ. v. Böckh. *Staatsh. der Athener* 1. p. 97. *D.*

687. ξενίας φεύγων. τοιοῦτόν ἐστι, παρόσον ἐν ταῖς διανομαῖς τῶν πυρῶν ἐξητάζοντα πικρῶς οἵ τε πολῖται, καὶ μὴ, ὥστε δοκεῖν ξενίας φεύγειν (vid. Böckh. l. l. p. 98. *D.* cf. Vesp. 1006.) εἰς κρίσιν καθισταμένους. φησὶν οὖν ὁ Φιλόχορος, αὖθις ποτε τετρακισχιλίους ἑπτακοσίους ξ' ὀφθῆναι παρεγγράφους, καθάπερ ἐν τῇ προκειμένῃ λέξει δεδήλωται περὶ τὴν Εὔβοιαν. δύναται καὶ αὐτὰ συνᾴδειν ταῖς διδασκαλίαις· πέρυσι γὰρ ἐπὶ ἄρχοντος Ἱππάρχου ἐστράτευσαν ἐπ' αὐτὴν (Olymp. 89, 1., quemadmodum et ante Pericle, ut notavit H. Voss., laudato Nubium 212.), ὡς Φιλόχορος. — τοῦτο οὖν „φησι καὶ ἐν τῷ ἐρευνᾶσθαι μόγις ἔλαβες πέντε μεδίμνους, ἐγκαλούμενος ὡς ξένος· καὶ

οὐκ ἀπολαύεις πλὴν τοῦθ', ὃ φέρεις, ἀκαρῆ· καὶ τοῦτ' ἐρίῳ σοι
ἐνστάζουσιν κατὰ μικρὸν ἀεὶ τοῦ ζῆν ἕνεχ', ὥσπερ ἔλαιον.
βούλονται γάρ σε πένητ' εἶναι· καὶ τοῦθ' ὧν εἵνεκ', ἐρῶ σοι·
ἵνα γιγνώσκῃς τὸν τιθασευτὴν, κᾆθ', ὅταν οὗτός γ' ἐπισίζῃ,
ἐπὶ τῶν ἐχθρῶν τιν' ἐπιῤῥύξας, ἀγρίως αὐτοῖς ἐπιπηδᾷς.
εἰ γὰρ ἐβούλοντο βίον πορίσαι τῷ δήμῳ, ῥᾴδιον ἦν ἄν.
εἰσίν γε πόλεις χίλιαι, αἳ νῦν τὸν φόρον ἡμῖν ἀπάγουσι·
τούτων εἴκοσιν ἄνδρας βόσκειν εἴ τις προσέταξεν ἑκάστῃ,
δύο μυριάδες τῶν δημοτικῶν ἔζων ἐν πᾶσι λαγῴοις,
καὶ στεφάνοισιν παντοδαποῖσιν, καὶ πύῳ, καὶ πυαρίτῃ,

670. ἀκαρὲς Br. secundum Suid. h. v. cf. 520. S.: τοῦθ', τοῦτο, ὃ φορεῖς ἱμάτιον: sed abhorrent ab hoc sensu verba sequentia καὶ τοῦτ' — ἔλαιον. intelligenda merces judicialis, quemadmodum dicitur μισθὸν φέρειν sive uno verbo μισθοφορεῖν. rursum S.: καὶ τοῦτ' ἐρ. σοι. ἀπὸ μεταφορᾶς τῶν τὰ ὦτα ἀλγούντων, καὶ δι' ἐρίου ἐπισταζομένων ἔλαιον καταβραχύ. —

671. ἔλεὸν Suid. v. ἀκαρὲς, h. e. ἔλαιον, merito Bentlejo aliisque probantibus. quod vulgo legitur, ἄλευρον positum esse videtur ab eo, qui requireret vocabulum ad victum pertinens propter verba τοῦ ζῆν ἕνεκα, cum hic sit ordo: καὶ τοῦτ' ἐρίῳ σοι ἀεὶ ἐνστάζουσι κατὰ μικρὸν, ὥσπερ ἔλαιον, τοῦ ζῆν ἕνεκα. inepte Be.: ὥσπερ ἄλευρον. παρὰ προσδοκίαν pro ἔλαιον aut alio liquore.

673. τιθασ. ἓν σ διὰ τὸ μέτρον. τὸν θεραπεύοντά σε, καὶ ἐκτρέφοντα, καὶ κολακεύοντα. ἐπισίζῃ. Λυκόφρων καὶ οἱ περὶ Ἐρατοσθένη τὸ ἐπαφιέναι τοὺς κύνας ἐπισίζειν. ἀπὸ τῆς ἐπιφθέγξεως οὖν ἐπισίζειν. καὶ τὸ ἐπιῤῥύξαι ἐφορμῆσαι ὁμοίως τῇ φωνῇ. S.

676. πόλεις χίλιαι. ἀντὶ τοῦ πολλαὶ τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο. ἢ καὶ ἀπὸ ἱστορίας τὸ τοιοῦτον ἔλαβεν. S. sane pro πολλαὶ dixit.

677. frustra Br. auctore Dawesio Misc. crit. p. 271. ed. Lips. προσέταττεν et sequ. versu ἔζων ἂν πᾶσι λαγῴοις, quasi necesse sit dici προσέταττεν, quia praecessit ἐβούλοντο et ἦν, ἔζων autem non *viverent*, sed nihil aliud significare possit quam *vivebant*, cum et conveniat huic orationi aoristus, docentibus grammaticis, in quibus Matthiaeo gr. §. 158., et ἔζων dictum pro ἔζων ἄν nihil habeat insoliti, ut ostendit idem Matth. l. l. §. 508. annot. 1. adde Eurip. Med. 478. ed. Elmsl., et Rhes. 804., ubi quae codd. praebent, σύγγνωστον ἦν et ἦλθεν, servanda censeo, quemadmodum Helen. Eurip. 735. legitur ἦν ἔτλην pro ἦν ἔτλην ἄν, etc.

678. ἐν πᾶσι λαγ. ἐν κρέασι λαγῶν, ἐν ἀγαθοῖς πᾶσι. τοῦτο γὰρ δηλοῖ τὸ ἐν πᾶσι λαγ., ἀντὶ τοῦ ἐν τρυφῇ. S. conferunt Ach. 959. ὥσπερ μ' ἐτρεφέτην Ἐν πᾶσι βολίτοις.

679. πυριάτῃ. (sic etiam membr. Paris., 2 Juntinae, Pollux 6, 54., Suid. h. v., H. Steph. Thesaur. 3. col. 608, B., Casaub. ad Athen. p. 910. l. 58., Br. in annot. ad h. l., probatque eam scripturam etiam Schneider. in lex. gr.; sed recte a πύαρ derivatur πυαρίτης (ζῶμος), ut a πῦρ πυρίτης etc.) πυριάτης τὸ πυρίεφθον ὑπό τινων προσαγορευόμενον, ὃ κατασκευάζουσιν ἐκ τοῦ πρώτου γάλακτος (h. e. ἐκ τοῦ πύου)

ἄξια τῆς γῆς ἀπολαύοντες, καὶ τοῦ Μαραθῶνι τροπαίου·
νῦν δ', ὥσπερ ἐλαολόγοι, χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν
ἔχοντι.

ΦΙ. οἴμοι, τί πέπονθ'; ὥσπερ νάρκη μου κατὰ χειρὸς κατα-
χεῖται,
καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν, ἀλλ' ἤδη μαλθακός
εἰμι.

ΒΔ. ἀλλ' ὁπόταν μὲν δείσωσ' αὐτοί, τὴν Εὔβοιαν διδόασιν
ἡμῖν, καὶ σῖτον ὑφίστανται κατὰ πεντήκοντα μεδίμνους
ποριεῖν· ἔδοσαν δ' οὐπώποτέ σοι πλὴν πρώην πέντε με-
δίμνους
(καὶ ταῦτα μόλις ξενίας φεύγων ἔλαβες κατὰ χοίνικα)
κριθῶν.
ὧν εἵνεκ' ἐγώ σ' ἀπέκλειον ἀεὶ a. d.

μετὰ τὸν τόκον etc. S. Martialis, laudante Fl. Chr., 13, 35.: *Surripuit pastor quae, nondum stantibus haedis, De primo matrum lacte* colostra *damus.*

680. ita Bentl.; Elmsl. ad Acharn. 348., D. libri τοῦ 'ν Μαρ., quod durum et minus elegans. vid. Matth. gr. §. 405, b.

681. ἐλαολόγοι Suid. h. v., Dind. vulgo ἐλαιολόγοι. S.: εὐτελεῖς γὰρ οἱ τὰς ἐλαίας μισθοῦ συνάγοντες. — χωρ. — ἔχοντι. *sectamini eum, qui habet mercedem*, ideoque dare potest, ut H. interpretatur ap. Schäfer. ad Gregor. Cor. p. 863. cf. 664.

682. ita Suid. v. νάρκη, nisi quod habet τῆς χειρὸς, ubi K.: τί πέπονθ'; ὡς νάρκη. libri Arist.: τί ποθ', ὥσπερ νάρκη, μου κατὰ τῆς χ. κατ. — gl. Vict.: νάρκη, μυρμηκίασις (?), ὀκνηρία. *torpor.* Voss.: *Weh mir, was doch, wie ein starrender Krampf, mir über die Hand sich verbreitet!* sequebatur ille scripturam vulgarem.

683. καὶ τὸ ξίφος οὐ δύν. ὥσπερ ὁ Μενέλαος. τοῦτον γάρ φασιν ὁρμήσαντα ἐπὶ τὴν Ἑλένην ἀποβαλεῖν τὸ ξίφος. ἡ δὲ ἱστορία παρ' Ἴβύκῳ, καὶ Εὐριπίδῃ. (Androm. 609., quo pertinere videtur Orest. 1255. ἀρ' εἰς τὸ κάλλος ἐκπεκώφηται ξίφη; cf., monstrante Be., Lys. 155.) παίζει δὲ (?), ἐπειδὴ ξίφος ἤτησε (506.), καὶ ὁρᾷ ἑαυτὸν κατακρατηθέντα. S.

684. αὐτοί. οἱ ῥήτορες. λόγῳ γὰρ καὶ τὴν Εὔβοιαν διδόασι. S. verbis dant, i. e. promittunt, Euboeam sorte inter ipsos distribuendam, ut Aeginam distribuerunt. (vid. Ran. 349.) *Be.* cf. Nub. 203., ubi annotaverunt, inde a Periclis inprimis temporibus coepisse morem τῶν πλουσίων, h. e. colonias deducendi in agros hostium occupatos.

685. σῖτον ὑφ. v. Böckh. *Staatsh. der Athener* 1. p. 97. *D.*

687. ξενίας φεύγων. τοιοῦτόν ἐστι, παρόσον ἐν ταῖς διανομαῖς τῶν πυρῶν ἐξητάζοντα πικρῶς οἵ τε πολῖται, καὶ μὴ, ὥστε δοκεῖν ξενίας φεύγειν (vid. Böckh. l. l. p. 98. *D.* cf. Vesp. 1006.) εἰς κρίσιν καθισταμένους. φησὶν οὖν ὁ Φιλόχορος, αὐθὶς ποτε τετρακισχιλίους ἑπτακοσίους ξ' ὀφθῆναι παρεγγράφους, καθάπερ ἐν τῇ προκειμένῃ λέξει δεδήλωται περὶ τὴν Εὔβοιαν. δύναται καὶ αὐτὰ συνῴδειν ταῖς διδασκαλίαις· πέρυσι γὰρ ἐπὶ ἄρχοντος Ἱππάρχου ἐστράτευσαν ἐπ' αὐτὴν (Olymp. 89, 1., quemadmodum et ante sub Pericle, ut notavit H. Voss., laudato Nubium 212.), ὡς Φιλόχορος. — τοῦτο οὖν „φησι καὶ ἐν τῷ ἐρευνᾶσθαι μόγις ἔλαβες πέντε μεδίμνους, ἐγκαλούμενος ὡς ξένος· καὶ

βόσκειν ἐθέλων, καὶ μὴ τούτους
690 ἐγχάσκειν σοι στομιφάζοντας·
καὶ νῦν ἀτεχνῶς ἐθέλω παρέχειν
ὅ τι βούλει σοι a.
πλὴν κωλακρέτου γάλα πίνειν. a. par.

ΧΟ. ἦπου σοφὸς ἦν, ὅστις ἔφασκεν Πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς, a. Arist.
695 οὐκ ἂν δικάσαις. σὺ γὰρ οὖν νῦν μοι νικᾷν πολλῷ δεδόκησαι,
ὥστ' ἤδη τὴν ὀργὴν χαλάσας τοὺς σκίπωνας καταβάλλω.
ἀλλ', ὦ τῆς ἡλικίας ἡμῖν τῆς αὐτῆς ξυνθιασῶτα,
πιθοῦ, πιθοῦ λόγοισι, μηδ' ἄφρων γένῃ, i. tr. στ.
μηδ' ἀτενὴς ἄγαν ἀτεράμιων τ' ἀνήρ. do.
700 εἶθ' ὤφελέν μοι κηδεμὼν ἢ ξυγγενὴς i. tr.
εἶναί τις, ὅστις τοιαῦτ' ἐνουθέτει! as., i. h. et i. d. br.
5 σοὶ δὲ νῦν τις θεῶν παρὼν ἐμφανὴς as., cr. d. et dm.

τούτους οὐδὲ ὑφ' ἓν ἐν συντομίᾳ, ἀλλὰ κατὰ μέρος, κατὰ χοίνικα ἕνα (quorum medimnus capiebat 48) etc. igitur triplici tum fraude populum circumvenerant pessimi demagogi: primum non frumento, quod promissum erat, dividendo, sed hordeo; tum 5 medimnos viritim pro 50; deinde ne illos quidem statim simulque, sed anno post et κατὰ χοίνικα.

689. τούτους. demagogos.

690. ἐγχ., ἐγχαίνειν (Ach. 214., Lys. 266. etc.), *irridere*. — καὶ στομφάσαι τὸ ἁλαζονεύεσθαι. σύνθετος δὲ ἡ λέξις ἀπὸ τοῦ στόματος καὶ τῆς ὄμφακος. (? vide lexica v. στόμφαξ.) S.

693. κωλ. γάλα. περιφραστικῶς τὸν δικαστικὸν μισθόν. παρ' ὑπόνοιαν δὲ, δέον εἰπεῖν ζώου τινός. S. „dicturus videbatur ἐθέλω παρέχειν ὅ τι βούλει σοι, καὶ ὀρνίθων γάλα, ut in Av. 1672. ὀρνίθων παρέξω σοι γάλα. sed nunc παρ' ὑπόνοιαν dicit ἐθέλω παρέχειν ὅ τι βούλει σοι πλὴν κωλακρέτου γάλα, alludens tantum ad illud proverbium.“ — *Be.*

694. — 99. πρὶν ἂν ἀμφ. κατὰ τὸ μηδὲ δίκην δικάσῃς, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς. (versus proverbialis, de quo vide Br. et Schäfer. ad Pseudophocylidem p. 159. Erasmi adag. *Ne de lite pronuncies* etc. laudavit Barnes. ad Eurip. Cycl. 180. conferunt etiam Eurip. Androm. 922., Heracl. 179. et inprimis hoc, quod erat in jurejurando ipsorum Heliastarum, quales sunt hi senes, auctore Demosth. orat. contra Timocratem: ἀκροάσομαι τοῦ τε κατηγόρου, καὶ τοῦ ἀπολογουμένου, ὁμοίως ἀμφοῖν.) — τοὺς σκίμπωνας δὲ (sic plerique libri, sed σκίπωνας B Paris., σκιπίωνας, Rav. σκήπωνας Suid. v. σκήπων.) τὰς βακτηρίας. ἀτενὴς δὲ μανικὸς, διὰ τὸ ἀεὶ ἀτενὲς βλέπειν τοὺς μανίᾳ κατεχομένους. —

699. ἀτεράμων. οἱονεὶ μὴ τεράμων, ἀλλὰ σκληρός. ἔνθεν δὲ (ἐνθένδε) καὶ ἀτέραμνα ὄσπρια φαμεν τὰ μὴ ἑψόμενα διὰ σκληρότητα. — καὶ Πλάτων (vid. Ruhnken. ad Tim. p. 156. *Dind.*) κέχρηται τῇ λέξει, κερασβόλους καὶ ἀτεράμνους λέγων τοὺς σκληροὺς διὰ τούτων μή τις γένηται τῶν πολιτῶν κερασβόλος, ἢ ἀτέραμνος. — (κερασβόλος est ὁ βάλλων κέρας, qui cornu ferit, quod Germani dicunt stössig, sicut κερασφόρος est ὁ φέρων κέρας.)

ξυλλαμβάνει τοῦ πράγματος, καὶ δῆλός ἐστιν εἰ ποιῶν· i. t.

σὺ δ' ἄν παραδέχου. dm.

705 ΒΔ. καὶ μὴν θρέψω γ' αὐτὸν, παρέχων a. d.
ὅσα πρεσβύτῃ ξύμφορα, χόνδρον
λείχειν, χλαῖναν μαλακὴν, σισύραν,
πόρνην, ἥτις τὸ πέος τρίψει,
καὶ τὴν ὀσφύν. a.

710 ἀλλ' ὅτι σιγᾷ, κοὐδὲν γρύζει, a. d.
τοῦτ' οὐ δύναταί με προσέσθαι. a. par.

ΧΟ. νενουθέτηκεν αὑτὸν ἐς τὰ πράγματ', οἷς ἀντ.
τότ' ἐπεμαίνετ'· ἔγνωκε γὰρ ἀρτίως,
λογίζεταί τ' ἐκεῖνα πάνθ' ἁμαρτίας,
715 ἃ σοῦ κελεύοντος οὐκ ἐπείθετο·
(5) νῦν δ' ἴσως τοῖσι σοῖς λόγοις πείθεται,
καὶ σωφρονεῖ μέντοι, μεθιστὰς ἐς τὸ λοιπὸν τὸν τρόπον,
πυθόμενός τί σου.

ΦΙ. ἰώ μοί, μοί!

ΒΔ. οὗτος, τί μοι βοᾷς; as., ant. et i. d. br.

720 ΦΙ. μή μοι τούτων μηδὲν ὑπισχνοῦ· a. d.

703. δῆλός ἐστιν. ita MS. Seidleri ap. Reisig. Conject. in A. p. 124. vulgo desideratur ἐστὶν defecto versu.

704. inepte ll. σὺ δὲ, vel σὺ δ' αὖ, παρὼν δέχου. similia παρα et παρῶ. cf. 281.

705. χόνδρον λείχειν, *alicam lingendam.*

706. σισύραν. σισύρα καλεῖται παρὰ μέν τισιν ἡ βαπτή. (βαῖτα.) ἔστι δὲ περιβόλαιον ἐκ δερμάτων συνεῤῥαμμένων προβατείων, ἐχόντων τὰ ἔρια. οἱ δὲ ἀκριβέστεροί φασι χλαῖναν παλαιὰν εἶναι ἁπλοΐδα, τὴν αὐτὴν δὲ καὶ σισύραν καλοῦσι, καὶ σισύρναν. S. cf. Nub. 10.

711. *id non potest mihi placere.* Be. Aelian. ap. Fl. Chr.: ὁ δὲ οὐ προσεῖτο τὴν δόσιν.

712. ὁ Χορὸς ἀναδέχεται τὸ πρόσωπον τοῦ Φιλοκλέωνος. μετέγνω, φησὶν, ἐπὶ τοῖς πεπραγμένοις πάλαι αὐτῷ. S.

713. ἀμέτρως ll. ἔγνωκεν. — τότε, *olim.* cf. Plut. 1113. — ἔγνωκε, τὰ πράγματα, intellexit, quam insana essent illa, quae commisit.

716. accipiendum ἴσως eo sensu, quo in re minime dubia aut incerta usurpari solet, quem usum explicare studui in annotatis ad Plut. 148. — ceterum Rav., ut nos. versificatores ex trivio νῦν οὖν ἴσως τοῖς σοῖς λόγοισι πείθεται.

718. pessime ll. πειθόμενός τέ σοι, cum antecesserit πείθεται. imo πυθόμενός τί σου, *postquam aliquid* (τὶ, i. e. rem magni momenti) *ex te comperit.*

720. μή μοι τούτων. ἐξ Ἱππολύτου Εὐριπίδου. S. Br. ad sequ. versum: „Ex Euripidis Hippolyto priore seu Velato. vide Valck. ad Hippol. 230.“ quibus non adversor, cum similia illorum κείνων ἔραμαι etc. legantur Hippol. 187. seqq., 696. seqq., alibi, et Alcest. 840., annotante Berglero, κείνων ἔραμαι, Κεὶν' ἐπιθυμῶ δώματα ναίειν: nec tamen verba μή μοι — ὑπ. abhorrent

κείνων ἔραμαι, κεῖθι γενοίμαν,
ἵν' ὁ κήρυξ φησί· „Τίς ἀψήφιστος; ἀνιστάσθω." a. tr.
κἀπισταίην ἐπὶ τοῖς κημοῖς a. d.
ψηφιζομένων ὁ τελευταῖος.
σπεῦδ', ὦ ψυχή! — ποῦ μοι ψυχή; —
πάρες, ὦ σκιερά! μὰ τὸν Ἡρακλέα,
μὴ νῦν ἔτ' ἐγὼ 'ν τοῖσι δικασταῖς
κλέπτοντα Κλέωνα λάβοιμι. a. par.
ΒΔ. ἴθ', ὦ πάτερ, πρὸς τῶν θεῶν ἐμοὶ πιθοῦ. i. tr.
ΦΙ. τί πείθομαί σοι; λέγ' ὅ τι βούλει πλὴν ἑνός.
ΒΔ. ποίου; φέρ' ἴδω.
ΦΙ. τοῦ μὴ δικάζειν· τοῦτο δὲ
Ἅιδης διακρινεῖ πρότερον ἢ 'γὼ πείσομαι.
ΒΔ. σὺ δ' οὖν, ἐπειδὴ τοῦτο κεχάρηκας ποιῶν,
ἐκεῖσε μὲν μηκέτι βάδιζ', ἀλλ' ἐνθάδε
αὐτοῦ μένων δίκαζε τοῖσιν οἰκέταις...
ΦΙ. περὶ τοῦ; τί λῃρεῖς;
ΒΔ. ταῦθ', ἅπερ ἐκεῖ πράττεται.
ὅτι τὴν θύραν ἀνέῳξεν ἡ σηκὶς λάθρα,

a tragoedia. v. Euripidis fab. fragm. p. 151, 2.

721. κεῖθι. ἐν τοῖς δικαστηρίοις. S.

722. metri genus, quod usurpavit Sophocles Oed. Col. 201. et Euripides Androm. 828., ubi quidem etiam hypercatalecticus ejusmodi versus legitur, qualem Hippol. 146. restituit Valck. S.: (ἐπὶ τοῖς κημοῖς.) ἔνθα ἐν ταῖς δημοσίαις δίκαις εἰς ταὐτὸ συναγόμενοι οἱ δικασταὶ, τοῦ κήρυκος τὴν κληρωτίδα, ἤτοι τὸν κάδον, προσφέροντος, ἔβαλλον (vulgo ἔβαλον) τὰς ψήφους. —

724. ὁ τελ., *ultimus*, quo diutius maneat in judicio propter φιλοδικίαν.

725. σπεῦδ', ω ψ.! properare cupit in judicium. — ποῦ μοι ψ.; *ubinam est anima mea? quo abiit mens?* ita senex prudente filii oratione attonitus.

726. πάρες, ὦ σκ. παρὰ τὰ ἐκ Βελλεροφόντου (fragm. 26. nostrae ed., p. 101.) παίζει ταῦτα πάρες, ὦ σκιερὰ φυλλάς! ὑπερβῶ Κρηναῖα νάπη. τὸν ὑπὲρ κεφαλῆς Λιθέρ' ἰδέσθαι σπεύδω, τίν' ἔχει Στάσιν, εὐοδίας. (imo εὐοδίᾳ, *felici itinere.*) S. — πάρες, *mitte me*, vel Bruncklo interprete *sine me transire* (ad judicium). σκιερὰν, *nubilam*, appellat mentem suam propter dolorem, quem concepit ex eo, quod victus est a filio.

727. ἀπειλεῖ καταδικάσειν τὸν Κλέωνα, εἰ λάβοι αὐτὸν ἐγκαλούμενον κλοπῆς. — S. ἐν τοῖσι δικ., inter judices, in judicio, sedens.

730. Rav. et Ven. τί σοι πείθομαι; positum est praesens quo loco futurum expectes; quod cum alias fit, tum ap. Eurip. Med. 360., 867. (888.), ubi vid. Elmsl., Elect. 992. Terentius Phorm. 2, 4, 7. *quid ago?* pro *quid agam?* ut observavit Hoogeveen. ad Viger. 5, 3, 11. annot. 99. Bekk., D., πίθωμαι;

732. ἐν Κρήσσαις Εὐριπίδου (fr. 3.) ὁ Ἀτρεὺς πρὸς τὴν Ἀερόπην. — S.

737. σηκίδα τὴν κατ' οἶκον διάκονον — λέγουσι. — S. Pherecrates

ταύτης ἐπιβολὴν ψηφιεῖ μίαν μόνην.
πάντως γε κἀκεῖ ταῦτ' ἔδρας ἑκάστοτε,
καὶ ταὐτὰ μὲν νῦν εὐλόγως. ἢν ἐξέχῃ
εἵλη κατ' ὄρθρον, ἡλιάσει πρὸς ἥλιον·
ἐὰν δὲ νίφῃ, πρὸς τὸ πῦρ καθήμενος,
χὔοντυς, εἴσει· κἂν ἔγρῃ μεσημβρινὸς,
οὐδείς σ' ἀποκλείσει θεσμοθέτης τῇ κιγκλίδι.
ΦΙ. τουτί μ' ἀρέσκει.
ΒΔ. πρὸς δὲ τούτοις γ' ἢν δίκην
λέγῃ μακράν τις, οὐχὶ πεινῶν ἀναμενεῖς,
δάκνων σεαυτὸν, καὶ τὸν ἀπολογούμενον.

Athen. 6., 263, b. de matronis aevi antiqui: *Οὐ γὰρ ἦν τότ' οὔτε Μάνης, οὔτε σηκὶς οὐδενὶ Δοῦλος, ἀλλ' αὐτὰς ἔδει μοχθεῖν ἅπαντ' ἐν οἰκίᾳ· Εἶτα πρὸς τούτοισιν ἦλουν ὄρθριαι τὰ σιτία, Ὥστε τὴν κάμιν ὑπηχεῖν θιγγανουσῶν τὰς μύλας.*

737. *ταύτης τῆς δίκης μίαν μόνην δραχμὴν ἐπιβολὴν ψηφιεῖ. ἐπιβολὴν δὲ ἐπιτίμιον, ζημίαν, παρὰ τὸ ἐπιβάλλειν. ἄλλως. ἦν οἱ ἄρχοντες ζημίαν ὁρίζουσι τοῖς ἀλοῦσιν ἐξημαρτηκέναι περὶ ὀρφανοὺς ἐπιτρόποις, ἢ καὶ ἄλλοις τισὶ τῶν τὰ δημόσια μὴ καλῶς διοικησάντων, ἢ τοῖς κατέχουσι τὰ ἀλλότρια καὶ μὴ εἰς ἐμφανὲς καθιστᾶσιν, ἐπιβολὴ καλεῖται, καὶ τὸ ῥῆμα ἐπιβάλλειν.* S. *ψηφιεῖ.* καταδικάσεις. gl. Vict.

739. *ἐκεῖ*, in judicio. *ταῦτα, κατὰ ταῦτα, sic.*

740. *καὶ — εὐλ.* scil. δράσεις. minus recte ll. *κ. ταῦτα μέν νυν εὐλ., ἦν* etc.

741. *εἵλη, ἡ τοῦ ἡλίου αὐγὴ, δασέως, ληφθέντος δὲ διὰ τοῦ ι* (sed alio sensu), *ψιλῶς. — δικάσεις, φησὶ, πρὸς τὸν ἥλιον καθήμενος. ἔπαιξε δὲ παρὰ τὴν Ἡλιαίαν, τὸ μέγιστον δικαστήριον, ὃ ταύτης τῆς ὀνομασίας ἔτυχε διὰ τὸ ἐν ὑπαίθρῳ αὐτὸ ἀναπεπταμένον βάλλεσθαι τῷ ἡλίῳ.* S. „jocus ex ambigua significatione verbi *ἡλιάζεσθαι*, *apricari* et *judicem esse in Heliaea.* — ad pleniorem eorum, quae sequuntur, intelligentiam legendus Pollux 8, 123." *Br.*

743. *χὔοντος, καὶ ὗοντος.* ll. sine copula *ὗοντος*, sed aliud est ningere, aliud pluere. S. *ὗοντος τοῦ θεοῦ, καὶ νίφοντος, γνώσῃ καθήμενος πρὸς τὸ πῦρ τὴν δίκην.* (*εἴσει, cognosces*, inquires, judicabis, germ. *du wirst erkennen.* cf. 748., 752.) *κἂν ἔγρῃ. κἂν βραδέως ἀπὸ τῆς κοίτης ἀνάστῃς, οὐδεὶς ἀποκλείσει σε τοῦ δικαστηρίου, ὡς βραδέως ἥκοντα.* S.

744. *Θεσμ. ἐπειδὴ θεσμοθέται καὶ δέκατος ὁ γραμματεὺς κληροῦσι τοὺς δικαστὰς τοὺς τῆς αὐτῆς φυλῆς ἕκαστος. — καὶ ἦρχον αὐτῶν οὕτως, ὡς καὶ δύνασθαι ἐκβαλεῖν, καὶ μὴ ἐᾶν εἰσιέναι εἰς τὸ δικαστήριον.* (si ad horam non venissent: v. 658., 858.) *εἶχε* (Ven. *εἶπε.* vulgo *εἶχον.*) *δὲ* [*καὶ*] *ἑκάστη φυλὴ ἕνα θεσμοθέτην, καὶ γραμματέα, εἰς τὸ τοὺς νόμους εἰσηγεῖσθαι.* S. 9 erant Athenis magistratus dicti Archontes, nempe rex archon (archon *ἐπώνυμος*), polemarchus, et 6 thesmothetae, sic dicti, quia curam legum et judiciorum habebant, qui judices e sua quisque tribu sortiebantur. S. addit decimum, qui scriba fuit. — sic Romae praetores judiciis centumviralibus et publicis praeerant. *Fl. Chr. τῇ κιγκλίδι.* cf. 124.

747. *δάκνων σεαυτόν.* i. e. *αὐτοδαξ ὠργισμένος*, ut loquitur Lys. 690. *Bo.* infra 1048. *ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων.* Tyrtaeus eleg. 1. extrema: *χεῖλος ὀδοῦσι δακὼν*, quod faciunt irati. (*καὶ τὸν ἀπολ.*)

ΦΙ. πῶς οὖν διαγιγνώσκειν καλῶς δυνήσομαι,
ὥσπερ πρότερον, τὰ πράγματ' ἔτι μασώμενος;
ΒΔ. πολλῷ γ' ἄμεινον· καὶ λέγεται γὰρ τουτογί,
ὡς οἱ δικασταὶ ψευδομένων τῶν μαρτύρων
μόλις τὸ πρᾶγμ' ἔγνωσαν ἀναμασώμενοι.
ΦΙ. ἀνά τοί με πείθεις. ἀλλ' ἐκεῖν' οὔπω λέγεις,
τὸν μισθὸν ὁπόθεν λήψομαι.
ΒΔ. παρ' ἐμοῦ.
ΦΙ. καλῶς,
ὁτιὴ κατ' ἐμαυτὸν κοὐ μεθ' ἑτέρου λήψομαι·
κἂν γὰρ πυρέττω, τόν γε μισθὸν λήψομαι.
αἴσχιστα γάρ τοί μ' εἰργάσατο Λυσίστρατος
ὁ σκωπτόλης. δραχμὴν μετ' ἐμοῦ πρώην λαβὼν
ἐλθὼν διεκερμάτιζεν ἐν τοῖς ἰχθύσι,
κἄπειτ' ἐπέθηκε τρεῖς λοπίδας μοι κεστρέων·
κἀγὼ 'νέκαψ' (ὀβολοὺς γὰρ ᾠόμην λαβεῖν),
κᾆτα βδελυχθεὶς ὀσφρόμενος ἐξέπτυσα·

ἐπειδὴ ἐνίοτε ἀπὸ (ὑπὸ) πείνης ὁ δικαστὴς τὸν λέγοντα καταδικάζει.

748. h. e. πῶς οὖν δυνήσομαι ἔτι διαγιγν. τὰ πρ. μασώμενος; S.: ἐπειδὴ εἶπεν αὐτῷ ὁ Βδελ., δύνασθαι δικάζοντα ἐπὶ τῆς οἰκίας ἐσθίειν (746.), φησὶ „πῶς δυνήσομαι ἐσθίων δοκιμάζειν τὰ λεγόμενα;“ S. διαγ. i. e. ἀνακρίνειν et δοκιμάζειν. (cf. 743.) Latini proprie *cognitiones* vocant causas et lites, ut annotavit Fl. Chr.

752. ἀναμ. ἀντὶ τοῦ διαλογιζόμενοι. — ἄλλως. ἐκ μεταφορᾶς τῶν ἀναπεμπαζόντων τὴν τροφὴν ζώων, καὶ αὖθις ἀναμασωμένων, τὸ ἀναμασώμενοι εἴρηκεν. S. similiter dicitur *ruminari al.*, i. e. etiam atque etiam cogitare et expendere.

753. ἀνά τοί με πείθεις. ἀναπείθεις μέ τοι tmesis.

755. post haec illa inserenda esse vidi, quae libri habent post 781., ubi non agitur merces judicialis.

756. Λυσίστρατος. σκωπτικός. καὶ ἐν Ἀχαρνεῦσι (804.) Λυσίστρατός ἐστιν ἐν ἀγορᾷ Χολαργέων Ὄνειδος. ἔστι δὲ καὶ ἕτερος Λυσίστρατος, παῖς Μακαρέως, σκωπτόμενος εἰς παιδίαν. ἄλλως. δυοῖν γὰρ δικασταῖν ἐδίδοτο δραχμὴ μία, καὶ οὕτως ἐμερίζοντο πρὸς τρεῖς ὀβολούς. — S. de Lysistrato cf. etiam 1259., 1264., Equ. 1275.

758. ὁ σκωπτόλης. quasi dicas σκωπτικὸν ὀλούμενον. — *Fl. Chr.*

758. ἐν τοῖς ἰχθ. ἐν τοῖς ἰχθυοπώλαις, ἀπὸ τῶν πωλουμένων τοὺς πωλοῦντας εἰπών. (cf. Ran. 1007., Plut. 390.) λοπίδας δὲ ἃς ἡμεῖς λεπίδας καλοῦμεν. — „Casaub. ad Theophrasti char. περὶ ἀπονοίας p. 192. legebat διεκερματίζετ' (ut Pollux 9, 86., notante Dobr., et Ven.). formam activam adstruit Suidas (a Bentl. citatus) in διεκερμάτισε.“ *Br.*

760. ἐπέθηκε, dedit in manum. S.: κεστρεὺς εἶδός ἐστιν ἰχθύος, ὁ λεγόμενος κέφαλος, (*mugil cephalus* Linn., *der Dickkopf.*) μεγάλην λεπίδα ἔχον, καὶ παχεῖαν, ὡς ὑπόνοιαν αὐτὴν ἔχειν ἀργυρίου.

761. κἀγὼ 'νέκαψ'. ἐνέκαψα, ἐνέθηκα τῷ στόματι, νομίζων εἶναι ἀργύριον. πολλοῖς γάρ ἐστιν ἔθος ἐν τῷ στόματι φυλάττειν τὸ ἀργύριον. S. 587. et Concion. 816. conferri jussit Bc.

κἄθ' εἶλκον αὐτόν.
ΒΔ. ὃ δὲ τί πρὸς ταῦτ' εἶφ';
ΦΙ. ὅ τι;
ἀλεκτρυόνος μ' ἔφασκε κοιλίαν ἔχειν.
„Ταχὺ γοῦν καθέψεις τἀργύριον," ἦ δ' ὃς λέγων.
ΒΔ. ὁρᾷς, ὅσονπερ δῆτα τοῦτο κερδανεῖς.
ΦΙ. οὐ πάνυ τι μικρόν. ἀλλ', ὅπερ μέλλεις, ποίει.
ΒΔ. ἀνάμενε νῦν· ἐγὼ δὲ ταῦθ' ἥξω φέρων.
ΦΙ. ὅρα τὸ χρῆμα, τὰ λόγι' ὡς περαίνεται!
ἠκηκόη γὰρ, ὡς Ἀθηναῖοί ποτε
δικάσοιεν ἐπὶ ταῖς οἰκίαισι τὰς δίκας,
κἂν τοῖς προθύροις ἐνοικοδομήσοι πᾶς ἀνὴρ
αὑτῷ δικαστηρίδιον μικρὸν πάνυ,
ὥσπερ Ἑκάτειον, πανταχοῦ πρὸ τῶν θυρῶν.

763. εἶλκον, in jus rapui.

764. ἐπεὶ πάντα πέττουσιν οἱ ἀλεκτρυόνες, θερμοτάτην κοιλίαν ἔχοντες. S. de proverbio *Galli venter*, quod commemoravit Fl. Chr., vid. Erasm. Adag. 2, 10. 97.

765. ταχὺ — τἀργ., *cito igitur concoques hoc argentum*, ταργύριον, tres illos obolos, non ἀργύριον, argentum generatim, quae Brunckii conjectura est. hoc enim haud dubie dixit ille scurra: devorasse Philocleonem tres obolos, quo dicam sibi impingat, ut φιλόδικος, eosque obolos pro stomachi calore, quo gallos gallinaceos aequiparet, posse cito concoquere. nihil igitur probari eo, quod neque nunc argentum istud appareat, neque verisimile sit vel postea repertum iri in excrementis callidi senis. ad jocum haec composita. — S.: ἦ δ' ὃς λέγων. ἀντὶ τοῦ ἔφη, καὶ ἔστιν ἀπὸ τοῦ ἡμί. κέχρηται συνεχῶς αὐτῷ ὁ Πλάτων etc. S. ἦ — λέγων, *inter alia dicebat*. Herodot. 5, 36. ἔφη λέγων, et ibidem 18. ἔλεγον πρὸς Ἀμύντην, φάμενοι etc. Soph. Ajac. 703. ὡς ἔφη λέγων. ibi Triclin.: τὸ ἔφη καὶ λέγων ἓκ παραλλήλου τινὲς οἴονται· τὸ δ' οὐ τοιοῦτον, ἀλλ' ὥσπερ φαμὲν τοιαῦτα ἔφη δημηγορῶν, οὕτω καὶ τοῦτο οὕτως, ἔφη καὶ οἰονεὶ ἀπεφήνατο, λέγων τὸν περὶ τοῦ Αἴαντος λόγον. plura in hanc rem vide ap. ceteros Tragici interpp. et, quos laudant, Vigerum 5, 7., Fischerum ad Weller. 4. p. 47. cf. etiam Matth. gr. §. 613, IV. D. tamen ed. Didot. ἦ δ' ὃς γελῶν.

767. μέλλεις ποιεῖν.

768. ταῦθ' ἥξω. τὰ πρὸς τὸ σχῆμα τοῦ δικαστηρίου ἐπιτηδεύει. S. quae ad judicium facere videntur exercendum, et alia ridiculi causa. *Be.*

769. ταῦτα πρὸς ἑαυτὸν, τοῦ υἱοῦ εἰσελθόντος. οὐκ ἐπ' ἀληθείᾳ δέ ταῦτά φησιν, ὅτι χρησμὸς ἐδόθη, ἀλλὰ πρὸς τὸ φιλόδικον αὐτῶν παίζει. S. παρῳδεῖ tragoedias, in quibus oracula jactari solent.

772. ita Bekk., D. plerique MSS. et edd. primariae ἐνοικοδομήσει, cum opus sit optativo propter antecedens δικάσοιεν. Rav. Fracinus et vulgo edd. ἀνοικοδομήσει. Dawes. Misc. crit. p. 104. Br. aliique ἀνοικοδομήσοι.

773. δικαστ. quarta producta, quia proprie est δικαστηριΐδιον: vid. Matth. gr. §. 112, 5.

774. Ἑκάταιον. (sic etiam plerique Aristophanis codd. MSS. et omnes edd. praeter Dindorfii. recte Br.: „Vellem edidisse Ἑκάτειον, ut est ap. Suidam, et in quibusdam exemplaribus scriptum fuisse testatur S.; quod verius esse censeo, ubi de sacello vel statua Hecatae sermo est." aliud enim sunt τὰ Ἑκάταια, de qui-

ΒΔ. ἰδού. τί ἔτ' ἐρεῖς; ὡς ἅπαντ' ἐγὼ φέρω,
ὅσαπερ γ' ἔφασκον, κἄτι πολλῷ πλείονα.
ἁμὶς μέν, ἣν οὐρητιάσῃς, αὐτῇ·
παρὰ σοὶ κρεμήσετ' ἐγγὺς ἐπὶ τοῦ παττάλου.
ΦΙ. σοφόν γε τουτί, καὶ γέροντι πρόσφορον,
ἐξεῦρες ἀτεχνῶς φάρμακον στραγγουρίας.
ΒΔ. καὶ πῦρ γε τουτί, καὶ προσέστηκεν φακῇ,
ῥοφεῖν ἐὰν δέῃ τι.
ΦΙ. τοῦτ' αὖ δεξιόν·
αὐτοῦ μένων γὰρ τὴν φακῆν ῥοφήσομαι.
ἀτὰρ τί τὸν ὄρνιν ὡς ἔμ' ἐξηνέγκατε;
ΒΔ. ἵνα γ', ἣν καθεύδῃς ἀπολογουμένου τινός,
ἄδων ἄνωθεν ἐξεγείρῃ σ' οὗτοσί.
ΦΙ. ἓν ἔτι ποθῶ· τὰ δ' ἄλλ' ἀρέσκει μοι . . .
ΒΔ. τὸ τί;
ΦΙ. θηρῷον εἴ πως ἐκκομίσαις τὸ τοῦ Λύκου.
ΒΔ. πάρεστι τουτί, καὐτὸς ἄναξ οὑτοσί.
ΦΙ. ὦ δέσποθ' ἥρως, ὡς χαλεπὸς ἄρ' ἦσθ' ἰδεῖν,
οἷόσπερ ἡμῖν φαίνεται Κλεώνυμος!
ΣΩ. οὔκουν ἔχει γ' οὐδ' αὐτὸς, ἥρως ὤν, ὅπλα.
ΒΔ. εἰ θᾶττον ἐκαθίζου σὺ, θᾶττον ἂν δίκην

bus ad Plut. 590., 592. S. ἱερὸν Ἑκάτης, ὡς τῶν Ἀθηναίων πανταχοῦ ἱδρυμένων αὐτὴν, ὡς ἔφορον πάντων, καὶ κουροτρόφον. Ἑκάταιον οὖν Ἑκάτης ἄγαλμα, τὸ (καὶ) Ἑκατήσιον λεγόμενον. τῇ προσῳδίᾳ Καλλίστρατος ὡς ἐπινίκιον· (?) ἔν τισι γὰρ εὕρηται Ἑκατεῖον. (Ἑκάτειον. invenerit necesse est Callistratus Ἑκάτιον, sed hoc metro refragatur.) S.

777. ἁμίς. οὐρητρὶς, οὐρηρὸν ἀγγεῖον. οὐρητιάσῃς δὲ οὐρῆσαι βουλήσῃ, ἢ στραγγουρίας περιπέσῃς νοσήματι.

784. ὡς καὶ ἀλεκτρυόνα ἐξαγαγόντος τοῦ Βδελυκλέωνος. S.

788. θήρῳον. τὸ ἱερὸν τοῦ ἥρωος Λύκου. (cf. 378.) πάλιν δὲ καὶ τοῦτο ὡς φιλόδικος. S. εἰ ἐκκομ. est modice sperantis, id futurum esse. vid. H. ad Viger. ann. 303. extrema.

789. S.: κινάκιον κομίζει, ἐν ᾧ γεγραμμένος ἦν ὁ Λύκος.

790. χαλ. — ἰδεῖν. ὡς δυσμόρφου γεγραμμένου τοῦ ἥρωος. S. χαλεπὸς, *tristis*, foedus, germ. *widrig*. ἦσθα *eras et adhuc es* nunc, cum te video. cf. annot. ad 439., Soph. Oed. Col. 118. etc.

791. οἷός περ. ἄῤῥυθμος καὶ μακρός. προείρηται γὰρ (Av. 1481.), ὅτι φαῦλος ἦν τὴν ὄψιν καὶ κακοσύνθετος τὸ σῶμα ὁ Κλεώνυμος. τοῦτο δὲ εἶπε καθὸ καὶ χαλεπὸς ἦν δημαγωγός. ῥίψασπις δὲ ἦν. S. vid. index v. Cleonymus.

792. Philocleo dicebat, Lycum heroëm similem videri Cleonymo, quia uterque esset immanis staturae; sed servus aliam causam similitudinis affert, quia neuter habeat arma: Lycus, quia erat forensis heros, non Martius; Cleonymus, quia in proeliis prae timiditate arma abjecerat. *Be.*

793. εἰ ἐκαθ., *si sederes judex.* δίκην ἐκάλουν ἄν. *reum citassem*, vel potius *partes vocassem*: eodem enim propemodum sensu h. l.

ἐκάλουν.

ΦΙ. κάλει νυν, ὡς κάθημαι ᾽γὼ πάλαι.

795 ΒΔ. φέρε νυν, τίν᾽ αὐτῷ πρῶτον εἰσαγάγω δίκην
τί τίς κακὸν δέδρακε τῶν ἐν οἰκίᾳ; —
ἢ Θρᾷττα προσκαύσασα πρώην τὴν χύτραν ...

ΦΙ. ἐπίσχες, οὗτος, ὡς ὀλίγου μ᾽ ἀπώλεσας·
ἄνευ δρυφάκτου τὴν δίκην μέλλεις καλεῖν,

800 ὃ πρῶτον ἡμῖν τῶν ἱερῶν ἐφαίνετο.

ΒΔ. μὰ τὸν Δί᾽ οὐ πάρεστιν· ἀλλ᾽ ἐγὼ δραμὼν
αὐτὸς κομιοῦμαι τό γε παραυτίκ᾽ ἔνδοθεν.
τί ποτε τὸ χρῆμ᾽; ὡς δεινὸν ἡ φιλοχωρία!

ΞΑ. βάλλ᾽ ἐς Κόρακας! τοιουτονὶ τρέφειν κύνα!

805 ΒΔ. τί δ᾽ ἐστιν ἑτέον;

ΞΑ. οὐ γὰρ ὁ Λάβης ἀρτίως
*ὃ κύων παράξας εἰς τὸν ἰπνὸν ἁρπάσας

dici videtur καλεῖν δίκην et εἰσάγειν δίκην: cf. 795., 809, 811., 816., 1393., et Kōpkei librum germ. de legg. et judiciis Gr. pagg. 663., 678.

795. Rav. εἰσάγω. haec secum Bdelycleo.

796. ita D. ll. crasi durissima τῇ οἰκίᾳ.

797. Θρᾷττα. nomen servae a patria. χύτραν, *ollam pultis* vel *leguminum*, quae mulier adussit.

798. ὀλίγου, *paene*. ut Nub. 721. sic et μικροῦ. Demosth. de falsa legg. μικροῦ μὲν ἀπέκτειναν. annotavit. *Be.*

799. δρύφακτος τὸ παρατεινόμενον, ὡς εἴρηται, ξύλον τοῖς δικασταῖς. S. cf. 376.

800. τῶν ἱερῶν. Philocleo ex nimia veneratione fori et judiciorum loquitur de illis rebus, quasi sacrificiis aut mysteriis. *Be.*

803. τί π. τὸ χρ.; mirantis. *quid hoc rei est?* S.: τοῦτο ὁ νεανίσκος. φιλοχωρία δὲ ὡσεὶ ἔλεγε τὸ ἐπιχωριάζειν. δεινὸν, φησὶ, τὰ ἐπιχώρια φιλεῖν, ὅπου καὶ οὕτως (οὗτος) τὰ ἐν τῷ δικαστηρίῳ φιλεῖ πάντα. „*Adeo a teneris assuescere multum est.* τὸ δεινὸν, ut saepe ad Tragicos, admirantis est, ut illud *adeo multum est* ex Marone. (Georg. 2, 272.)“ — *Fl. Chr.* haec et similia Comicus videtur παρῳδεῖν, Eurip. Phoen. 355. τί τὸ στέρεσθαι πατρίδος; ἡ κακὸν μέγα; ΠΟ. μέγιστον· ἔργῳ δ᾽ ἐστὶ μεῖζον ἢ λόγῳ. est enim velut patria Philocleoni judicium.

804. βάλλ᾽ ἐς Κόρακας. (Plut. 390. etc.) — οὐ γὰρ ὁ Λάβης ἀρτίως. ἐσωθέν τις τούτων. τῷ δὲ κυνὶ ὄνομα Λάβης ἀπὸ τοῦ λαμβάνειν θηρία. τυρὸν δὲ ἥρπασεν οὗτος. ἀξιοῦσι δέ τινες ὡς παρὰ γράμμα κωμῳδεῖσθαι Λάχητα, τὸν στρατηγήσαντα περὶ Σικελίαν (807.), ἐπὶ δωροδοκίᾳ, καὶ τὰ ἑξῆς ἐπὶ ταύτην λέγεσθαι τὴν ὑπόνοιαν. ὅτι δὲ νοσφιστὴς καὶ ὑπ᾽ ἄλλων κωμῳδεῖται, προείρηται. (vid. annot. ad 240.) — ἰπνὸς δὲ ὁ φοῦρνος (furnus). κυρίως μὲν ἡ κάμινος, ἡ ὁ φανός· καταχρηστικῶς δὲ ἡ ἑσχάρα. — recte Be. τὸν ἰπνὸν *culinam* interpretatur a parte. cf. annot. ad Plut. 811.

806. Br. in annot. ἐξαρπάσας, Elmsl. ad Ach. 582. ed. Invern. ὑφαρπάσας, quia nusquam vox ἰπνὸς priore longa legitur ap. hunc nostrum. equidem malim, quod similius est scripturae librorum, ἀναρπάσας, vel ἀφαρπάσας.

τροφαλίδα τυροῦ σικελικὴν κατεδήδοκε;
ΒΔ. τοῦτ' ἄρα πρῶτον τἀδίκημα τῷ πατρὶ
εἰσακτέον μοι· σὺ δὲ κατηγόρει παρών.
ΞΑ. μὰ Δί' οὐκ ἔγωγ', ἀλλ' ἄτερός φησιν κύων
κατηγορήσειν, ἢν τις εἰσάγῃ γραφήν.
ΒΔ. ἴθι νυν, ἄγ' αὐτῷ δεῦρο.
ΞΑ. ταῦτα χρὴ ποιεῖν.
ΦΙ. τουτὶ τί ἐστι;
ΒΔ. χοιροκομεῖον Ἑστίας.
ΦΙ. εἶθ' ἱεροσυλήσας φέρεις;
ΒΔ. οὔκ, ἀλλ' ἵνα
ἀφ' Ἑστίας ἀρχόμενος ἐπιτρίψω τινά.
ΦΙ. ἀλλ' εἴσαγ' ἀνύσας, ὡς ἐγὼ τιμᾶν βλέπω.
ΒΔ. φέρε νυν ἐνέγκω τὰς σανίδας, καὶ τὰς γραφάς.
ΦΙ. οἴμοι, διατρίβεις, κἀπολεῖς τριψημερῶν·
ἐγὼ δ' ἀλοκίζειν ἐδεόμην τὸ χωρίον.

807. τροφ. οἱ μὲν τὸν ἐπιμήκη τυρὸν, οἱ δὲ τροχὸν τυροῦ σικελικοῦ. πολυθρέμμων δὲ ἡ Σικελία, διὸ τυρὸν πολὺν καὶ κάλλιστον ἔχει. S. Br.: Siculi casei ideo mentio fit, quia Laches hic indicatur, qui praefectus classis Atheniensium in Siciliam missus fuerat Olymp. 88, 2.

809. εἰσακτ. cf. annot. ad 793.

810. εἰσάγῃ γραφήν. „si quis, ait, *det actionem*. erat officium themosthetarum (sed aliorum quoque, ut docet Köpkeus l. l. ad 792., p. 662.) judicia constituere et actionem dare, i. e. εἰσάγειν τὰς δίκας.“ *Fl. Chr.* cf. 817., 860., 873, 4.

813. χοιροκομεῖόν ἐστιν ἀγγεῖόν τι καννωτὸν, ὅπου οἱ χοῖροι τρέφονται. Ἑστίας δὲ, ἐπεὶ ἐπὶ τῆς ἑστίας τρέφουσι χοίρους. εἰσφέρει δὲ τοῦτο ἀντὶ δρυφάκτου ἢ κιγκλίδος. ἐν τῇ Λυσιστράτῃ (1073.) κλοιὸν μᾶλλον ἢ πάσσαλον ἐμφαίνει, ὡς καὶ τούτου ὁμοίως λεγομένου, ὅπου ὁ χοῖρος δέδεται. ἄλλως. ἐξεισιν ὁ ἕτερος τῶν οἰκετῶν, ἀντὶ δρυφάκτου χοιροκομεῖον ἔχων. — S.

815. ἐν ταῖς σπονδαῖς ἀφ' Ἑστίας ἄρχονται, καὶ οὕτως ἐκ τῶν ἄλλων θεῶν. — ἔστι δὲ παροιμία ἀφ' Ἑστίας ἄρχου. — κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Πλάτων ἐν Εὐθύφρονι (2.) — ἀτεχνῶς γὰρ ἀφ' Ἑστίας δοκεῖ μοι ἄρχεσθαι κακουργεῖν τὴν πόλιν, σὲ ἐπιχειρῶν ἀδικεῖν. S. ibi quidam in scholiis: ἢ ἀφ' ἑστίας, ἤτοι ἀπὸ τῶν οἰκειοτάτων. a familiaribus incipere se dicit. cf. 796.

816. ὡς — βλέπω. „*nam ego supplicia specto*, h. e. studeo. — Ach. 246. οὐδὲν βλέπουσιν ἄλλο πλὴν ψήφῳ δακεῖν.“ *Ex Be.*

817. τὰς σαν. (tabulas.) *σανίδας φησὶν, ἐν αἷς ἔγραφον τὴν μαχράν, ἢ τὴν βραχεῖαν* (106.) *τῆς δίκης.* — τὰς γραφὰς, *actiones litis, die Prozessakten.* cf. 811.

818. ἀπολεῖς, *enicabis me.* Hesych. τριψημερεῖν: στρατεύεσθαι (στραγγεύεσθαι), παρέλκειν τὰς ὥρας. *Zeit verlieren.*

819. *nam mihi sat erat sulcare locum* hunc, in quo sedeo, scipione. ita haec videntur intelligenda esse, nec quidquam in his video difficultatis. notus *pulvis eruditus* ap. Cic. de N. D. 2, 18. more mathematicorum sulcos suos ducere cupit senex, cum tabellae non adsint, h. e. longam et brevem illam lineam, de quibus ad 106., 167., describere in pulvere scipione, quem gestat. — ἀλοκί-

820 ΒΔ. ἰδού.
ΦΙ. κάλει νυν.
ΒΔ. ταῦτα δή.
ΦΙ. τίς οὐτοσὶ
ὁ πρῶτός ἐστιν;
ΒΔ. ἐς Κόρακας, ὡς ἄχθομαι,
ὁτιὴ 'πελαθόμην τοὺς καδίσκους ἐκφέρειν.
ΦΙ. οὗτος σὺ, ποῖ θεῖς;
ΒΔ. ἐπὶ καδίσκους.
ΦΙ. μηδαμῶς·
ἐγὼ γὰρ εἶχον τυύσδε τοὺς ἀρυστίχους.
825 ΒΔ. κάλλιστα τοίνυν· πάντα γὰρ πάρεστι νῷν,
ὅσων δεόμεθα, πλήν γε δὴ τῆς κλεψύδρας.
ΦΙ. ἦδὶ δὲ δὴ τίς ἐστιν; οὐχὶ κλεψύδρα;
ΒΔ. εὖ γ' ἐκπορίζεις, αὐτὰ κἀπιχωρίως.
ἀλλ' ὡς τάχιστα πῦρ τις ἐξενεγκάτω,
830 καὶ μυρρίνας, καὶ τὸν λιβανωτὸν, ἔνδοθεν,
ὅπως ἂν εὐξώμεσθα πρῶτα τοῖς θεοῖς.
ΧΟ. καὶ μὴν ἡμεῖς ἐπὶ ταῖς σπονδαῖς a. d.
καὶ ταῖς εὐχαῖς φημὶν ἀγαθὴν
λέξομεν ὑμῖν, ὅτι γενναίως a. d.
835 ἐκ τοῦ πολέμου a.
καὶ τοῦ νείκους ξυνέβητον. a. par.
ΒΔ. εὐφημία μὲν πρῶτα νῦν ὑπαρχέτω. i. tr.
ΧΟ. ὦ Φοῖβ' Ἄπολλον πύθι', ἐπ' ἀγαθῇ τύχῃ i. tr. ἀνομοιόστ.
τὸ πρᾶγμι', ὃ μιηχανᾶται an.

ξειν ἐδ., ut ἀποκρίνεσθαι δεῖται Ach. 597.

820. ταῦτα δή, *ita vero.*

822. τοὺς καδ., *urnas judiciales.*

824. ἀρύστιχος, καὶ ἄρυστις, καὶ ἀρυστὴρ, ἀγγεῖόν ἐστιν οἷον ἀρύσασθαι, κοτύλη, ἢ κύαθος. εἶχον δὲ, φησὶν, αὐτοὺς πρὸς τὴν διαψήφισιν. — S.

827. μήποτε τὸ αἰδοῖον αὐτῷ δείκνυσιν ὁ πρεσβύτης, ὅτι οὔρει, ὡς ἡ κλεψύδρα. ἁμὶς γὰρ αὐτῷ παράκειται. S.

828. ἔκπορ. *suggeris.* Be. κἀπιχ. *et populariter.* S. οἷον σκωπτικῶς, καὶ φλυάρως. ἐπιχώριον γὰρ ἦν αὐτοῖς (Atheniensibus) τὸ σκώπτειν, καὶ παίζειν, ἐκ πολλῆς εἰδήσεως τοῦ ἑλληνισμοῦ. S.

830. μυρρίνας, ramos myrti ad coronandam aram Apollinis ἀγυιέως. non videtur huc pertinere, quod notavit S., μυρρίναις γὰρ ἐστεφανοῦντο οἱ ἄρχοντες.

831. S.: ὡς ἐπὶ μεγίστου πράγματος τερατεύεται. οἱ γὰρ ἐπιχειροῦντες εἴς τι πρᾶγμα εἰώθασι τοῖς θεοῖς εὐχὰς ποιεῖν, καὶ θυσίας.

833. φήμην ἀγ. συνευξόμεθα, ὥστε ταῦτα γενέσθαι. S.

840 ἔμπροσθεν οὗτος τῶν θυρῶν, ἅπασιν ἡμῖν ἁρμόσαι, i. t.
παυσαμένοισι πλάνων! ἰήϊε Παιάν! da. pent.
ΒΔ. ὦ δέσποτ' ἄναξ, γεῖτον Ἀγυιεῦ, τοὐμοῦ προθύρου προπύλαιε, a. Arist.
δέξαι τελετὴν καινὴν, ὦναξ, ἣν τῷ πατρὶ καινοτομοῦμεν,
παῦσόν τ' αὐτοῦ τουτὶ τὸ λίαν στρυφνὸν καὶ πρίνινον ἦθος,
845 ἀντὶ σιραίου μέλιτος μικρὸν τῷ θυμιδίῳ παραμίξας,
ἤδη δ' εἶναι τοῖς ἀνθρώποις ἥπιον αὐτὸν, a. tr.
τοὺς φεύγοντάς τ' ἐλεεῖν μᾶλλον τῶν γραψαμένων,
κἀπιδακρύειν ἀντιβολούντων, a. d.
καὶ παυσάμενον τῆς δυσκολίας
850 ἀπὸ τῆς ὀργῆς a.
τὴν ἀκαλήφην ἀφελέσθαι. a. par.
ΧΟ. ξυνευχόμεσθά σοι κἀπάδομεν as., i. h. et dm.
ἐν νέαισιν ἀρχαῖς ith$_1$
ἕνεκα τῶν προλελεγμένων· εὖνοι γὰρ ἐσμὲν ἐξ ὅτου i. tr. c.
855 τὸν δῆμον ἡσθόμεσθά σου φιλοῦντος i. tr. c.
ὡς οὐδεὶς ἀνὴρ τῶν γε νεωτέρων. do.

840 ἁρμόσαι. intell. δός. vid. Ran. 838.

841. ita Rav. alii codd. παυσαμένοις. S.: ὡς ἐπὶ κακῶν λύσει τὸν παιᾶνα ὕμνον ᾄδουσι. imo invocatur Apollo παιὰν sive ἰατρὸς, qui et morbis mederi et omnis generis mala avertere credebatur, quo nomine et ἀποτρόπαιος et ἀλεξίκακος appellatur, h. e. averruncus. cf. Soph. Trachin. 190., Eurip. Alc. 90.

842. προπύλαιε Bentl. Br. etc. Rav. προσθπύλας, Ven. προυπύλου, προπύλου, etc. S.: — Ἀγυιεὺς ὁ πρὸ τῶν αὐλείων θυρῶν κωνοειδὴς λίαν, ἱερὸς Ἀπόλλωνος, καὶ αὐτὸς θεός. Φερεκράτης Κραπατάλλοις ὦ δέσποτ' Ἀγυιεῦ, ταῦτα σὺ (fort. σὺ μὲν, vel σύ γε) μέμνησό μου.

845. λίαν priore brevi, ut saepius ap. Euripidem. gl. Vict.: στρυφνόν. στερεὸν, ἰσχυρὸν, αὔστηρὸν, ἐπεστυμμένον, πυκνόν.

845. μὴ σίραιον, ἀλλὰ μέλι παραμίξας. σίραιον δὲ τὸ ἐψημένον γλεῦκος, βραχὺ δ' ἔχον παράπικρον, ὅταν καθεψηθῇ. S. — „Plin. t. 1. p. 719.: siraeum, *quod alii* hepsema, *nostri* sapam *appellant*, *ingenii*, *non naturae*, *opus est*, *musto usque ad* 3. *partem mensurae decocto*; *quod ubi factum ad dimidiam est*, defrutum *vocamus.*" *Br.*

847. τοὺς φ., *reos.* τῶν γρ., *accusatorum.*

851. τὴν ἀκ. τὴν λεγομένην κνίδην, ἣν προσφέροντες τῷ σώματι κνησταῖν αὐτὸ ποιοῦμεν. ἄλλως. μεταφορικῶς τὸ τραχὺ, καὶ δηκτικὸν etc. S. ἀκαλήφη est *urtica dioïca* Linn., *die grosse Nessel.* vide Billerbeckii Flor. class. p. 229.

853. *in novo magistratu* τοῦ εἰσάγειν τὰς δίκας, quod facit Bdelycleo. cf. annot. ad 794.

856. τῶν γε ν. ita Bekk., D. Rav. et Victorii liber (Act. Monac. 1, 3. p. 388.) τῶν γενναιοτέρων. S.: εἰ μὲν γενναιοτέρων, τῶν σπουδαίων· εἰ δὲ νεωτέρων, τῶν ὁμη-

ΒΔ. εἴ τις θύρασιν ἡλιαστὴς, εἰσίτω, i. tr.
ὡς, ἡνίκ' ἂν λέγωσιν, οὐκ εἰσφρήσομεν.
ΦΙ. τίς ἆρ' ὁ φεύγων οὗτος; ὅσον ἁλώσεται!
ΞΑ. (ὡς κατήγορος.) ἀκούετ' ἤδη τῆς γραφῆς. ἐγράψατο
κύων Κυδαθηναιεὺς Λάβητ' Αἰξωνέα,
τὸν τυρὸν ἀδικεῖν ὅτι μόνος κατήσθιε
τὸν σικελικόν. τίμημα κλῳὸς σύκινος.
ΦΙ. θάνατος μὲν οὖν κύνειος, ἢν ἅπαξ ἁλῷ.
ΒΔ. καὶ μὴν ὁ φεύγων οὗτοσὶ Λάβης πάρα.
ΦΙ. ὦ μιαρὸς οὗτος! ὡς δὲ καὶ κλέπτον βλέπει!
οἷον σεσηρὼς ἐξαπατήσειν μ' οἴεται!
ποῦ δὴ δ' ὁ διώκων, ὁ Κυδαθηναιεὺς κύων;
ΚΥ. αὐαῦ.
ΒΔ. πάρεστιν. ἕτερος οὗτος αὖ Λάβης,
ἀγαθός γ' ὑλακτεῖν καὶ διαλείχειν τὰς χύτρας.

λίκων. natum videtur γενναιοτέρων ex γε νεωτέρων, ε et αι, itemque ο et ω confusis, ut saepe alias. cf. 1064.

857. ita Rav. (v. Elmsl. ad Eurip. Med. p. 157.) ceteri libri consueto errore θύραισιν.

858. ἔθος γὰρ ἦν πρὸ μὲν τῆς καταστάσεως τῶν ῥητόρων κηρύττειν τοὺς δικαστάς· ὁπότε δὲ ἤρχοντο τῶν δικῶν, οὐκέτι εἴων εἰσιέναι τοὺς ὑστεροῦντας [δικαστάς]. ἀλώσεται δὲ καταδικασθήσεται. S. de illo more cf. 743.

859. ὅσον ἁλ. ὡς μέλλων καταδικασθῆναι. gl. Victor. Voss.: *Wie soll er dran!*

861. — ὡς ἐπὶ ἀνθρώπων ποιεῖται τὴν κατηγορίαν. Αἰξ. ἀπὸ δήμου τῆς Πανδιονίδος φυλῆς, ἣ τῆς Κεκροπίδος. S. imo Cydathenus fuit δῆμος Pandionidos tribus, Aexona (Αἰξώνη) Cecropidos, ut annotavit Fl. Chr.

863. τὸν σικ. caseus e Sicilia erat in pretio. Antiphanes ap. Athenaeum 1. p. 27. τυρὸς σικελὸς (σικελικὸς), Μύρον ἐξ Ἀθηνῶν, ἐγχέλεις βοιωτίαι. — Be. cf. annot. ad 805. — S.: κλῳός. οὕτως Ἀττικοὶ τὸν κλοιὸν ἔλεγον. — ἄλλως. τὸ κολλάριον τὸ παρ' ἡμῖν λεγόμενον, ᾧ εἰώθασι τοὺς κύνας δεσμεύειν ἐν τοῖς ἀγροῖς· ἔστι δὲ ξύλινον.

864. poenae aestimationem, quam ille fecerat bojae ficulneae, quae pro numella esset, Philocleo durus et immitis judex mutari vult in mortis caninae mulctam. natura autem canis, uti et felis, ea est, ut multis plagis affectus vix tandem conficiatur, sed sit δυσθανατῶν. Fl. Chr.

866, 7. κλέπτον. ἀντὶ τοῦ κλεπτικόν. (cf. 899.) — σεσηρώς. οἱ γὰρ κύνες μετὰ τὸ (τοῦ) φαγεῖν σεσήρασιν. S.

868. ll. ποῦ δ' ὁ δ., hiante versu. Fl. Chr. et Bentl. ποῦ δ' οὐκδιώκων: sed διώκειν vox forensis est, non ἐκδιώκειν. frigide Toup. appendice annot. ad Theocritum p. 36. (t. 2. p. 472. ed. Heindorf.) ποῦ δ' ἔσθ' ὁ διώκων. ὃ ἡ δὲ, ut Eccl. 195. etc.

869. αὐαῦ scripsi, ut αἰαῖ ap. Soph. Ajac. 353., ubi vid. H.; quemadmodum et malim ἀᾶ, ἀᾶ Philoct. 695., 702. vulgo αὖ αὖ, αἰ αἰ, ἄ ἄ. S.: αὖ αὖ. ὁ κύων λέγει ὑπακούων, οἷον ὅτι ὧδέ εἰμι. μιμεῖται δὲ τὴν φωνὴν τοῦ κυνὸς διὰ τοῦ αὖ αὖ. — ridicule hunc canem appellat ἕτερον Λάβητα, h. e. Labeti similem κατὰ τὸ ὑλακτεῖν, καὶ διαλείχειν τὰς χύτρας.

ΣΩ. (ὡς κήρυξ.) σίγα, κάθιζε· σὺ δ' ἀναβὰς κατηγόρει.
ΦΙ. φέρε νυν, ἅμα τήνδ' ἐγχεάμενος κἀγὼ ῥοφῶ.
ΞΑ. τῆς μὲν γραφῆς ἠκούσαθ', ἧς ἐγραψάμην,
ἄνδρες δικασταί, τουτονί· δεινότατα γὰρ
ἔργων δέδρακε κἀμιέ, καὶ τὸ ῥυππαπαῖ.
ἀποδρὰς γὰρ ἐς τὴν γωνίαν τυρὸν πολὺν
κατεσικέλιζε, κἀνέπλητ' ἐν τῷ σκότῳ...
ΦΙ. νὴ τὸν Δί', ἀλλὰ δῆλός ἐστ'· ἔμοιγέ τοι
τυροῦ κάκιστον ἀρτίως ἐνήρυγεν
ὁ βδελυρὸς οὗτος.
ΞΑ. κοὐ μετέδωκ' αἰτοῦντί μοι.
καίτοι τίς ὑμῶν εὖ ποιεῖν δυνήσεται,
ἢν μή τι κἀμοί τις προβάλλῃ τῷ κυνί;
ΦΙ. οὐδὲν μετέδωκεν;
ΞΑ. οὐδὲ τῷ κοινῷ γέ μοι.
ΦΙ. θερμὸς γὰρ ἀνὴρ οὐδὲν ἧττον τῆς φακῆς.
ΒΔ. πρὸς τῶν θεῶν μὴ προκαταγίγνωσκ', ὦ πάτερ,
πρὶν ἄν γ' ἀκούσῃς ἀμφοτέρων!
ΦΙ. ἀλλ', ὦ 'γαθέ,
τὸ πρᾶγμα φανερόν ἐστιν· αὐτὸ γὰρ βοᾷ.
ΞΑ. μὴ νῦν ἀφῆτέ γ' αὐτόν, ὡς ὄντ' ἂν πολὺ
κυνῶν ἁπάντων ἄνδρα μονοφαγίστατον,
ὅστις περιπλεύσας τὴν Θυείαν ἐν κύκλῳ

871. ἀναβάς. *ascendens in suggestum* seu *concionem*. cf. 910., 929., annot. ad 94.
872. τήνδε, τὴν φακῆν. cf. 781.
873. ἧς: ll. ἣν, quod minus elegans.
875. καὶ τὸ ῥυππ. καὶ τὸ ναυτικόν. διὰ δὲ Χάρητα (Λάχητα) πάλιν τοῦτο λέγει· ἴσως γὰρ καὶ τὸ ναυτικὸν στράτευμα ἠδίκησεν. ἔστι δὲ ἐπίῤῥημα τὸ ῥυππαπαὶ ναυτικόν, ὃ ἐν τῇ κωπηλασίᾳ φασὶν, ὡς παρακέλευσμα. S. cf. Ran. 1012. frequens Athenis crimen tyrannidis, vel imminutae rei navalis. vide Acharn. 863. seqq.
877. κατεσικέλιζε. τὸν σικελικὸν ἤσθιεν, ἐπειδὴ σικελικὸν ἔφη τὸν τυρόν. παίζει δὲ ἀντὶ τοῦ ἤσθιε καὶ ἐκορέσθη. — ἐνήρυγε δὲ ἠρεύξατο. S. Voss.: denn versteckt im *Winkel hat er des Käses gar zu viel* Hinweggesikelt, *und sich im Dunkeln vollgestopft.*
882. κάμοὶ τῷ κυνί. se ipsum vocat canem, quia dicit pro cane accusatore.
883. ita S., non ἐμοί, ut vulgo. τῷ κοινῷ μοι est ἐκείνῳ, ὃς κοινός ἐστί μοι. meo socio. S.: τῷ κοινῷ ἀντὶ τοῦ τῷ κοινωνῷ.
884. ἔπαιξεν ὡς ῥοφῶν φακῆν. τὸ δὲ ἄνδρα (888.) παίζων εἰρηκεν. S. ut ἀνὴρ hoc versu.
888. D. νυν. ferrem νύν γ', sed bene se habet νῦν: *nunc*, cum semel captus est, cavete eum dimittatis. — ἂν dedi pro αὖ, quod alienum. illud mitigat orationem: vide 908. et Matth. gr. §. 598, c.
890. τὴν Θυείαν. — παρ' ὑπόνοιαν εἶπε διὰ τὸν Χάρητα (Λά-

ἐκ τῶν πόλεων τὸν σκίῤῥον ἐξεδήδοκεν.
ΦΙ. ἐμοὶ δέ γ' οὐκ ἔστ' οὐδὲ τὴν ὑδρίαν πλάσαι.
ΞΑ. πρὸς ταῦτα τοῦτον κολάσατ' (οὐ γὰρ ἄν ποτε
τρέφειν δύναιτ' ἄν μία λόχμη κλέπτα δύο),
ἵνα μὴ κεκλάγγω διακενῆς ἄλλως ἐγώ·
ἐὰν δὲ μή, τολοιπὸν οὐ κεκλάγξομαι.
ΦΙ. ἰοὺ, ἰοὺ, i.
ὅσας κατηγόρευσε τὰς πανουργίας; i. tr.
κλέπτον τὸ χρῆμα τἀνδρός. οὐ καὶ σοὶ δοκεῖ,
ὦ 'λεκτρυών; νὴ τὸν Δί', ἐπιμύει γέ τοι.
ὁ θεσμοθέτης! — ποῦ 'σθ' οὗτος; ἀμίδα μοι δότω.
ΣΩ. (ὡς θεσμοθέτης.) αὐτὸς καθελοῦ· τοὺς μάρτυρας γὰρ
ἐσκαλῶ.

χητα), ὅτι ἐν Σικελίᾳ ὢν τοὺς Σικελιώτας ἐπαίδευσεν. (castigavit mulctis.) ἀντὶ τοῦ ὅστις περιελθὼν τὸν τυρὸν ἀφείλετο. δέον δὲ εἰπεῖν τὴν θάλασσαν, ἢ τὴν Σικελίαν, ἔπαιξε παρ' ὑπόνοιαν. θυεία δὲ ἡ ἴγδις, ἀγγεῖον, εἰς ὃ ἐμβάλλοντές τινα ἀρτύματα τρίβομεν, καὶ λειοῦμεν, ὡς ἑτέρωθι (Pac. 228.) Ἀ. καὶ θυείαν, ἐσπέρας Τπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο, καὶ Τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται. S. „quia in mortariis caseus terebatur cum herbis, ut vel moretum vel aliud quod intritum fieret.“ — *Fl. Chr.*

891. τὸν σκίῤῥον scripsi cum D. secundum Suidam v. θυεία. id etiam Br. probabat. sed libri Aristoph. τὸ σκιῤῥόν, quod S. interpretatur τὸ ῥυπῶδες τὸ ἐπὶ τῶν τυρῶν, et similiter Suidas. sed idem (Suidam dico) σκιῤῥός: ὁ γύψος, et S. ad sequ. versum: ὅτι λέγεται καὶ γῆ σκιῤῥὰς λευκή τις, ὡς γύψος, καὶ Ἀθηνᾶ Σκιῤῥάς, ὅτι λευκῇ χρίεται. (meliora de hoc quidem habet Schneiderus in lex. gr. v. σκίρον.) πρὸς τὴν ὁμωνυμίαν οὖν. cf. Schneider. l. l. vv. σκίρος et σκιῤῥός.

892. ἐμοὶ δέ γε οὐκ ἔστιν, οἷον οὐκέτι ἔχω, οὐδὲ ἐκπλάσαι τὴν ὑδρίαν ἐκ τῆς λατύπης, ἀλλὰ πᾶσα ἀνάλωται. εἰώθασι δὲ τὰ ῥήγματα τῶν ὑδριῶν τῇ λατύπῃ (gypso) διαπλάττειν. — S.

893. οὐ γὰρ — δύναιτ' ἄν. ἀντὶ τοῦ εἰς οἶκος οὐ δύναται τρέφειν τοὺς δύο κύνας. εἴρηται δὲ παρὰ τὴν παροιμίαν μία λόχμη δύο ἐριθάκους οὐ τρέφει. — ἔστι δὲ ὄρνεον ὑπό μέν τινων καλούμενον ἐριθεύς, ὑπὸ δὲ ἑτέρων ἐρίθυλος, ὑπὸ τῶν πλειόνων ἐρίθακος. haec avis quae sit, dubitatur. Plinius H. N. 10, 29, 44. — *erithacus hieme, idem phoenicurus aestate.* cf. Aristot. H. A. 9, 36, 3. et Schneider. lex. v. ἐρίθακος.

894. joco inexpectato dixit κλέπτα pro κύνε, intelligit autem demagogos.

895. διακ. ἄλλως. parallelismus atticus.

896. οὐ κεκλ. οὐκέτι κρανγάσω. διὰ γὰρ τῆς βοῆς οἱ κύνες φρουροῦσι. S. Aeschylus, annotante Be., Eum. 131. ὅναρ διώκεις θῆρα, κλαγγαίνεις δ' ἅπερ Κύων.

899. κλέπτον. κλεπτικόν, ut 866.

900. ὑπέρκειται γὰρ τοῦ δικαστηρίου αὐτοῦ (illius, Philocleonis,) ἀλεκτρυών, ὡς ἐν τοῖς ἄνω (784.) ἐδήλωσεν. καταμύει (ἐπιμύει) δὲ ἐπινεύει. οὐρῆσαι δὲ θέλων ἀμίδα αἰτεῖ. S. cf. 777.

901. ridicule thesmothetam appellat servum, qui apparitoris munere fungebatur (cf. 744.), eumque poscit matulam. cui superbe respondet puer, agens magistratum.

Λάβητι μάρτυρας παρεῖναι τρυβλίον,
δοίδυκα, τυρόκνηστιν, ἐσχάραν, χύτραν,
καὶ τἄλλα τὰ σκεύη τὰ προσκεκαυμένα.
ἀλλ' ἔτι σύ γ' οὐρεῖς. καὶ καθίζεις;

ΦΙ. *οὐδέπω.*
τοῦτον δέ γ' οἶμ' ἐγὼ χεσεῖσθαι τήμερον.

ΒΔ. *οὐκ ἂν σὺ παύσει χαλεπὸς ὢν καὶ δύσκολος,*
καὶ ταῦτα τοῖς φεύγουσιν; ἀλλ' ὀδὰξ ἔχε. —
ἀνάβαιν', ἀπολογοῦ. τί σεσιώπηκας; λέγε.

ΦΙ. *ἀλλ' οὐκ ἔχειν οὗτός γ' ἔοικεν ὅ τι λέγῃ.*

ΒΔ. *οὔκ, ἀλλ' ἐκεῖνό μοι δοκεῖ πεπονθέναι,*
ὅπερ ποτὲ φεύγων ἔπαθε καὶ Θουκυδίδης·
ἀπόπληκτος ἐξαίφνης ἐγένετο τὰς γνάθους. —

903. *ὅσα ἐν τῷ μαγειρείῳ τυγχάνει ἐργαλεῖα, τοῦ γελοίου χάριν ἄξαι φησὶ ταῦτα εἰς μαρτυρίαν αὐτοῦ. καὶ ὅτι,* (malim: — *αὐτοῦ, ὡς ὅτι, quoniam.* saepe confusa *καὶ* et *ὡς.*) *ἐν τῷ μαγειρείῳ ἡρπάγη ὁ τυρός.* S. *Λάβητι μ. παρ.* pro *μάρτυρες παρέστωσαν.* cf. Matth. gr. §. 544.

906. vulgo libri uno tenore *ἀλλ' ἔτι σύ γ' οὐρεῖς, καὶ καθίζεις οὐδέπω.* notavit Br., verbum *οὐδέπω* alii personae tribui in codice A, in B autem Philocleonis adscriptam esse. recte sane; sed propterea scribendum non est, ut placuit Brunckio, *κοὐ καθίζεις.* notus est enim usus *καὶ* particulae in interrogationibus emphaticis, velut Euripides dixit Herc. fur. 292. *καὶ τίς θανόντων ἦλθεν ἐξ ᾅδου πάλιν;* cf. Matth. gr. §. 609. annot. est etiam indignantis, idque h. l. latine dicas: *etiam sedes?* h. e. sedebis statim in tribunali? si *οὐδέπω* ad antecedentia referatur, aliquid abrupti habet sequens Philocleonis oratio.

907. *πρὸς τὸ οὐρῆσαι ἐπήνεγκε τὸ „χεσεῖσθαι ποιήσω τὸν Λάβητα."* (legisse videtur S. in suis exemplaribus *τοῦτον δὲ ποιήσω*, vel *ποιήσω 'γώ, χεσ. τήμ.*) Be.: „χ ε σ. nempe prae timore, aut gravitate poenae, quae eum manet." canes ap. Phaedrum fab. 4, 17, 11.: *totam timentes consecarunt regiam.*

908. *ἄν.* sic Ven. vulgo *αὖ.* cf. annot. ad 887.

909. *ἀλλ' ὀδὰξ ἔχει.* (sic ll.) *οἷον οὐδὲν φθέγγεται, ἀλλὰ τοὺς ὀδόντας δηκτικῶς κατέχει ὁ κύων. ἄλλως. διασπαράξαι βούλει τοῖς ὀδοῦσι τὸν κύνα, ἵν' ἢ τὸ ἔχει δευτέρου προσώπου ἀττικοῦ.* S. vera est prior harum interpretationum, sed mendosum, quod legitur eodem tenore, — *φεύγουσιν, ἀ. ὁ. ἔχει;* imo dentes comprimere, i. e. tacere, patrem jubet Bdel., ut 885., 928.

910. dicuntur haec cani reo, qui obmutuit. recte Br. Bdelycleoni tribuit, cujus interest reum dicere et crimen amoliri. cf. 914. nam senex, cujus persona praescripta est in libris, nihil vult nisi condemnare indicta causa. idem Br. vidit, sequentem versum a Philocleone pronunciari; nec minus errant, qui Bdelycleonis hanc esse orationem volunt, quam qui Sosiae thesmothetae, vel apparitoris.

913. *Θουκυδίδην λέγει τὸν Μελησίου Ἀλωπεκῆθεν. τοῦτον δὲ ἐξεστράκισαν Ἀθηναῖοι τὰ ι ἔτη κατὰ τὸν νόμον. — ἄλλως. Θουκυδίδης, Μελησίου υἱός, Περικλεῖ ἀντιπολιτευσάμενος. — ὃς κατηγορηθεὶς ἐν τῷ δικάζειν οὐκ ἠδυνήθη ἀπολογήσασθαι ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὥσπερ ἐγκατεχομένην ἔσχε τὴν γλῶτταν, καὶ οὕτω κατεδικάσθη, εἶτα ἐξε-*

παρεχ' ἐκποδών· ἐγὼ γὰρ ἀπολογήσομαι. —
Χαλεπὸν μέν, ὦνδρες, ἐστὶ διαβεβλημένου
ὑπεραποκρίνεσθαι κυνός· λέξω δ' ὅμως.
ἀγαθὸς γάρ ἐστι, καὶ διώκει τοὺς λύκους.
ΦΙ. κλέπτης μὲν οὖν οὗτός γε, καὶ ξυνωμότης.
ΒΔ. μὰ Δί', ἀλλ' ἄριστός ἐστι τῶν νυνὶ κυνῶν,
οἷός τε πολλοῖς προβατίοις ἐφεστάναι.
ΦΙ. τί οὖν ὄφελος, τὸν τυρὸν εἰ κατεσθίει;
ΒΔ. ὅτι σοῦ προμάχεται, καὶ φυλάττει τὴν θύραν,
καὶ τἄλλ' ἄριστός ἐστιν. εἰ δ' ὑφείλετο,
ξύγγνωθι· κιθαρίζειν γὰρ οὐκ ἐπίσταται.
ΦΙ. ἐγὼ δ' ἐβουλόμην ἂν οὐδὲ γράμματα,
ἵνα μὴ κακουργῶν ἐνέγραφ' ἡμῖν τὸν λόγον.
ΒΔ. ἄκουσον, ὦ δαιμόνιέ, μου τῶν μαρτύρων.
ἀνάβηθι, τυρόκνηστι, καὶ λέξον μέγα·
σὺ γὰρ ταμιεύουσ' ἔτυχες. ἀπόκριναι σαφῶς,
εἰ μὴ κατέκνησας τοῖς στρατιώταις, ἅλαβες. —
φησὶ κατακνῆσαι.
ΦΙ. νὴ Δί', ἀλλὰ ψεύδεται.

στρακίσθη. S. cf. Thucyd. 1, 117. et annot. ad Ach. 659.

915. λακτίσας τὸν κύνα φησὶν „ἀναχώρει." (πάρεχ' ἐκπ., da locum hinc facessens) τοὺς λύκους δὲ τοὺς συκοφάντας.

916. difficile esse ait defendere canes, qui soleant esse improbi neque expertes criminum, quorum accusentur.

919. ξυνωμ. προδότης. ὡς ἐπὶ ἀνθρώπου δὲ εἶπεν. S. cf. 472.

921. δυνατός ἐστι, φησί, προβάτων προΐστασθαι. S.

925. κιθ. — ἐπίσταται. ὡσεὶ εἶπεν „οὐδὲν ἄλλο ἐπίσταται πλὴν τὸ κλέπτειν." παρὰ τὴν παροιμίαν παίζει (recte K. ad Suid. 3. p. 70. πεζῇ) βαδίζω· νεῖν γὰρ οὐκ ἐπίσταμαι. — S. „sic infra 957. κιθαρίζειν γὰρ οὐκ ἐπίσταμαι, ubi subauditur ἀλλὰ καταδικάζειν. et in Avibus 1431. τί γὰρ πάθω; σκάπτειν γὰρ οὐκ ἐπίσταμαι, ubi subauditur ἀλλὰ συκοφαντεῖν." Be. cf. sequ. annot.

927. ὡς γραπτὸν δεδωκότος λόγον τοῦ ἀπολογουμένου κυνός. gl. Vict. plane rudem esse vult Philocleo canem, ne efferatur novisque rebus studeat: nam a litteris et musica discendis incipiebat Graecorum educatio. vid. Plato Protagora cap. 44. εἰρωνικῶς ille in Equitibus 190., postquam isiciarius dixit, se ne musicam quidem didicisse praeter litteras, καὶ ταῦτα μέντοι κακὰ κακῶς, haec respondet τουτὶ μόνον σ' ἔβλαψεν, ὅτι καὶ κακὰ κακῶς· Ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ ἔτ' ἐστὶν ἀνδρὸς, οὐδὲ χρηστοῦ τοὺς τρόπους, ἀλλ' ἐς ἀμαθῆ καὶ βδελυρόν.

930. ταμ. ἐν τῷ ταμείῳ (ταμιείῳ) οὖσα. ἐν τούτῳ δὲ τῷ τρόπῳ τῆς δίκης ἐχαρακτήρισε τὰς ἐν ταῖς εὐθύναις τῶν ἀρχόντων ἀπολογίας. S.

931. idem: κατέκνησας. ἀντὶ τοῦ ἔτεμες, ἐμέρισας τοῖς στρατιώταις ἃ ἔλαβες τυρία. ὡς ἐπὶ δημοσίου δὲ πράγματος ἀξιοπιστίαν περιποιεῖται τῇ μαρτυρίᾳ διὰ τοῦ στρατιώταις εἰπεῖν τετμηκέναι.

ΒΔ. ὦ δαιμόνι', ἐλέει ταλαιπωρουμένους.
οὗτος γάρ ὁ Λάβης καὶ τραχήλι' ἐσθίει,
καὶ τὰς ἀκάνθας, κοὐδέποτ' ἐν ταὐτῷ μένει·
ὁ δ' ἕτερος οἷός ἐστιν οἰκουρὸς μόνον·
αὐτοῦ μένων γὰρ, ἅττ' ἂν εἴσω τις φέρῃ,
τούτων μεταιτεῖ τὸ μέρος· εἰ δὲ μή, δάκνει.
ΦΙ. *αἰβοῖ, τί τὸ κακόν ποτ' ἔσθ', ὅτῳ μαλάττομαι;
κακόν τι περιμένει με, κἀναπείθομαι.
ΒΔ. ἴθ', ἀντιβολῶ σ', οἰκτείρατ' αὐτόν, ὦ πάτερ,
καὶ μὴ διαφθείρητε. ποῦ τὰ παιδία;
ἀναβαίνετ', ὦ πόνηρα, καὶ κνυζούμενα
αἰτεῖτε, κἀντιβολεῖτε, καὶ δακρύετε!
ΦΙ. κατάβα, κατάβα, κατάβα, κατάβα!
ΒΔ. καταβήσομαι,

933. ita Bekk., D. ll. corruptis numeris τοὺς ταλ. ἐλέει.

934. τραχήλια. τὰ ἄκρα καὶ εὐτελῆ κρέα. — S. etiam vili cibo eum contentum esse ait.

935. κοὐδ. ἐν τ. μ., neque unquam in eodem loco manet. quo significatur agilitas et τὸ πρακτικόν, alterius autem canis desidia.

936. ὁ δ' ἕτερος. ὁ κατήγορος. εἰη δ' ἂν ὁ Κλέων, ὃν φησιν ἐνδομυχοῦντα τὰ τῆς πόλεως κατεσθίειν. τοὺς οἴκοι οὖν μένοντας τῶν πολιτῶν, καὶ ἁρπάζοντας, χαρακτηρίζει. S. — sane his verbis tangit Lachetem, ut μικροκλέπτην: tum Cleonem insimulat μικροψυχίας et ἀστρατείας, quum οἰκουρὸν canem accusatorem esse ait, neque ad bellum, ut alterum Lachetem, excuntem. (certe nonnisi summa necessitate. v. ann. ad Equ. 55.) verum est autem, Lachetem a Cleone in jus vocatum etc. *Fl. Chr.* cf. 240. seqq.

939. claudicat versus, nec probo eos, qui scripserunt τί κακὸν sed τὸ κακὸν e glossa immigrasse puto in ordinem, cum poëta dixisset

αἰβοῖ, τί τόδε πότ' ἔσθ', ὅ. μ.;

τὸ κακὸν eo minus placet, magisque suspectum est, quod habetur sequente versu.

940. sic Rav. vulgo κ. τι περιβαίνει με. de sententia cf. 969.

941. οἰκτ. ὡς πρὸς τὸ δικαστήριον ὁ λόγος. αὐτόν. τὸν γέροντα. gl. Vict. appellatus unus ex pluribus conjunctis, ut Soph. Philoct. 349., 442., Eurip. Iphig. A. 1234., Rhes. 636. etc.

942. ποῦ τὰ π.; ὅτι τὰ παιδία κλαίει ἐν τοῖς δικαστηρίοις τῶν κατηγορουμένων. (546.) καὶ ἀνωτέρω δὲ εἶπεν. (870.)

943. κνυζ. παρακλαίοντα. ὡς ἐπὶ κυνῶν δὲ εἶπε. — S. „Theocritus Pharmaceutria 109. κνυζεῦνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα.“ *Br.*

945. κατάβα. εἰώθασι γὰρ λέγειν οἱ δικασταὶ, ὅταν ἀπολύωσι, καὶ πείθωσι τοῖς λόγοις, „μηκέτι λέγε.“ πολλάκις γὰρ (δέ: vide Eurip. Heracl. 378., Porson. ad Med. 34.) εἰπόντες τὸ κατάβα ἐξηπάτησαν. S. — „in Equ. (149.) docent nos scholia, τὸ ἀναβαίνειν esse εἰσιέναι εἰς τὸ λόγιον (qua voce non solum pulpitum, pars orchestrae, sed etiam δικαστήριον intelligitur [cf. 871., 910.]), et καταβαίνειν ex antiquo more esse ἀπαλλάττεσθαι vel ἀπιέναι. quum vero ait, illud κατάβα multos decepisse, existimo esse, quia rei sic abire jussi sperabant se absolutum iri, quod secus tamen saepe accidit. — *Fl. Chr.*

καίτοι τὸ κατάβα τοῦτο πολλοὺς δὴ πάνυ
ἐξηπάτηκεν· ἀτὰρ ὅμως καταβήσομαι.
ΦΙ. ἐς Κόρακας, ὡς οὐκ ἀγαθόν ἐστι τὸ ῥοφεῖν!
ἐγὼ γὰρ ἀπεδάκρυσα νῦν γνώμην ἐμὴν
οὐδέν ποτέ γ' ἄλλ' ἢ τῆς φακῆς ἐμπλήμενος.
ΒΔ. οὔκουν ἀποφεύγει δῆτα;
ΦΙ. χαλεπὸν εἰδέναι.
ΒΔ. ἴθ', ὦ πατρίδιον, ἐπὶ τὰ βελτίω τρέπου.
τηνδὶ λαβὼν τὴν ψῆφον ἐπὶ τὸν ὕστερον
μύσας παρᾶξον, κἀπόλυσον, ὦ πάτερ.
ΦΙ. οὐ δῆτα· κιθαρίζειν γὰρ οὐκ ἐπίσταμαι.
ΒΔ. φέρε νυν, σὲ τηδὶ τὴν ταχίστην περιάγω.

949. κοινόν τι παθὼν ὁ πρεσβύτης, καὶ ἐπιδακρύσας τῷ τῶν παίδων ὀδυρμῷ, αἰτιᾶται, ὡς ἐκ τῆς φακῆς τοῦτο πεπονθὼς, καὶ οὐκ ἐξ ἰδίας προαιρέσεως, ὅτι τὸ ῥοφεῖν κακοῦ μοι ἐγένετο αἴτιον. — ὅτι οἱ ἐσθίοντες τὴν φακῆν ἀβουλήτως κλαίουσι θερμῆς οὔσης αὐτῆς. S. γνώμην ἐμήν. ἤγουν κατὰ γνώμην ἐμήν. gl. Victor.

950. vulgo ἀλλ'.

951. χαλ. εἰδέναι. οὐκ οἶδα ἀκριβῶς. S. quod est velut negantis.

953. τηνδὶ λ. τὴν ψ. τὴν τετρυπημένην αὐτῷ δείκνυσι ψῆφον. δύο γὰρ ἀμφορεῖς ἦσαν, ὧν ὁ μὲν κύριος λεγόμενος χαλκοῦς, εἰς ὃν τὴν κυρίαν ψῆφον καθίεσαν οἱ δικασταὶ, ἢ καταδικάζοντες, ἢ ἀπολύοντες· ὁ δὲ ἕτερος ξύλινος, εἰς ὃν τὰς ἀκύρους καθίεσαν. ὁπότε δὲ πάντες διεψηφίσαντο εἰς χαλκοῦν κάδον, διηριθμοῦντο αἱ ψῆφοι. καὶ κατεδίκαζον μὲν οἱ τετρυπημέναι, ἀπέλυον δὲ αἱ πλήρεις. δεῖται οὖν αὐτοῦ, ἵνα τὴν τρυπημένην εἰς τὸν ὕστερον τὸν ἄκυρον καταθῇ, καὶ ἀπολύσῃ τὸν ἀπολογούμενον. φαίνονται δὲ συνήθως καλοῦντες τὸν μὲν κύριον ἀμφορέα πρότερον, τὸν δὲ ἄκυρον ὕστερον. [εἰς τὸν ὕστερον δὲ καδίσκον τὴν ἀποδοκιμάζουσαν (ἀποδικάζουσαν, absolventem) ἐνέβαλλον ψῆφον.] S. hoc postremum ad aliam rationem explicandae rei pertinet, qua ratione qui condemnarent reum judices calculos misisse putantur in priorem urnam aeneam, qui absolverent in posteriorem ligneam; quod si ita se habuisset, manifesti sententiarum suarum fuissent judices, utramvis urnam adiissent; quo nihil opus erat facto. sic tamen plerique: vide Be. h. l., Köpkeum libro germ. de legg. et judicc. Gr. p. 589. sequ., 628., aliosque. sed verisimilius est, quod narrat S., duas fuisse urnas, alteram aeneam, alteram ligneam, quarum illa prior appellata fuerit, a loco, ut opinor, altera posterior; judicesque calculos, quibus uterentur sive ad absolvendum, sive ad condemnandum, misisse in urnam aeneam, quibus non uterentur in alteram ligneam. ita nemo sciebat, utrum absolvisset judex reum, an condemnasset; cavebaturque, ne calculus auferretur domum. (vid. annot. ad 722.)

954. μύσας, *oculis clausis*, ridicule, tanquam is, qui se decipi velit a filio. minime autem oculos claudit senex, cumque ad urnam aeneam ductus sit, quam ὕστερον κάδον vocat callidus filius, non in illam calculum, quem paratum habet, damnatorium immittit, sed cito circumactus a Bdelycleone in ligneam, quam aeneam esse credit, illo dicente, itaque inscius atque invitus absolvit canem.

955. κιθ. — ἐπίσταμαι. cf. 928.

956. τηδὶ, *huc*, ad hanc urnam, quam aeneam seu πρωτέραν esse putat delusus senex.

ΦΙ. ὅδ' ἔσθ' ὁ πρότερος;
ΒΔ. οὗτος.
ΦΙ. αὕτη 'ντευθενί.
ΒΔ. ἐξηπάτηται, κἀπολέλυκεν οὐχ ἑκών.
ΦΙ. φέρ', ἐξεράσω. πῶς γὰρ ἠγωνίσμεθα;
ΒΔ. δεῖξειν ἔοικεν. — ἐκπέφευγας, ὦ Λάβης.
πάτερ, πάτερ, τί πέπονθας;
ΦΙ. οἴμοι, ποῦ 'σθ' ὕδωρ;
ΒΔ. ἔπαιρε σαυτόν.
ΦΙ. εἰπὲ νῦν ἐκεῖνό μοι·
ὄντως ἀπέφυγε;
ΒΔ. νὴ Δί'.
ΦΙ. οὐδὲν εἶμ' ἄρα!
ΒΔ. μὴ φροντίσῃς, ὦ δαιμόνι', ἀλλ' ἀνίστασο.
ΦΙ. πῶς οὖν ἐμαυτῷ τοῦτ' ἐγὼ ξυνείσομαι,
φεύγοντ' ἀπολύσας ἄνδρα; τί ποτε πείσομαι;
ἀλλ', ὦ πολυτίμητοι θεοί, ξύγγνωτέ μοι·
ἄκων γὰρ αὖτ' ἔδρασα, κοὐ τοὐμοῦ τρόπου.
ΒΔ. καὶ μηδὲν ἀγανάκτει γ'· ἐγὼ γάρ σ', ὦ πάτερ,
θρέψω καλῶς, ἄγων μετ' ἐμαυτοῦ πανταχοῦ
ἐπὶ δεῖπνον, ἐς ξυμπόσιον, ἐπὶ θεωρίαν,

957. αὕτη. ἡ ψῆφος ἡ καταδικάζουσα, quae in ligneam urnam immissa est ἄκυρος, neque numeratur.
959. ἐξερ. ἀντὶ τοῦ εἰς τὴν γῆν μεταβαλῶ τὰς ψήφους. ἔρα γὰρ ἡ γῆ. (Ach. 314.) βούλεται δὲ ἀριθμῆσαι τὰς ψήφους. S. quem cf. 953. ἠγων. translatum a ludis ad judicia, quo sensu etiam Latini dicunt certare.
960. perperam librarius Rav. ἔοικας, ut ἐκπέφευγας. Be.: δείξειν ἔοικε. plena oratio τὸ ἔργον αὐτὸ δείξειν ἔοικεν, ut in Lys. 877. τοὔργον τάχ' αὐτὸ δείξει. saepe omittitur vox ἔργον, saepe etiam αὐτό, saepe utraque vox, ut Ran. 1192. πάνυ γε μέλη θαυμαστά, δείξει δὴ τάχα. dicunt et δηλώσει et σημανεῖ. S.: ἐκπέφ., ὦ Λάβης. ὡς ἀριθμηθεισῶν τῶν ψήφων, καὶ τῶν ἀπολουσῶν πλειόνων οὐσῶν.
961. ποῦ 'σθ' ὕδωρ; ὡς παρειμένου αὐτοῦ ψυχρὸν ὕδωρ αἰτεῖ. ἀκούσας γὰρ τὸ ἐκπέφευγας ὁ Φιλοκλέων ἐλιποψύχησεν. ὅσον γὰρ ἐπ' αὐτῷ, ἦν καταδικασθείς. S.
962. ἔπ. σαυτόν. animi deliquium passus concidit senex. Be.: Eurip. Androm. 1032. ἀᾶ, τί δράσεις, ὦ γεραιέ; μὴ πέσῃς. ἔπαιρε σαυτόν. ΠΕ. οὐδὲν εἰμ'· ἀπωλόμην.
966. τί ποτε μ'; cf. 940.
967. ὦ πολ. θεοί. Lycum (376.) inprimis et deos praesides judiciorum invocat. S.: ξύγγ. μοι. ὡς μέγα τι ἁτόπημα πράξας ἀπωλογεῖται τοῖς θεοῖς.
971. S.: ἦν (imo οὐχ ἦν) ἐστιν ἐπὶ δεῖπνον (,) εἰς συμπόσιον. οὕτω γὰρ ἐκάλουν, ὥστε μόνον εἶναι τὸν οἶνον κοινὸν, τὰ δὲ λοιπὰ ἑαυτοῦ νομίζειν οὕτω κληθέντα. cf. 1209. — apparet hanc, esse descriptionem τοῦ συμποσίου, quod sequebatur τὸ δεῖπνον. quanquam ipsas quoque epulas haud inepte dixeris συμπόσιον, a parte. et

ὥσθ' ἡδέως διάγειν σε τὸν λοιπὸν χρόνον·
κοὐκ ἐγχανεῖται σ' ἐξαπατῶν Ὑπέρβολος.
ἀλλ' εἰσίωμεν.

ΦΙ. ταῦτα νῦν γ', εἴπερ δοκεῖ.

975 ΧΟ. ἀλλ' ἴτε χαίροντες, ὅποι βούλεσθ'· a. d. κομμ.
ὑμεῖς δὲ τέως, ὦ μυριάδες ἀναρίθμητοι, a. tr. cat.
νῦν μέν, τὰ μέλλοντ' εὖ λέγεσθαι μὴ πέσῃ φαύλως χαμᾶζ', i. t.
εὐλαβεῖσθε· τοῦτο γὰρ σκαιῶν θεατῶν ἐστι πάσχειν, t. t.
κοὐ πρὸς ὑμῶν. t.
Νῦν αὖτε, λεῳ, πρόσχετε τὸν νοῦν, εἴπερ καθαρόν τι
980 φιλεῖτε· a. Arist. παράβ.
μέμψασθαι γὰρ τοῖσι θεαταῖς ὁ ποιητὴς νῦν ἐπιθυμεῖ.
ἀδικεῖσθαι γάρ φησιν πρότερος, πόλλ' αὐτοὺς εὖ πεποιηκὼς,

ita solent Latini, quibus συμπόσιον est *convivium*. vide Nitschianum librum germ., a Köpkeo editum, de antiqq. Gr. p. 596., Mureti V. L. 19, 4., H. Stephani Schediasm. 1, 8. — ἐπὶ θεωρίαν. notum, quid proprie significet vox θεωρία: verum est, cum nihil aliud sonat quam *festum*; velut h. l. Soph. quoque Oed. R. 1409. ποίας γὰρ ἀστῶν ἥξετ' εἰς ὁμιλίας; ποίας δ' ἑορτὰς, ἔνθεν οὐ κεκλαυμέναι Πρὸς οἶκον ἵξεσθ' ἀντὶ τῆς θεωρίας;

973. οὐκ ἐγχανεῖται. (Nub. 1373., Equ. 1201., Zonar. 1, 610.) οὐκ ἐγγελάσει σοι, φησὶν, ὁ Ὑπέρβολος, ὁρῶν σε ταπεινόν τε, καὶ οἰκτρὸν, ἐκ τοῦ δικάζειν, καὶ τρεῖς ὀβολοὺς λαμβάνειν [καὶ ἀεὶ πίνεσθαι]. ὑπερ τῆς πονηρίας δέ Ὑπερβόλου εἴρηται. (vid. index hoc nomine.) καὶ νῦν δὲ ὀλίγα παραγράψομεν. Ἀνδοκίδης φησὶ τοίνυν περὶ Ὑπερβόλου λέγειν αἰσχύνομαι, οὗ ὁ μὲν πατὴρ ἐστιγμένος ἔτι καὶ νῦν ἐν τῷ ἀργυροκοπείῳ δουλεύει τῷ δημοσίῳ, ὡς δὲ ξένος ὢν καὶ βάρβαρος λυχνοποιεῖ. Θεόπομπος δέ φησι καὶ τὸν νεκρὸν αὐτοῦ καταπονηθῆναι, γράφων ὅτε ἐξωστράκισαν τὸν Ὑπέρβολον, ἓξ ἔτη· ὁ δὲ καταπλεύσας εἰς Σάμον, καὶ τὴν οἴκησιν αὐτοῦ ποιησάμενος, ἀπέθανε. τούτου τὸν νεκρὸν εἰς ἀσκὸν (?) ἀγαγόντες εἰς τὸ πέλαγος κατεπόντισαν S.

975. τοῦτο κομμάτιον καλεῖται, ὅπερ ἐστὶ προκήρυγμα τῆς παραβάσεως. — S.

976. μυρ. ἀναρ. hyberbole satis usitata Graecis. vide, quos laudant, Plat. Theaet. p. 175, A. et 7 de Legg. p. 804, E., epigrammatarium Anthol. Palat. 1. p. 524., Athenaeum t. 2. p. 473., ad quem locum Schweigh. t. 3. p. 506.: „nescio," inquit, „an poëtae alicujus verba in mente habuerit."

978. φυλάττεσθε, φησὶ, μὴ ἐκφαυλισθῆναι τὴν διδασκαλίαν τοῦ δράματος τούτου. καὶ πρὸ ἑνὸς γὰρ ἐνιαυτοῦ τὰς πρώτας Νεφέλας διδάξας ἀπεκρίθη. — S. de metris cf. Thesm. 493, 4.

980. αὖτε, *rursus*, sicut in fabulis, quas ante docuerat A. ut in illarum παραβάσεσιν, ita et in hac facete benevolentiam captat spectatorum. S.: καθαρόν. παῤῥησιαστικὸν, εἰλικρινὲς, γνήσιον.

982. πόλλ' α. εὖ πεπ. διὰ τὸ ἐν τοῖς δράμασιν αὐτοῦ ἐλέγχειν τὰς κλοπὰς ἑκάστου. S. velut Cleonis furta Equitibus.

τὰ μὲν οὐ φανερῶς, ἀλλ' ἐπικουρῶν κρύβδην ἑτέροισι ποιηταῖς,
μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν,
εἰς ἀλλοτρίας γαστέρας ἐνδὺς, κωμῳδικὰ πολλὰ χέασθαι·
μετὰ τοῦτο δὲ καὶ φανερῶς ἤδη κινδυνεύων καθ' ἑαυτὸν,
οὐκ ἀλλοτρίων, ἀλλ' οἰκείων Μουσῶν στόμαθ' ἡνιοχήσας.
ἀρθεὶς δὲ μέγας, καὶ τιμηθεὶς, ὡς οὐδεὶς πώποτ' ἐν ὑμῖν,
οὐκ ἐκτελέσαι φησὶν ἐπαρθεὶς, οὐδ' ὀγκῶσαι τὸ φρόνημα,
οὐδὲ παλαίστρας περικωμάζειν πειρῶν· οὐδ' εἴ τις ἐραστὴς
κωμῳδεῖσθαι παιδίχ' ἑαυτοῦ μισῶν ἔσπευδε πρὸς αὐτὸν,
οὐδενὶ πώποτέ φησι πιθέσθαι, γνώμην τιν' ἔχων ἐπιεικῆ,
ἵνα τὰς Μούσας, αἷσιν χρῆται, μὴ προαγωγοὺς ἀποφήνῃ,
οὐδ', ὅτε πρῶτόν γ' ἦρχε διδάσκειν, ἀνθρωπίσκοις ἐπιθέσθαι,
ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων τοῖσι μεγίστοις ἐπιχειρεῖν,
θρασέως ξυστὰς εὐθὺς ἀπ' ἀρχῆς αὐτῷ τῷ καρχαρόδοντι,

982. τὰ μὲν οὐ φαν. οὐκ ἐκ τοῦ φανεροῦ, φησὶν, ἐπικουρεῖ (ἐπικούρει) ὁ ποιητὴς τοῖς θεαταῖς ὑμῖν, ἀλλὰ δι' ἑτέρων ποιητῶν λάθρα, ἐπειδὴ διὰ Φιλωνίδου, καὶ Καλλιστράτου, καθίει τινὰ τῶν δραμάτων. πρῶτον γὰρ δρᾶμα δι' ἑαυτοῦ καθῆκε τοὺς Ἱππέας. S.

984. Εὐρυκλέους. οὗτος ὡς ἐγγαστρίμυθος λέγεται Ἀθήνῃσι τὰληθῆ μαντευόμενος διὰ τοῦ ἐννεπόντος αὐτῷ δαίμονος. τοιοῦτον οὖν, φησὶ, καὶ ὁ ποιητὴς τρόπον ἐποίησεν εἰς τὰ δράματα, ἑτέροις διακόνοις χρώμενος. — ἐγγαστρεῖται δὲ καὶ Εὐρυκλεῖδαι ἐκαλοῦντο ἐντεῦθεν πάντες οἱ μαντευόμενοι ἀπὸ Εὐρυκλέους πρῶτον τοῦτο ποιήσαντος. τὸ δὲ εἰς ἀλλοτρίας γαστέρας ἐνδὺς ἀντὶ τοῦ εἰπεῖν, ὅτι πρότερον ἄλλοις ἐδίδου τὰ κωμῳδίας. S.

985. κωμ. π. χέασθαι. intell. ὥστε.

986. κινδ. καθ' ἑαυτόν. διὰ γὰρ τὸν κίνδυνον οὐδεὶς ὑπεκρίθη τοὺς Ἱππέας. S. vid. vita Aristophanis, vol. 1.

988. ἀλλ., quemadmodum poëtae illi, quorum opera in docendis fabulis ipse Arist. usus est.

989. οὐκ ἐκτελ. φησίν. οἷον — οὐκ ἐπὶ τέλος ἔδοξεν αὐτῷ (αὑτῷ, vel ἑαυτῷ) ἐλθεῖν οὔτε τῆς ποιήσεως, οὔτε τῶν ἐπαίνων. S.

990. (οὐδὲ — πειρῶν) δι Εὔπολιν. — τοῦτο δὲ καὶ ἐν Εἰρήνῃ (737.) οὕτω· περιήει (Eupolis. videtur excidisse γὰρ vel δέ.) τὰς παλαίστρας σεμνυνόμενος, καὶ τοῖς παισὶν ἑαυτὸν δῆλον ποιῶν τῆς νίκης ἕνεκα. S.

991. παιδικά. ἐπὶ θηλειῶν καὶ ἀῤῥένων ἐρωμένων τάττεται ἡ λέξις. — S.

993. τὰς Μούσας. τουτέστι τὰ δράματα. εἰ γὰρ μὴ καταδήλους ποιήσῃ τοὺς τοιούτους, ἀλλ' ἐπικρύψῃ, οἱονεὶ μαστροποιοὶ τῶν τοιούτων εὑρεθήσονται. S. — poena vero mortis mulctandos esse τοὺς προαγωγοὺς censet Aeschines in orat. contra Timarchum. *Fl. Chr.*

994. ll. mendo manifesto — ἀνθρώποις φήσ' ἐπιθ. Pac. 726., loco gemino, οὐκ ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν, οὐδὲ γυναῖκας, Ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων τοῖσι μεγίστοις ἐπιχειρεῖ. postquam forte scriptum erat ἀνθρώποις, superveniens aliquis versificator addiderit, quod quidem ex superioribus intelligendum est, φήσ' ad numeros explendos.

996. τῷ καρχ. velut alteri Cerbero.

οὗ δεινότατοι μὲν ἀπ' ὀφθαλμιῶν Κύννης ἀκτῖνες ἔλαμπον,
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων ἐλιχμῶντο
περὶ τὴν κεφαλήν· φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίας,
φώκης δ' ὀσμὴν, λαμίας δ' ὄρχεις ἀπλύτους, πρωκτὸν δὲ καμήλου.
τοιοῦτον ἰδὼν τέρας οὐ φησὶν, δείσας κακὰ, δωροδοκῆσαι,
ἀλλ' ὑπὲρ ὑμῶν ἔτι καὶ νυνὶ πολεμεῖ, φησίν τε μέγ' αὐτοῦ
τοῖς ἠπιάλοις ἐπιχειρῆσαι πέρυσιν, καὶ τοῖς πυρετοῖσιν,
οἳ τοὺς πατέρας τ' ἤγχον νύκτωρ, καὶ τοὺς πάππους ἀπέπνιγον,

997—1001. haec repetiit in Pace l. l. ubi 88. — *Κύννα καὶ Σαλαβακχὰ πόρναι Ἀθήνῃσι* (cf. Equ. 714.) *τὴν ἀναίδειαν αὐτοῦ κ. τραχύτητα τῶν τρόπων δείκνυσι διὰ τῶν ὄψεων, ὡς καὶ Ὅμηρος* (Il. α', 104.) *ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην.* — et h. l. — *Θέλων οὖν παραβαλεῖν τὸν Κλέωνα κυνὶ διὰ τὸ ἀναιδὲς, ἑτέρως* (scil. comparatione cum scortis) *ἐσχημάτισεν. ἐλιχμῶντο δὲ ἔλειχον.* et rursus ad Pacem: *κολάκων. ὡσεὶ ἔλεγεν ὄφεων. εἰκὸς γὰρ πλῆθος ἔχειν κολάκων τὸν Κλέωνα.* — *χαράδρας. ἀντὶ τοῦ χειμάῤῥου ποταμοῦ. κατάγουσι δὲ οὗτοι παντοῖα διὰ τοῦ ῥεύματος.* idem h. l. de eodem *ἐπειδὴ πλέον τι τοῦ χειμάῤῥου εἰς τραχύτητα κ. ἀνωμαλίαν εἶχεν.* — et de verbis *φώκης δ' ὀσμήν*: *εἰς κακοσμίαν αὐτὸν διαβάλλει διὰ τὸ βυρσοδέψην* [*αὐτὸν*] *εἶναι. Ὅμηρος* (Od. δ', 443.) *φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμὴ*, καὶ (ib. 406.) *πικρὸν ἀποπνείουσαι ἁλὸς πολυβενθέος ὀδμήν.— λαμίας ὄρχεις. λαμία θηρίον* (canis carcharias, der *Haifisch*), *ἀπὸ τοῦ ἔχειν μέγαν λαιμὸν, λαιμία κ. λαμία. δραστικοὶ δὲ οἱ ὄρχεις.* (ἄλλως.) *εἰδωλοποιεῖ* (?) *δέ τινας ὄρχεις Λαμίας· Θῆλυ γὰρ.* (v. 1140.). — *πρωκτὸν δὲ κ. θερμόπρωκτος γὰρ ἡ κάμηλος κ. λάγνος.*

1001. scatent haec mendis. vulgo enim legitur *καταδωροκῆσαι* voce nihili, tum *μετ' αὐτοῦ*, quod ineptum, quidquid comminiscuntur, *κατακλινόμενοί τ' ἐπὶ τ. κ. ἐπὶ τ. ἀπ. ὑ. μέγα ἐπιχ., vehementer incumbere.* „*δωρ. dona dare,* (dedisse.) ut superius 644. nam illud monstrum, Cleo inquam, non offerebat dona, sed potius quosdam terrebat, ut ipsum donis placarent. Hesych. *δωροδοκεῖ: δίδωσι δῶρα.*" *Be.*

1002. *αὐτοῦ. τοῦ τέρατος τούτου.* Cleonis.

1003. *ἠπίαλος τὸ τοῦ πυρετοῦ κρύος. Ἀριστοφ. Νεφέλαις* (?) *καὶ Θεσμοφοριαζούσαις.* (fort.: *Νεφέλαις· καὶ Θεσμ. β'* [fr. 14.]) *ἅμα δ' ἠπίαλος πυρετοῦ πρόδρομος. Δίδυμος δέ φησι, δαίμων, ὃν Ἠπιάλην καὶ* (*Τίφυν*) *καὶ Ἐφόπαν* (?), *καλοῦσι.* (*Ἐφιάλτης, incubo*) — *ἄλλως. τοὺς βλάπτοντας τὴν πόλιν λέγει ἠπιάλους, καὶ πυρετούς.* (recte: scil. sycophantas, Cleonis et demagogorum mancipia, qui delationibus omnis generis vexabant cives.) *πέρυσιν. πέρυσι γὰρ τὰς Νεφέλας ἐδίδαξεν, ἐν αἷς τοὺς περὶ Σωκράτην ἐκωμῴδησεν* (*ἠπιάλους δὲ αὐτοὺς ὠνόμασεν, ὡς ὠχρότητα περισκώπτων*)· *ἐν δὲ τοῖς Ἱππεῦσι τὸν Κλέωνα, οὗς πρὸ τῶν Νεφελῶν καθῆκε. τὸ δὲ τοὺς πατέρας ἤγχον λέγει διὰ τὸν ἥττονα λόγον, τὸν πατραλοίαν, ἢ διὰ τὸν ὑπ' αὐτοῦ, ὥς φησι, πέρυσιν εἰσαχθέντα ἐν Νεφέλαις τύπτοντα τὸν πατέρα αὐτοῦ.* S. cave cogitasse poëtam putes de Socrate, ejusque discipulis, et *ἥττονι λόγῳ*, sed hic quoque, sicut in Equitibus, verberat Cleonem et ejus satellites, qui somnum adimebant patribus

κατακλινομένους ἐπὶ ταῖς κοίταις, ἔτι τοῖσιν ἀπράγμοσιν ὑμῶν
ἀντωμοσίας, καὶ προσκλήσεις, καὶ μαρτυρίας ξυνεκόλλων, ὥστ' ἀναπηδᾶν δειμαίνοντας πολλοὺς ὡς τὸν πολέμαρχον. τοιόνδ' εὑρόντες ἀλεξίκακον, τῆς χώρας τῆσδε καθαρτὴν, * πέρυσιν καταπροὔδοτε καινοτάταις σπείροντ' αὐτὸν διανοίαις,
ἃς ὑπὸ τοῦ μὴ γνῶναι καθαρῶς ὑμεῖς ἐποιήσατ' ἀναλδεῖς· καίτοι σπένδων πόλλ' ἐπὶ πολλοῖς ὄμνυσιν τὸν Διόνυσον, μὴ πώποτ' ἀμείνον' ἔπη τούτων κωμῳδικὰ μηδέν' ἀκοῦσαι. τοῦτο μὲν οὖν ἔσθ' ὑμῖν αἰσχρὸν τοῖς μὴ γνοῦσιν παραχρῆμα·
ὁ δὲ ποιητὴς οὐδὲν χείρων παρὰ τοῖσι σοφοῖς νενόμισται, εἰ παρελαύνων τοὺς ἀντιπάλους τὴν ἐπίνοιαν ξυνέτριψεν.

et avis sollicitudine de filiis nepotibusque falso accusatis.

1005. ἀπράγμοσιν, otiosis, expertibus litium.

1006. ἀντ. γράμματά τινα γραψάντων, περὶ ὧν ἡ δίκη, ὅ τε κατηγορούμενος, καὶ ὁ κατηγορῶν, ἀποφέρουσι πρὸς τὴν ἀρχήν. καλεῖται δὲ οὕτως, ἐπειδὴ ἑκάτερος αὐτῶν ἀντώμνυεν, ὁ μὲν τἀληθῆ κατηγορήσειν, ὁ δὲ τἀληθῆ ἀπολογήσεσθαί. ἄλλως. ἀντωμοσία γραφὴ κατά τινος ἔνορκος περὶ ὧν ἠδικῆσθαι φησι. διωμοσία δὲ ὁ ἑκατέρωθεν γινόμενος ὅρκος ὑπὸ τῶν δικαζομένων, τοῦ μὲν ὡς πράξαντα διώκειν, τοῦ δὲ ὡς οὐκ ἔπραξεν ἀποφάσκειν. (hoc rectius: vid. G. G. S. Köpkei liber germ. de legg. et judicc. Gr. p. 679. sequ.) ἐξωμοσία δὲ ἄρνησις σὺν ὅρκῳ, ὡς ἀδυνατοῦντος, ἢ παρὰ καιρὸν ὄντος αὐτῷ τοῦ λειτουργεῖν. (Be.: hoc dicit, illos orationes in usum litigantium conscripsisse, et rhetoricam docuisse, ut Nub. 98. οὗτοι διδάσκουσ', ἀργύριον ἦν τις διδῷ Λέγοντα νικᾶν καὶ δίκαια, κἀδίκα) προσκλήσεις. παρὰ τὸ προσκαλεῖσθαι, ὅπερ ἐστὶν εἰς συμβάσεις, καὶ συνθήκας καὶ διαλλαγὰς παρακαλεῖν. S. ξυν. Nub. 445. ψευδῶν συγκολλητής. Be.

1007. τὸν πολ. — ἀρχή τις ἐστι παρ' Ἀθηναίοις οὕτω καλουμένη. ἔστι δὲ οὗτος εἷς τῶν θ' ἀρχόντων. διοικεῖ δὲ [οὗτος] ἄλλα τε, καὶ εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου (ἀπροστασίου), καὶ κλήρων, τοῖς μετοίκοις etc. — (ἄλλως.) ὄνομα ἀρχῆς. οὐ τοῖς πολίταις τοῦτο προσῆψεν, ἀλλὰ τοῖς ξένοις· αἱ γὰρ ξεναὶ δίκαι ἐπὶ τοῦ πολεμάρχου εἰσήγοντο. οἱ δὲ καὶ βοηθείας δεόμενοι ἐπὶ τὴν ἀρχὴν κατέφευγον τοῦ πολεμάρχου. ἀλλὰ καὶ οἱ κατηγοροῦντες γονέων κακώσεως πρὸς τὸν πολέμαρχον ἐδικάζοντο, κ. ἐκεῖνος ἔκρινε. cf. 687. et Köpk. l. c. ad 1009. p. 661.

1009. περ. κατ. ὅτι πέρυσι διδάξας τὰς πρώτας Νεφέλας ἡττήθη. — S. καιν. — διανοίαις. dure omissum est ὑμᾶς vel quiddam simile. quare malim scribi καινοτάτας διανοίας. notum, α et αι facile permutari inter se in MSS.: vide nos ad Eurip. Iph. T. 1278., Cycl. 110. etc. αὐτὸν, ipsum, non adjutum ab aliis.

1010. τὰς καινὰς διανοίας ἀγνοήσαντες [ὑπὸ τοῦ μὴ νοεῖν] παρεκρίνατε. ἀναλδεῖς δὲ ταπεινὰς, ἀσθενεῖς. S. καθ. σαφῶς, ἀκριβῶς, ut Hesych. interpretatur.

1011. Comicus poëta dicit se (libantem saepius) jurare per Bacchum, quia huic sacri erant ludi scenici. Be.

1013. παρ. παφαυτίκα. vid. S. ad Plut. 777.

1015. εἴπερ ἐλαύνων (εἰ παρελαύνων.) τοὺς ἀντ. ἀντὶ τοῦ ἐπιχειρῶν, καὶ ἐπιτρέχων. τὸ δὲ συν-

ἀλλὰ τολοιπὸν τῶν ποιητῶν, ὦ δαιμόνιοι, τοὺς ζητοῦντας a. t.
καινόν τι λέγειν κἀξευρίσκειν στέργετε μᾶλλον καὶ θεραπεύετε,
καὶ τὰ νοήματα σώζεσθ' αὐτῶν, ἐσβάλλετε δ' εἰς τὰς κιβωτοὺς
τῶν ἱματίων μετὰ τῶν μήλων· a. d.
κἂν ταῦτα ποιῆθ', ὑμῖν δι' ἔτους ὀζήσει δεξιότητος. a. Aristoph.

ΗΜ. Ὦ πάλαι ποτ' ὄντες ἡμεῖς ἄλκιμοι μὲν ἐν χοροῖς, t. t. c. στ.
ἄλκιμοι δ' ἐν μάχαις, cr. d.
καὶ κατ' αὐτὸ τοῦτο δὴ μόνον ἄνδρες μαχιμώτατοι, as., t. d. et gl.
πρίν ποτ' ἦν, πρίν, ταῦτα· νῦν δ' t. d. c.
οἴχεται, κύκνοιό τε πολιώτεραι δὴ as., 2 ith.
αἶδ' ἐπανθοῦσιν τρίχες. ἀλλὰ gl. h. pol.

ἐτρίψεν ἀπὸ τῶν ἐρετῶν ἐπήγαγε, τῶν ὑπὸ ῥύμης συντριβόντων τὰς κώπας. νικήσας (fort. κινήσας, propellens), φησὶ, τοὺς ἀντ. τὴν ἐλπίδα τῆς νίκης ἀπώλεσε (τοῦτο γὰρ ἐπινοίαν λέγει), παρακριθεὶς ὑπὸ τῶν κακῶς κρινάντων. — ἔνιοι δέ φασιν, ὅτι ἀπὸ τῶν ἀτυχῶς ἡνιοχούντων, κ. συντριβόντων τὰ ἅρματα, τὴν μεταφορὰν ἐδέξατο, ἐπειδὴ πρὸς τὸ παρελαύνων ἐπήνεγκε τὸ ξυνέτριψε. — S.

1018. — 1020. τὰ νοήματα, τὰ ἐπινοήματα τῶν δραμάτων. S. ll. τὰς κιβ. μετὰ τ. μ. κἂν τ. π., ὑμῖν δι' ἔτ. τῶν ἱματ. ὀζ. δ. apparet, transposita esse verba τῶν ἱμ. — ὀζ. τὰ ἱμάτια. interpres „haec si facietis, toto anno vobis vestes redolebunt dexteritatem.“ — μετὰ (τῶν) μήλων. εἰώθασι γὰρ εἰς τὰ κιβώτια μῆλα βάλλειν δι' εὐοσμίαν. S. praeter vulgaria intelliguntur mala Cydonia, medica, persica, ut annotavit H. Voss.

1021. ὁ Χορὸς πρὸς ἑαυτὸν, παρὰ τὸ πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. S. cf. Plut. 998., 1071.

1023. plerique omnes libri αὐτὸ δὴ τοῦτο, quidam Brunckii αὐτὸ τοῦτο δὴ μόνον ἄνδρες γε μαχ. congruit metro τοῦτο δή, non item γέ. imo eodem metro conscriptus est hic versus, quo Oedipi Regis 848. εἰ γὰρ αἱ τοιαίδε πράξεις τίμιαι, τί δεῖ με χορεύειν; nisi quod polyschematistus illic est glyconeus et hypercatalectus. ad sententiam quod attinet, subest nequitia, qualis illa est, quam Nub. 632. animadvertere sibi visus est glossator, aitque Chorus *eo ipso*, quo digitum intendit, membro nunc enervato se olim fuisse valentissimum. cf. 1329. — 1032. — μάνον, *inprimis*. vide Jacobs. Anthol. Palat. 3. p. 23., annott. ad Soph. Ant. 763., Oed. Col. 227.

1024. πρὶν — ταῦτα. τὰ πρὶν κατορθώματα ἀπώλετο. Δίδυμός φησιν, ὡς παρῴδησε ταῦτα ἐκ τῶν Τιμοκρέοντος τοῦ Ῥοδίου. S. Fl. Chr. huc pertinere existimabat Catullianum illud in dedicatione faseli *sed haec prius fuere*.

1025. libri οἴχεταί γε, κύκνου τε, corrupto metro, quod quale sit, dubitare nos haud sinit versus ἀντίστροφος. formam illam genitivi aliquoties Sophocli restituimus, qua cur prorsus abstinuisse in melicis putemus hunc nostrum, tragoedias παρῳ-

*κἀκ τῶν λειψάνων δεῖ τῶνδε ῥώμην as., dm. et i. h.
νεανικὴν ἔχειν. ἐγὼ τοὐμὸν νομίζω i. tr. cat.
γῆρας εἶναι κρεῖττον ἢ πολλῶν κικίννους νεανιῶν, t. t. c.
καὶ σχῆμα, κεὐρυπρωκτίαν. i. d.
ΧΟ. Εἴ τις ὑμῶν, ὦ θεαταὶ, τὴν ἐμὴν ἰδὼν φύσιν t. t. c. ἐπιῤῥ.
εἶτα θαυμάζει μ' ὁρῶν μέσον διεσφηκωμένον,
ἥτις ἡμῶν ἡ πίνοια τῆσδε τῆς ἐγκεντρίδος,
ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ᾖ τοπρίν.
ἐσμὲν ἡμεῖς, οἷς πρόσεστι τοῦτο τοὐῤῥοπύγιον,
Ἀττικοὶ, μόνοι δικαίως εὐγενεῖς αὐτόχθονες,
ἀνδρικώτατον γένος καὶ πλεῖστα τήνδε τὴν πόλιν
ὠφελῆσαν ἐν μάχαισιν, ἡνίκ' ἦλθ' ὁ βάρβαρος,
τῷ καπνῷ τύφων ἅπασαν τὴν πόλιν καὶ πυρπολῶν,
ἐξελεῖν ἡμῶν μενοινῶν πρὸς βίαν τἀνθρήνια.
εὐθέως γὰρ ἐκδραμόντες ξὺν δορὶ, ξὺν ἀσπίδι,

δοῦντα, nulla est causa. γὲ saepe additum a librariis.

1028. ἔχειν. ὡς ἐγὼ Rav., Suid. v. κύκνου πολιώτεραι, etc., quae abhorrent a metro; et fortius est asyndeton. ceterum malim sensu apertiore τόνδε, *hunc virum*, *me*, ut Eurip. Alc. 710. etc. o et ω saepe confunduntur.

1029. — κοκκίνους (κικίννους) ἔλεγον τὰς περιεστεμμένας καὶ τετημελημένας τρίχας. σχῆμα δὲ τὴν σκευὴν, καὶ τὸν κόσμον. S.

1031. φύσιν, *speciem*, *figuram*, ut Nub. 491. *Ex Br.*

1032. διεσφηκ. εἰς σφῆκας διεσκευασμένον. — S.

1033. ita primus Bentlejus epist. ad Mill. p. 18. Rav. et Ven. ἥ τίς ἡμῶν ἐστιν ἡ πίν. τῆς ἐγκ., ceteri codd. versu hypermetro ἥ τίς ἡμῶν ἐστιν ἡ πίν. τῆσδε τῆς ἐγκ. Dobr., Bekk., ἥτις ἐστὶν ἡ π. D., ut Rav. et Ven.

1034. ὁ στίχος ἐκ Σθενεβοίας Εὐριπίδου (fragm. 8. μουσικὸν δ' ἄρα Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν. „cf. Bentl. epist. ad Mill. p. 469. sequ. ed. Lips." *Dind.*) — (τοῦτο) τοὐῤῥοπύγιον δὲ τὸ ἐγκεντρωμένον (ἐγκεντρούμενον) λέγει. S.

1036. δικαίως, *sine fraude*, vere. — αὐτόχθονες. gratissima Atheniensibus appellatio, de qua cf. Eurip. Ion. 669., Heracl. 69., Strab. 8, 1., Meurs. de fortuna Athenarum cap. 1.

1038. ὁ βάρβαρος. τὴν ἐν Μαραθῶνι κατὰ τοῦ Δαρείου νίκην λέγει. S. „quum in Marathone contra Datidem, Darii praefectum, praeclare ab Atheniensibus est pugnatum, et postea proelio navali contra Xerxem." *Be.* ὁ βάρβαρος Persa, h. e. Persarum populus, dici solet κατ' ἐξοχήν.

1039. Chorus Vesparum loquitur, quasi de vespis et apibus, quae fumigantur. supra 445. τῦφε πολλῷ τῷ καπνῷ. fuit autem combusta urbs sub adventum Xerxis. — πυρπ. Herodotus in Urania (cap. 50.) ἐλήλυθεν ἀνὴρ Ἀθηναῖος, ἀγγέλλων, ἥκειν τὸν βάρβαρον ἐς τὴν Ἀττικὴν, καὶ πᾶσαν αὐτὴν πυρπολέεσθαι. *Be.*

1040. τἀνθρ. νῦν τὰ τῶν σφηκῶν κηρία, κυρίως δὲ τὰ τῶν ἀνθρηνῶν σμήνη. (ut 1066.) ἀνθρήνας δὲ οἱ μὲν τὰς μελίσσας, οἱ δὲ ἕτερον ζῷον κηροποιοῦν ὅμοιον σφηκί. — S.

1041. ita Rav., Bekk., Br. auctore Suida v. θυμόν. Etymologus v. δόρει p. 284.: σὺν δόρει, σὺν ἀσπίδι, quod placuit Dindorfio. vide annot. ad Oedip. Col. 580.

ἐμαχόμεσθ' αὐτοῖσι, θυμὸν ὀξίνην πεπωκότες,
στὰς ἀνὴρ παρ' ἄνδρ', ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων·
ὑπὸ δὲ τῶν τοξευμάτων οὐκ ἦν ἰδεῖν τὸν οὐρανόν.
ἀλλ' ὅμως ἀπεωσάμεσθα ξὺν θεοῖς πρὸς ἑσπέρᾳ·
γλαῦξ γὰρ ἡμῶν πρὶν μάχεσθαι τὸν στρατὸν διέπτετο.
εἶτα δ' ἑσπόμεσθα θυννάζοντες εἰς τοὺς θυλάκους·
οἱ δ' ἔφευγον, τὰς γνάθους καὶ τὰς ὀφρῦς κεντούμενοι·
ὥστε παρὰ τοῖς βαρβάροισι πανταχοῦ καὶ νῦν ἔτι
μηδὲν ἀττικοῦ καλεῖσθαι σφηκὸς ἀνδρικώτερον.

ΗΜ. Ἆρα δεινὸς ἦ τόθ', ὥστε πάντα μὴ δεδοικέναι, ἀντ.
καὶ κατεστρεψάμην
τοὺς ἐναντίους, πλέων ἐκεῖσε ταῖσι τριήρεσιν.
οὐ γὰρ ἦν ἡμῖν, ὅπως
(5) ῥῆσιν εὖ λέξειν ἐμέλλομεν τότ', οὐδὲ
συκοφαντήσειν, τινὰ φροντὶς,
ἀλλὰ τίς ἂν ἐρέτης ἔσοιτ' ἄριστος.
τοιγαροῦν πολλὰς πόλεις Μήδων ἑλόντες
αἰτιώτατοι φέρεσθαι τὸν φόρον δεῦρ' ἐσμὲν, ὃν

1042. θυμὸν ὀξ. ἀντὶ τοῦ δριμεῖαν ὀργήν. S. *iracundiam acidam*, i. e. acrem, ut οἶνος ὀξίνης. θυμὸν ὀξὺν et ipse saepius dixit, et Soph. Oedipo Col. 1117. *Ex Be.* nove dictum videtur πεπωκότες θυμὸν, quamvis nemo nesciat, et esum et potum dici τροπικῶς. Plautus Truc. 22. *si semel amoris* poculum *accepit meri, Eaque intra pectus se penetravit* potio. et rursus eadem fabula 190.: *nam fundi et aedes obligatae sunt ob amoris* prandium etc.

1043. ὑπ' ὀργῆς τ. χ. ἐσθίων. cf. 747. S.: τὴν χελ. ἀντὶ τοῦ τὰ χείλη. οἱ γὰρ ὀργιζόμενοι ἐνδάκνουσι τὰ χείλη.

1044. narravit rem Herodotus Polymn. c. 226. *Be.* cf. Schol.

1046. τὸ γλαῦξ ὄνομα, Εὐφρόνιός φησιν, Ἀττικοὶ μὲν περισπῶσιν, οἱ δὲ Δωριεῖς ὀξύνουσιν. γλαῦκα δὲ τὴν Ἀθηνᾶν. φασὶ δὲ κατὰ τὸ ἀληθὲς γλαῦκα διαπτᾶσθαι, τὴν νίκην τοῖς Ἀθηναίοις ἀπαγγέλλουσαν. S.

1047. θυνν. κεντοῦντες ὡς τοὺς θύννους τοῖς τριόδουσι, μεταφορικῶς. θυλάκους φασὶν εἶναι τὰ παρὰ τοῖς σκέλεσι καὶ τοῖς μηροῖς περσικά. εἶδη βρακίων (βρακῶν) παρὰ Πέρσαις. (notum vestimentum Persarum, a quibus appellatum est, et barbarorum. conferunt Eurip. Cycl. 168., quo loco Paridi tribuuntur θύλακοι.) θυνν. εἰς τ. θυλάκους, ἀντὶ τοῦ εἰσπηδῶντες εἰς τὰς ἀναξυρίδας. S. „Aeschylus, Pers. 397. τοὶ δ', ὥστε θύννους ἢ τιν' ἰχθύων βόλον, Ἀγαῖσι κωπῶν θραύσμασίν τ' ἐρειπίων Ἔπαιον, ἐῤῥάχιζον." *Be.* de thynnorum captura cf. annot. ad Equ. 313.

1048. κεντ. τοῦτο πρὸς τὴν ὁμοιότητα τῶν σφηκῶν. S.

1053. ταῖς librarii, notum sibi genus metri sectati, ut solent. cf. versum ἀντίστοιχον.

1057. Rav. ἀ. ὅστις ἄν. alii libri ὃς ἄν. Bekk., D., ἀλλ' ὅστις ἐρ., metro quidem ambiguo.

1058. πολλὰς πόλεις. insulas intelligit, quas ex Persis eripuerunt Athenn., velut Samum, Lesbum, Naxum, Paron et alias, quae sunt illo tractu.

1060(10) *κλέπτουσιν οἱ νεώτεροι.*

ΧΟ. Πολλαχοῦ σκοποῦντες ἡμᾶς εἰς ἅπανθ' εὑρήσετε ἀντεπῳδὸν
τοὺς τρόπους καὶ τὴν δίαιταν σφηξὶν ἐμφερεστάτους.
πρῶτα μὲν γὰρ οὐδὲν ἡμῶν ζῶον ἠρεθισμένον
μᾶλλον ὀξύθυμόν ἐστιν, οὐδὲ δυσκολώτερον·
1065 *εἶτα τἄλλ' ὅμοια πάντα σφηξὶ μηχανώμεθα.*
ξυλλεγέντες γὰρ καθ' ἑσμοὺς, ὥσπερεὶ τἀνθρήνια,
οἱ μὲν ἡμῶν, οὗπερ ἄρχων, οἱ δὲ παρὰ τοὺς Ἕνδεκα,
οἱ δ' ἐν ᾠδείῳ δικάζουσ', οἱ δὲ πρὸς τοῖς τειχίοις,
ξυμβεβυσμένοι πυκνὸν, νεύοντες εἰς τὴν γῆν, μόλις,
1070 *ὥσπερ οἱ σκώληκες ἐν τοῖς κυττάροις, κινούμενοι.*
ἔς τε τὴν ἄλλην δίαιταν ἐσμὲν εὐπορώτατοι·
πάντα γὰρ κεντοῦμεν ἄνδρα, κἀκπορίζομεν βίον.
ἀλλὰ γὰρ κηφῆνες ἡμῖν εἰσιν ἐγκαθήμενοι,

1060. *οἱ νεώτεροι.* Cleon et alii tum demagogi. *H. Voss.* cf. 856.

1066. ita Bentl., Reisk., Br. etc. libri mendose *ξυλλέγοντες.*

1067. *οἱ δὲ π. τ. Ἕνδεκα. ἐτήρουν οὗτοι τοὺς δεδεμένους.* — S. *οὗπερ — Ἕνδεκα.* nomina magistratuum Athenis, de quibus Pollux l. 8. *Be.* cf. Köpkei liber de Legg. Gr. p. 618. sequ., item p. 660. sequ.

1068. interpunxi post *τειχίοις*: nam quae sequuntur, *ξυμβεβυσμένοι — κινούμενοι*, iis generatim describitur habitus Vesparum et ratio vivendi. — *ἐν ᾠδ.* Pollux 8, 33. *ἐπὶ τῷ σίτῳ δίκας ἐν ᾠδείῳ ἐδίκαζον*, ubi vid. Seberus. *Be.* S.: *τόπος ἐστὶ θεατροειδὴς, ἐν ᾧ εἰώθασι τὰ ποιήματα ἀπαγγέλλειν, πρὶν τῆς εἰς τὸ θέατρον ἀπαγγελίας.* — Fl. Chr.: „Odeum locus fuit ad theatri similitudinem a Pericle constructus, unde musicos et tragoedos audiebant decertantes, ut ait Plut. (Pericle c. 13.) ibi farinas dimetiebantur, ut ait Demosth. orat. ad Phorm. (p. 918, 8.); quo factum, ut ibidem Archon forum haberet et judicia exerceret. — *πρὸς τοῖς τειχίοις.* murorum refectores et curatores, quos Aristoteles *τειχοποιοὺς* vocat, non erant ordinarii magistratus, sed, prout usus postulabat, a tribubus legebantur cum quaestoribus, ut moenia vetera et ruinam minantia refici curarent. sic Demosth. a tribu Pandionide electus est: unde manarunt nobiles illae oratt. Aeschinis et Demosthenis contra Ctesiphontem et pro corona." —

1069. *συμβ. πυκνώσαντες ἑαυτούς, καὶ κάμψαντες διὰ τὸ γῆρας. ἄλλως. τὸ πυκνὸν πρὸς τὸ ξυμβ. παίοντες* (hoc invenerit necesse est in libris suis, non *νεύοντες*) *δὲ μόλις τῇ βακτηρίᾳ, ὡς ἂν γέροντες, ἢ ὑπὸ τοῦ συμπεπυκνῶσθαι. ἐδίδοντο δὲ καὶ βακτηρίαι τοῖς δικασταῖς ὁμόχροοι τοῖς δικαστηρίοις, ὅπου ἑκάστους εἰσελθόντας δικάζειν ἔδει, ἵνα τὸν διαμαρτάνοντα ἀπελέγξῃ τὸ χρῶμα.* S.

1070. *ὥσπερ οἱ σκώληκες ἐν κυττάροις. τουτέστιν ἠρέμα, ὡς οἱ σκώληκες, διὰ τὸ γῆρας. κύτταροι δὲ αἱ τῶν κηρίων κοιλότητες.* — S. Voss.: *Fast den Maden gleich, im hohlen Rumpfe, starr und unbewegt.*

1071. *reliquae etiam vitae ratio ita comparata est, ut facile omnia inveniamus.* Be. et magistratus se gerere dicit Chorus, et alio quocunque modo vitam tolerare maxima cum industria atque agilitate. quod Helvetii dicunt *anstellig.*

1073. *κηφ. τοὺς ἐπὶ τοῦ βήματος λέγει ῥήτορας. κηφῆνες δέ εἰσιν οἱ ἄρρενες τῶν μελισσῶν, οἵτινες οὔτε κέντρα ἔχουσιν, οὔτε κηρία ἐργάζονται, ἀλλὰ τὰ τῶν*

οὐκ ἔχοντες κέντρον, οἳ μένοντες ἡμῶν τοῦ φόρου
τὸν γόνον κατεσθίουσιν, οὐ ταλαιπωρούμενοι.
τοῦτο δ' ἔστ' ἄλγιστον ἡμῖν, ἤν τις ἀστράτευτος ὢν
ἐκφορῇ τὸν μισθὸν ἡμῶν, τῆσδε τῆς χώρας ὕπερ
μήτε κώπην, μήτε λόγχην, μήτε φλύκταιναν λαβών.
ἀλλ' ἐμοὶ δοκεῖ τολοιπὸν τῶν πολιτῶν ἔμβραχυ,
ὅστις ἂν μὴ ᾖχῃ τὸ κέντρον, μὴ φέρειν τριώβολον.

μελισσῶν ἔργα ἐσθίουσιν. Ἡσίοδος (Op. et D. 279.) κηφήνεσσι κοθούροις ἴκελος ὁρμὴν (sic), Οἵτε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ Ἔσθοντες. S. vide Aristotelis interpp. ad Hist. anim. 5, 21.

1074. sequ. τοῦ φόρου. τούτου, ὃ φέρομεν, τοῦ φόρτου. τὸν γόνον, *fructum*.

1078. φλύκτ. φύσκαν (φύσκην, vel φύσσαν, pustulam) ἐν τῇ χειρὶ ἐκ τοῦ κωπηλατεῖν. S. λαβὼν, ut χίμετλον οὐδὲν λήψομαι 1130. etc.

1079. ἔμβραχυ. καθάπαξ, ἢ παντάπασι. — S. Suidas: ἔμβραχυ: ἁπλῶς, ὅλως, συντόμως. cf. Hesychii interpp. ad v. ἐμβραχεῖ. et Ruhnken. ad Tim. v. ἔμβραχυ. Br. ad h. l. et ad Thesm. 390.

κλέπτουσιν οἱ νεώτεροι.

ΧΟ. Πολλαχοῦ σκοποῦντες ἡμᾶς εἰς ἅπαν[illegible] εὑρήσε[illegible]
τοὺς τρόπους καὶ τὴν δίαιταν σφηξὶν ἐμφερ[illegible]
πρῶτα μὲν γὰρ οὐδὲν ἡμῶν ζῶον ἠρεθισ[illegible]
μᾶλλον ὀξύθυμόν ἐστιν, οὐδὲ δυσκολώ[illegible]
εἶτα τἄλλ' ὅμοια πάντα σφηξὶ μηχαν[illegible]
ξυλλεγέντες γὰρ καθ' ἑσμοὺς, ὥσπ[illegible]
οἱ μὲν ἡμῶν, οὗπερ ἄρχων, οἱ δ[illegible]
οἱ δ' ἐν ᾠδείῳ δικάζουσ', οἱ δ[illegible]
ξυμβεβυσμένοι πυκνὸν, νεύον[illegible]
ὥσπερ οἱ σκώληκες ἐν τοῖς χ[illegible]
ἔς τε τὴν ἄλλην δίαιταν ἐσ[illegible]
πάντα γὰρ κεντοῦμεν ἄν[illegible]
ἀλλὰ γὰρ κηφῆνες ἡμ[illegible]

1060. οἱ νεώτεροι. Cleo[illegible] alii tum demagogi. *H. Voss.* c[illegible]

1066. ita Bentl., Reisk., B[illegible] libri mendose ξυλλέγοντες.

1067. οἱ δὲ π. τ. Ἐνδε[illegible] ρουν οὗτοι τοὺς δεδεμένου[illegible] οὕπερ — Ἐνδεκα. nor[illegible] stratuum Athenis, de q[illegible] l. 8. *Be.* cf. Kōpkei li[illegible] Gr. p. 618. sequ., iter[illegible]

1068. interpunxi [illegible] nam quae sequuntu[illegible] νοι — κινούμενοι, [illegible] scribitur habitus [illegible] vivendi. — ἐν [illegible] τῷ σίτῳ δίκας [illegible] ubi vid. Seber[illegible] Θεατροειδὴς [illegible] ἡματα ἅπα[illegible] Θέατρον [illegible] „Odeum [illegible] tudine[illegible] music[illegible] certa[illegible] ibi [illegible] m[illegible] e[illegible]

1078. φλόκε. φύσαν (φύσαν) ἐν τῷ ζειῷ, ut [illegible] τοῦ κοπτιλιστεῖν. *S.* λαβὼν, etc. [illegible] ἐμβρασεῖ. *S.* Suidas: ἐμβράσσει· ἐμβράσσει· [illegible] ἐμβρασεῖ. Hesyc. et [illegible] ἐμβρασεῖ. Br.

1079. [illegible] παντάπασι. [illegible] ἐκλύει, διαλύει, σαπρὸν ποιεῖ, διαφθείρει, ἀφανίζει. *S.* Suidas: ἐκλύει· διαφθείρει· ἀφανίζει· ἐμβράσσει· ἐμβράζει· ἐμβράσσει· ἐμβράζει· ἐμβρασεῖ· ἐμβράζει· ἐμβρασεῖ· ἐμβράζει· ἐμβρασεῖ



ΣΦΗΚΕΣ.

οὐτοσί με νῦν ἀποπνῖξαι βούλεται;
γε βαλοῦ τηνδὶ λαβών, καὶ μὴ λάλει.
κακὸν τί ἐστι πρὸς πάντων θεῶν;
σῖσι περοίδ', οἱ δὲ καννάκην.
ἂν ᾠόμην Θυμοιτίδα.
ἐς Σάρδεις γὰρ οὐκ ἐλήλυθας.
δ' οὐχὶ γιγνώσκεις.
ἐγώ;
γ'· ἀτὰρ δοκεῖ γ' ἐμοὶ
σάγματι.
ταῦθ' ὑφαίνεται.
ς χόλιξ;
ῖσι βαρβάροις
γέ τοι
95
ῆν

μαλ-
ἔστι δὲ ἡ
μένη χλανίς.
ὸ δήμου τῆς
ῆς, ὡς ἐκεῖ τῶν
ν. ἀπὸ Θυμοίτου
ε δὲ γραπτέον Θυμοι-
um, de hoc dubitare ho-
S.

δ. εἰς Σάρδεις γὰρ ἐπωλεῖτο περσικὰ ἱμάτια. — S. cf. ann. ad Pac. 1103., Ach. 112.

1100. οὐ τοίνυν γε. οὐκ ἦλθον εἰς Σάρδεις. S.

1101. Μόρυχος ὠχρός. σάγματι δὲ τῷ μαλλωτῷ σάγῳ, ᾧ ἐχρῆτο, ὡς τρυφερὸς, πλείονι θαλπει χρώμενος. (cf. 490.) — Ἐκβάτανα δὲ πόλις Περσῶν. (cf. Ach. 64.) κρόκη δὲ ῥοδάνη, καὶ κροκύφαντος (fort. κροκύφαντον, textum), ὅτι διὰ κρόκης ὑφαίνεται. S.

δ. χόλιξ λέγεται τὸ τοῦ βοὸς ἄρον μαλλωτὸν, ὅ ἐστιν (ὡς) ἐκ κρόκης μαλλός. (cf. Pac. 692.) ἄλλως. τὰς ἐξοχὰς τῶν κρόκων εἰκάζει χόλικι. τοῦτο δὲ Ἀρτεμίδωρος λέγει τὰς ἐπὶ τῆς κοιλίας λεγομένας χολάδας. Εὐφρόνιος δὲ οὐ τὰ ἔντερα καθ' αὑτὸ, ἀλλὰ πᾶν σὺν τῷ λίπει καὶ τοῖς ὑμέσιν. S. κρόκης χόλιξ, *intestina ex lana*. ridicule. Fl. Chr.: laneos floccos in panno extantes comparat bovis intestino, quod crispum est et velut pellitum. —

1104. πόθεν; negatio morata. cf. Ran. 1382. *Br.*

1106. κατακέπωκε, absorpsit, absumsit. Be.: saepissime hoc verbum usurpatur de helluonibus.

1107. ἐριώλην. ἐρίων ἀπαλειαν, παρὰ τὸ τὰ ἔρια ἀναλῶσαι. S.

1108. δικ., *justius*, rectius.

1109. καὶ στ. γ' ἀμπ. *et consiste, dum indueris*. Be.

ΦΙΛΟΚΛΕΩΝ. ΒΔΕΛΥΚΛΕΩΝ. ΧΟΡΟΣ.

ΦΙ. Οὗτοι ποτὲ ζῶν τοῦτον ἀποδυθήσομαι, i. tr.
ἐπεὶ μόνος μ' ἔσωσε παρατεταγμένον,
δθ' ὁ βορέας ὁ μέγας ἐπεστρατεύσατο.
ΒΔ. ἀγαθὸν ἔοικας οὐδὲν ἐπιθυμεῖν παθεῖν.
ΦΙ. μὰ τὸν Δί'· οὐ γὰρ ὀὐδαμῶς μοι ξύμφορον.
καὶ γὰρ πρότερον ἐπανθρακίδων ἐμπλήμενος
ἀπέδωκ' ὀφείλων τῷ γναφεῖ τριώβολον.
ΒΔ. ἀλλ' οὖν πεπειράσθω γ', ἐπειδήπερ γ' ἄπαξ
ἐμοὶ σεαυτὸν παραδέδωκας εὖ ποιεῖν.
ΦΙ. τί οὖν κελεύεις δρᾶν με;
ΒΔ. τὸν τρίβων' ἄφες,
τηνδὶ δὲ χλαῖναν ἀναβαλοῦ τριβωνικῶς.
ΦΙ. ἔπειτα παῖδας χρὴ φυτεύειν, καὶ τρέφειν,

1081. καυνάκην ἀμφιάσαι βούλεται τὸν πατέρα ὁ υἱὸς, ἀφελόμενος τὸ τριβώνιον. φησὶν οὖν, ὅτι τὸν τρίβωνα οὐκ ἀφαιρῶ ἐμαυτοῦ. — καυνάκης (1110.) δὲ χλαῖνα περσικὴ ἀλεεινή. — ὁ δὲ Παλαμήδης φησί „καυνάκης ἐστὶ περσικὸν ἱμάτιον, ἔχον ἐκ τοῦ ἑτέρου μέρους μαλλούς." (est καυνάκη, gaunacum, ut ait Varro de L. L. 4, 35., sagum majus et ἀμφίμαλλον, ut quidam censent; ut alii ἑτερόμαλλον: denique villosum et arcendo frigori accommodum. *Ex Fl. Chr.*) — ἄλλως. — σάγμα δὲ (1005.) ἡ θήκη τοῦ ὅπλου. — ἐπεστρατεύσατο δὲ σφοδρῶς ἐπῆλθε τοῖς ἡμετέροις μαχεσόμενος σώμασι. μήποτε τὸν πνεύσαντά φησι βορέαν ἐπὶ τῷ Ἀρτεμισίῳ, καὶ διαφθείραντα τὸν τῶν βαρβάρων στόλον· πολὺς γὰρ ἐπελθὼν κατέδυσεν αὐτῶν τὰ σκάφη, βοηθῶν Ἀθηναίοις. διὸ καλῶς τὸ ἐπεστρατεύσατο. S. vid. Herodot. Uraniae capp. 12., 13.

1085. οὐδ. μοι ξύμφορον. οὐ λυσιτελεῖ μοι, φησὶ, πολυτελῆ ἀμφιέννυσθαι· καὶ γὰρ πρώην ἰχθύδια ἑσθίων ὀπτὰ, καταστάξαντος ζωμοῦ ἐπὶ τὸ ἱμάτιον, τριώβολον ἔδωκα τῷ κναφεῖ μισθὸν, τουτέστι τῷ πλύνοντι τὰ ἱμάτια. S. cf. Ach. 632.

1088. πεπειρ. impersonaliter. Ba.

1091. τὸν τρίβ. cf. 1113.

1091. ἐὰν μὲν τριβωνικῶς, ὥσπερ τριβώνιον τετριμμένῳ, καὶ ἀσθενήσαντι (τετριμμένον καὶ ἀσθενῆσαν τι). ἐὰν δὲ γεροντικῶς (quod alicubi reperit S.), ὡς πρέπει γέροντι. S.

1092. ἔπειτα ἐμφατικόν est et indignantis, ut passim.

ὅθ' οὗτοσί με νῦν ἀποπνῖξαι βούλεται;
ΒΔ. ἔχ', ἀναβαλοῦ τηνδὶ λαβών, καὶ μὴ λάλει.
ΦΙ. τουτὶ τὸ κακὸν τί ἐστι πρὸς πάντων θεῶν;
ΒΔ. οἱ μὲν καλοῦσι περσίδ', οἱ δὲ καυνάκην.
ΦΙ. ἐγὼ δὲ σισύραν ᾠόμην Θυμοιτίδα.
ΒΔ. κοὐ θαῦμά γ'· ἐς Σάρδεις γὰρ οὐκ ἐλήλυθας.
ἔγνως γὰρ ἄν· νῦν δ' οὐχὶ γιγνώσκεις.
ΦΙ. ἐγώ;
μὰ τὸν Δί', οὐ τοίνυν γ'· ἀτὰρ δοκεῖ γ' ἐμοὶ
ἐοικέναι μάλιστα Μορύχου σάγματι.
ΒΔ. οὔκ, ἀλλ' ἐν Ἐκβατάνοισι ταῦθ' ὑφαίνεται.
ΦΙ. ἐν Ἐκβατάνοισι γίγνεται κρόκης χόλιξ;
ΒΔ. πόθεν, ὦ 'γάθ'; ἀλλὰ τοῦτο τοῖσι βαρβάροις
ὑφαίνεται πολλαῖς δαπάναις. αὕτη γέ τοι
ἐρίων τάλαντον καταπέπωκε ῥᾳδίως.
ΦΙ. οὐκοῦν ἐριώλην δῆτ' ἐχρῆν ταύτην καλεῖν
δικαιότερόν γ' ἢ καυνάκην.
ΒΔ. ἔχ', ὦ 'γαθὲ,
καὶ στῆθί γ' ἀμπισχόμενος.

1093. ἀποπνῖξαι. διὰ τὸ καῦμα τὸ ἀπὸ τῆς καυνάκης. S.

1094. ἔχε, cape, germ. da, francogall. tenes. cf. 1108.

1096. cf. annot. ad 1084.

1097. σισύραν εἶπεν οὐ τὸ μαλλωτὸν στρῶμα, ἀλλὰ βαίταν. ἔστι δὲ ἡ ἀπὸ δερμάτων συῤῥαπτομένη χλανίς. Θυμαιτίδα δὲ ἀπὸ δήμου τῆς Ἱπποθοωντίδος φυλῆς, ὡς ἐκεῖ τῶν βαιτῶν γινομένων. ἀπὸ Θυμοίτου ἥρωος. μήποτε δὲ γραπτέον Θυμοιτίδα. (mirum, de hoc dubitare hominem.) S.

1098. εἰς Σάρδεις γὰρ ἐπωλεῖτο τὰ περσικὰ ἱμάτια. — S. cf. ann. ad Pac. 1103., Ach. 112.

1100. οὐ τοίνυν γε. οὐκ ἦλθον εἰς Σάρδεις. S.

1101. Μόρυχος ὠχρός. σάγματι δὲ τῷ μαλλωτῷ σάγῳ, ᾧ ἐχρῆτο, ὡς τρυφεροὺς, πλείονι θάλπει χρώμενος. (cf. 490.) — Ἐκβάτανα δὲ πόλις Περσῶν. (cf. Ach. 64.) κρόκη δὲ ῥοδάνη, καὶ προκύφαντος (fort. προκύφαντον, textum), ὅτι διὰ κρόκης ὑφαίνεται. S.

1103. χόλιξ λέγεται τὸ τοῦ βοὸς ἔντερον μαλλωτὸν, ὅ ἐστιν (ὡς) ἐκ κρόκης μαλλός. (cf. Pac. 692.) ἄλλως. τὰς ἐξοχὰς τῶν κρόκων εἰκάζει χόλικι. τοῦτο δὲ Ἀρτεμίδωρος λέγει τὰς ἐπὶ τῆς κοιλίας λεγομένας χολάδας. Εὐφρόνιος δὲ οὐ τὰ ἔντερα καθ' αὑτὸ, ἀλλὰ πᾶν σὺν τῷ λίπει καὶ τοῖς ὑμέσιν. S. κρόκης χόλιξ, intestina ex lana. ridicule. Fl. Chr.: laneos floccos in panno extantes comparat bovis intestino, quod crispum est et velut pellitum. —

1104. πόθεν; negatio morata. cf. Ran. 1382. Br.

1106. κατεπέπωκε, absorpsit, absumsit. Be.: saepissime hoc verbum usurpatur de helluonibus.

1107. ἐριώλην. ἐρίων ἀπώλειαν, παρὰ τὸ τὰ ἔρια ἀναλῶσαι. S.

1108. δικ., justius, rectius.

1109. καὶ στ. γ' ἀμπ. et consiste, dum induaris. Be.

ΦΙ. οἴμοι δείλαιος,
ὡς θερμὸν ἡ μιαρά τί μου κατήρυγεν!
ΒΔ. οὐκ ἀναβαλεῖ;
ΦΙ. μὰ Δί' οὐκ ἔγωγ', ἀλλ', ὦ 'γαθέ,
εἴπερ γ' ἀνάγκη, κρίβανόν μ' ἀμπίσχετε.
ΒΔ. φέρ', ἀλλ' ἐγώ σε περιβαλῶ· σὺ δ' οὖν ἴθι.
ΦΙ. κατάθου γε μέντοι καὶ κρεάγραν.
ΒΔ. τιή;
ΦΙ. τί δή;
ἵν' ἐξέλῃς με, πρὶν διερρυηκέναι.
ΒΔ. ἄγε νυν, ἀποδύου τὰς καταράτους ἐμβάδας,
τασδὶ δ' ἀνύσας ὑπόδυθι τὰς λακωνικάς.
ΦΙ. ἐγὼ γὰρ ἂν τλαίην ὑποδύσασθαί ποτε
ἐχθρῶν παρ' ἀνδρῶν δυσμενῆ καττύματα;
ΒΔ. ἔνθες πόδ', ὦ 'τᾶν, κἀτα βαῖν' ἐρρωμένως,
ἐς τὴν λακωνικὴν ἀνύσας.
ΦΙ. ἀδικεῖς γέ με,
ἐς τὴν πολεμίαν ἀποβιβάζων τὸν πόδα.

1110. κατήρυγεν. κατέπνευσεν. — S.

1112. εἴπερ γ' ἀνάγκη. εἰρωνικῶς.

1114. τί δή; hoc Philocleoni tribuendum esse vidit Reiskeus, quod sub persona filii legitur in libris. Be.: κρεάγραν. fuscinam, qua coqui eximunt carnes ex ollis, jubet apponi, ut similiter eximatur e veste, quasi coctus.

1115. πρὶν διερρ. πρὶν συμπεσεῖν ἀπὸ τῆς ὀπτήσεως τὰ κρέα μου. ἐμβάδας, τὰ δικαστικὰ ὑποδήματα. S. quasi carnes, quum assatae sunt, harpago prohibet effluere et cadere. jocum et risum hinc captat Comicus, sed satis frigidum et dignum Plutarchi censura. Fl. Chr.

1117. ἀνύσας. cf. 1125. et index h. v. S.: τὰς λακ. ἀνδρεῖα ὑποδήματα. (rubro colore, ut notavit G. G. S. Köpkeus libro germ. de rebus gr. p. 626. cf. Faber ad Concion. 74.) ἢ ἀστειότερα, ὡς αὐτὸς Ἀριστ. ἐν Θεσμοφ. (148.)· ποῦ τὸ πέος; ποῦ χλαῖνα; ποῦ λακωνικαί; ὁ δὲ Φιλ. ἐποσείετο αὐτὰς, ὡς ἐχθρῶν Ἀθηναίοις τῶν Λακεδαιμονίων. καττύματα δὲ δέρματά τινα ἰσχυρὰ, καὶ σκληρὰ, ἅπερ τοῖς σανδαλίοις καὶ ἄλλοις ὑποδήμασιν ὑποβάλλεται.

1119. Eurip. Heraclid. 971. ἐχθροῦ λέοντες δυσμενῆ βλαστήματα. Be.

1120. ita Bentl., Markland. ad Eurip. Iphig. T. 1207., Br. etc. libri ὦ 'τὰν κατάβαιν', vel ὦ 'τὰν καὶ κατάβαιν'. Rav., Fracin., Bekk., D., ὦ 'τὰν, κἀπόβαιν' ἐ. sed alienum est ἀποβαίνειν, ubi agitur ire, non abire. saepe confusa κἄτα et κατά. est autem hoc hyperbaton, siquidem verba ἔνθες πόδα pertinent ad illa sequente versu ἐς τὴν λακωνικὴν ἀνύσας.

1121, 2. — ἔνθες (πόδ') ἀντὶ τοῦ ὑπόδυσαι. ἅμα μὲν πρὸς τὸ ὑπόδημα, ἅμα δὲ πρὸς τὴν χώραν. εἰς τὴν πολ. ὁ μὲν εἶπε τὴν λακωνικὴν ἐμβάδα, ὁ δὲ ὑπενόησε λέγειν αὐτὸν τὴν χώραν. S.

ΒΔ. φέρε καὶ τὸν ἕτερον.
ΦΙ. μηδαμῶς τοῦτόν γ', ἐπεὶ
πάνυ μισολάκων αὐτοῦ 'στιν εἷς τῶν δακτύλων.
ΒΔ. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα.
ΦΙ. κακοδαίμων ἐγώ,
ὅστις ἐπὶ γήρᾳ — χίμετλον οὐδὲν λήψομαι!
ΒΔ. ἄνυσόν ποθ' ὑποδυσάμενος· εἶτα πλουσίως
ὠδὶ προβὰς τρυφερόν τι διασαικώνισον.
ΦΙ. ἰδού. θεῶ τὸ σχῆμα, καὶ σκέψαι μ', ὅτῳ
μάλιστ' ἔοικα τὴν βάδισιν τῶν πλουσίων.
ΒΔ. ὅτῳ; δοθιῆνι σκόροδον ἡμφιεσμένῳ.
ΦΙ. καὶ μὴν προθυμοῦμαί γε σαυλοπρωκτιᾶν.
ΒΔ. ἄγε νυν, ἐπιστήσει λόγους σεμνοὺς λέγειν,
ἀνδρῶν παρόντων πολυμαθῶν, καὶ δεξιῶν;
ΦΙ. ἔγωγε.
ΒΔ. τίνας δῆτ' ἂν λέγοις;
ΦΙ. πολλοὺς πάνυ.
πρῶτον μέν, ὡς ἡ Λαμί' ἁλοῦσ' ἐπέρδετο·

1123, 24. μηδ. — δακτ. prorsus odisse ait unum digitum alterius pedis Lacedaemonios, itaque etiam eorum calceamenta.

1125. οὐκ — ἄλλα. ordo οὐκ ἔστιν ἄλλα παρὰ ταῦτα, non possunt alia fieri praeter haec, i. e. fieri aliter non potest.

1126. χιμ. ὅτι κυρίως νῦν τὸ ἀπὸ τοῦ ψύχους ἐπὶ τῶν δακτύλων (pernionem). λέγεται δὲ καὶ μέρος τι τοῦ ποδός, περὶ ὃ τὸ πάθος. — παρ' ὑπόνοιαν δὲ ἀντὶ τοῦ εἰπεῖν „ἀγαθὸν οὐδὲν λήψομαι," „ὅστις τὰ τῶν γερόντων οὐ λήψομαι (capiam, habebo.)" queritur Phil., se ne pernionem quidem (eine Frostbeule) habiturum esse in senectute, ut alios judices, male munitis pedibus sub dio sedentes. similiter H. Voss. joci frigidiores.

1128. διασαλακώνισον. (sic.) ἀβρύνθητι, καὶ διαθρύφθητι. οἱ δὲ διασαλακώνισον (aliam igitur scripturam in suis libris S. hic invenerat, opinor διασαικώνισον, quod habet D. in ed. Didotiana. Hesych. διασαικωνῆσαι, quod fuerit διασαικωνίσαι. v. Schneideri lex. v. σαλακωνεύω.) ἀπὸ Σαλάκωνος μαλακοῦ, τοῦ Αὐτολύκου πατρός. ἄλλως. ἔοικεν ἐμφαίνεσθαι τῷ ὀνόματι τὸ σαλακωνεύεσθαι, τουτέστι τὸ σαλεύειν τὸν πρωκτόν. (?) ἔν τισι μὲν διαλυκώνισον ἀπὸ Λύκωνος (v. 1254.) ἐν δὲ τῇ Ἀρτεμιδώρου συναγωγῇ διαλακώνισον. — οἱ μὲν τὸν πέντα θλον (?) αὐτὸν Λύκωνα. — S.

1131. ἀπροσλόγως παίζει. — η πρὸς τὸν πατέρα ἀμόρφως ἠμφιεσμένον τὴν ναυνάκην καὶ ἀναρμόστως, καὶ (imo ὡς) τὸ σκόροδον τῷ δοθιῆνι ἀνάρμοστον εἰς θεραπείαν. δοθιὴν δὲ φῦμα φλυκταίνῃ ἐοικός. S. — quae enim medicina magis ἀνάρμοστος furunculo quam allium plenum acrimoniae et phlyctaenas potius facturum quam medicaturum? — *Fl. Chr.*

1132. σαυλ. S.: σαλεύειν τὸν πρωκτόν. σαῦλον δὲ τὸ κοῦφον. Hom. hymno in Mercurium 28. σαῦλα ποσὶν βαίνουσα. Hesych.: σαυλά: κοῦφα, ἥσυχα, τρυφερά. Be.

1133. σεμνοὺς λόγους. εἰρωνικῶς, ut οἱ σοφοὶ 1159.

1163. Lamia, Beli et Libyae filia, ipsi placuit Jovi, qui filium ex ea

ἔπειτα δ', ὡς ὁ Καρδοπίων τὴν μητέρα...
ΒΔ. μή μοι γε μύθους, ἀλλὰ τῶν ἀνθρωπίνων
οἵους λέγομεν μάλιστα τοὺς κατ' οἰκίαν.
ΦΙ. ἐγῷδα τοίνυν τῶν γε πάνυ κατ' οἰκίαν
ἐκεῖνον, ὡς οὕτω ποτ' ἦν μῦς καὶ γαλῆ.
ΒΔ. ὦ σκαιέ, κἀπαίδευτε, Θεαγένης ἔφη
*τῷ κοπρολόγῳ, καὶ ταῦτα λοιδορούμενος,
μῦς καὶ γαλᾶς μέλλεις λέγειν ἐν ἀνδράσι;
ΦΙ. πολους τινὰς δὲ χρὴ λέγειν;
ΒΔ. μεγαλοπρεπεῖς·
ὡς ξυνεθεώρεις Ἀνδροκλεῖ, καὶ Κλεισθένει.

suscepit. eo sublato per Junonem adeo afflicta est Lamia, ut non modo pulcritudinem amitteret suam, sed etiam furore percita terras domosque pervagaretur ablatum et devoratum pueros, quos invenisset. vide Suid. v. *Λαμία*, Philostrat. vit. Apoll. 4, 25. etc. Horat. A. P. 339. *nec, quodcunque volet, poscat sibi fabula credi, Neu pransae Lamiae vivum puerum extrahat alvo.* cf. Pac. 733.

1137. καὶ τοῦτο ἀρχὴ μύθου. Δίδυμος „ὁ Καρδοπίων ζητητέος. οὐδαμοῦ κωμῳδεῖται, ἀλλ' Ἀγκυλίων ἐπὶ τῷ τὴν μητέρα κακῶς διατιθέναι." λείπει δὲ ἔτυψεν. S. ἐκίνει, vel quiddam simile, supplebat Br., nec male: nam talia dici solent ἐλλειπτικῶς. v. Schäfer. ad Bos. Ellips. p. 588., Virgilii interpp. eclog. 3, 8. etc.

1139. οἵους. λόγους. τοὺς κατ' οἰκίαν, *familiares.*

1141. πρὸς τὴν συνήθειαν, ὅτι μῦθον προέταττον οὕτως, οἷον „ἦν γέρων καὶ γραῦς." καὶ Πλάτων ἐν Φαίδρῳ (ed. Tauchniz. vol. 8. p. 15.) ἦν οὕτω παῖς, μᾶλλον δὲ μειρακίσκος· τούτῳ δ' ἦσαν ἐρασταὶ πάνυ πολλοί. ἄλλως. ἀρχὴ μύθου. τοῦτο δὲ πρὸς τὸ κατ' οἰκίαν εἰρημένον τῷ Βδελυκλέωνι, οἰόμενος, περὶ μυθαρίων αὐτὸν λέγειν. S. principium anilis fabulae. *Be.*

1141. Θεαγένης dedi auctore Brunckio, cui assentitur Lobeck. ad Phryn. p. 653. sane non alius hic videtur esse quam qui perstringitur in Pace 874. libri Θεογένης, quae forma haud scio an sit inusitata. S.: Θεογένης. ὅτι Θεογένης οὗτός ἐστιν ὁ Ἀχαρνεύς, ὃν καὶ ἐπὶ τῇ μεγάλα ἀποπαρδεῖν κωμῳδοῦσιν. δῆλον δὲ ἐν ταῖς Ὥραις. (fr. 13.) S.

1143. τῷ κοπρ., *noto illi scurrae*, dictum ut τῷ Σεριφίῳ, de quo Matth. gr. §. 266. aliique. 1214. ὃν ἔμαθες ἐν τῷ ξυμποσίῳ. Equ. 389. καὶ πρὸς ἐμὲ τοῦτ' εἶπ'· ἀνὴρ κόπρειος, h. e. interprete Casaub. *vilis, abjectus*, ut qui hortos curant, agrosque stercorant. ibidem Dukerus: „Salmas. ad Tertull. Pall. p. 333. ait, jactabundos, item scurras, aretalogos, et eos, qui magna promittunt, quos inter et ῥήτορας, a Graecis appellari κοπρίους et κοπρολόγους, idque ostendit cum ex h. l., tum ex aliis. nam nihil ingratius esse auribus, nihil putidius ejusmodi jactatione, et hinc ap. Plautum (Mil. glor. 90.) *stercoreos* dici." — καὶ ταῦτα λ., Berglerus *o indocte et importune, inquit Theagenes, idque cum stercorarium increparet.* quis haec infuscata esse neget, feratque putidum istud καὶ ταῦτα? manifesta est labes scripturae, remedium difficilius, nisi forte A. dixit Θ. ἔ. τῷ κ., κάρτ' ἀντιλοιδορούμενος; *vehementer* scurrae, qui eum dictis lacessiverat, *vicissim conviciatus.* similis locus est 1268.

1146. ξυνεθ. Θεωροί ap. Athenn. appellabantur, qui publica auctoritate ad sacrificia exterorum, ad oracula consulenda, ad festa, sacra certamina, aliosque conventus mittebantur, quibusque stipendium e

ΦΙ. ἐγὼ δὲ τεθεώρηκα πώποτ' οὐδαμοῦ
πλὴν ἐς Πάρον, καὶ ταῦτα δύ' ὀβολὼ φέρων.
ΒΔ. ἀλλ' οὖν λέγειν χρή σ', ὡς ἐμάχετό γ' αὐτίκα
Ἐφουδίων παγκράτιον Ἀσκώνδᾳ καλῶς,
ἤδη γέρων ὢν καὶ πολιὸς, ἔχων δέ τοι
πλευρὰν βαρυτάτην, καὶ χέρας, λαγόνας τε, καὶ
θώρακ' ἄριστον.
ΦΙ. παῦε, παῦ'· οὐδὲν λέγεις.
πῶς δ' ἂν μαχέσαιτο παγκράτιον θώρακ' ἔχων;
ΒΔ. οὕτως διηγεῖσθαι νομίζουσ' οἱ σοφοί.
ἀλλ' ἕτερον εἰπέ μοι· παρ' ἀνδράσι ξένοις
πίνων σεαυτοῦ ποῖον ἂν λέξαι δοκεῖς
ἐπὶ νεότητος ἔργον ἀνδρικώτατον;
ΦΙ. ἐκεῖν', ἐκεῖν' ἀνδρειότατόν γε τῶν ἐμῶν,
ὅτ' Ἐργασίωνος τὰς χάρακας ὑφειλόμην.
ΒΔ. ἀπολεῖς με! ποίας χάρακας; ἀλλ', ὡς ἢ κάπρον
ἐδιώκαθές ποτ', ἢ λαγών, ἢ λαμπάδα

publico dabatur. vide Hesychii interpretem ad glossam θεωρικός. sacram se legationem semel tantum, in Parum missum, obiisse dicit Phil., accepto duorum obolorum in singulos dies stipendio. hic autem salse Athenn. perstringit Com., qui harum legationum munus saepe in homines abjectissimos conferebant, quales erant Androcles et Clisthenes. Br. cf. Pac. 430., et de stipendio Ach. 67. S. ἐμφαίνει μὲν ὡς περὶ γενναίων τινῶν καὶ λαμπρῶν. Ἀνδροκλέα δὲ Κρατῖνος Σερίφοις φησὶ δοῦλον καὶ πτωχὸν, ἐν δὲ Ὥραις ἠταιρηκότα ἄρα (imo ἀρ. sive Ἀρ., i. e. Ἀριστοφάνης, auctore Bergk.: v. Horarum fragm. 8., p. 164.) αὐτόν· Τηλεκλείδης δὲ, καὶ Ἐπιφανίδης (qui satiras scripsit. Fl. Chr.), βαλλαντιοτόμον. ὁ δὲ Κλεισθένης ἐπὶ μαλακίᾳ γνωριμώτατος etc. S. de Clisthene cf. Ach. 118.

1148. καὶ — φέρων. ἀντὶ τοῦ μισθωτὸς ὢν στρατιώτης. — S.

1150. obscura nomina, quae joci causa conficta esse a Comico arbitratur S., εἰ μὴ ἄρα, inquit, ὁ Ἐφουδίων (sic) ἐστὶν, ὁ ἐν τοῖς Ὀλυμπιάσι φερόμενος Ἐφουδίων Μαινάλιος. cf. inferius 1335. seqq. Ἀσκ., Ascondae, contra Ascondam.

1153. Θώρακα τὸν πολεμικὸν ἐνόησε χιτῶνα, τοῦ Βδελυκλέωνος τὸ στῆθος εἰπόντος. — φησὶν οὖν „πῶς ἂν μαχέσαιτο παγκράτιον καθωπλίσμενος;“ ἐπειδὴ νόμος ἦν, τοὺς γυμναστὰς γυμνοὺς εἰς τὸν ἀγῶνα εἰσέρχεσθαι. S.

1155. νομίζουσι, solent. οἱ σοφοὶ dictum εἰρωνικῶς.

1156. παρ' ἀνδρ. ξένοις. ἔθος γὰρ ἐπὶ τοῖς ξένοις καυχᾶσθαι S. mira facinora, quae in juventute ediderit, confingere et narrare inter pocula jubet patrem.

1160, 5. Ἔργασ. γεωργοῦ. θηλυκῶς δὲ ἐπὶ τῶν ἀμπέλων ἡ χάραξ, ἀρσενικῶς δὲ ἐπὶ τῶν πρὸς πολιορκίαν. (cf. Ammon. p. 145. ed. Valck.) χάραξ δέ ἐστι τὸ λεπτὸν ξύλον, ᾧ προσδεσμοῦσι τὴν ἄμπελον, ἵνα μὴ ὑπὸ τῶν ἀνέμων συντριβῇ (συντρίβηται). — ἀλλά. scil. λέγε.

1162, 3. ἐδ. ποτ'. εἰ οἶδας σεαυτὸν λαμπαδιοδρομήσαντα. (imo id confingens, ἀνευρὼν, more tum juvenum gloriosorum.) ὅτι γὰρ καὶ ἠγωνίζοντο δρόμῳ λαμπάδας ἔχοντες ἐν τῷ Κεραμεικῷ, φανερὸν ἐκ τῶν εἰς Βατράχους. (131.) S. νεαν. τι.

ἔδραμες, ἀνευρὼν ὅτι νεανικώτατον.
ΦΙ. ἐνῳδὰ τοίνυν τό γε νεανικώτατον,
ὅτε τὸν δρομέα Φάϋλλον, ὢν βούπαις ἔτι,
εἷλον διώκων λοιδορίας ψήφοιν δυοῖν.
ΒΔ. παῦ· ἀλλὰ δευρὶ κατακλινεὶς προσμάνθανε
ξυμποτικὸς εἶναι, καὶ ξυνουσιαστικός.
ΦΙ. πῶς οὖν κατακλινῶ; φράζ' ἀνύσας.
ΒΔ. εὐσχημόνως.
ΦΙ. ὧδὶ κελεύεις κατακλιθῆναι;
ΒΔ. μηδαμῶς.
ΦΙ. πῶς δαί;
ΒΔ. τὰ γόνατ' ἔκτεινε, καὶ γυμναστικῶς
ὑγρὸν χύτλασον σεαυτὸν ἐν τοῖς στρώμασιν.
ἔπειτ' ἐπαίνεσόν τι τῶν χαλκωμάτων,
*ὀροφὴν θέασαι, κρεκάδι' αὐλῆς θαύμασον·
ὕδωρ κατὰ χειρός· τὰς τραπέζας εἰσφέρειν·
δειπνοῦμεν· ἀπονενίμμεθ'· ἤδη σπένδομεν...

1165. sequ. εἴρηται περὶ Φαύλλου ἐν Ἀχαρνεῦσιν. (310.) ὁ βούπαις δὲ ἡλικίας ὄνομα, ὁ νέος ἐφῆβος. εἷλον διώκων. ἀντὶ τοῦ εἶπεῖν, ὅτι ἐνίκησα δρόμῳ, πάλιν περὶ δίκης φησί. δρομεὺς δὲ ἄριστος ὁ Φάϋλλος. ξυνουσιαστικὸς δὲ κοινωνικός. (vox ambigua.) S.

1166. ψήφοιν δυοῖν. duobus plus fuit calculorum damnatoriorum, itaque litem perdidit Phayllus.

1170. φαίνεται, ὅτι πρὸς τῷ στόματι ἔχων τὰ γόνατα κατεκλίθη. γυμναστικῶς δὲ παλαιστρικῶς. χύτλασον δὲ διάχυσον σεαυτόν [ὑγρῶς ἄλειψαι]. (ὑγρὸν, ab effectu ungendi; nisi ponendum sit ὑγροῦ, humore, unguento.) χυτλάζειν δὲ τὸ μιγνύναι, καὶ διαχεῖν. — S. vid. Schneideri lex. v. χύτλον.

1173. putide S., quasi haec serio dicantur, neque εἰρωνικῶς, ὅτι οἱ ἐν συμποσίοις ἀνακείμενοι πρὸ τοῦ εἰσαχθῆναι τὰ βρώματα (schol. Bekker. πρὸ τοῦ προσφάγια εἰσενεχθῆναι,) ἐπαινοῦσι τὰ ἐν τῇ οἰκίᾳ σκεύη, καὶ τὴν οἰκίαν, καὶ τὰ ἐν τῇ αὐλῇ.

1174. κρεκάδια vox haud dubie corrupta, quidquid ait Br., nec cogitandum de pulsatione atque densatione telae, quemadmodum Sappho dixit κρέκειν τὸν ἱστόν. nec tamen inepte Br. significari putat „ἱστουργήματα, παραπετάσματα, aulaea, seu vela, quibus aula tam ornatus gratia quam arcendo vento, pulveri, aut si quid aliud nocere poterat, obtendebatur." sed eo sensu potius dictum putes κροκίδια a κρόκη, textum (Pindar. Nem. 10, 83.).

1175. ὕδωρ κ. χ. λείπει τὸ αἴτησον. οὕτως δὲ ἔθος λέγειν ὕδωρ κατὰ χειρὸς πρὸ τοῦ εἰσαχθῆναι τὴν τράπεζαν· μετὰ δὲ τὸ δειπνῆσαι ἀπονίψασθαι δός, ὃ καί. S. docet eum formulas in conviviis usitatas. cf. Av. 438. sequ., Athen. 10. p. 408., 14. p. 641., ubi quidem haec quoque Aristophanis proferuntur. annotavit Be.

1180. σπένδομεν. significat mensis remotis fieri solitam libationem, quam sequebantur concentus musici, saltationes, artesque praestigiatorum, de quibus Br. h. l. et scriptores rerum gr.

ΦΙ. πρὸς τῶν θεῶν, ἐνύπνιον ἐστιώμεθα.
ΒΔ. αὐλητρὶς ἐνεφύσησεν. οἱ δὲ συμπόται
εἰσὶν Θέωρος, Αἰσχίνης, Φάνος, Κλέων,
ξένος τις ἕτερος πρὸς κεφαλῆς Ἀκέστορος.
τούτοις ξυνὼν τὰ σκόλι' ὅπως δέξει καλῶς.
ΦΙ. ἀληθές· ὡς οὐδείς γε δὴ τῶν Διακρίων.
ΒΔ. ἐγὼ εἴσομαι. καὶ δὴ γὰρ εἶμ' ἐγὼ Κλέων,

1177. ἐνύπνιον ἐστ. ὅτι εἴρηται μὲν τὰ ἐν συμποσίῳ, οὐ μὴν γεγένηται, ὡς ὄνειρόν φησιν ἑωρακέναι. S.

1179. de *Theoro* dictum ad 42. *Aeschines* intelligitur Selli filius: vide 1203. et annot. ad 318. de *Phano* Phaenus ap. S. ad Equ. 1144. Φάνος γὰρ κακοπράγμων ἐγένετο, φιλόνεικος γραμματεύς. ipsi Aristophani dicitur isto loco: ὑπογραφεὺς δικῶν. „de Phano quodam, qui parce coenaret, Alexis Com. ap. Athen. 4. p. 161. καὶ Φυρόμαχος καὶ Φάνος, οἳ δι' ἡμέρας Δειπνοῦσι πέμπτης ἁλφίτων κοτύλην μίαν.“ Bc.

1180. ita Bentl., Br. etc. vulgo Ἀκέστερος. S. ad Av. 31.: οὗτος ἐστιν Ἀκέστωρ, τραγῳδίας ποιητής. ἐκαλεῖτο δὲ Σάκας διὰ τὸ ξένος εἶναι· Σάκες γὰρ Θρᾷκές εἰσι. Θεόπομπος δὲ καὶ τὸν πατέρα αὐτοῦ Σάκα προσηγόρευσεν ἐν Τισαμένῳ. ὁ δὲ αὐτὸς καὶ Μυσὸν ἐκάλεσεν. εἰς δὲ τὴν ποίησιν αὐτὸν κεχλεύακασι Καλλίας μὲν ἐν Πεδήταις, καὶ Σάκον (Σάκαν D.) οἱ χορολ μισοῦσι, Κρατῖνος (δ') ἐν Κλεοβούλοις, Ἀκέστορα γὰρ ὅμως εἰκὸς λαβεῖν Πληγάς, ἐὰν μὴ συστρέψῃ (συστρέφῃ D.) τὰ πράγματα. similia habet h. l.

1181. τὰ σκόλι' ὅπως δ. καλῶς. ἀρχαῖον ἔθος, ἑστιωμένους ᾄδειν, ἀκολούθως τῷ πρώτῳ, εἰ παύσαιτο τῆς φδῆς, τὰ ἑξῆς. καὶ γὰρ ὁ ἐξ ἀρχῆς, δάφνην ἢ μυρρίνην κατέχων, ᾖδε Σιμωνίδου ἢ Στησιχόρου μέλη ἄχρις οὗ ἤθελε, καὶ μετὰ ταῦτα ᾧ ἐβούλετο ἐδίδου, οὐχ ὡς ἡ τάξις ἀπῄτει· καὶ ἔλεγον ὁ δεξάμενος παρὰ τοῦ πρώτου τὰ ἑξῆς· κἀκεῖνος ἐπεδίδου πάλιν ᾧ ἐβούλετο. διὰ τὸ πάντας οὖν ἀπροσδοκήτως ᾄδειν, καὶ λέγειν τὰ μέλη, σκολιὰ (σκόλια) εἴρηται. — ἄλλως. ὅπως παραδέξῃ. — S. vid. Ilgenii editio scoliorum. — ἀληθὲς (sic libri) significat δίκαιον, δίκαιόν ἐστιν, ἐμὲ καλῶς δέχεσθαι τὰ σκόλια. Hesych. ἀληθής: δίκαιος. Ammonius p. 10. ed. Valck. Ἀληθὲς καὶ Ἀληθὲς διαφέρει. ἀληθὲς μὲν γὰρ ὀξυτόνως τὸ ἐναντίον τῷ ψεύδει· ἀληθὲς δὲ προπαροξυτόνως τὸ κατ' ἐπερώτησιν λεγόμενον. similiter Latini. Terentius Heaut. I, 1, 102. *ubi non* vere *vivitur*, i. e. recte. cf. Adelph. V, 9, 30. cf. Musgrav. ad Eurip. Or. 424. neque enim senis orationi convenit ironicum ἀληθές, de quo ad Ran. 793.

1182. l. versu hypermetro ἀλ. ὡς ο. γε Διακρ. δεδέξεται. aegre nomen Διακρ. caret articulo, δεδέξεται, autem sapit glossam, quod natum puto ex δὴ δέξεται. metri mutandi in cursu colloquii nulla causa est; quod sensit etiam D., sed minus probabiliter scripsit Ἀληθές; ὡς οὐδεὶς Δ. δέξεται. S.: Διακρίων. ὡς εἰς ταύτην ἑαυτὸν ἀναπέμπων τὴν τάξιν τοῦ πολιτεύματος. κατὰ γὰρ τοὺς Σόλωνος νόμους (imo ante leges statutas Atheniensibus a Solone: vide Köpkei librum de legg. et iudicc. Gr. p. 44.) τρεῖς ἦσαν αἱ τάξεις, μία μὲν τῶν Παραλίων, ὧν προειστήκει Μεγακλῆς· ἑτέρα δὲ τῶν Πεδιέων, ὧν προειστήκει Λυκοῦργος· τρίτη δὲ τῶν Διακρίων, ὧν προειστήκει Πεισίστρατος. τὴν δὲ χώραν τὴν Διακρίαν Παυδίονά φασι, τοῖς υἱοῖς διαπείμαντα τὴν ἀρχήν, Λύκῳ δοῦναι, Αἰγεῖ δὲ τὴν περὶ τὸ ἄστυ, Πάλλαντι τὴν Παραλίαν, Νίσῳ δὲ τὴν Μεγαρίδα. — S. Ehe Solon den Athenern durch eine vernünftige Staatsverfassung Ruhe und Einigkeit gab, war Athen durch 3 Parteien zerrüttet. Die

ᾄδω δὲ πρῶτος Ἁρμοδίου· δέξει δὲ σύ.

ΦΙ. οὐδεὶς πώποτ' ἀνὴρ ἐγένετ' Ἀθηναῖος, phalaec.
οὔχ, οὕτω γε πανοῦργος κλέπτης. da. t.

ΒΔ. τουτὶ σὺ δράσεις; παραπολεῖ βοώμενος· i. tr.
φήσει γὰρ ἐξολεῖν σε καὶ διαφθερεῖν,
καὶ τῆσδε τῆς γῆς ἐξελᾶν.

ΦΙ. ἐγὼ δέ γε,
ἐάν γ' ἀπειλῇ, νὴ Δί' ἕτερον ᾄσομαι.
ὦνθρωφ' οὗτος ὁ μαιόμενος τὸ μέγα κράτος, da. pent.
ἀνατρέψεις ἔτι τὰν πόλιν· ἃ δ' ἔχεται ῥοπᾶς. as., ion. a min. d. et dm.

ΒΔ. τί δ', ὅταν Θέωρος πρὸς ποδῶν κατακείμενος i. tr.
ᾄδῃ, Κλέωνος λαβόμενος τῆς δεξιᾶς,
Ἀδμήτου λόγον, ὦ 'ταῖρε, μαθὼν τοὺς ἀγα-
θοὺς φίλει... chor. t. br. c. l. m.

Diakrier, oder Höhenbewohner, verlangten Demokratie; die *Pedier*, die reichen Bewohner der Niederungen, bestanden auf Oligarchie; die *Paralier*, oder Meerbewohner (Strandbewohner), wollten eine gemischte Verfassung. Als ein ächter Tyrannenfeind nennt sich Filokleon einen Diakrier. *H. Voss.* cf. Herodot. 1. 59.

1184. Ἁρμοδίου, ut Φρυνίχου 269. Ἁρμοδίου μέλος dixit Pelargorum fragm. 12., A. fr. p. 129. nostrae ed., Ἁρμόδιον ᾄδειν Ach. 919., 1026. videtur significari notum illud scolion, cujus initium est Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω.

1186. vulgo δ. δὲ σύ. οὐδεὶς π. ἀ. ἐγ. Ἀθηναῖος. ΦΙ. οὔχ οὕτω — κλέπτης, quasi interfante Philocleone, neque absoluta oratione filii, οὐδ. — Ἀθ. sed facile intelligitur, senis haec esse verba, eodemque tenore dici οὐδ. — κλέπτης: nam Bdel. primus Harmodium canere se fingit, pater autem id scolion excipere verbis αὐτοποιήτοις, ut videtur, οὐδεὶς — κλέπτης. D. in ed. Didot., nescio qua auctoritate, sub persona filii Οὐδ. π. ἀνὴρ ἔγεντ' Ἀθήναις —, deinde sub senis οὔχ ο. γε παν. οὐδὲ κλέπτης — a quo accepimus Ἀθήναις. negatio iterata est παθητικῶς.

1187. παραπολεῖ, ἀπολεῖ ὡς ἐν παρόδῳ, casu et temere peribis, nihil mali auguratus.

1191. παρῳδεῖ quaedam Alcaei, quae leguntur ap. S., sed corrupte. Ven. et vulgo ll. μαινόμενος.

1192. frustra Reisk., Santen., Gaisford. ad Hephaest. p. 275., D., efficto versu dactylico. ἀντρέψεις. S.: ἀνατρέψεις ταχέως τὴν πόλιν, ἤτις πρὸς τοῦτο ῥέπει. ἐκ τῶν Ἀλκαίου δὲ παρῳδεῖ εἰς Κλέωνα, ὡς μαινόμενον. hoc pertinet ad μαινόμενος. Fl. Chr.: — Cic. in ep. ad Fam. (2, 16.) sic videtur dixisse *res inclinari coepit*. sic et ille ap. Suidam historicus ὁ δὲ νομίσας ἐπὶ ῥοπῆς κεῖσθαι τὴν τῆς πατρίδος ἡγεμονίαν etc.

1195. hoc quoque Alcaeo tribui dicit Fl. Chr., nescio quo auctore. S.: καὶ τοῦτο ἀρχὴ σκολίου. ἐξῆς δέ ἐστι τῶν δειλῶν (δ') ἀκέχου, ποιοῦς (γνοὺς), ὅτι δειλῶν ὀλίγα χάρις. — τινὲς δέ φασιν, ὡς, Ἀλκήστιδος ὑπεραποθα-

τούτῳ τί λέξεις σκόλιον;

ΦΙ. ᾠδικῶς ἐγὼ i. tr.
οὐκ ἔστ' ἀλωπεκίζειν, an.
οὐδ' ἀμφοτέροις γίγνεσθαι φίλον. as., a. et dm.

ΒΔ. μετὰ τοῦτον Αἰσχίνης ὁ Σέλλου δέξεται, i. tr.
ἀνὴρ σοφὸς, καὶ μουσικὸς, κᾆτ' ᾄσεται
χρήματα καὶ βίαν Κλειταγόρᾳ τε, κἀμοὶ μετὰ
Θετταλῶν... as., 3 do.

ΦΙ. πολλὰ δὴ διεκόμισας σὺ, κἀγώ. t. tr. br.

ΒΔ. τουτὶ μὲν ἐπιεικῶς σύ γ' ἐξεπίστασαι· i. tr.
ὅπως δ' ἐπὶ δεῖπνον εἰς Φιλοκτήμονος ἴμεν.
παῖ, παῖ, τὸ δεῖπνον, Χρῦσε, συσκεύαζε νῷν,
ἵνα καὶ μεθυσθῶμεν διὰ χρόνου.

ΦΙ. μηδαμῶς.
κακὸν τὸ πίνειν· ἀπὸ γὰρ οἴνου γίγνεται
καὶ θυροκοπῆσαι, καὶ πατάξαι, καὶ βαλεῖν,

νούσης Ἀδμήτου τοῦ ἀνδρὸς αὐτῆς, σκόλια καὶ πενθήρη πρὸς αὐτὸν ᾖδοντο μέλη, μέχρις ἂν ἡ Κόρη ἀνέπεμψεν Ἄλκηστιν, ὡς δ' Εὐριπίδης, Ἄιδῃ μαχεσάμενος Ἡρακλῆς. — Admetus Euripideus Alc. 618. οὐκ ἠθέλησας οὐδ' ἐτόλμησας θανεῖν Τοῦ σοῦ πρὸ παιδὸς, ἀλλὰ τήνδ' εἰάσατε Γυναῖκ' ὀθνείαν, ἣν ἐγὼ καὶ μητέρα Πατέρα τέ γ' ἐνδίκως ἂν ἡγούμην μόνην etc.

1196. ᾠδικῶς ἐγώ. subaudias λέξω: nec tamen nolim, cum γ et ϱ litterae haud raro confusae sint in libris, φ. ἐρῶ, *accantans dicam*. id clarius est vividiusque. D. in ed. Didot. ᾠδί πως ἐ.

1197. vulgo ἔστιν et ἀμφοτέροισι, minus quidem perfectis lyricisque numeris. S.: κολακικὸν (κολαστικὸν) τὸ σκόλιον. — τοῦτο οἱ μὲν Ἀλκαίου, οἱ δὲ Σαπφοῦς· οὐκ ἔστι δὲ, ἀλλ' ἐν τοῖς Πραξίλλης φέρεται παροινίοις. ἀλωπ. πανουργεῖν, κολακεύειν. (ut ὑποπιθηκίζειν 1243. Be.) —

1198. de metro cf. Soph. Antig. 876.

1199. ὁ Σέλλου. cf. 318.

1200. σοφὸς, καὶ μουσικός. ὡσεὶ μὴ σοφὸς, οὐδὲ μουσικός. S.

1201. Κλειταγόρᾳ. μέλος τὸ εἰς αὐτὴν Κλειταγόραν, ἥτις ἐγένετο ποιήτρια, Θετταλή τις γυνή. (laconicam dicit ad Lys. 1239.) — ἐκ σκολίου τινός ἐστιν. Ἀθηναίοις δὲ Θετταλοὶ συνεμάχησαν ἐν τῷ πρὸς τοὺς τυράννους (vid. annot. ad 486.) πολέμῳ. S. — eodem metro τρικώλῳ usus est Soph. Antig. 1047.

1202. πολλὰ χρήματα. διεκ., *effudisti*, quod Germani similiter dicunt *durchbringen*.

1203. ἐπιεικῶς, πρεπόντως πάνυ, quam loquendi rationem etiam Gallofranci frequentamus: dicimus enim sic *il y en a honestement*, i. e. admodum et affatim." *ex Fl. Chr.*

1204. Φιλοκτήμονος. ἄσωτος (?) οὗτος, καὶ συνεχῶς δεῖπνα ἐποίει. (?) S. *sed coenatum eamus apud Philoctemonem*.

1205. μεταβαλεῖν θέλει τοὺς τρόπους τὸν πρεσβύτην. εἰ δὲ (μὴ) πού τις ἐκαλεῖτο εἰς ἄριστον ἢ εἰς δεῖπνον, τὸ ἄριστον ἢ τὸ δεῖπνον ἑαυτοῦ ἔφερε. (cf. 971.) τὸ ὄνομα δὲ τοῦ θεράποντος Χρῦσος. πατάξαι. γράφεται καὶ καταράξαι, ἀντὶ τοῦ καταβαλεῖν τὴν θύραν. S.

κἄπειτ' ἀποτίνειν ἀργύριον ἐκ κραιπάλης.
1210 *ΒΔ.* οὔκ, ἢν ξυνῇς γ' ἀνδράσι καλοῖς τε κἀγαθοῖς·
ἢ γὰρ παρῇτήσαντο τὸν πεπονθότα,
ἢ λόγον ἔλεξας αὐτὸς ἀστεῖόν τινα,
Αἰσωπικὸν γέλοιον, ἢ συβαριτικόν,
ὧν ἔμαθες ἐν τῷ ξυμποσίῳ, κἄτ' ἐς γέλων
1215 τὸ πρᾶγμ' ἔτρεψας, ὥστ' ἀφεὶς σ' ἀποίχεται.
ΦΙ. μαθητέον τἄρ' ἐστὶ πολλοὺς τῶν λόγων,
εἴπερ γ' ἀποτίσω μηδέν, ἢν τι ὁρῶ κακόν.
ἄγε νυν ἴωμεν· μηδὲν ἡμᾶς ἰσχέτω.
ΧΟ. πολλάκις δὴ δοξ' ἐμαυτῷ δεξιὸς πεφυκέναι, t. t. c. κομμ.
1220 καὶ σκαιὸς οὐδεπώποτε· i. d.
ἀλλ' Ἀμυνίας ὁ Σέλλου μᾶλλον, οὐκ τῶν Κρωβύλου, t. t. c.
οὗτος, ὃν γ' ἐγώ ποτ' εἶδον ἀντὶ μήλου καὶ ῥοᾶς
δειπνοῦντα μετὰ Λεωγόρου i. d.
(πεινῇ γὰρ, ᾗπερ Ἀντιφῶν)·

1210. *οὐκ ἔστι κακὸν τὸ πίνειν.*
1211. *παρ. παρεμυθήσαντο, ἢ ἐῤῥύσαντο τῆς δίκης, καὶ ἀπέλυσαν τῆς αἰτίας.* — S. Be.: *aut enim veniam petunt ab eo, quem offenderis.* significant aoristi ea, quae solent fieri, ut passim.
1213. *μῦθοι οὗτοι ἐγένοντο· καὶ οἱ μὲν συβαριτικοὶ περὶ τῶν τετραπόδων* (rectius dixisset *ζώων*) *ἦσαν, οἱ δὲ Αἰσωπικοὶ περὶ τῶν ἀνθρωπίνων.* — S. contra est: vide inferius 1379. et seqq. usque ad 1392. praeterea cf. 543. et, quos Br. laudat, Hesychium v. *Συβαριτικοὶ λόγοι*, Fabricium B. gr. l. 2. c. 9. §§. 5. 6.
1214. *ἐν τῷ ξυμπ., ἐν τινι ξυμπ., ἐν τοῖς συμποσίοις.* v. Matth. gr. §. 266.
1215. — *ἀφεὶς, ὁ παθὼν δηλονότι.* S.
1216. ita H. ad Orphica p. 216., D. codd. *μαθ. γ' ἄρ'*.
1219. *ὁ ποιητὴς ταῦτα λέγει ἀπὸ προσώπου τοῦ Χοροῦ· παραβατικὰ δὲ τὰ μελύδρια.* S.
1212. Amynias fuit Pronapi filius (74.), Selli Aeschines (1203.); cui quia simillimus Amynias fuit moribus, propterea et hujus patrem esse Arist. finxit Sellum, velut fratres geminosque illos dicens. annotavit hoc Br. S. *ἐκ τοῦ προειρημένου δὲ προσληπτέον τὸ σκαιός μοι ἔδοξε.* (imo *τὸ δεξιὸς καὶ οὐ σκαιός.* sane sapiebat Amynias pro collatis duobus malis opipare coenans.) — *ὁ δὲ κρωβύλος εἰδός ἐστι κλοκῆς ἐπ' ἀνδρῶν εἰς ὀξὺ λῆγούσης.* — *ἐκ τῶν κρωβύλου δὲ, ὅτι κομήτης.* cf. 453. *de Crobyli*, velut hominis, *prosapia.* crinium suggestum in viris *crobylum* dici ait Fl. Chr., in mulieribus corymbum, in pueris scorpium.
1222. malum medicum et punicum (1022.) pro symbola (1209.) dederat pauper Amynias, cum dite Leogora coenaturus, de quo vide Nub. 109.
1224. et hunc *Antiphontem* pauperem et famelicum fuisse ostendit. fuit autem Sophili fil., rhetorum 10, quorum vitas descripsit Plut., primus, quique *δικανικὸν χαρακτῆρα* extulisse dicitur post Gorgiam, a persuadendi felicitate et arte Nestor olim vocatus et *λογομάγειρος*. de eo magnifice scripsit Thuc., laudavitque supra omnes. floruit, quo tem-

ἀλλὰ πρεσβεύων γὰρ ἐς Φάρσαλον ᾤχετ', εἶτ' ἐκεῖ t. t. c.
μόνος μόνοισι τοῖς Πενέσταισι ξυνῆν τῶν Θετταλῶν, i. t.
αὐτὸς πενέστης ὢν ἔλαττον οὐδενός. i. tr.

ΗΜ. ὦ μακάρι' Αὐτόμενες, ὡς σε μακαρίζομεν! pae. t. στ.
παῖδας ἐφύτευσας ὅτι χειροτεχνικωτάτους·
πρῶτα μὲν ἅπασι φίλον ἄνδρα τε σοφώτατον,
τὸν κιθαραοιδότατον, ᾧ χάρις ἐφέσπετο·
τὸν δ' ὑποκριτὴν ἕτερον ἀργαλέον ὡς σοφόν·
εἶτ' Ἀριφράδην, πολύ τι θυμοσοφικώτατον,
ὄντινά ποτ' ὤμοσε μαθόντα παρὰ μηδενὸς
[ἀλλ' ἀπὸ σοφῆς φύσεος αὐτόματον ἐκμαθεῖν]
γλωττοποιεῖν, εἰς τὰ πορνεῖ' εἰσιόνθ' ἑκάστοτε. t. t. c.

ΗΜ. εἰσί τινες, οἵ μ' ἔλεγον ὡς καταδιηλλάγην, ἀντ.

pore Quadringenti regnabant etc. *Fl. Chr.* non Sophili, sed Andocidae filium quendam Antiphontem intelligit S., nec verisimile est, hic agi de celeberrimo illo Rhamnusio, Alcibiadis adversario infestissimo. fuerunt autem plures cognomines, de quibus praeter Fabric. B. gr. 2, 26. vide Hindenburg. et Xenophontis interpp. Memor. Socr. 1, 6. quisquis est, idem haud dubie dicitur 1254.

1225. Φάρσαλος πόλις Θεσσαλίας. καὶ Εὔπολις ἐμφαίνει τὴν πρεσβείαν ἐν ταῖς Πόλεσιν χἀμυνίας ἐκεῖνος ἀμέλει κλαύσεται —. Πενέστας δέ φασι λέγεσθαι τὸ θητικὸν παρὰ τοῖς Θετταλοῖς. ἔθνος δὲ ἦν πάλαι ἀπὸ Πενέστου τὴν ἐπωνυμίαν ἔχον, ὃς ἀνέφερε τὸ γένος εἰς Θεσσαλὸν τὸν Ἡρακλέους. (Vellej. 1, 3. de Penestis vide Ruhnken. ad Tim. p. 212., et quos laudat Musgrav. ad Eurip. Heracl. 620., quorum Athen. p. 264. Πενέστας vocatos esse ait ap. Thessalos τοὺς μὴ γόνῳ δούλους, διὰ πόλεμον δὲ ἡλωκότας.) δέον οὖν εἰπεῖν μετὰ τῶν πολιτευομένων (cum magistratibus) συνῆν, εἶπε μετὰ τῶν Πενεστῶν, ἀντὶ τοῦ μετὰ τῶν πενήτων. — S.

1226. magnifico metro in re vili usus est κατ' εἰρωνείαν.

1227. ita Bekk. in scholio. ll. ἐλάττων. πενέστης pro appellativo nomine usurpatum est h. l., ut quod significet πένητα, πτωχόν.

1228. ὁ Αὐτομένης ἔσχε τρεῖς υἱοὺς, τὸν μὲν κιθαρῳδὸν, τὸν δὲ ὑποκριτὴν, τὸν δὲ τῷ στόματι αἰσχρουργοῦντα. S.

1231. κιθαρ. τῇ λέξει κέχρηται καὶ Εὔπολις ἐν Χρυσῷ γένει ὦ καλαβρὲ (κολαβρὲ) κιθαραοιδότατε. Ἀρίγνωτον δὲ λέγει τὸν κιθαρῳδόν. S.

1232. ἀργ. ὡς σοφόν. scholia: ἀντὶ τοῦ δυσχερὲς εἰπεῖν, ὅπως ἦν σοφός. Hippocrates epist. 12. ἀργαλέον ἐξειπεῖν μηχανὴν κακῶν. Be.

1233. θυμ. θυμόσοφοι λέγονται, ὅσοι ἀφ' ἑαυτῶν εὑφυεῖς εἰσιν. S.

1234. ὤμοσε. τὶς ὤμοσεν, εἰ μὴ ἄρα ὁ πατήρ; S. potest etiam τὶς intelligi.

1235. libri φύσεως. Fl. Chr. et Br. metro prospicientes, contra morem Atticorum, φύσεος. hoc quidquid est versiculi, cui nihil respondet in antistropha, partim conflatum esse arbitror ex interpretatione τοῦ θυμοσοφικώτατον· deinde ad verba μαθόντα παρὰ μηδενὸς nescio quis adscripsisse videtur ἀλλὰ αὐτόματον ἐκμαθόντα, quae certe respuisset Arist., modo usus vocabulo μαθόντα. perperam Christianus excidisse aliquid suspicabatur in antistropha, quae *in se ipsa tota est*, ut

ἡνίκα Κλέων μ' ὑπετάραττεν ἐπικείμενος,
καί με κακίαις ἔκνισε· κἄθ', ὅτ' ἀπεδαιρόμην,
οὗκτὸς ἐγέλων μέγα κεκραγότα θεώμενοι,
(5) οὐδὲν ἄρ' ἐμοῦ μέλον, ὅσον δὲ μόνον εἰδέναι,
σκωμμάτιον εἴποτέ τι θλιβόμενος ἐκβαλῶ.
ταῦτα κατιδὼν ὑπό τι μικρὸν ἐπιθήκισα·
εἶτα νῦν ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.

cum Horatio loquar, *teres atque rotunda.*

1238. ὑπετ. ἐπικ. propter Babylonios. vide annot. ad Ach. 347. seqq.

1239. κακίαις primus Fl. Chr. libri pessime κακίσταις. κακίαις, *nosis, poenis.* S. ἔκνισεν ἀντὶ τοῦ ἐκάκισεν. — ἀπεδαιρόμην pro ἀπεδειρόμην scribendum esse sero animadvertit Br. Suidas: δαίρω: τὸ τύπτω. cf. annot. ad Nub. 346.

1240. οὐκτὸς, οἱ ἐκτός. dicit foris adstantes ante judicium spectatores. ita D. libri ἐκτός.

1241, 2. ἀντὶ τοῦ „τοσοῦτο μόνον προεῖδον, εἴ ποτε θλιβόμενος ὑπὸ Κλέωνος σκώψω αὐτόν." S. interpres: — „non quod illos aliqua mei tangeret cura, sed tantum ut viderent, an aliquando pressus dicterium aliquod emissurus essem."

1243. ταῦτα ἐννοῶν, φησὶν, ὅτι τύπτομαι ὑπ' αὐτοῦ, καὶ οὐδενὶ μέλει, μικρὸν αὐτὸν ἐκολάκευσα. S. cf. 1201.

1244. παροιμία χωρὶς τοῦ εἶτα νῦν, (male verba χωρ. — νῦν post ἀπατηθῇ leguntur in libris. potest autem, ut a glossatore profecta sint.) ὅταν ὑπὸ τοῦ σώζοντος τὸ σωζόμενον ἀπατηθῇ, ὅταν ἐξαπατηθῇ τις πιστεύσας. ἔστιν οὖν παροιμία ἀπὸ τῶν καλάμων τῶν προσδεσμουμένων ταῖς ἀμπέλοις, οἵ ἐνίοτε ζιζοβολήσαντες ὑπεραύξονται ἀμπέλων. — S. proverbium, quando id, quo aliquid nitebatur, deficit. ita Cleo in Aristophane quasi nitebatur, et fiduciam habebat, fore, ut nunquam amplius perstringeretur ab eo, postquam is semel ei subblandiri coepisset; sed vehementer (falsus est actis Equitibus, ob quam fabulam ipse poenas dedit, et iterum iterumque) fallitur; nam Arist. (semper) redibit ad institutum et Cleoni minime parcet. *Be.* cf. Erasmi adag. 2, 2, 25.

ΞΑΝΘΙΑΣ. ΧΟΡΟΣ. ΦΙΛΟΚΛΕΩΝ. ΒΑΕΛΥΚΛΕΩΝ. ΑΡΤΟΠΩΛΙΣ. ΚΑΤΗΓΟΡΟΣ.

1245 ΞΑ. Ἰὼ χελῶναι μακάριαι τοῦ δέρματος — i. tr.
καὶ τρισμακάριαι τοὐπὶ ταῖς πλευραῖς ἐμαῖς,
ὡς εὖ κατηρέψασθε καὶ νουβυστικῶς
κεράμῳ τὸ νῶτον, ὥστε τὰς πληγὰς στέγειν·
ἐγὼ δ' ἀπόλωλα στιζόμενος βακτηρίᾳ.
42. καταιβάτης τιμᾶται ὁ Ζεὺς παρὰ τοῖς Ἀθηναίοις διὰ τὸ καταβιβάζειν τοὺς κεραυνούς. — S. quasi dicas *Jovis in fulmine descendentis*, ut Virg. de pluvia, Eclog. 7, 60. *Jupiter et laeto descendit plurimus imbri*. Jul. Pollux 9, 41. καὶ κατελθεῖν ἔλεγον τὸ βέλος, καὶ τὸν Δία τὸν ἐπ' αὐτῷ καταιβάτην. latine dici posse videtur viris doctis *Jupiter Elicius*. (vide Neapol. ad Ovid. Fast. 3, 328. ipse Florens Christ.: *tale mirum ni fuat Monstrum expiandum prorsus Elicii Jovis*. sed non persuadent.) etiam ipsum fulmen ita dicitur ap. Aeschylum Prom. 359. (367.) ἀλλ' ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος, Καταιβάτης κεραυνὸς, ἐκπνέων φλόγα. *Be.* vid. ib. Blomf. Διὸς καταιβάτου aram Olympiae commemorat Pausan. Eliac. prior. c. 14., §. 413. est autem Jupiter fulminans dictus pro irato, quemadmodum deos iratos causari solent, cum quid adversi accidit, velut hi servi cruciantur nutriendo pessimo isto animali. Terent. Andr. 4, 1, 39. *nescio; Nisi mihi deos sat scio fuisse iratos, qui auscultaverim.* et Phorm. 1, 2, 24. *memini relinqui me deo irato meo.* — emphatice τοῦτο priore loco positum est orationis pro οὐκ ἔσθ' ὅπως οὐ τοῦτο ἔστι τὸ τ. Δ. κατ.

43. ἐνταῦθα θέλων τὴν ὑπόθεσιν δηλῶσαι, σκώπτει τοὺς Ἀθηναίους, ὡς φιλοκερδεῖς, καὶ φιλοδίκους, καὶ φιλολοιδόρους. φησὶ γάρ „πάντως εἷς τῶν θεωμένων, βλέπων τὸν κάνθαρον, ἀνίσταται λέγων πρὸς τί τὸν κάνθαρον πεποίηκεν Ἀριστοφάνης; εἶτα ἄλλος ἀλλόγιμος δοκῶν εἶναι λέγει πάντως τὸν Κλέωνα θέλει σκῶψαι ὁμοίως ὄζοντα αὐτῷ.“ ταῦτα δὲ λέγει τοὺς θεατὰς διαλέγεσθαι πρὸς ἀλλήλους, πρὶν μαθεῖν τὴν ὑπόθεσιν. ἰστέον δὲ, ὡς βυρσοπώλης ἦν ὁ Κλέων· αἱ δὲ βύρσαι δύσοσμοι. S. de Ione inter spectatores sedente Palmerius in Exercitatt.: „Ex h. l.“ inquit, „inducor, ut credam, Dionysiis τοῖς κατ' ἄστυ vernis prodiisse hanc fabulam: nam Lenaeis Liberalibus aderant soli Athenn. eo, quod hieme celebrantur, quod dixit Aristoph. in Acharn. (466. seqq.): οὐ γάρ με νῦν γ' διαβαλεῖ Κλέων, ὅτι Ξένων παρόντων τὴν πόλιν κακῶς λέγω· Αὐτοὶ γάρ ἐσμεν, οὐπὶ Ληναίῳ τ'

νεανίας δοκησίσοφος Τόδε πρᾶγμα τί;
ὁ κάνθαρος δὲ πρὸς τί; — κἄτ αὐτῷ γ' ἀνὴρ
Ἰωνικός τίς φησι παρακαθήμενος
Δοκέω μέν, ἐς Κλέωνα τοῦτ' αἰνίττεται,
ὡς κεῖνος ἀναιδέως σπατίλην ἐσθίει. —
ἀλλ' εἰσιὼν τῷ κανθάρῳ δώσω πιεῖν.
Β. Ο. ἐγὼ δὲ τὸν λόγον γε τοῖσι παιδίοις,
καὶ τοῖσιν ἀνδρίοισι, καὶ τοῖς ἀνδράσι,
καὶ τοῖς ὑπερτάτοισιν ἀνδράσιν φράσω,
καὶ τοῖς ὑπερηνορέουσιν ἔτι τούτοις μάλα.
ὁ δεσπότης μου μαίνεται καινὸν τρόπον,
οὐχ ὕνπερ ὑμεῖς, ἀλλ' ἕτερον καινὸν πάνυ·
δι' ἡμέρας γὰρ ἐς τὸν οὐρανὸν βλέπων
ὠδὶ κεχηνὼς λοιδορεῖται τῷ Διΐ,

ἀγών. cum igitur hic dicat, Ionem quendam adstare, verisimile est, Liberalibus vernis eam fabulam actam fuisse, quando jam mari aperto navigabant Iones Athenas: nam, ut ait S. ad fab. Aves, τῷ ἔαρι ἐν ἄστει τελοῦσι τὰ Διονύσια." cf. 297. sequ.

48. *prout ille* (scarabaeus) *impudenter vorat stercus.* S.: τὴν σπατ. ἐσθίει. ἀντὶ τοῦ ἤσθιεν· (male hoc nonnulli probant, quasi Cleon dicatur vorasse stercus.) ἀποθανὼν γὰρ ἦν ὁ Κλέων. (quippe interfectus in proelio ad Amphipolin a. Olymp. 88, 4., sive ante Christ. nat. 423., ut auctor est Thucyd. 5, 10. cf. 628.) σπατίλη δὲ ἡ ἀνθρωπίνη κόπρος. — ἢ τὸ ἀπόξυσμα τῶν βυρσῶν τὸ μικρὸν, ὃ ἐκβάλλεται ὑπὸ τῶν σκυτέων. S. Suidas, laudante Br., σπατίλη: ἡ τῶν ἀνθρώπων κόπρος· καὶ τὰ μικρὰ δέρματα τὰ ἐκβαλλόμενα ὑπὸ τῶν σκυτέων. σπατίλη (imo σπάτος: vid. Hesych. h. v.) γὰρ τὸ δέρμα, παρὰ τὸ σπᾶσθαι. σκατοφάγος δὲ ὁ Κλέων, (?) ἐπεὶ βυρσοδέψης ἦν καὶ μετὰ κύπρου τὰς βύρσας εἰργάζοντο. de Cleone cf. 270., Ran. 531. seqq. — Rav., Bekk., D., ἀναιδέως, quod ionicum, ut δοκέω et κεῖνος. vulgo — ἀναιδῶς τὴν σπ. ἔ. Bekk. ἀνειδέως τὴν σ. ἔ.

50. τὸν λόγον γε, causam quidem hujus rei, quod nutrimus scarabaeum. possis etiam sic interpretari: *rem dicam*; *dicam*, *quid rei sit*. vide Soph. El. 391., 1108., Wolf. ad Demosth. Leptin. p. 277. ὑποκοριστικοῖς παιδίοις et ἀνδρίοισι utitur per jocum, vel contemtum.

53. τοῖς ὑπερ. ἔτι τούτοις, *et hisce*, *qui etiam plus sunt*, seu *valent*, *quam viri*, quae est vocabuli ὑπερηνορεῖν significatio propria, sed fere obsoleta, praevalente quidem usu τροπικῷ, quo fastum superbiamque denotat. qua vocis ambiguitate demagogos sugillat Aristoph., ὑπερηνορεῖν eos dicens δεικτικῶς, h. e. se efferre, etiamque τοὺς ὑπερτάτους ἄνδρας, quos magistratus intelligit, spernere, et eorum auctoritatem imminuere. Voss.: *Ich aber will dies Wörtchen* (die Sache) *noch den Kindern dort*, *Und jenen Männlein*, *und den Männern dort umher*, *Und auch der Männer Obermännern*, *anvertraun*, *Und jenen hoch selbst Die noch übermannenden*: etc. B.: ὑπερην. verbum est Homericum, quod admodum robustos et viriles, aut nimis superbos indicat. cf. interpp. Hom. Il. δ', 176. et Zonar. 2, 1782.

54. καινὸν τρόπον. καινῷ τρόπῳ. vide Ran. 343., Soph. Ajac. 1033.

καί φησιν ὦ Ζεῦ, τί ποτε βουλεύει ποιεῖν;
κατάθου τὸ κόρημα· μὴ 'κκόρει τὴν Ἑλλάδα. —

60 ΤΡ. ἔα, ἔα!

Ο.Β. σιγήσαθ', ὡς φωνῆς ἀκούειν μοι δοκῶ.

ΤΡ. ὦ Ζεῦ, τί δρασείεις ποθ' ἡμῶν τὸν λεών;
λήσεις σεαυτὸν τὰς πόλεις ἐκκοκκίσας.

Ο.Δ. τοῦτ' ἔστι δῆτα τὸ κακὸν αὖθ', οὑγὼ 'λεγον.
65 τὸ γὰρ παράδειγμα τῶν μανιῶν ἀκούετε·
ἃ δ' εἶπε πρῶτον, ἡνίχ' ἤρχεθ' ἡ χολή,
πεύσεσθ'. ἔφασκε γὰρ πρὸς αὑτὸν ἐνθαδὶ
πῶς ἄν ποτ' ἀφικοίμην ἂν εὐθὺ τοῦ Διός;
ἔπειτα λεπτὰ κλιμάκια ποιούμενος
70 πρὸς ταῦτ' ἀνερρίχᾶτ' ἂν ἐς τὸν οὐρανόν,

59. τὸ κόρημα. τὸ κόσμητρον, τὸ σάρον, ᾧ εἰώθασιν ἀποκαθαίρειν τοὺς ῥύπους τῶν οἴκων. τὸ δὲ μὴ κόρει (sic libri praeter Eustath. ad Iliad. ν', p. 591, 42. ed. Rom., = 929, 41. Bas., et Suidam v. κόρημα) ἀντὶ τοῦ ἔρημον οἰκητόρων μὴ ποίει διὰ τὸν πόλεμον. S. annotavit Fl. Chr., eodem sensu ἐκκορηθείης dixisse Menandrum ap. Suid. h. v., i. e. ἄρδην ἀπολεσθείης.

62. τί δρασ. ἆρα τί διανοῇ; εἰσιὼν δὲ ταῦτά φησιν ὁ Τρυγαῖος. τοῦτο δὲ ὄνομα κύριον, ᾧ ὁ μὲν Ἡρωδιανὸς προπεριισπᾷ, οἱ δὲ λοιποί, ὡς τὸ Τίμαιος, προπαροξύνουσι. S. recte illi: nam derivatur quidem a τρύγη adjectivum τρυγαῖος, sicut a κρήνη κρηναῖος, sed mutari solent accentus substantivorum et adjectivorum, cum usurpantur pro nominibus propriis. vid. Siebelis ad Pausan. p. 267., cui assentior, Ταναός pro Ταναὸς scribendum esse ap. Euripidem El. 382. — Be.: „Soph. in Ajace 586. (557.) ὦ δέσποτ' Αἴας, τί ποτε δρασείεις φρενί; (*quid agis? quid moliris?*) ubi scholia ἐπιθυμεῖς δρᾶσαι. sic ἐργασείεις, *facere paras*, ap. eundem in Philoct. 1239. (1163.), sic πολεμησείειν, παραδωσείειν, ἀπαλλαξείειν, omnia ap. Thuc., et in glossis δειπνησείω, coenaturio." B. evolvi de hac re jubet Dawesii Misc. p. 260.

63. ἀντὶ „τοῦ ἀγνοεῖς τέλεον ἀπολέσας τὰς πόλεις." (cf. Plut. 770.) ἐκκοκκίσας δὲ ἐρημώσας, ἀπὸ μεταφορᾶς τῶν ῥοιῶν τῶν τοὺς κόκκους καθαιρομένων. — S. Voss.: *Nicht merkst du selber, wie du die Städt' hast ausgehülst.*

66. χολή, bilis, *furor*, quemadmodum χολᾶν et μελαγχολᾶν dicuntur insani: vide Nub. 806., Plut. 12. etc. alio sensu, sed item figurato, vox χολὴ usurpatur Ran. 4.

67. ἐνθαδὶ, *tum*, cum coepit furere.

68. *utinam recta ad Iovem perveniam.* cf. 77., 774. et grammaticos.

69. in mentem venit haec legentibus nobis liber ludicrus Bürgeri, ut fertur, quo in libro nobilis iste, fictus a poëta, Münchhausen, calamis fabae turcicae pro scala usus, in lunam ascendisse dicitur.

70. ἀνερρ. τὸ πρὸς τοίχους ἀναβαίνειν καὶ χερσὶ, καὶ ποσὶν, ἀναρρίχᾶσθαι λέγεται. φησὶ δὲ Ἐρατοσθένης, Κυρηναίους οὕτω λέγειν. εἴρηται δὲ ἀπὸ τῶν ἀρρίχων· εἶδος γάρ ἐστι κοφίνων, οὓς εἰώθασι διὰ σχοινίων ἀνιμᾶν. ἢ ἀπὸ τῶν ἀραχνῶν, καὶ ἔστιν οἷον ἀραχνᾶσθαι. (?) αἱ δὲ ἀράχναι πολλάκις νήθουσι κατὰ τὰς ἐναερίους ὁδούς. — S. laudantur de notatione hujus verbi Etym., Zonar. 1, 206. et Eustath. ad Il. p. 1533., de significatione

ἕως ξυνετρίβη τῆς κεφαλῆς καταῤῥυείς.
ἐχθὲς δὲ μετὰ ταῦτ' ἐκφθαρεὶς οὐκ οἶδ' ὅποι
* εἰσήγαγ' Αἰτναῖον μέγιστον κάνθαρον,
κἄπειτα τοῦτον ἱπποκομεῖν μ' ἠνάγκασε·
καὐτὸς καταψῶν αὐτὸν, ὥσπερ πωλίον,
ὦ Πηγάσιόν μοι, φησὶ, γενναῖον πτερόν,
ὅπως πετήσει μ' εὐθὺ τοῦ Διὸς λαβών. —
ἀλλ', ὅ τι ποιεῖ, τηδὶ διακύψας ὄψομαι.
οἴμοι τάλας! ἴτε δεῦρο, δεῦρ', ὦ γείτονες·
ὁ δεσπότης γάρ μου μετέωρος αἴρεται
ἱππηδὸν εἰς τὸν ἀέρ' ἐπὶ τοῦ κανθάρου.

TP. ἥσυχος, ἥσυχος, ἠρέμα, κάνθων, a. d.
μή μοι σοβαρῶς χώρει λίαν,
εὐθὺς ἀπ' ἀρχῆς ῥώμῃ πίσυνος,

Moeris 63. sequ. et Thomas Mag. 1, 61. cf. Schneideri lex. h. v. Trygaeus conscensis scalis in altum sublatus esse dicitur, tanquam ejusmodi corbis viminea, aegre magnoque cum nisu funibus tracta. — ἀν. ἄν, *reptare solebat.* cf. Plut. 978.

71. ξυν. τῆς κεφ., *caput fregit.* vid. Matth. gr. §. 316. καταῤῥύεις, delapsus. cf. 146. Ovid. Met. 6, 229.: *in latus a dextro paulatim* defluit *armo* etc.

72. ἐκφθαρείς. ἐξελθών. οὕτω γὰρ λέγεται τὸ ἐπὶ κακῷ ἐξελθεῖν που. S. dicitur etiam εἰσφθείρεσθαι, *male introire*, ut annotavit Fl. Chr.

73. versus immodulatus, et tribus vocibus homoeoteleutis offendens. quare vereor, ne A. dixerit Αἰτν. εἰσήγαγε μ. κ. Αἰτναῖον. ὑπερμεγέθη· μέγιστον γὰρ ὄρος ἡ Αἴτνη. — ἢ ὅτι οἱ Αἰτναῖοι ἵπποι ταχεῖς καὶ διαβόητοι πρὸς τὸν δρόμον. — S. hoc aptum. Oppianus, Cyneg. 1, 272., laudante Reisigio ad Soph. Oed. Col. 278., ἵππων ὅσσα γένεθλα τιτήλατο μυρίος αἶα, Ὠκύτατοι σικελοί. et Gratius Faliscus Cyneg. 524. ludum esse ait siculis equis per Aetnae montes se ferre. si Αἰτναῖον esset ὑπερμεγέθη, poëta non addidisset μέγιστον. sic tamen etiam Sophoclis schol. erravit, et Be.

74. ἵππ. proprie significat *equum curare*, equisonem esse: vid. Sturzii lex. Xenoph. h. v. erat autem cantharus equi loco futurus Trygaeo. *E B.*

75. κατ. καταπραΰνων, ὥσπερ πῶλον καταψῶντες ταῖς χερσὶν ὁμαλίζομεν. πωλίον. πῶλος, καὶ ἵππος. πῶλοι δὲ κυρίως τὰ γεννήματα τῶν ἵππων, καὶ τῶν ἄλλων κτηνῶν. — S.

76. παρὰ τὰ ἐκ Βελλεροφόντου (Eurip. fragm. p. 101. nostrae ed.) ἄγ', ὦ φίλον μοι Πηγάσου πτερόν. S.

77. ὅπως πετ., ὅρα ὅπ. πετ. vide Plut. 322.

78. τηδὶ, *hic, hoc loco*, δεικτικῶς, dum incipit capite inclinato introspicere. *E B.*

82. S.: — κάνθων κυρίως ὁ ὄνος, νῦν δὲ ὑποκοριστικῶς ὦ κάνθαρε. — quae vereor ut probari possint, malimque ὡς intelligi in κάνθων, ut Trygaeus cantharum placide incedere jubeat, velut asinum. de ellipsi istius particulae cf. Plut. 294., 312., index Eurip. v. ὡς, *velut.*

83. σοβ. *ferociter*, *audacter*. cf. Phot. lex. v. σοβαρός. *E B.*

πρὶν ἂν ἰδίσῃς, καὶ διαλύσῃς
ἄρθρων ἵνας πτερύγων ῥύμῃ·
καὶ μὴ πνεῖ μοι κακὸν, ἀντιβολῶ σ'·
εἰ δὲ ποιήσεις τοῦτο, κατ' οἴκους
αὐτοῦ μεῖνον τοὺς ἡμετέρους.

Ο.Β. ὦ δέσποτ' ἄναξ, ὡς παραπαίεις!

ΤΡ. σίγα, σίγα! a.

Ο. Β. ποῖ δῆτ' ἄλλως μετεωροκοπεῖς; a. d.

ΤΡ. ὑπὲρ Ἑλλήνων πάντων πέτομαι,
τόλμημα νέον παλαμησάμενος.

Ο.Β. τί πέτει; τί μάτην οὐχ ὑγιαίνεις;

ΤΡ. εὐφημεῖν χρὴ, καὶ μὴ φλαῦρον
μηδὲν γρύζειν, ἀλλ' ὀλολύζειν·
* τοῖς τ' ἀνθρώποισι φράσον σιγᾶν,
τούς τε κοπρῶνας, καὶ τὰς λαύρας,

85. ἰδίσῃς, ut διαλύσῃς, scribenti Dobraeo obsecutus sum; cujus videnda annot. ad Conc. 625. vulgo ἰδίῃς. sed S.: πρὶν ἱδρώσῃς. — οἱ γὰρ ἵπποι ἐν μὲν τῇ ἀρχῇ οὐκ εἰσὶν ὀξεῖς εἰς τὸν δρόμον, καμόντες δὲ καὶ ἱδρώσαντες, διαλυθέντων τῶν μελῶν, ὀξύτεροι γίνονται. B.: priusquam sudaveris, et solveris artuum nervos alarum motu vehementi.

87. ἐκ γὰρ τῆς ἀναπνοῆς καὶ τοῦ ἱδρῶτος ἡ δυσωδία μᾶλλον ηὔξετο τοῦ κανθάρου. — S.

90. ὦ δέσποτ' ἄναξ. διὰ τὸ μετάρσιον αὐτὸν ἠρθαι, καὶ προσδοκᾶν ἐπιβήσεσθαι τοῦ οὐρανοῦ, θειοτέρᾳ αὐτὸν ἐτίμησε φωνῇ, ἄνακτα εἰπών. S. videtur hoc esse ex aliqua tragoedia. Be.: παραπ. (deliras). In Plut. 504. ληρεῖν, καὶ παραπαίειν.

92. μετ. ποῦ δὴ περὶ τὰ μετέωρα πέτῃ, καὶ μάτην ὡς ἔτυχε κάμνεις; — παρενήνεκται ἡ λέξις παρὰ τὸ „τί θαλασσοκοπεῖς. (sic), καὶ πτερυγίζεις (πλατυγίζεις);" v. Equ. 773.

94. παλ. μηχανησάμενος, καὶ ἐγχειρήσας, ἀπὸ τῆς παλάμης, ᾗ τὰ πολλὰ κατασκευάζομεν. S. Phot., notante B., παλαμᾶσθαι: τεχνάζεσθαι.

95. τί οὐχ ὑγιαίνεις; cur non es sanus? paulo modestius dictum est quam antea ὡς παραπαίεις, ne herus liberiore dicto servuli offendatur. ceterum cf. Plut. 360.

96, 7. εὐφ. χρή. faustis eum verbis uti jubet. cf. Plut. 753., Nub. 263. S.: φλαῦρον, ἀναιδὲς, δύσφημον, φλύαρον. ὀλολύζειν, τὸ μετὰ κραυγῆς εὔχεσθαι. — B.: „φλαῦρον est i. q. κακὸν, *infaustum*; et consulto utitur verbo γρύζειν (muttire, hiscere: vide Ran. 864. [Plut. 17, 450.] et Zonar. 1, 456.) quia vel una voce tenui poterat sinistrum edi omen." γρύζειν, ὀλολύζειν. sonus similis, ridiculi causa usurpatus.

98. malim probiore numero τ. τ' ἀνθρώποις σὺ φ. σιγᾷν, tacere, *favere linguis*, εὐφημεῖν.

99. λαύρας ἐκάλουν τὰς στενὰς ῥύμας, ἔνθα πᾶσα ἀκαθαρσία ἦν. (proprie λαῦρα est πλατεῖα ῥύμη, δι' ἧς ὁ λαὸς παρέρχεται: Zonar. 2, 1286., Phot. p. 153. h. l. vertitur *cloacas*, ut κοπρῶνες sunt *fimeta*. B.) τοὺς ῥυπαροὺς οὖν τόπους ἀποφράξαι παρακελεύεται, καὶ τοὺς κοπρῶνας, ἵνα μὴ ἐρεθίσωσι τὸν κάνθαρον, καὶ κατασπάσωσι κάτω δυσωδίαν πνέοντα. μετέωρος δὲ ὢν ἐπὶ τοῦ κανθάρου ταῦτα λέγει. S.

καιναῖς πλίνθοισιν ἀνοικοδομεῖν,
καὶ τοὺς πρωκτοὺς ἐπικλείειν. a. par.
O. B. οὐκ ἔσθ' ὅπως σιγήσομ', ἢν μή μοι φράσῃς, i. tr.
ὅποι πέτεσθαι διανοεῖ.
TP. τί δ' ἄλλο γ' ἢ
ὡς τὸν Δί' εἰς τὸν οὐρανόν;
O. B. τίνα νοῦν ἔχων;
TP. ἐρησόμενος ἐκεῖνον Ἑλλήνων πέρι
ἅπαξαπάντων, ὅ τι ποιεῖν βουλεύεται.
O. B. ἐὰν δὲ μή σοι καταγορεύσῃ;
TP. γράψομαι
Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα.
O. B. μὰ τὸν Διόνυσον, οὐδέποτε ζῶντός γ' ἐμοῦ.
TP. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλ'.
O. B. ἰοὺ, ἰοὺ, ἰού!
ὦ παιδί', ὁ πατὴρ ἀπολιπὼν ἀπέρχεται
ὑμᾶς ἐρήμους εἰς τὸν οὐρανὸν λάθρα·
ἀλλ' ἀντιβολεῖτε τὸν πατέρ', ὦ κακοδαίμονα!
KO. ὦ πάτερ, ὦ πάτερ, ἆρ' ἔτυμός γε da. t.
δώμασιν ἡμετέροις φάτις ἥκει,
ὡς σὺ μετ' ὀρνίθων, προλιπὼν ἐμέ,
εἰς Κόρακας βαδιεῖ μεταμώνιος;

100. *recentibus lateribus instaurare cloacas*, ne foetore nares laedant (et scarabaeum alliciant). B.

102. σιγήσομ'. elisum αι, ut 432., 470., Ran. 648., Soph. Philoct. 1027. etc.

104. νοῦν, mentem, consilium.

106. ἀπαξ., ut Plut. 111.

107. γράψομαι, κατηγορήσω. παίζει δὲ διὰ τὸ φιλόδικον τῶν Ἀθηναίων, λέγων καὶ τοῦ Διὸς κατηγορήσω, ὡς προδιδόντος τὴν Ἑλλάδα τοῖς Πέρσαις. (id facere videbatur Jupiter, vastari atque desolari sinens Graeciam diuturno bello, ut facilis praeda esset hostium.) τοῦτο δὲ λέγει, ὅτι Λακεδαιμονίοις ἐβοήθουν οἱ Πέρσαι ἐν τῷ πολέμῳ τῷ Πελοποννησιακῷ. — S. male, siquidem prima inter eos icta sunt foedera 20. anno ejus belli (Olymp. 91, 4., ante Christ. nat. 412.), ut observat Palmer. secundum Thuc. 8, 37. cf. argum. fabulae annot. †)

109. Bacchum invocat, ut praesidem ludorum. cf. 267., 432. — οὐδ. scil. γράψει.

110. παρὰ ταῦτ' ἄλλα, *alia praeter haec*, quae dixi. formula, quae etiam Nub. 677. legitur, ut Be. annotavit. S.: οὐκ ἔστιν, ἄλλως γενέσθαι, εἰ μὴ ἀνελθεῖν εἰς οὐρανούς (οὐρανόν).

117. ἐς Κόρ. cf. 19. μεταμ. μάταιος, ἀνεμοφόρητος, ἀχρεῖος. gl. Victor. et μεταμώνιος et μεταμώλιος usitatum fuisse ait B., sed antiquiorem formam esse μεταμώνιος: qua de re laudat Heyn. ad Hom. Iliad. δ', 363., et Tittmann. ad Zon 2, 1349. cf. Schneideri lex. v. μεταμώνιος. S.: ἐς Κόρ. δέον εἰπεῖν „εἰς οὐρανόν." — ἅμα δὲ καὶ ἐφ' ὕβρει· ἐδόκει γὰρ ἀνωφελῶς ἀπιέναι, ὥσπερ οἱ εἰς τὸ σκότος ἀπιόντες.

ἔστι τι τῶνδ' ἐτύμως; εἰπέ, ὦ πάτερ, εἴ τι φιλεῖς με.
hexam. her.

ΤΡ. δοξάσαι ἔστι, κόραι· τὸ δ' ἐτήτυμον, ἄχθομαι ὑμῖν,
ἡνίκ' ἂν αἰτίζητ' ἄρτον, πάππαν με καλοῦσαι,
ἔνδον δ' ἀργυρίου μηδὲ ψακὰς ᾖ πάνυ πάμπαν.
ἢν δ' ἐγὼ εὖ πράξας ἔλθω πάλιν, ἕξετ' ἐν ὥρᾳ
κολλύραν μεγάλην, καὶ κόνδυλον ὄψον ἐπ' αὐτῇ.

ΚΟ. καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται; i. tr.
ναῦς μὲν γὰρ οὐκ ἄξει σε ταύτην τὴν ὁδόν.

ΤΡ. πτηνὸς πορεύσει πῶλος· οὐ ναυσθλώσομαι.

ΚΟ. τίς δ' ἡ 'πίνοιά σοὔστιν, ὥστε κάνθαρον
ζεύξαντ' ἐλαύνειν εἰς θεοὺς, ὦ παππία;

ΤΡ. ἐν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη

119. δοξ. ἀντὶ τοῦ ὑπονοῆσαι, εἰκάσαι. S. *conjicere hoc licet, filiolae*; ita est. τὸ δ' ἐτήτυμον etc.: *nam revera crucior, quando me panem poscitis* etc. δὲ causale illustrat H. ad Viger. annot. 343, b. cf. index Eurip. h. v. — ὑμῖν additum familiariter.

120 αἰτίζειν pro αἰτεῖν etiam Hom. Il. ϱ', 222. legitur. B. item Odyss. ν', 273.

121. ᾖ. Suid. MS. in ψακάς: ᾖ, forte omisso ι subscripto. ceteri libri mendose ἦν. Schäferus Melet. crit. p. 109.: „Millies," inquit, „iota adscriptum in ν abiit" etc. cf. Jacobs, indice Anthol. Palat., nos ad Soph. Oed. Col. 1395. S.: ψακὰς, τὸ μικρότατον, ὃ καὶ νιφὰς καλεῖται. ἀντὶ τοῦ μηδὲ ὁβολοῦ ὄντος ἡμῖν διὰ τὸν πόλεμον. Suid. MS. ψεκὰς, quod tantundem valet; sed per errorem, ordine alteram formam poscente, ut Dobr. annotavit.

122. ἐν ὥρᾳ, *in tempore*, mature. cf. Vesp. 242., Conc. 418.

123. κολλύρα τὸ ἔλαττον τοῦ ἄρτου. τινὲς δὲ τὴν κολλύραν εἶδος ἄρτου, ὃ τοῖς παιδίοις διδόασιν. ἔπαιξε δὲ παρὰ τὸ λεγόμενον εἰ δὲ οἶνον αἰτεῖ, κόνδυλον αὐτῷ δὸς ὑπὲρ τοῦ ἐθίζειν τοὺς παῖδας μηδέν τι περιττὸν ζητεῖν. S.

123. notavit K. ad Suid. 2. p. 237. v. κάνδυλος, Aristophanem pro κάνδυλον, praeter expectationem dixisse κόνδυλον. „est autem," inquit Fl. Chr., „κάνδυλος cibus ex lacte et melle, quibus addunt quidam oleum et caseum." cf. Schneider. lex. gr. v. κάνδαυλος. Etymologus p. 528. et Zonaras 2. 1231. sequ. idem esse putant κόνδυλον et κάνδυλον, pugnum, ut annotavit B. videtur sane cogitasse Arist. proverbium illud, cujus mentio est ap. Schol. ad versum praegressum.

126. οὐ ναυσθλ. οὐ νηὸς ἐπιβήσομαι. κυρίως δὲ τὸ ναῦς μισθώσασθαι. λέγεται δὲ καὶ πτεινὸν καὶ πτηνόν. πῶλον δὲ λέγει τὸν κάνθαρον. S. νάυσθλοῦν dicebatur pro ναυστολεῖν, navigare. Phot. lex. p. 212. B.

127. ἡ 'πίνοια, cogitatio, consilium.

128. bene monet Fl. Chr., ζευγνύναι h. l. et 135. nihil aliud esse quam *sternere, anschirren*. idem: ὦ παππία. haec vox ὑποκόρισμα est φιλοφρονητικὸν, qua usus est Philippus Comicus in Philyra (Athen. 8. p. 358. sequ. ed. Cas.): παππία, βούλει δραμὼν Εἰς τὴν ἀγορὰν καταγοράσαι μοι; φράζε τί; [κατ. μοι (φράζε) τι;] etc.

129. sequ. ἐξηυρ. aoristus significatione praesentis. vid. Matth. gr. §. 506. S.: φέρεται γὰρ αὐτοῦ (Aesopi) μῦθος, ἐχθρεῦσαι ἀετὸν καὶ κάνθαρον, καὶ ἑκάτερον αὐτῶν θα-

μόνος πετεινῶν εἰς θεοὺς ἀφιγμένος.
ΚΟ. ἄπιστον εἶπας μῦθον, ὦ πάτερ, πάτερ,
ὅπως κάκοσμιον ζῶον ἦλθεν εἰς θεούς.
ΤΡ. ἦλθεν κατ' ἔχθραν ἀετοῦ πάλαι ποτὲ
ὥ' ἐκκυλίνδων, κἀντιτιμωρούμενος.
ΚΟ. οὐκοῦν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερὸν,
ὅπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.
ΤΡ. ἀλλ', ὦ μέλ', ἄν μοι σιτίων διπλῶν ἔδει·
νῦν δ', ἅττ' ἂν αὐτὸς καταφάγω τὰ σιτία,
τούτοισι τοῖς αὐτοῖσι τοῦτον χορτάσω.
ΚΟ. τί δ', ἢν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος;
πῶς ἐξολισθεῖν πτηνὸς ὢν δυνήσεται;
ΤΡ. ἐπίτηδες εἶχον πηδάλιον, ᾧ χρήσομαι·
τὸ δὲ πλοῖον ἔσται Ναξιουργὴς κάνθαρος.

τέρου τὰ ὠά διασπᾶν. μόνος πετ. ἁρπάζοντος τοῦ ἀετοῦ τοὺς τοῦ κανθάρου νεοττοὺς, καὶ ὁ κάνθαρος τοῦ ἀετοῦ τὰ ὠὰ ἐκκλέψας ἐξεκύλισεν ἕως τοσούτου, ἕως οὗ ἦλθε πρὸς τὸν Δία. κατηγοροῦντος δὲ τοῦ ἀετοῦ προσέταξεν αὐτῷ ὁ Ζεὺς ἐν τῷ αὐτοῦ τοῦ Διὸς κόλπῳ νεοττεύειν. ἐπειδὴ δὲ τὰ ὠὰ εἶχεν ὁ Ζεὺς, περιέπτατο τὸν Δία ὁ κάνθαρος· ὁ δὲ ἐκλαθόμενος ἀνέστηκεν ἐκ τῆς κεφαλῆς, ὡς ἀποσοβήσων αὐτὸν, (scrib. — ἀνέστ., ὡς ἀπ. α. ἐκ τῆς κεφ.,) καὶ κατέαξε τὰ ὠά. commemorat eam fabulam Aristoph. etiam Vesp. 1486., ubi vid. Be. inde ortum proverbium κάνθαρος ἀετὸν μαίεται, quod verbose explicat Erasmus in Adagiis, pagg. 751. et seqq. ed., Rob. Stephani.

131. ὦ πάτερ, πάτερ. repetitio indignantis, ut ὦ κύον, κύον Vesp. 1443., Ἄρες, Ἄρες βροτολοιγὲ ap. Homerum, etc.

134. ὥ' ἐκ. τὸ πλῆρες ὠά. S.

136. τραγ. tragoediis materia fuit Pegasus, quo vecti sunt Perseus, de quo Eurip. in Andromeda dixerat, et Bellerophontes, de quo in cognomini dramate, quo hic praecipue respicit. *Be.*

137. ὦ μέλε. sic uterque sexus compellatur: vide 259. etc. vulgati olim libri ὦ μελέα, μοι. (2 Pariss. ὦ μέλε'. sic libri vett. etiam 374.) S.: ὦ μελέα. δυϊκῶς. λέγει δὲ πρὸς ἄμφω τὰ παιδία. quo nihil opus. ἀλλ', igitur, ut Thuc. 1, 26. ἀλλὰ στρατεύουσι, etc.

141. πῶς διανήξασθαι δυνήσεται; ἐπεὶ τὰ πλεῖστα τῶν ὀρνέων ἐμπεσόντα εἰς ὕδωρ νήχεσθαι οὐ δύναται. — S.

142. εἶχον. habebam et habeo. cf. infra 500., 584. S.: πηδάλιον. τὸ αἰδοῖον δείκνυσι παίζων. joco simili Lucianus Verae Hist. c. 45.: μετ' ὀλίγον δὲ καὶ ἄνδρας εἴδομεν καινῷ τρόπῳ ναυτιλίας χρωμένους· αὐτοὶ γὰρ καὶ ναῦται καὶ νῆες ἦσαν. λέξω δὲ τοῦ πλοῦ τὸν τρόπον· ὕπτιοι κείμενοι ἐπὶ τοῦ ὕδατος, ὀρθώσαντες τὰ αἰδοῖα (μεγάλα δὲ φέρουσιν), ἐξ αὐτῶν ὀθόνην πετάσαντες, καὶ ταῖς χερσὶ τοὺς ποδεῶνας κατέχοντες, ἐμπίπτοντος τοῦ ἀνέμου, ἔπλεον.

143. Ναξ. κάνθ. πλοῖα ἦν οὕτω λεγόμενα, [κάνθαροι,] ἐν Νάξῳ γινόμενα τῇ νήσῳ. καὶ Κνιδιουργεῖς δὲ ἄλλας ναῦς (intell. ἐκάλουν) ἀπὸ Κνίδου, καὶ τὸν κέρκυρον ἀπὸ Κερκύρας, καὶ τὸν πάρωνα ἀπὸ Πάρου. S. Κορινθιουργὴς memoratur ap. Athen. 5. p. 199., notante Porsono Advers. p. 129. Br.: Jocus in ambiguitate significationis. — Athen. p. 473. (lib. 11. p. 251. t. 4. Schweigh. ed.): κάνθαρος. ὅτι μὲν πλοῖον ὄνομα κοινόν. ὅτι δὲ (imo κάνθα-

ΚΟ. λιμὴν δὲ τίς σε δέξεται φορούμενον;
ΤΡ. ἐν Πειραιεῖ δήπου ’στὶ Κανθάρου λιμήν.
ΚΟ. ἐκεῖνο τήρει, μὴ σφαλεὶς καταῤῥυῇς
ἐντεῦθεν, εἶτα χωλὸς ὢν Εὐριπίδῃ
λόγον παράσχῃς, καὶ τραγῳδία γένῃ.
ΤΡ. ἐμοὶ μελήσει ταῦτά γ’· ἀλλὰ χαίρετε.
ὑμεῖς δέ γ’, ὑπὲρ ὧν τοὺς πόνους ἐγὼ πονῶ,
μὴ βδεῖτε, μηδὲ χέζεθ’ ἡμερῶν τριῶν,
ὡς εἰ μετέωρος οὗτος ὢν ὀσφρήσεται,
κατωκάρα ῥίψας με βουκολήσεται.
ἀλλ’ ἄγε, Πήγασε, χώρει χαίρων, a. d.
χρυσοχαλίνων πάταγον ψαλίων

ρος ὁτὲ μὲν πλ. ὅν. κοινὸν, ὁτὲ δὲ, modo, modo.) καὶ ποτήριόν τι οὕτω καλεῖται etc.

144. φορ., in alto jactatum.

145. δήπου, scilicet. cf. Plut. 487. S.: ὁ Πειραιεὺς λιμένας ἔχει τρεῖς, πάντας κλειστούς. εἷς μὲν ὁ Κανθάρου λιμὴν, οὕτω καλούμενος ἀπό τινος ἥρωος Κανθάρου, ἐν ᾧ τὰ νεώρια, εἶτα τὸ Ἀφροδίσιον, εἶτα κύκλῳ τοῦ λιμένος στοαί ἑ. — v. Meursii Piraeeum c. 3. Br. Dobr.: „Secunda in Πειραεῖ corripitur. εἰς Δῆλον ἐλθεῖν ἠθέλησ’ ἐκ Πειραιῶς Criton ap. Athen. 4, 22., p. 173, C. v. Alexis ibid. p. 562. ceterum forma Πειραεῖ, quam habent edd., certe 8 primae cum K. Br. et Invern., (item) recentiorum Graecorum esse videtur. eam Hesychio v. ζέα e MS. restituendam censet Porsonus. de Πειραιεὺς vide Gaisford. ad Hephaest. p. 216., et adde Philisci versum ap. Holsten. ad Steph. Byz., Salmas. ad Solin. p. 425, 1, C. ὁ Πειραιεὺς κάρυον μέγ’ ἔστι καὶ κενὸν in Jacobsii Anthol. Palat. t. 2. p. 445. (cf. Jacobs. cum illic, tum in Additam. ad Athen. p. 113.)“

146. κατ. cf. 71. „σφαλ., ubi impegeris. Phot. lex. p. 106. καταῤῥυῆναι: κατακτεσεῖν.“ B.

147. — ἀποτείνει πρὸς Εὐριπίδην, ὃς ἐν δράματι χωλὸν εἰσάγει τὸν Βελλεροφόντην διὰ τὸ πεπτωκέναι ἀπὸ τοῦ Πηγάσου, βουλόμενον εἰς οὐρανὸν ἀνελθεῖν. S. idem ad Ran. 799. (871.) τὸν χωλοποιόν. διὰ τοὺς τρεῖς, Βελλεροφόντην, Φιλοκτήτην, Τήλεφον.

148. λόγον, materiam sermonum.

149. his dictis dimittit pater filias. tum Trygaeus ad spectatores se convertit, eosque jubet non linguis, sed alia corporis parte favere. B. similiter 98. et 157. seqq.: adeo iste jocus placuit Aristophani, non meliori illi saepe aliis Comicis, quos deridet.

151. ἡμ. τριῶν, triduum. vid. Matth. gr. §. 378, 2.

153. κατ. κατωφερῶς· ὅτι τὸ ἐπὶ τῆς κεφαλῆς πεσεῖν κατωκάρα λέγεται ἀττικῶς οὐ διηρημένως, ἀλλ’ ὑφ’ ἕν. — (Phot. lex. p. 112. κατωκάρα: κάτω τὴν κεφαλὴν ἔχοντα. B.) βουκ. ἀκατήσεται. καὶ βουκόλημα τὸ θέλγητρον, ὡς τὸ χώπως ἔχῃ τι βουκόλημα τῆς λύπης, Ἀνέθηκε τοίχοις ποικίλας γραφὰς ζώων. S. ita hos choliambos scribendos esse vidit Fl. Chr., cum in libris legatur καὶ ὅπως et τοῖς τοίχοις. Babrii non inepte esse censet. cf. Tyrwhitt dissert. de Babrio p. 55., ubi quod suadet in his versibus ἐνέθηκε videtur esse minus necessarium.

154. μετὰ τὸ παρακελεύσασθαι τῷ ὄχλῳ, καὶ τοῖς ἑαυτοῦ παιδίοις, κατὰ μηδὲν ἐρεθίσαι τὸν κάνθαρον, τότε παρακελεύεται αὐτῷ. — S.

155. vulgo χρυσοχάλινον, hypallage dura, praesertim in Comico. χρυσοχαλινῶν Suid. MS. in ψαλίοις. χρυσοχαλίνων pridem Florenti Chr. placuit et Berglero, nec desunt exempla

διακινήσας φαιδροῖς ὠσίν.
τί ποιεῖς; τί ποιεῖς; ποῖ παρακλίνεις
τοὺς μυκτῆρας πρὸς τὰς λαύρας;
ἴει σαυτὸν θαρρῶν ἀπὸ γῆς,
κἆτα δρομαίαν πτέρυγ' ἐκτείνων
ὀρθῶς χώρει Διὸς εἰς αὐλάς,
ἀπὸ μὲν κάκκης τὴν ῥῖν' ἀπέχων,
ἀπὸ θ' ἡμερινῶν σίτων πάντων.
ἄνθρωπε, τί δρᾷς, οὗτος ὁ χέζων
ἐν Πειραιεῖ παρὰ ταῖς πόρναις;
ἀπολεῖς μ', ἀπολεῖς! οὐ κατορύξεις,
κἀπιφορήσεις τῆς γῆς πολλὴν,
κἀπιφυτεύσεις ἕρπυλλον ἄνω,
καὶ μύρον ἐπιχεῖς; ὡς ἤν τι πεσὼν

permutatarum inter se litterarum o et ω, quemadmodum ap. Eurip. Suppl. 55. scribendum esse videtur λαΐνων τάφων pro λάϊνον τάφον, et contra Heracl. 33. καθεζώμεθα scriptum est in libris pro καθεζόμεθα. cf. Orest. 680., Rhes. 843., Jacobs. Anthol. Palat. 3. p. 454, infra quoque 241.

156. θιακιν., permovens, movens per aërem. vel αὐξητικὸν est διά. S.: φαιδροῖς. πραέσι, μὴ ὀρθοῖς. τοῦτο γὰρ πάσχουσιν οἱ ἵπποι, ὥσπερ παροξυνόμενοι εἰς ἄκρατον δρόμον. at recte Fl. Chr.: „arrigunt," inquit, „aures equi, cum ad currendum incitantur." malit igitur ὀρθοῖς, μὴ πραέσι, quod ineptum. scribendum πραέσιν ἢ ὀρθοίς, siquidem ὀρθὰ sunt ωτα ἵππων πραέων, nec raro fit, ut μ et ν litterae permisceantur: velut ἅμα ρνήσθητι pro ἀναμνήσθητι legebatur olim ap. Tatium 129, 2. ed. Jacobs. cf. Porson. ad Eurip. Hecub. 369.

158. τὰς λαύρας. cf. 99.

163. ἡμερ. quotidianorum, vulgarium. — ἡμερινῶν σίτων πάντων. homoeoteleuton parum elegans. malim πάντως, qui ν et ς saepius confusa sciam in codd.; qua de re vidd. indices Sophoclis atque Euripidis.

164. fingit videre aliquem in Piraeeo, dum ad aethera evehitur.

165. παρὰ ταῖς π. πορνεῖον γὰρ ἦν ἐκεῖσε. ἐμπορεῖον γάρ ἐστι, καὶ διὰ τὸ κατωφερὲς (propensionem ad id, libidinem scortandi) τῶν ναυτῶν ἐκεῖσε ἔτρεχον αἱ πόρναι. S.

166. ita Br. ex 2 codd., ut Soph. Trach. 953. Vatic. et Palat. ἀπολεῖς, ἀπολεῖς, sine pronomine. Eurip. Cycl. 535. ἀπολεῖς· δὸς οὕτω. *enicas; da sic.* cf. Ran. 1180., Plut. 386. S.: οὐ κατορ. οὐ συγχώσεις, καὶ ἀποκρύψεις, τὴν σαυτοῦ κόπρον;

167. τῆς γῆς πολλήν. genitivus partitionis, ut 225. vide annot. ad Plut. 689.

168. ἕρπυλλον est thymus serpyllum Linn., *Quendel, wilder Thymian, Feldkümmel.* v. Voss. ad Virg. Eclog. t. 1. p. 59. B. „λευκὸς θύμος Theophr., *thymus candidus* Plin. (20, 22.) Dioscor. 3, 46. ἕρπυλλον, serp. *hortense*, odore sampsuchi. (*das officinelle Serpyllum, Feldkümmel.*) in montibus Graeciae, Cretae, in Olympo Bithyniae. Sibthorp." Billerbeck. Flor. class. p. 158. S.: ἕρπυλλον. εἶδος ἄνθους σαμψύχῳ ὅμοιον. μάλιστα δὲ παρὰ τοῖς ὕδασι θάλλει. —

169. καὶ μύρον ἐπ.; καὶ ἐπιβάλλεις μύρον εἰς ἄξησιν. διὰ τὸ τελέως ἀφανισθῆναι τὴν ὀσμὴν παρεῖληφε τοῦτο. — S. Be.: ἤν τι — πάθω. per euphemismum: *si delapsus hinc moriar.* —

ἐνθένδε πάθω, τοῦ 'μοῦ θανάτου
πέντε τάλαντ' ἡ πόλις ἡ Χίων
διὰ τὸν σὸν πρωκτὸν ὀφλήσει. a. par.
οἴμ', ὡς δέδοικα, κοὐκέτι σκώπτων λέγω! i. tr.
ὦ μηχανοποιέ, πρόσεχε τὸν νοῦν ὡς ἐμέ·
ἤδη στροφεῖ τι πνεῦμα περὶ τὸν ὀμφαλόν,
κεἰ μὴ φυλάξεις, χορτάσω τὸν κάνθαρον.
ἀτὰρ ἐγγὺς εἶναι τῶν θεῶν ἐμοὶ δοκῶ·
καὶ δὴ καθορῶ τὴν οἰκίαν τὴν τοῦ Διός. —
τίς ἐν Διὸς θύραισιν; οὐκ ἀνοίξετε;
ΕΡ. πόθεν βροτοῦ με προσέβαλ'; ὦ 'ναξ Ἡράκλεις,
τουτὶ τί ἐστι τὸ κακόν;
ΤΡ. ἱπποκάνθαρος.
ΕΡ. ὦ μικρὲ, καὶ τολμηρὲ, κἀναίσχυντε σὺ,

171. ἡ πόλις ἡ Χίων. τοῦτο ὡς ἐκ παροιμίας, (Χῖος ἀποπατῶν, de quo proverbio vidd. Erasmus et paroemiographi.) τῶν Ἀθηναίων ἐκ προφάσεως συκοφαντούντων, καὶ ζημιούντων τὰς πόλεις (civitates socias), καὶ λεγόντων, ὅτι Χῖος ἦν ὁ ἀποπατῶν, καὶ διὰ τοῦτο ὁ κάνθαρος ἔπεσεν ἐπὶ τὴν ὁσμήν. — κωμῳδεῖ δὲ Χίους ὡς εὐρυπρώκτους ὄντας, καὶ ἑτοίμους πρὸς τὸ ἀποπατεῖν. S. Fl. Chr.: — „de Chiorum spurca licentia notum illud, quod a Plut. refertur in Laconicis dictis (ed. Reisk. t. 6. p. 867.), τοῖς Χίοις ἐφιᾶσιν ἀσελγαίνειν." — omnino Chii perhibebantur improbi et impudici: cf. Ran. 921.

173. κοὐκ. σκ. λέγω. τουτέστιν ἀληθῆ λέξω, ἐπεὶ τὰ πρῶτα διασύρειν δοκεῖ τὸν Βελλεροφόντην. πρὸς δὲ τὸν ἐν θεάτρῳ μηχανοποιόν φησι. S. Nempe scarabaeus ille, super quo vehebatur, erat machina scenica, cujus directorem nunc alloquitur. *Be.* Vere metuit, [imo fingit se metuere,] ne cum machina delabatur. mox ὡς ἐμὲ attice est πρὸς ἐμὲ, ut saepe ὡς cum accus. personae legitur. v. Viger. p. 566. B. cf. Plut. 32.

175. Trygaeus, timens ne cadat, luctantibus in ventre flatibus pedere incipit, ut illa in Pluto 688. ὑπὸ τοῦ δέους βδέουσα. simul de sublimi despiciens vertigine corripitur; quod item ex metu fieri solet, et ἰλιγγιᾷν dicitur Graecis. annotavit Be.

176. χορτ. τὸν κ. i. e. cacabo, per metonymiam consequentis pro antecedente: scarabaeus enim vescitur stercore. — *Be.*

177. ita Rav., Bekk., D., quod elegantius vulgato ἀλλ' ἐγγύς.

180. π. βρ. με. ἀντὶ τοῦ „αἴσθησις ἀνθρώπου εἰσελήλυθεν, ἢ ὀσμὴ, ἢ φωνὴ," ἐλλειπτικῶς κατὰ τοὺς Ἀττικούς, inquit schol., nec aliter Br. et Abresch. Anim. ad Aeschylum t. 2. p. 89.; sed facilius τί intelligitur: v. Schäfer. ad Bos. de Ellips. p. 361. sequ.

181. ἱπποκάνθαρος. „vox ficta, ut ἱπποκέντανρος, et κυκνοκάνθαρος de nave ap. Nicostratum Com. Athen. 11. p. 474." *Be.* βατραχόκυκνοι scriptum videtur Ran. 207.

182. ὦ μικρέ. brevem, ut hominis, si cum dei comparetur, staturam Trygaei irridet Mercurius. Ach. 856. μικκός γα μᾶκος οὗτος etc. putide ll. ὦ μιαρὲ, cum sequatur καὶ μιαρέ. alias quoque α et κ confusa: v. Athen. 89, a, 94, a, 202, c, etc. eodem sensu hic noster passim dicit ἀνθρώπια, ἀνθρωπίσκους. cf. et 193. ὦ βδελυρὲ Suidae edd. v. μιαροί: sed ὦ μιαρὲ MS. et ibi, et in τολμῆσαι. recepit tamen illud D., quod videtur esse substitutum ab eo, qui ne ipse quidem ferret ὦ μιαρέ.

καὶ μιαρὲ, καὶ παμμίαρε, καὶ μιαρώτατε!
πῶς δεῦρ' ἀνῆλθες, ὦ μιαρῶν μιαρώτατε;
τί σοί ποτ' ἔστ' ὄνομ'; οὐκ ἐρεῖς;
TP. μιαρώτατος.
EP. ποδαπὸς τὸ γένος εἶ; φράζε μοι.
TP. μιαρώτατος.
EP. πατὴρ δέ σοι τίς ἐστιν;
TP. ἐμοί; μιαρώτατος.
EP. οὔ τοι, μὰ τὴν Γῆν, ἔσθ' ὅπως οὐκ ἀποθανεῖ,
εἰ μὴ κατερεῖς μοι τοὔνομ' ὅ τι ποτ' ἐστί σοι.
TP. Τρύγαιος Ἀθμονεύς, ἀμπελουργὸς δεξιὸς,
οὐ συκοφάντης, οὐδ' ἐραστὴς πραγμάτων.
EP. ἥκεις δὲ κατὰ τί;
TP. τὰ κρέα ταυτί σοι φέρων.
EP. ὦ δειλακρίων, πῶς ἦλθες;
TP. ὦ γλίσχρων, ὁρᾷς,

183. eodem vocabulo saepius repetendo infantiam Mercurii notat Comicus, et ipse Trygaeus; quod magis ridiculum in praeside eloquentiae. vide Plut. 1106. Donatus ad Terent. Eun. 3, 1. 22.: „*Mire est facta nullius ponderis repetitio ad inertiam loquentis exprimendam. nam postquam dixit* invidere omnes mihi, *repetit* illi invidere misere." cf. 236, 246, 360.

184. πῶς, *cur*, ut 192., Eurip. Suppl. 134., Ion. 1236.

185. ita Suidas. Rav. ἐστίν. vulgati libri, invecto septenario: τί σοί ποτ' ἐστὶ τοὔνομ'; οὐκ etc. malim meliore rhythmo τί σοί ποτ' ὄνομ' ἔστ';

190. vulgo Τρυγαῖος. vid. annot. ad 62. „Ἀθμονεύς, ab Athmone, qui δῆμος vel (ut cum A. Gellio loquar) populus est Cecropidos tribus." — *Fl. Chr.* vid. Meursii liber de Pagis att. Pausanias Att. 14. extremo, quem locum significavit Fl. Chr., δῆμος δέ ἐστιν Ἀθηναίοις Ἀθμονέων, οἳ Πορφυρίωνα, ἔτι πρότερον Ἀκταίου βασιλεύσαντα τῆς Ὀφρανίας, φασὶ τὸ παρά σφισιν ἱερὸν ἱδρύσασθαι. B. „δεξιὸς omnino ἀγαθὸν, ἐπιτήδειον, significat. v. Zonar. 1. p. 476." cf. Plut. 383. S. ἐδόκουν γὰρ οἱ γεωργοὶ, καὶ μάλιστα οἱ δεξιοὶ, ἀπραγμοσύνην (h. e. τὸ μὴ πολυπραγμονεῖν) ἀσπάζεσθαι. laudari solent agricolarum mores integri. Eurip. Or. 889. ἄλλος δ' ἀναστὰς ἔλεγε τῷδ' ἐναντία, Μορφῇ μὲν οὐκ εὐσκὸς, ἀνδρεῖος δ' ἀνὴρ, Ὀλιγάκις ἄστυ καὶ γοργὰς χραίνων κύκλον, Αὐτουργὸς, οἷπερ καὶ μόνοι σώζουσι γῆν. cf. 498. seqq. —

192. τὰ κρέα. ὅτι κατὰ συστολὴν (κρέᾰ) ἔλεγον, οὐ μόνον, ὡς φασί τινες, ἐν ἐκτάσει (κρέᾱ), τὰ κρέα. (vid. Matth. gr. §. 84, 2.) ὡς πρὸς λίχνον δὲ τὸν Ἑρμῆν ταῦτα λέγει. S. Nempe quia scit, Mercurium esse gulosum, sperat se placaturum ejus ferociam oblatione carnium. cf. Plut. extrema. *E Be.*

193. ὦ δειλ., h. e. velut ἄκρως δειλὸς, ut ait Fl. Chr., *o miselle, du armer Schelm*, vel secundum Vossium *Arm Wichtchen.* „Blanda miserentis compellatio. cf. Av. 143." *Br.* vide etiam Plut. 969. — γλίσχρων. ἐπιθυμητὰ, ἀπὸ τοῦ γλίχεσθαι. (sic etiam Suid. h. v.) — S. hoc verbo Tr. ridet Mercurium, delenitum adspectu carnium.

ὡς οὐκέτ' εἶναί σοι δοκῶ μιαρώτατος;
ἴθι νῦν, κάλεσόν μοι τὸν Δί'.
ΕΡ. ἰὴ, ἰὴ, ἰή,
ὅτι οὐδὲ μέλλεις ἐγγὺς ἰέναι τῶν θεῶν!
φροῦδοι γάρ εἰσιν ἐχθὲς ἐξῳκισμένοι.
ΤΡ. ποῖ γῆς;
ΕΡ. ἰδοὺ „γῆς!"
ΤΡ. ἀλλὰ ποῖ;
ΕΡ. πόρρω πάνυ,
ὑπ' αὐτὸν ἀτεχνῶς τοὐρανοῦ τὸν κύτταρον.
ΤΡ. πῶς οὖν σὺ δῆτ' ἐνταῦθα κατελείφθης μόνος;
ΕΡ. τὰ λοιπὰ τηρῶ σκευάρια τὰ τῶν θεῶν,
χυτρίδια, καὶ σανίδια, κἀμφορείδια.
ΤΡ. ἐξῳκίσαντο δ' οἱ θεοὶ τίνος οὕνεκα;
ΕΡ. Ἕλλησιν ὀργισθέντες. εἶτ' ἐνταῦθα μὲν,
ἵν' ἦσαν αὐτοὶ, τὸν Πόλεμον κατῴκισαν,
ὑμᾶς παραδόντες δρᾶν ἀτεχνῶς ὅ τι βούλεται·
αὐτοὶ δ' ἀνῳκίσανθ' ὅπως ἀνωτάτω,
ἵνα μὴ βλέποιεν μαχομένους ὑμᾶς ἔτι,
μηδ' ἀντιβολούντων μηδὲν αἰσθανοίατο.
ΤΡ. τοῦ δ' εἵνεχ' ἡμᾶς ταῦτ' ἔδρασαν; εἰπέ μοι.
ΕΡ. ὅτι πολεμεῖν ἤρεῖσθ', ἐκείνων πολλάκις
σπονδὰς ποιούντων· κεἰ μὲν οἱ Λακωνικοὶ
ὑπερβάλοιντο μικρὸν, ἔλεγον ἂν ταδὶ

195. *ἰὴ πρόσθεγμά ἐστι καταφρονοῦντος*, ut ait S. aliud est illud *ἰὴ* infra 443. seqq., de quo exposuit Bähr. in annot. ad Plut. Flamin. cap. 16. cf. et quos ibi testes citat, inprimis Sp. ad. Callim. h. in Apoll. 21, 24, 98. et Blomf. ad Aeschyl. Agam. 144. glossario.

198. *ἰδοὺ γῆς. χλευάζων φησὶν, ὅτι εἶπε „ποῖ γῆς," ἐν οὐρανῷ αὐτῶν οἰκούντων.* S. — sic Nub. 873., cum unus dixisset *κρέμαι*, alter reprehendens eum repetit eandem vocem: *ἰδοὺ „κρέμαι" ὡς ἡλίθιον ἐφθέγξατο! E Be.*

199. *κυττάρους καλοῦσι τὰς τῶν σφηκίων κατατρήσεις· μεταφορικῶς δὲ τὸ κοιλαίτατον, καὶ μυχαίτατον, εἶπε τοῦ οὐρανοῦ. ὁ δὲ λόγος εἰς τὰ ἔσχατα καὶ ἀπόκρυφα μέχρι (imo μέρη) τοῦ οὐρανοῦ.* S. — *ἀτεχνῶς*, plane, prorsus. cf. 206., Plut. 358.

205. *τὸν Πόλεμον.* daemonem Marti similem. annotavit Be., in Acharn. 976. describi Bellum, tanquam militem insolentem.

207. *ἀν. ἀντὶ τοῦ ἀπῳκίσαντο, καὶ ἀνεχώρησαν*, (B.: *ἀνοικίζεσθαι* est in superiorem locum abire habitatum.) *ὡς ἂν μὴ παρεῖεν αὐτοῖς τὰ δυσχερῆ.* S.

212. *σπονδὰς ποιούντων. τῶν θεῶν πρυτανευόντων ὑμῖν τὴν εἰρήνην ἀεί.* S.

213. *ὑπερβ.*, superiores essent. *ἔλ. ἄν*, dicere solebant. cf. 70., 217

ναὶ τὼ σιώ, νῦν Ἀττικίων δώσει δίκην·
εἰ δ' αὖ τι πράξαιντ' ἀγαθὸν Ἀττικωνικοὶ,
κἄλθυιεν οἱ Λάκωνες εἰρήνης πέρι,
ἐλέγετ' ἂν ὑμεῖς εὐθὺς ἐξαπατώμεθα,
νὴ τὴν Ἀθάναν· νὴ Δί', οὐχὶ πειστέον·
ἤξουσι καὖθις, ἢν ἔχωμεν τὴν Πύλον. —
TP. ὁ γοῦν χαρακτὴρ ἡμεδαπὸς τῶν ῥημάτων.
EP. ὧν οὕνεκ' οὐκ οἶδ' εἴ ποτ' Εἰρήνην ἔτι
τολοιπὸν ὄψεσθ'.
TP. ἀλλὰ ποῖ γὰρ οἴχεται;
EP. ὁ Πόλεμος αὐτὴν ἐνέβαλ' εἰς ἄντρον βαθύ.

214. *ναὶ τὼ σιώ.* dorice pro *νὴ τὼ θεώ.* (cf. interpp. Gregorii Cor. de Dialectis p. 300. et 302. ed. Schäfer. B.) intelliguntur h. l. Castor et Pollux, per quos et viri et feminae jurare solebant ap. Lacedaemonios; Athenis autem non nisi feminae jurabant *νὴ* vel *μὰ τὼ θεώ*, quippe Cererem et Proserpinam intelligentes. vide Lys. 81., 90., 1110, Ach. 952. *E Be.* Bisetus: *Ἀττικίων ὑποκοριστικῶς εἴρηται, ὡς καὶ ἀπὸ τοῦ μαλακὸς μαλακίων. τοῦτο δὲ ἐξουθενήσεως καὶ καταφρονήσεως ἕνεκα.*

215. *Ἀττικ.* οὕτως ἔλεγον εὐτελίζοντες [*καὶ ἐνυβρίζοντες, καὶ εἰς ἧττον φέροντες*] *ὑποκοριστικῶς τοὺς Ἀθηναίους ἐν τῷ ὀνόματι, ἐν ᾧ καὶ Ἴωνες ἔγκεινται.* (legit igitur hic schol. *Ἀττικιωνικοί.*) (*ἄλλως.*) *παίζει δὲ, ἐπειδὴ εἶπεν ἄνω* (212.) *Λακωνικοὶ ὑποκοριστικῶς· διὰ τοῦτο καὶ Ἀττικωνικοί.* S. sane jocatur: nam a *Λάκων* recte derivatur *Λακωνικὸς*, non item *Ἀττικωνικὸς* ab *Ἀττικός.* vidit hoc Be.

218. *νὴ Δία, ο. π. ἐχρῆν μᾶλλον αὐτοὺς τὴν πάτριον ὀμόσαι, λέγω δὲ τὴν Ἀθηνᾶν· καὶ γὰρ τοὺς Λακεδαιμονίους τοὺς πατρίους αὐτῶν ἐκαίησεν ὀμόσαντας θεούς· πλὴν εἰδέναι χρὴ, διὰ τί τοῦτο πεποίηκεν ὀρνύντας αὐτούς. διὰ δὴ τὸ αὔξειν κ. ἀποσεμνύειν τὰ τῶν Ἀθηναίων πράγματα, κ. ἐν τούτῳ ἐπαίρων τοὺς Ἀθηναίους, ὡς οὐκ Ἀθηνᾷ μόνῃ χρήσαιντο συμμάχῳ, ἀλλὰ καὶ Διΐ.* S. imo carpere videtur Athenienses jurare amantes. — vulgo *Ἀθηνᾶν.* vid. inprimis Porson. ad Eurip. Or. 26.

219. *ἢν ἔχ. τὴν Πύλον. τοῦτο διὰ τοὺς ληφθέντας ἐν Σφακτηρίᾳ τριακοσίους, καὶ διὰ τὸ ἐπιτείχισμα, ὅπερ Ἀθηναῖοι κατέστησαν ἐν Πύλῳ, ὅτι ληφθείσης αὐτῆς περὶ εἰρήνης πρῶτοι Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐπρέσβευον.* S. Pylus insula juxta Peloponnesum, et regio Laconicae, olim etiam dicta Coryphasium, et Sphacteria ab occisione illa Lacedaemoniorum in arce pugnantium, duce temerario Brasida, cum trecentos propugnatores accepisse', capta tandem fuit cum trecentis illis a Cleone, qui praeclari facinoris gloriam eripere voluit Demostheni et Niciae, fortissimis ducibus, qui strenue pugnando eam ad incitas redegerant. itaque cum cepissent Pylon Athenienses (Olymp. 88, 4., ante Chr. nat. 425., belli Pelop. 7. cf. Equ. 55., Thucyd. 4, 3, 14. seqq., 41., Palmer. Exerc. p. 724.), statim Lacedaemonii legatos de pace miserunt. hic Atheniensium tangit superbiam et ferociam in rebus prosperis. *Fl. Chr. si Pylum retineamus*; i. e. iterum atque iterum venient, quamdiu Pylum retinebimus. — *Br.* cf. 616., 640.

220. Fl. Chr.: *Atque haec loquendi forma* vestra (*nostra.* scribebat ille *ὑμεδαπὸς*, omissa scil. Trygaei persona in codd.) *ut plurimum est.* Voss.: *Ja so geprägt ist unserer Worte Landesart.*

ΤΡ. ἐς ποῖον;
ΕΡ. ἐς τουτὶ τὸ κάτω· κἄπειθ' ὁρᾷς,
ὅσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων,
ἵνα μὴ λάβητε μηδέποτ' αὐτήν;
ΤΡ. εἰπέ μοι,
ἡμᾶς δὲ δὴ τί δρᾷν παρασκευάζεται;
ΕΡ. οὐκ οἶδα πλὴν ἓν, ὅτι θυείαν ἐσπέρας
ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο.
ΤΡ. τί δῆτα ταύτῃ τῇ θυείᾳ χρήσεται;
ΕΡ. τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.
ἀλλ' εἶμι· καὶ γὰρ ἐξιέναι γνώμην ἐμὴν
μέλλει· θορυβεῖ γοῦν ἔνδον.
ΤΡ. οἴμοι δείλαιος!
φέρ', αὐτὸν ἀποδρῶ· καὶ γὰρ ὥσπερ ᾐσθόμην
καὐτὸς θυείας φθέγμα πολεμιστηρίας.
ΠΟ. ἰὼ βροτοὶ, βροτοὶ, βροτοὶ πολυτλήμονες,
ὡς αὐτίκα μάλα τὰς γνάθους ἀλγήσετε!
ΤΡ. ὦναξ Ἄπολλον, τῆς θυείας τοῦ πλάτους!
ὅσον κακὸν καὶ τοῦ Πολέμου τοῦ βλέμματος!
ἆρ' οὗτος ἔστ' ἐκεῖνος, ὃν καὶ φεύγομεν,
* ὁ δεινὸς, ὁ ταλαύρινος, ὁ κατὰ τοῖν σκελοῖν;

225. ὅσους τῶν λίθων. cf. annot. ad 167.

227. hyperbaton, verbis εἰπέ μοι priore loco illatis emphaseos causa, quae in fine orationis posita, ut 210., nihil habitura essent offensionis.

228. θυεία ἀγγεῖον, εἰς ὃ ἐμβάλλοντές τινα ἀρτύματα τρίβομεν, καὶ λειοῦμεν. S. ἔσπ. cf. 151.

232, 3. γνώμην ἐμήν. γνώμῃ ἐμῇ, ut opinio mea est. δείλαιος correpta media, ut Plut. 846.

234. νοεῖν δεῖ, τὸν Τρυγαῖον ἀποβεβηκότα τοῦ κανθάρου ἐπὶ τῆς σκηνῆς ταῦτα λέγειν. S. φέρ', α. ἀπ. age, effugiam eum, scil. Πόλεμον. — B. haec dicens Trygaeus respicit scarabaeum, et fugam parat. ὥσπερ pertinet ad θυείας.

236. — ἐξιόντων τῶν ὑποκριτῶν ὁ Πόλεμος ἐξέρχεται (imo ἐσέρχεται), θέλων τρίψαι μυττωτόν. σκευὴ δὲ αὐτοῦ ἓκ τυροῦ, καὶ σκορόδου, καὶ μέλιτος, καὶ πλάσων. S.

237. τὰς γν. ἁλγ. τριβόμενοι ἐν τῇ θυείᾳ (cf. 231., 246,). E scholio.

238. Ἀπ. ἀποτρόπαιε. cf. 16.

239. h. e. ὅσον κακὸν καὶ τοῦ βλέμμ. τοῦ Πολ.! quantum vel in solo adspectu Belli inest mali, ecu terroris!

241. ταλ. ὑπομονητικὸς, καρτερικὸς ἐν τῇ μάχῃ. S. „Ach. 509. de Lamacho ὁ δεινὸς, ὁ ταλαύρινος, ὃς τὴν Γοργόνα Πάλλει, κραδαίνων τρεῖς κατασκίους λόφους.“ Be. — ὁ κατὰ τοῖν σκελοῖν. affecta: neque enim audiendus est Br., qui ἑστὼς, βεβηκὼς, vel quiddam simile, supplendum putat, quasi mirum sit Bellum pedibus incedere. scribendus videtur apta sententia, facilique mutatione (vid. annot. ad 155.), ὁ ταλαύρινος ὢν κατὰ τοῖν σκελοῖν, ille, qui firme insistit pedibus, nec retrocedit. Tyrtaeus eleg. 1. in fine: ἀλλά τις εὖ διαβὰς μενέτω, ποσὶν ἀμφοτέροισι Στηριχθεὶς ἐπ-

ΠΟ. ἰὼ Πρασιαὶ τρὶς ἄθλιαι, καὶ πεντάκις,
καὶ πολλοδεκάκις, ὡς ἀπολεῖσθε τήμερον!
ΤΡ. τουτὶ μέν, ἄνδρες, οὐδὲν ἡμῖν πρᾶγμά πω·
τὸ γὰρ κακὸν τοῦτ' ἔστι τῆς Λακωνικῆς.
ΠΟ. ἰὼ Μέγαρα, Μέγαρ', ὡς ἐπιτρίψεσθ' αὐτίκα
ἅπαξάπαντα καταμεμιττωτευμένα!
ΤΡ. βαβαὶ, βαβαιὰξ, ὡς μεγάλα καὶ δριμέα
τοῖσι Μεγαρεῦσιν ἐνέβαλεν τὰ κλαύματα!
ΠΟ. ἰὼ Σικελία, καὶ σὺ δ' ὡς ἀπόλλυσαι!
οἵα πόλις τάλαινα διακναισθήσεται!
φέρ', ἐπιχέω καὶ τὸ μέλι τουτὶ τἀττικόν.
ΤΡ. οὗτος, παραινῶ μέλιτι χρῆσθαι θατέρῳ.

γῆς, χεῖλος ὀδοῦσι δακών. cf. 279, 319.

242. *Πρασιαί.* πόλις λακωνική. ἅμα δὲ πράσα ἐμβάλλων ταῦτά φησιν. S. Prasiae, urbs laconica in finibus Epidauriorum τῶν λιμήρων, vastata et desolata fuit ab Athenn. anno 2. belli Pelop. Thuc. 2. (56.) *Palmer.* minus recte edd.: τρισάθλιαι, sequentibus verbis πεντάκις et πολλοδεκάκις. cf. Plut. 847.

244. πρᾶγμα, negotium, molestia.

246. σκόροδα ἐμβάλλων ταῦτά φησιν· ἡ γὰρ Μεγαρικὴ σκορυδοφόρος. σύμμαχοι δὲ Λακεδαιμονίων Μεγαρεῖς. καὶ ὅτι πᾶσα ἡ τοῦ πολέμου πρόφασις δι' αὐτοὺς δοκεῖ γεγονέναι χάριν τοῦ τὸ πινάκιον συνθέντος τὸ κατ' αὐτῶν Περικλέους, ὥστε μήτε γῆς, μήτε λιμένων ἀττικῶν, ἐπιβαίνειν τοὺς Μεγαρεῖς. (cf. 472., Ach. 497. H. Voss.) εἰκότως οὖν εἰς τὸ κεχαρισμένον τοῖς Ἀθηναίοις τοὺς τούτων ἐχθροὺς παρεισάγει ἐκ τοῦ πολέμου συντριβομένους τέλεον. — S. emendatus: legitur enim — τὸ κατ' αὐτῶν εἰς τὴν Περ. χάριν, ὥστε etc. ἐπιτρ. cf. Plut. 120. etc.

248, 9. βαβαὶ, βαβαιά ξ. σχετλιαστικὸν ἀντὶ τοῦ φεῦ φεῦ. δέον δὲ εἰπεῖν τὰ σκόροδα, παρ' ὑπόνοιαν εἶπε τὰ κλαύματα· — τοῖς γὰρ ἐσθίουσι σκόροδα δάκρυα ἔπεισι διὰ τὴν δριμύτητα. — S.

250. τυρὸν ἐμβάλλων Σικελίας μέμνηται· πολὺς γὰρ ἐκεῖ τυρός. σὺν ἄδηλον δὲ, ὅτι καὶ ταύτης τὸ πλέον μέρος (praeter Leontinos, quibus, male affectis a Syracusanis, copias auxiliares miserunt Athenn. anno 5. belli Pelop. v. Thuc. 3, 86., Palmer.) πολέμιον ἦν Ἀθηναίοις· ἔνθα καὶ τὴν μεγάλην ἐδυστύχησαν ἥτταν. S. in transitu Assinari fluminis. [multo tamen serius, a. 19. belli Pelop. B.] nam et aqua, ut ait Thuc. [7, 84.], statim corrupta fuit, et nihilominus potabatur, quamvis luto et sanguine inquinata. deinde magnus fuit numerus occisione occisorum Athenn., majorque fuisset clades, nisi procul ab Athenis periisset exercitus ille magis ex auxiliaribus copiis conscriptus quam ex domesticis, ut ait Arrianus lib. 1. Ἀναβάσ. (c. 9. §. 2.) — *Fl. Chr.*

251. τάλαινα, ab effectu, infelix facta, male habita. S.: διακν. διαφθαρήσεται. ὡς ἐπὶ τυροῦ τοῦτο. Ὅμηρος (Il. λ', 638.) ἐπὶ δ' ἄγειον κνῆ τυρόν. κναίειν γάρ ἐστι κυρίως τὸ τὸν τυρὸν ξύειν τῇ κνίστῃ. (κνήστι, ut Iliad. l. l.)

253. sic libri plurimi, et recte. quod in duobus codd. invenit Br., σοι ante μέλιτι, ab interprete profectum est. Soph. Ant. 1216. κέρδη παραινεῖς. Rhes. 325. σύ τ' εὖ παραινεῖς, καὶ σὺ καιρίως σκοπεῖς, etc. θάτερον μέλι, *alterum mel*, recte dicitur non atticum, siquidem solum atticum in pretio fuit, cui cetera mella, deteriora illa omnia, sine discrimine opponuntur.

ΤΡ. ἐς ποῖον;
ΕΡ. ἐς τουτὶ τὸ κάτω· κἄπειθ' ὁρᾷς,
ὅσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων,
ἵνα μὴ λάβητε μηδέποτ' αὐτήν;
ΤΡ. εἰπέ μοι,
ἡμᾶς δὲ δὴ τί δρᾷν παρασκευάζεται;
ΕΡ. οὐκ οἶδα πλὴν ἓν, ὅτι θυείαν ἐσπέρας
ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο.
ΤΡ. τί δῆτα ταύτῃ τῇ θυείᾳ χρήσεται;
ΕΡ. τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.
ἀλλ' εἶμι· καὶ γὰρ ἐξιέναι γνώμην ἐμὴν
μέλλει· θορυβεῖ γοῦν ἔνδον.
ΤΡ. οἴμοι δείλαιος!
φέρ', αὐτὸν ἀποδρῶ· καὶ γὰρ ὥσπερ ᾠσθόμην
καὐτὸς θυείας φθέγμα πολεμιστηρίας.
ΠΟ. ἰὼ βροτοὶ, βροτοὶ, βροτοὶ πολυτλήμονες,
ὡς αὐτίκα μάλα τὰς γνάθους ἀλγήσετε!
ΤΡ. ὦναξ Ἄπολλον, τῆς θυείας τοῦ πλάτους!
ὅσον κακὸν καὶ τοῦ Πολέμου τοῦ βλέμματος!
ἆρ' οὗτος ἔστ' ἐκεῖνος, ὃν καὶ φεύγομεν,
* ὁ δεινὸς, ὁ ταλαύρινος, ὁ κατὰ τοῖν σκελοῖν;

225. ὅσους τῶν λίθων. cf. annot. ad 167.

227. hyperbaton, verbis εἰπέ μοι priore loco illatis emphaseos causa, quae in fine orationis posita, ut 210., nihil habitura essent offensionis.

228. θυεία ἀγγεῖον, εἰς ὃ ἐμβάλλοντές τινα ἀρτύματα τρίβομεν, καὶ λειοῦμεν. S. ἑσπ. cf. 151.

232, 3. γνώμην ἐμήν. γνώμη ἐμῇ, ut opinio mea est. δείλαιος correpta media, ut Plut. 846.

234. νοεῖν δεῖ, τὸν Τρυγαῖον ἀποβεβηκότα τοῦ κανθάρου ἐπὶ τῆς σκηνῆς ταῦτα λέγειν. S. φέρ', α. ἀπ. age, effugiam eum, scil. Πόλεμον. — B. haec dicens Trygaeus respicit scarabaeum, et fugam parat. ὥσπερ pertinet ad θυείας.

236. — ἐξιόντων τῶν ὑποκριτῶν ὁ Πόλεμος ἐξέρχεται (imo ἐσέρχεται), θέλων τρίψαι μυττωτόν. σκευὴ δὲ αὐτοῦ ἐκ τυροῦ, καὶ σκορόδου, καὶ ἐλίτος, καὶ πράσων. S.

237. τὰς γν. ἀλγ. τριβόμενοι ἐν τῇ θυείᾳ (cf. 231., 246,). E scholio.

238. Ἀπ. ἀποτρόπαιε. cf. 16.

239. h. e. ὅσον κακὸν καὶ τοῦ βλέμμ. τοῦ Πολ.! quantum vel in solo adspectu Belli inest mali, sca terroris!

241. ταλ. ὑπομονητικὸς, καρτερικὸς ἐν τῇ μάχῃ. S. „Ach. 509. de Lamacho ὁ δεινὸς, ὁ ταλαύρινος, ὃς τὴν Γοργόνα Πάλλει, κραδαίνων τρεῖς κατασκίους λόφους.“ Be. — ὁ κατὰ τοῖν σκελοῖν. affecta: neque enim audiendus est Br., qui ἐστὼς, βεβηκὼς, vel quiddam simile, supplendum putat, quasi mirum sit, Bellum pedibus incedere. scribendum videtur apta sententia, facilique mutatione (vid. annot. ad 155.), ὁ ταλαύρινος ὢν κατὰ τοῖν σκελοῖν, ille, qui firme insistit pedibus, nec retrocedit. Tyrtaeus eleg. 1. in fine: ἀλλά τις εὖ διαβὰς μενέτω, ποσὶ ἀμφοτέροισι Στηριχθεὶς ἐπὶ

ΠΟ. ἰὼ Πρασιαὶ τρὶς ἄθλιαι, καὶ πεντάκις,
καὶ πολλοδεκάκις, ὡς ἀπολεῖσθε τήμερον!
ΤΡ. τουτὶ μέν, ἄνδρες, οὐδὲν ἡμῖν πρᾶγμά πω·
τὸ γὰρ κακὸν τοῦτ' ἔστι τῆς Λακωνικῆς.
ΠΟ. ἰὼ Μέγαρα, Μέγαρ', ὡς ἐπιτρίψεσθ' αὐτίκα
ἅπαξάπαντα καταμεμιττωτευμένα!
ΤΡ. βαβαὶ, βαβαιάξ, ὡς μεγάλα καὶ δριμέα
τοῖσι Μεγαρεῦσιν ἐνέβαλεν τὰ κλαύματα!
ΠΟ. ἰὼ Σικελία, καὶ σὺ δ' ὡς ἀπόλλυσαι!
οἵα πόλις τάλαινα διακναισθήσεται!
φέρ', ἐπιχέω καὶ τὸ μέλι τουτὶ τἀττικόν.
ΤΡ. οὗτος, παραινῶ μέλιτι χρῆσθαι θατέρῳ.

γῆς, χείλος ὀδοῦσι δακών. cf. 279, 319.

242. *Πρασιαί.* πόλις λακωνική. ἅμα δὲ πράσα ἐμβάλλων ταῦτά φησιν. S. Prasiae, urbs laconica in finibus Epidauriorum τῶν λιμήρων, vastata et desolata fuit ab Athenn. anno 2. belli Pelop. Thuc. 2. (56.) *Palmer.* minus recte edd.: τρισάθλιαι, sequentibus verbis πεντάκις et πολλοδεκάκις. cf. Plut. 847.

244. πρᾶγμα, negotium, molestia.

246. σκόροδα ἐμβάλλων ταῦτά φησιν· ἡ γὰρ Μεγαρικὴ σκοροδοφόρος. σύμμαχοι δὲ Λακεδαιμονίων Μεγαρεῖς. καὶ ὅτι πᾶσα ἡ τοῦ πολέμου πρόφασις δι' αὐτοὺς δοκεῖ γεγονέναι χάριν τοῦ τὸ πινάκιον συνθέντος τὸ κατ' αὐτῶν Περικλέους, ὥστε μήτε γῆς, μήτε λιμένων ἀττικῶν, ἐπιβαίνειν τοὺς Μεγαρεῖς. (cf. 472., Ach. 497. H. Voss.) εἰκότως οὖν εἰς τὸ κεχαρισμένον τοῖς Ἀθηναίοις τοὺς τούτων ἐχθροὺς παρεισάγει ἐκ τοῦ πολέμου συντριβομένους τέλεον. — S. emendatus: legitur enim — τὸ κατ' αὐτῶν εἰς τὴν Περ. χάριν, ὥστε etc. ἐπιτρ. cf. Plut. 120. etc.

248, 9. βαβαὶ, βαβαιάξ. σχετλιαστικὸν ἀντὶ τοῦ φεῦ φεῦ. δέον δὲ εἰπεῖν τὰ σκόροδα, παρ' ὑπόνοιαν εἶπε τὰ κλαύματα· — τοῖς γὰρ ἐσθίουσι σκόροδα δάκρυα ἔπεισι διὰ τὴν δριμύτητα. — S.

250. τυρὸν ἐμβάλλων Σικελίας μέμνηται· πολὺς γὰρ ἐκεῖ τυρός. σὺν ἄδηλον δὲ, ὅτι καὶ ταύτης τὸ πλέον μέρος (praeter Leontinos, quibus, male affectis a Syracusanis, copias auxiliares miserunt Athenn. anno 5. belli Pelop. v. Thuc. 3, 86., Palmer.) πολέμιον ἦν Ἀθηναίοις· ἔνθα καὶ τὴν μεγάλην ἐδυσεύχησαν ἦτταν. S. in transitu Assinari fluminis. [multo tamen serius, a. 19. belli Pelop. B.] nam et aqua, ut ait Thuc. [7, 84.], statim corrupta fuit, et nihilominus potabatur, quamvis luto et sanguine inquinata. deinde magnus fuit numerus occisione occisorum Athenn., majorque fuisset clades, nisi procul ab Athenis periisset exercitus ille magis ex auxiliaribus copiis conscriptus quam ex domesticis, ut ait Arrianus lib. 1. Ἀναβάσ. (c. 9. §. 2.) — *Fl. Chr.*

251. τάλαινα, ab effectu, infelix facta, male habita. S.: διακν. διαφθαρήσεται. ὡς ἐπὶ τυροῦ τοῦτο. Ὅμηρος (Il. λ', 638.) ἐπὶ δ' αἴγειον κνῆ τυρόν. κναίειν γάρ ἐστι κυρίως τὸ τὸν τυρὸν ξύειν τῇ κνίστῃ. (κνήστι, ut Iliad. l. l.)

253. sic libri plurimi, et recte. quod in duobus codd. invenit Br., σοι ante μέλιτι, ab interprete profectum est. Soph. Ant. 1216. κέρδη παραινεῖς. Rhes. 325. σύ τ' εὖ παραινεῖς, καὶ σὺ καιρίως σκοπεῖς, etc. θάτερον μέλι, *alterum mel*, recte dicitur non atticum, siquidem solum atticum in pretio fuit, cui cetera mella, deteriora illa omnia, sine discrimine opponuntur.

ΚΥ. οἴμοι τάλας, οἴμοι γε, κἄτ' οἴμοι μάλα!
ΠΟ. τί ἐστι; μῶν οὐκ αὖ φέρεις;
ΚΥ. ἀπόλωλε γὰρ
καὶ τοῖς Λακεδαιμονίοισιν ἀλετρίβανος.
ΠΟ. πῶς, ὦ πανοῦργ'; 280
ΚΥ. ἐς τἀπὶ Θράκης χωρία
χρήσαντες ἑτέροις αὐτὸν εἶτ' ἀπώλεσαν.
ΤΡ. εὖ γ', εὖ γε ποιήσαντες, ὦ Διοσκόρω!
ἴσως ἂν εὖ γένοιτο. θαῤῥεῖτ', ὦ βροτοί! 285
ΠΟ. ἀπόφερε τὰ σκεύη λαβὼν ταυτὶ πάλιν·
ἐγὼ δὲ δοίδυκ' εἰσιὼν ποιήσομαι.
ΤΡ. νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος,
ὃ δεφόμενός ποτ' ἦδε τῆς μεσημβρίας,
ὡς ἥδομαι, καὶ χαίρομαι, κεὐφραίνομαι. 290

280. κἄτ'. καὶ ἔτι. ita D. vulgo κᾆτ'. cf. Ran. 817, infra 451.

282. ἀλετρ. ὁ Βρασίδας, ὁ Τέλλιδος παῖς, ὃς ἦν Λακεδαιμόνιος στρατηγὸς, καὶ ἀνθίστατο τῇ εἰρήνῃ. (τῇ εἰρήνῃ.) ἐτελεύτησε δὲ ἐν Θρᾴκῃ. S. in proelio ad Amphipolin. vid. annot. ad 48.

283. πανοῦργε (*verbero, Schurke*) non ad vivum resecandum est, sed ita dicitur ut Ran. 35. S.: ἐς — χωρία. καὶ γὰρ εἰς συμμαχίαν πεμφθεὶς ὁ Βρασίδας εἰς Θρᾴκην κατὰ τὸν αὐτὸν χρόνον Κλέωνι τελευτῷ. S. ἐς τ. Θρ. χωρία (h. e. regionem Thraciae proximam. [Macedoniam adjectam.] vid. Gatterer. Comm. de Thracia pag. 76., 5. ex interpr. Schlichthorstii) missa esse ab Lacedd. auxilia, etiam Thuc. 5, 12. narrat. χρῆσαι, *commodare*, h. l. est mittere ducem ad opem ferendam. B.

285. ποιήσ. cf. 271. S.: ὦ Διοσκ. οὗτοι παρὰ τοῖς Λακεδαιμονίοις ἐτιμῶντο· διὸ νῦν αὐτῶν μέμνηται. — S. vid. Sp. ad Callim. h. in Pall. 24.; sed etiam Athenis, teste Paus. 1, 18., et alibi in Graecia colebantur; praecipue tamen Lacedaemone, ubi Dioscuria in eorum honorem agebantur, et Cyrenis.

288. his dictis in domum suam redit Polemus cum Cydoemo.

289. τοῦτο, κατὰ τοῦτο, *hoc modo*, vel *propter hoc*. Soph. Ajac. 622. τοῦτο μὲν νιφοστιβεῖς Χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει, ubi vid. annot. ἥκει, adest, locum habet, *apte usurpari potest*, nec male τοῦτο ἥκει reddideris *hic adest*, i. e. nunc evenit; quemadmodum οὗτος et ὅδε vicina significare solent. — τὸ Δάτ. μέλος. Δάτις σατράπης Περσῶν βασιλέως, εὐδοκιμήσας κατά τινα χρόνον πολεμῶν. ἑλληνίζειν δὲ βουλόμενος εἶπεν ἥδομαι, καὶ χαίρομαι, καὶ ἐβαρβάρισεν· ἔδει γὰρ εἰπεῖν χαίρω. ἅμα (ομαι) δὲ οὗτος εἶπε πρὸς τὸ ὁμοιοκατάληκτον. — λέγεται δὲ τὸ τοιοῦτο δατισμός. (de hoc B. evolvi jubet Suidam et Zonaram t. 2. p. 1845. cf. etiam Erasmi Adag. p. 591. ed. Rob. Steph.) S. fuit iste Datis dux Persarum tempore Darii Hystaspis, victusque est cum Artapherne ad Marathonem. vide Herodot. 6, 94. seqq., Corn. Nep. Milt. c. 4.

290. solent infamiae notam inurere Persarum moribus attici poëtae, ut notavit Musgrav. ad Eurip. Androm. 170. (τοιοῦτον πᾶν τὸ βάρβαρον γένος· Πατρὶ τε θυγατρὶ, παῖς τε μητρὶ, μίγνυται, Κόρῃ τ' ἀδελφῷ etc.), conferri jubens Aeschyl. Eum. 181. seqq. — τῆς μεσ., meridie. cf. 151.

291. ita Rav., Bekk., B., D., nec aliter Suid. in νῦν τοῦτ'. vulgo ὡς ἥδ., καὶ τέρπομαι (ut Plut. 288.),

νῦν ἐστιν ἡμῖν, ὦνδρες Ἕλληνες, καλὸν
ἀπαλλαγεῖσι πραγμάτων τε, καὶ μαχῶν,
ἐξελκύσαι τὴν πᾶσιν Εἰρήνην φίλην,
πρὶν ἕτερον αὖ δοίδυκα κωλῦσαί τινα.
ἀλλ', ὦ γεωργοὶ, κἄμποροι, καὶ τέκτονες,
καὶ δημιουργοὶ, καὶ μέτοικοι, καὶ ξένοι,
καὶ νησιῶται, δεῦρ' ἴτ', ὦ πάντες λεῳ,
ὡς τάχιστ' ἄμας λαβόντες, καὶ μοχλοὺς, καὶ σχοινία· t. t. c.
νῦν γὰρ ἡμῖν ἁρπάσαι πάρεστιν ἀγαθοῦ δαίμονος.

XO. δεῦρο πᾶς χώρει προθύμως εὐθὺ τῆς σωτηρίας!
ὦ Πανέλληνες, βοηθήσωμεν, εἴπερ πώποτε,
τάξεων ἀπαλλαγέντες, καὶ κακῶν φοινικικῶν!
ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος.
πρὸς τάδ' ἡμῖν, εἴ τι χρὴ δρᾶν, φράζε, κἀρχιτεκτόνει·
οὐ γὰρ ἔσθ' ὅπως ἀπειπεῖν ἂν δοκῶ μοι τήμερον,

καὶ χαίρομαι. Fl. Chr.: *Nunc cantio illa Datidis mentem subit, Cinaedus olim quam canit* (cecinit) *meridie: Quam laetor, et delector, atque gaudeo!* (gaudeor.)

292. καλόν. cf. 278. B.: Tropice verba significant „jam decet, remotis istis turbatoribus civitatum inire pacem, priusquam alius quis turbare eam rursus conetur.“ πράγματα negotia bellica et molestiae nunc dicuntur. ἐξελκύσαι, scil. ex antro.

295. ἕτερον. Alcibiadem haud dubie intelligit, qui anno 13. belli Pelop. vere ineunte Argos profectus est, et inde assumtis sociis ad Patras usque pervenit, et Patrensibus persuasit, ut muros usque ad mare extenderent, et alia praeparabat ad bellum contra Lacedaemonios. Thuc. lib. 5. (c. 52. seqq.) *Palmer.*

297. δημ. vid. ann. ad 419. καὶ ξένοι, Καὶ νησιῶται. nam illi quoque intererant spectaculo: vide annot. ad 43. eo pertinet etiam τὸ Πανέλληνες 302.

299. ἅμας. — τὰς πυράμας, ἐργαλεῖά τινα ἐπιτήδεια πρὸς τὸ ἀνορύττειν. — S. *ligones.* vid. Salmas. ad Hist. Aug. p. 337. *Br.* cf. 416.

300. ἀγ. δαίμονος. φασὶ γὰρ, ὅτι δειπνήσαντες μὲν ἐπεῤῥόφουν ἀγαθοῦ δαίμονος, ἀπαλλάττεσθαι δὲ μέλλοντες ἔπινον Διὸς σωτῆρος. (cf. Bos. Antiqu. gr. 4, 14, 12.) ὡσεὶ ἔλεγε (ita Fl. Chr.: nam codd. male ἔλεγον) „νῦν γὰρ σπεῖσαι ἢ πίνειν ἔστιν ἡμῖν ἀγαθοῦ δαίμονος πόμα.“ S. Voss.: *Nun ja ist des guten Dämons Trunk zu haschen uns vergönnt.*

302. εἴπερ πώποτε. Eurip. Androm. 532. ἀλλ' ἀνηβητηρίαν Ῥώμην μ' ἐπαινῶ λαμβάνειν, εἴπερ ποτέ. Demosth. Olynth. 1., ed. Reisk. 1. p. 10.: φημὶ δεῖν ἐθελῆσαι, καὶ παροξυνθῆναι, καὶ τῷ πολέμῳ προσέχειν, εἴπερ ποτὲ, καὶ νῦν. *E Be.*

303. φοιν. οἷον αἱματωδῶν, ἀπὸ τῆς τοῦ αἵματος χροιᾶς. — ἢ (imo ἤγ., i. e. ἤγουν) ἀντὶ τοῦ πολεμικῶν· φοινικὶς γὰρ χλαμὺς πολεμική. S. ergo pro φοινίων seu φονικῶν dictum putatur. B.

304. μισολάμαχος, („vocab. compositum, ut μισόπολις, μισολάκων“ B.) *quae Lamachum odit*, pacifica. Lamachus Atheniensium illo tempore dux fuit belli tam peritus quam cupidus; qua de re conferri, jubent 456., Ran. 978., Acharn. 253. vid. etiam Bähr. ad Plut. Alcib. 18.

305. πρὸς τάδε, πρὸς ταῦτα, *proinde*, *quare*, ut ap. Soph. Oed. R. 328., Eurip. Phoen. 487. (524.), ubi vid. Valck.

306. ἀπ., *animum despondere*, vi-

πρὶν μοχλοῖς, καὶ μηχαναῖσιν, εἰς τὸ φῶς ἀνελκύσαι
τὴν θεῶν πασῶν μεγίστην, καὶ φιλαμπελωτάτην.
ΤΡ. οὐ σιωπήσεσθ', ὅπως μὴ περιχαρεῖς τῷ πράγματι
τὸν Πόλεμον ἐκζωπυρήσετ' ἔνδοθεν κεκραγότες;
ΧΟ. ἀλλ' ἀκούσαντες τοιούτου χαίρομεν κηρύγματος·
οὐ γὰρ ἦν ἔχοντας ἥκειν σιτί' ἡμερῶν τριῶν.
ΤΡ. εὐλαβεῖσθε νῦν ἐκεῖνον τὸν κάτωθεν Κέρβερον,
μὴ παφλάζων, καὶ κεκραγὼς, ὥσπερ ἡνίκ' ἐνθάδ' ἦν,
ἐμποδὼν ἡμῖν γένηται τὴν θεὸν μὴ 'ξελκύσαι.
ΧΟ. οὔτι καὶ νῦν ἐστιν αὐτὴν ὅστις ἐξαιρήσεται,
ἢν ἅπαξ ἐς χεῖρας ἔλθῃ τὰς ἐμάς. ἰοὺ, ἰού!
ΤΡ. ἐξολεῖτέ μ', ὦνδρες, εἰ μὴ τῆς βοῆς ἀνήσετε·
ἐκδραμὼν γὰρ πάντα ταυτὶ ξυνταράξει τοῖν ποδοῖν.
ΧΟ. ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω·
οὐ γὰρ ἂν χαίροντες ἡμεῖς τήμερον παυσαίμεθ' ἄν.

ctum difficultate. Lysist. 781. μὴ νῦν ἀπείπωμεν ταλαιπωρούμεναι. sic ἀπειρηκέναι. Eurip. Or. 91. οὕτως ἔχει τάδ', ὡς ἀπείρηκ' ἐν (ἀπείρηκεν) κακοῖς. Be.

310. ἐκζωπ. ἀνάψετε τὸν πόλεμον ἤδη κατεσβεσμένον. ἐκζωπυρῆσαι δὲ κυρίως ἐστὶ τὸ ἐκ μικροῦ πυρὸς φυσῶντας μεγάλην φλόγα κινῆσαι. S. „Solon fragm. 15, 19. πόλεμον δ' εὖδοντ' ἐπεγείρει." Be.

312. οὐ γὰρ etc. οὐ γὰρ, φησὶ, πολεμικὸν ἦν τὸ κήρυγμα (edictum Trygaei 296. seqq.), ἀλλ' εἰρηνικόν. ἐκ τοῦ παρακολουθοῦντος δὲ τὸν πόλεμον δηλοῖ. S. consequens belli est τὸ ἥκειν ἔχοντας σιτία τριῶν ἡμερῶν. Be.: Belli tempore, quum expeditio subitanea suscipitur, saepe edictiones publicantur, ut milites victum tot vel tot dierum, plerumque trium, sibi praeparent. — Be., conferens Ach 196. et ἀλληγορικὸν illud Vesp. 242. χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ Ἥκειν, ἔχοντας ἡμερῶν ὀργὴν τριῶν, ubi vid. S.

313. Br. — εὐλαβεῖσθε, prenez garde à vous, φυλάττεσθε. Moeris εὐλαβεῖσθαι ἀντὶ τοῦ φυλάττεσθαι, ὡς Δημοσθένης ἐν Φιλιππικοῖς, ἀττικῶς· εὐλαβεῖσθαι ἀντὶ τοῦ φοβεῖσθαι, ἑλληνικῶς. cavete vobis ab isto, qui nunc in Inferis est, Cerbero, ne quemadmodum, quum in vivis erat, pacem clamando impediat. B. „similiter Comicus de Cleone Equ. 1026. φράζευ, Ἐρεχθείδη, κύνα Κέρβερον ἀνδραποδιστήν." Be.

314. παφλ. — διὰ τὸ ταραχώδης τοῦ Κλέωνος ἐχρήσατο τῷ παφλάζειν, κυρίως σημαίνοντι τὴν κεκινημένην θάλατταν. (de eodem Cleone in Equ. 136. βυρσοπώλης Παφλαγὼν Ἅρπαξ, κεκράκτης. Be.) ἡν. ἐν θάδ' ἦν, τουτέστιν ὅτε ἔζη, ὁπηνίκ' ἦν σὺν ἡμῖν. S. Ran. 82. ὁ δ' εὔκολος μὲν ἐνθάδ', εὔκολος δ' ἐκεῖ.

316. non nunc itidem (καὶ νῦν) erit quisquam, qui eam nobis eripiat.

317. ἰοὺ, ἰού. ἡδομένων ἐστὶ τοῦτο, διὸ περισπᾶται. ὡς τοῦ Χοροῦ τοῦτο λέγοντος. S. et doloris et gaudii significationem habet haec interjectio, (vide 111., Plut. 276., 848., Soph. Oed. R. 1018., 1123., Schneider lex. h. v.) vereorque ne temere in scholiastae exemplaribus ἰοῦ scriptum fuerit h. l., sicut Plut. 853. ed. Hemsterhus. in codice Dorv., quo tamen loco σχετλιαστικὸν est.

319. ξυντ. ὁ Πόλεμος.

321. χαίρ. παυσαίμεθ' ἄν. cf. 326.

TP. τί το κακόν; τί πάσχετ', ὦνδρες; μηδαμῶς, πρὸς τῶν θεῶν,
πρᾶγμα κάλλιστον διαφθείρητε διὰ τὰ σχήματα!
XO. ἀλλ' ἔγωγ' οὐ σχηματίζειν βούλομ', ἀλλ' ὑφ' ἡδονῆς,
οὐκ ἐμοῦ κινοῦντος, αὐτὼ τὼ σκέλη χορεύετον.
TP. μή τι καὶ νυνί γ' ἔτ', ἀλλὰ παῦε, παῦ' ὀρχούμενος.
XO. ἦν ἰδού, καὶ δὴ πέπαυμαι.
TP. φής γε, παύει δ' οὐδέπω.
XO. Ἓν μὲν οὖν τουτί μ' ἔασον ἐλκύσαι, καὶ μηκέτι.
TP. τοῦτό νυν, καὶ μηκέτ' ἄλλο μηδὲν ὀρχήσησθ' ἔτι.
XO. οὐκ ἂν ὀρχησαίμεθ', εἴπερ ὠφελήσαιμέν τί σε.
TP. ἀλλ' (ὁρᾶτ') οὔπω πέπαυσθε.
XO. τουτογί, νὴ τὸν Δία,
τὸ σκέλος ῥίψαντες ἤδη λήγομεν τὸ δεξιόν.
TP. ἐπιδίδωμι τοῦτό γ' ὑμῖν, ὥστε μὴ λυπεῖν ἔτι.
XO. ἀλλὰ καὶ τἀριστερόν τοι μοὔστ' ἀναγκαίως ἔχον·
ἥδομαι γὰρ, καὶ γέγηθα, καὶ πέπορδα, καὶ γελῶ,
μᾶλλον ἢ τὸ γῆρας ἐκδὺς, ἐκφυγὼν τὴν ἀσπίδα.
TP. μηκέτ' οὖν νυνί γε χαίρετ'· οὐ γὰρ ἴσθ', ὅπου, σαφῶς·

323. *διὰ τὰ σχήματα*, *propter has saltationes* vestras.

326. *παῦε* sensu medii, ut Hom. Odyss. δ', 659. *παῦσαν ἀέθλων*, Eurip. Hel. 1255. *μάτηρ ἔπαυσα πόνων.*

327. *ἦν ἰδού* pleonasmo attico, ut Ran. 1316., *en obedio tibi.* Equ. 26. *ἦν. Οὐχ ἡδύ*; Plut. 75. *ἠνί, μεθίεμεν. ἰδού*, ut 2, 5. etc.

328. — *Ἓν μόνον, φησὶν, ἔασόν με σχῆμα ποιῆσαι.* S. Br.: *ἑλκύσαι.* verbum saltationis proprium. Nub. 525. *οὐδὲ κόρδαχ' εἵλκυσεν, nec cordacem saltavit.* germanice dicas: *Gut denn, nur noch diesen Walzer gönne mir, dann keinen mehr.*

330. *ne tum quidem saltabimus, cum id ex usu tuo fuerit.* similiter advocati isti ap. Plautum Poen. 3, 1, 17. *liberos nos esse oportet; nos te nihili pendimus: Ne tuo nos amori servos esse addictos censeas* etc.

333. *ὥστε μὴ λυπεῖν. ἐμὲ δηλονότι. συγχωρῶ, φησὶ, τοῦτο ὑμῖν, ὥστε μετὰ τοῦτο μηκέτι ἐνοχλεῖσθαί μοι.* S. non male Br. in annot. *λυπεῖν μ' ἔτι.*

334. ita Rav. et B. Paris., nisi quod illi quoque habent *μ' ἔστ' ἀναγκ.*, ut vulgo libri. recte D. *μοὔστ'*, i. e. *μοί ἐστι*, ut Soph. Ajac. 1137., Philoct. 773. ordo hic est: *ἀλλά τοι καὶ τὸ ἀριστερὸν (σκέλος ῥίπτειν) ἐστί μοι ἂν. ἔχον. verum enimvero etiam sinistro pede jactato mihi opus est.*

335. *πέπορδα. ἡ μεταφορὰ ἀπὸ τῶν ὄνων· χαίροντες γὰρ πέρδονται.* S. „Vesp. 1296. *ἐννήλατ', ἐσκίρτα, πεπόρδει, κατεγέλα, Ὥσπερ καχρύων ὀνίδιον εὐωχημένον.“ Be.

336. *ἢ τὸ γ. ἐκδύς. ἡ μεταφ. ἀπὸ τῶν ὄφεων.* S. *τὴν ἀσπ.* clipeum, arma, bellum. cf. 428.

337. minus bene Rav., Bekk., D., *μήτι καὶ νυνί γε χ.*, ut fere 326. deinde ll. manca sententia *οὐ γὰρ ἴστε πω σαφῶς, nondum enim certo scitis.* quid, quaeso? id significandum est. *ὅπου, cur, quomodo*, qua notione *ποῦ* dixerunt Sophocles Oed.

πρὶν μοχλοῖς, καὶ μηχαναῖσιν, εἰς τὸ φῶς ἀνελκύσαι
τὴν θεῶν πασῶν μεγίστην, καὶ φιλαμπελωτάτην.
ΤΡ. οὐ σιωπήσεσθ', ὅπως μὴ περιχαρεῖς τῷ πράγματι
τὸν Πόλεμον ἐκζωπυρήσετ' ἔνδοθεν κεκραγότες;
ΧΟ. ἀλλ' ἀκούσαντες τοιούτου χαίρομεν κηρύγματος·
οὐ γὰρ ἦν ἔχοντας ἥκειν σιτί' ἡμερῶν τριῶν.
ΤΡ. εὐλαβεῖσθε νῦν ἐκεῖνον τὸν κάτωθεν Κέρβερον,
μὴ παφλάζων, καὶ κεκραγὼς, ὥσπερ ἡνίκ' ἐνθάδ' ἦν,
ἐμποδὼν ἡμῖν γένηται τὴν θεὸν μὴ 'ξελκύσαι.
ΧΟ. οὔτι καὶ νῦν ἐστὶν αὐτὴν ὅστις ἐξαιρήσεται,
ἢν ἅπαξ ἐς χεῖρας ἔλθῃ τὰς ἐμάς. ἰοὺ, ἰού!
ΤΡ. ἐξολεῖτέ μ', ὦνδρες, εἰ μὴ τῆς βοῆς ἀνήσετε·
ἐκδραμὼν γὰρ πάντα ταυτὶ ξυνταράξει τοῖν ποδοῖν.
ΧΟ. ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω·
οὐ γὰρ ἂν χαίροντες ἡμεῖς τήμερον παυσαίμεθ' ἄν.

ctum difficultate. Lysist. 781. μὴ νῦν ἀπείπωμεν ταλαιπωρούμεναι. sic ἀπειρηκέναι. Eurip. Or. 91. οὕτως ἔχει τάδ', ὡς ἀπείρηκ' ἐν (ἀπείρηκεν) κακοῖς. Be.

310. ἐκζωπ. ἀνάφετε τὸν πόλεμον ἤδη κατεσβεσμένον. ἐκζωπυρῆσαι δὲ κυρίως ἐστὶ τὸ ἐκ μικροῦ πυρὸς φυσῶντας μεγάλην φλόγα κινῆσαι. S. „Solon fragm. 15, 19. πόλεμον δ' εὖδοντ' ἐπεγείρει.“ Be.

312. οὐ γὰρ etc. οὐ γὰρ, φησὶ, πολεμικὸν ἦν τὸ κήρυγμα (edictum Trygaei 296. seqq.), ἀλλ' εἰρηνικόν. ἐκ τοῦ παρακολουθοῦντος δὲ τὸν πόλεμον δηλοῖ. S. consequens belli est τὸ ἥκειν ἔχοντας σιτία τριῶν ἡμερῶν. Be.: Belli tempore, quum expeditio subitanea suscipitur, saepe edictiones publicantur, ut milites victum tot vel tot dierum, plerumque trium, sibi praeparent. — Be., conferens Ach 196. et ἀλληγορικὸν illud Vesp. 242. χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἔφειτ' ἐν ὥρᾳ Ἥκειν, ἔχοντας ἡμερῶν ὀργὴν τριῶν, ubi vid. S.

313. Br. — εὐλαβεῖσθε, prenez garde à vous. φυλάττεσθε. Moeris εὐλαβεῖσθαι ἀντὶ τοῦ φυλάττεσθαι, ὡς Δημοσθένης ἐν Φιλιππικοῖς, ἀττικῶς· εὐλαβεῖσθαι ἀντὶ τοῦ φοβεῖσθαι, ἑλληνικῶς. cavete vobis ab isto, qui nunc in Inferis est, Cerbero, ne quemadmodum, quum in vivis erat, pacem clamando impediat. B. „similiter Comicus de Cleone Eq. 1026. φράζεν, Ἐρεχθείδη, κύνα Κέρβερον ἀνδραποδιστήν.“ Be.

314. παφλ. — διὰ τὸ ταραχώδες τοῦ Κλέωνος ἐχρήσατο τῷ παφλάζειν, κυρίως σημαίνοντι τὴν κεκινημένην θάλατταν. (de eodem Cleone in Equ. 136. βυρσοπώλης Παφλαγὼν Ἅρπαξ, κεκράκτης. Be.) ἡν. ἐνθάδ' ἦν. τουτέστιν ὅτε ἦν, ὁπηνίκ' ἦν σὺν ἡμῖν. S. Ran. 81. ὁ δ' εὔκολος μὲν ἐνθάδ', εὔκολος δ' ἐκεῖ.

316. non nunc itidem (καὶ νῦν) erit quisquam, qui eam nobis eripiat.

317. ἰοὺ, ἰού. ἡδομένων ἐπὶ τούτῳ, διὸ περισπᾶται. ὡς τοῦ Χορροῦ τοῦτο λέγοντος. S. et doloris et gaudii significationem habet haec interjectio, (vide 111., Plut. 276., 848. Soph. Oed. R. 1018., 1123., Schaefer lex. h. v.) vereorque ne temere in scholiastae exemplaribus ἰοῦ scriptum fuerit h. l., sicut Plut. 853. e Hemsterhus. in codice Dorv., quamtamen loco σχετλιαστικὸν est.

319. ξυντ. ὁ Πόλεμος.

321. χαίρ. παυσαίμεθ' ἄν cf. 326.

TP. τί το κακόν; τί πάσχετ', ὦνδρες; μηδαμῶς, πρὸς τῶν θεῶν,
πρᾶγμα κάλλιστον διαφθείρητε διὰ τὰ σχήματα!
XO. ἀλλ' ἔγωγ' οὐ σχηματίζειν βούλομ', ἀλλ' ὑφ' ἡδονῆς,
οὐκ ἐμοῦ κινοῦντος, αὐτὸ τὼ σκέλη χορεύετον.
TP. μή τι καὶ νυνί γ' ἔτ', ἀλλὰ παῦε, παῦ' ὀρχούμενος.
XO. ἦν ἰδού, καὶ δὴ πέπαυμαι.
TP. φής γε, παύει δ' οὐδέπω.
XO. ἓν μὲν οὖν τουτί μ' ἔασον ἑλκύσαι, καὶ μηκέτι.
TP. τοῦτό νυν, καὶ μηκέτ' ἄλλο μηδὲν ὀρχήσησθ' ἔτι.
XO. οὐκ ἂν ὀρχησαίμεθ', εἴπερ ὠφελήσαιμέν τί σε.
TP. ἀλλ' (ὁρᾶτ') οὔπω πέπαυσθε.
XO. τουτογί, νὴ τὸν Δία,
τὸ σκέλος ῥίψαντες ἤδη λήγομεν τὸ δεξιόν.
TP. ἐπιδίδωμι τοῦτό γ' ὑμῖν, ὥστε μὴ λυπεῖν ἔτι.
XO. ἀλλὰ καὶ τἀριστερόν τοι μοὔστ' ἀναγκαίως ἔχον·
ἥδομαι γὰρ, καὶ γέγηθα, καὶ πέπορδα, καὶ γελῶ,
μᾶλλον ἢ τὸ γῆρας ἐκδὺς, ἐκφυγὼν τὴν ἀσπίδα.
TP. μηκέτ' οὖν νυνί γε χαίρετ'· οὐ γὰρ ἴσθ', ὅπου, σαφῶς·

328. διὰ τὰ σχήματα, *propter has saltationes* vestras.

326. παῦε sensu medii, ut Hom. Odyss. δ', 659. παῦσαν ἀέθλων, Eurip. Hel. 1255. μάτηρ ἔπαυσε πόνων.

327. ἦν ἰδού pleonasmo attico, ut Ran. 1316., *en obedio tibi.* Equ. 26. ἦν. Οὐχ ἡδύ; Plut. 75. ἦνι, μεθίεμεν. ἰδού, ut 2, 5. etc.

328. — Ἓν μόνον, φησὶν, ἔασόν με σχῆμα ποιῆσαι. S. Br.: ἑλκύσαι. verbum saltationis proprium. Nub. 525. οὐδὲ κόρδαχ' εἵλκυσεν, *nec cordacem saltavit.* germanice dicas: *Gut denn, nur noch diesen Walzer gönne mir, dann keinen mehr.*

330. *ne tum quidem saltabimus, cum id ex usu tuo fuerit.* similiter advocati isti ap. Plautum Poen. 3, 1, 17. *liberos nos esse oportet; nos te nihili pendimus: Ne tuo nos amori servos esse addictos censeas* etc.

333. ὥστε μὴ λυπεῖν. ἐμὲ δηλονότι. συγχωρῶ, φησὶ, τοῦτο ὑμῖν, ὥστε μετὰ τοῦτο μηκέτι ἐνοχλεῖσθαί μοι. S. non male Br. in annot. λυπεῖν μ' ἔτι.

334. ita Rav. et B. Paris., nisi quod illi quoque habent μ' ἔστ' ἀναγκ., ut vulgo libri. recte D. μοὔστ', i. e. μοί ἐστι, ut Soph. Ajac. 1137., Philoct. 773. ordo hic est: ἀλλά τοι καὶ τὸ ἀριστερὸν (σκέλος ῥίπτειν) ἐστί μοι ἂν. ἔχον. *verum enimvero etiam sinistro pede jactato mihi opus est.*

335. πέπορδα. ἡ μεταφορὰ ἀπὸ τῶν ὄνων· χαίροντες γὰρ πέρδονται. S. „Vesp. 1296. ἐνήλλετ', ἐσκίρτα, πεπόρδει, κατεγέλα, Ὥσπερ καχρύων ὀνίδιον εὐωχημένον." Be.

336. ἢ τὸ γ. ἐκδύς. ἡ μεταφ. ἀπὸ τῶν ὅπλων. S. τὴν ἀσπ. clipeum, arma, bellum. cf. 428.

337. minus bene Rav., Bekk., D., μήτι καὶ νυνί γε χ., ut fere 326. deinde ll. manca sententia οὐ γὰρ ἴστε πω σαφῶς, *nondum enim certo scitis.* quid, quaeso? id significandum est. ὅπου, *cur, quomodo*, qua notione ποῦ dixerunt Sophocles Oed.

ἀλλ' ὅταν λάβωμεν αὐτὴν, τηνικαῦτα χαίρετε,
καὶ βοᾶτε, καὶ γελᾶτ'· ἤδη γὰρ ἐξέσται τόθ' ὑμῖν t. t.
πλεῖν, μένειν, κινεῖν, καθεύδειν, ἐς πανηγύρεις θεωρεῖν,
ἑστιᾶσθαι, κοτταβίζειν, t. d.
συβαρίζειν, t.

R. 340., 375., Philoct. 427., Euripides Alc. 1027., Athenaeus 218, b, si divinavi. cf. H. ad Soph. Ajac. 1260. eodem sensu, sed κακοφώνως et minus eleganter, dixeris οὐ γ. ἴ., ὅπως, σαφῶς.

340. πλεῖν, μένειν. formula dicendi, ut videtur. studebant Athenn. commercio atque navigationi, florentibusque rebus suis magnum habebant numerum navium. Aeschines orat. περὶ Παραπρεσβ. p. 337., laudante K. ad Ach. 509.: τριήρεις δ' ἐκτησάμεθα πλοίμους, καὶ ἐντελεῖς, οὐκ ἐλάττους ἢ τριακοσίας. cf. ibi K. et, quem B. testem citat, Boeckhium libro germ. Staatshaush. der Athener, t. 1. p. 279. κινεῖν, καθ. etiam haec formula, ut videtur. cf. 802. S.: ἐς παν. θεωρεῖν. πέμπεσθαι θεωροὺς ἐς τὰς πανηγύρεις, κατὰ θεωρίαν παραγίνεσθαι. — Br. ad Vesp. 1226.: „θεωροὶ ap. Athenn. appellabantur, qui publica auctoritate ad sacrificia exterorum, ad oracula consulenda, ad festa, sacra certamina, aliosque conventus mittebantur, quibusque stipendium e publico dabatur. vide Hesychii interpretem ad glossam θεωρικός." —

341. κοτταβίζειν. παίζειν, τρυφᾶν. εἰς χαλκᾶς δὲ φιάλας, αἳ καλοῦνται λάταγες, ἀνέῤῥιπτον [ἐμβάλλοντες] τὸ πόμα, καὶ εἰ ἐγένετο μείζων ψόφος, ἐδόκουν ὑπὸ τῶν ἐραστῶν ἐρᾶσθαι. ἄλλως. κότταβος παίγνιον ἦν παρὰ Ἀθηναίοις τοιοῦτον. ῥάβδος ἦν μακρὰ πεπηγυῖα ἐν τῇ γῇ, καὶ ἑτέρα ἐπάνω αὐτῆς, κινουμένη ὡς ἐπὶ ζυγίου. εἶχε δὲ πλάστιγγας δύο ἐξηρτημένας, καὶ κρατῆρας δύο (aquae plenos) ὑποκάτω τῶν πλαστίγγων, καὶ ὑπὸ τὸ ὕδωρ ἀνδριὰς ἦν χαλκοῦς κεχρυσωμένος. τοῦτο δὲ ἦν ἐν τοῖς συμποσίοις. καὶ πᾶς τῶν παιζόντων ἀνίστατο ἔχων φιάλην γέμουσαν ἀκράτου, καὶ μηκόθεν ἱστάμενος ἔπεμπεν ὅλον τὸν οἶνον ὑπὸ μίαν σταγόνα εἰς τὴν πλάστιγγα, ἵνα γεμισθεῖσα βαρυνθῇ, [καὶ κατέλθῃ,] καὶ κατελθοῦσα κρούσῃ εἰς τὴν κεφαλὴν τοῦ ἀνδριάντος ὑπὸ τὸ ὕδωρ κεκρυμμένου (fort. κρεμαμένου), καὶ ποιήσῃ ἦχον. καὶ εἰ μὴ ζυθῇ τοῦ οἴνου, ἐνίκα, καὶ ᾔδει, ὅτι φιλεῖται ὑπὸ τῆς ἐρωμένης· εἰ δὲ μὴν, ἠττᾶτο. (ll. καὶ εἰ μὲν ζυθῇ — εἰ δὲ μὴ, —) ἐλέγετο δὲ ὁ ἀνδριὰς ὁ ὑπὸ τὸ ὕδωρ κεκρυμμένος (?) μανής. — κότταβον Ἀθήναιος ἐν τῇ ιέ φησιν ὅτι σικελική τίς ἐστι παιδιὰ, πρώτων εὑρόντων Σικελῶν —. Δικαίαρχος δὲ ὁ Μεσσήνιος, Ἀριστοτέλους μαθητὴς, ἐν τῷ περὶ Ἀλκαίου καὶ τὴν λαταγα αὐτὴν εἶναι σικελικὸν ὄνομα. λαταγη (sic quoque, vel λαταγὴ, dicitur: vid. Valck. ad Callim. fragm. p. 218., Pierson. ad Moer. p. 253., Tittmann. ad Zonar. 2. 1285. sequ. B.) δέ ἐστι τὸ ὑπολειπόμενον ἐκ τοῦ ἐκποθέντος ποτηρίου ὑγρὸν, ὃ συνεστραμμένῃ τῇ χειρὶ ἄνωθεν ἐῤῥίπτουν οἱ παίζοντες εἰς τὸ κοττάβιον. κότταβος δὲ ἐκαλεῖτο καὶ τὸ τιθέμενον ἄθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ, καὶ τὸ ἄγγος, εἰς ὃ ἐνέβαλον τοὺς λάταγας. — S. cf. Fl. Chr. ad h. l.; Groddeck. (Über den Kottabos der Griechen, in „Antiquarische Versuche," 1. Samml., 1800. p. 163—238.), qui novem genera hujus ludi recenset; Jacobs. (Athenäus [l. 15. p. 666. seqq.] über den Kottabos, in Wielandii Att. Mus. 3, 1. pp. 475—496.); etiam Schneider. in lex. gr. v. κότταβος. Jacobs l. l. p. 486.: „Beim Kottabos kam es, unter allen verschiedenen Modificationen, darauf an, Wein aus dem Becher so herauszuschleudern, dass er zusammenblieb und da, wo er hingeworfen wurde, ertönte." — cf. 1156.

342. συβαρίζειν. παρὰ τὴν

ἰοὺ ἰού, κεκραγέναι. i. d.

ΧΟ. εἰ γὰρ ἐκγένοιτ' ἰδεῖν ταύτην μέ ποτε τὴν ἡμέραν!

t. t. c. στ.

πολλὰ γὰρ ἀνεσχόμην πράγματά τε, καὶ στιβάδας, ἃς pae. hex.
ἔλαχε Φορμίων,

κοὐκέτ' ἄν μ' εὕροις δικαστὴν ὁριμὺν, οὐδὲ δύσκολον, t. t. c.

οὐδὲ τοὺς τρόπους γε δήπου σκληρὸν, ὥσπερ καὶ πρὸ τοῦ,
ἀλλ' ἁπαλὸν ἄν μ' ἴδοις, pae. d.

καὶ πολὺ νεώτερον, ἀπαλλαγέντα πραγμάτων. as., pae. d. et t. d. c.

καὶ γὰρ ἱκανὸν χρόνον ἀπολλύμεθα, καὶ κατατετρίμμεθα,
πλανώμενοι pae. hex.

ἐς Λύκειον, κἀκ Λυκείου, ξὺν δορὶ, ξὺν ἀσπίδι. t. t. c.

ἀλλ', ὅ τι μάλιστα χαριούμεθα ποιοῦντες, ἄγε φράζε· σὲ
γὰρ αὐτοκράτορ' pae. hex.

Συβαριτῶν τρυφήν· φασὶ γὰρ τοὺς Συβαρίτας πολυτελέσι χρῆσθαι τραπέζαις. ἔστιν οὖν ἀντὶ τοῦ τρυφᾷν. — S. de Sybaritarum (quorum urbs diruta est a Crotoniatis Olymp. 67, 2. sive ante Chr. nat. 510.) olim potentia et luxu vid. Köpke libro germ. *über Gesetzgebung der Gr.* pp. 332. seqq.

343. *ἰού.* cf. 317.

344. hoc facile agnovi in scriptura Ravennatis libri *εἰ γ'. ἐ. ἰ. τ. με τὴν ἡμ. ποτέ.* alii aliter.

344. optat Chorus, ut belli tandem laboribus defuncto pace uti sibi liceat. *ἐκ* in *ἐκγένοιτ'* est *αὐξητικόν*, ut passim.

345. *πράγματα*, molestias belli. S.: *ἰδίως στιβάδας τὰς χαμευνίδας ἐκάλουν οἱ παλαιοί. ὅπερ ἦν πάσχειν ἐπάναγκες τοῖς πολεμοῦσιν, ὑπαιθρίους ταλαιπωρεῖν, καὶ χαμαικοιτεῖν. στιβάδας οὖν, ἐπεὶ οἱ στρατιῶται χαμαικοιτοῦσι. λέγεται δὲ ὁ Φορμίων νικῆσαι ναυμαχίαις β' Λακεδαιμονίους στρατηγήσας. λιτὸς δὲ οὗτος, καὶ στρατιωτικός. τὸ δὲ ἃς ἔλαχεν ἀντὶ τοῦ ἃς ὑπέμεινε Φορμίων.* (imo *quas sortitus est*, ut praefectus classis: nam durius vivendum est classiariis quam exercitui terrestri, cui pagi vicique patent ad pernoctandum, nisi occupati sint ab hostibus.) Fl. Chr.: De hoc Phormione, durae etiam et praefractae vitae, meminit Pausan. in Atticis (1, 23, 11. add. 10, 11. extr. B.), et Asopichi cujusdam filium facit.

346. *ὁριμὺν, acrem, severum.*

348. *ἀπαλὸν, mitem, facilem.*

350. *καὶ γὰρ ἱκ. χρόνον. ιγ' γὰρ εἶχον ἔτη πολεμοῦντες. πολλὴν, φησὶ, θλῖψιν ὑπεμείναμεν εἰς τὸ Λύκειον εἰσιόντες, καὶ συναγόμενοι, καὶ πάλιν ἐξιόντες ἐκ τοῦ Λυκείου, καὶ ἀπιόντες εἰς τὴν πόλιν. τὸ Λύκειον δὲ γυμνάσιον Ἀθήνησιν, ὅπου πρὸ τοῦ πολέμου ἐδόκουν γυμνάζεσθαι. πρὸ γὰρ τῶν ἐξόδων ἐξοπλίσεις τινὲς ἐγένοντο ἐν τῷ Λυκείῳ διὰ τὸ παρακεῖσθαι τῇ πόλει, καὶ ἀποδείξεις τῶν μᾶλλον πολεμικῶν ἀνδρῶν. τὸ δὲ σὺν δορὶ, σὺν ἀσπ., Ἀχαιοῦ ἐστιν ἐκ Μώμου. οὐδὲν δὲ χεῖρον ὁλόκληρον θεῖναι τὸ ἰαμβεῖον, ὅπερ οὕτως ἔχει Ἄρης ὁ λῃστὴς ξὺν δ., ξυν ἀσπίδι.* (ll. claudicante versu *σὺν δ., σὺν ἀ.* D. *δόρει.*) S. de Lyceo breviter dixit Paus. 1, 19, 4., cujus vidd. interpp. adde librum Nitsch., a Köpkeo editum, de rebus graecis p. 151.

352. *αὐτοκράτορα, dominum,*

εἴλετ᾽ ἀγαθή τις ἡμῖν τύχη. pae. tr.
ΤΡ. φέρε δὴ κατίδω, ποῖ τοὺς λίθους ἀφέλξομεν. i. tr.
ΕΡ. ὦ μιαρέ, καὶ τολμηρέ, τί ποιεῖν διανοεῖ;
ΤΡ. οὐδὲν πονηρὸν, ἀλλ᾽ ὅπερ καὶ Κιλλικών.
ΕΡ. ἀπόλωλας, ὦ κακόδαιμον!
ΤΡ. οὐκοῦν, ἢν λάχω·
Ἑρμῆς γὰρ ὢν κλήρῳ ποιήσεις οἷά᾽ ὅτι.
ΕΡ. ἀπόλωλας, ἐξόλωλας!
ΤΡ. ἐς τίν᾽ ἡμέραν;
ΕΡ. ἐς αὐτίκα μάλ᾽.
ΤΡ. ἀλλ᾽ οὐδὲν ἠμπόληκά πω,
οὔτ᾽ ἄλφιτ᾽, οὔτε τυρὸν, ὡς ἀπολούμενος.
ΕΡ. καὶ μὴν ἐπιτέτριψαί γε.
ΤΡ. κᾆτα τῷ τρόπῳ
οὐκ ἠσθόμην ἀγαθὸν τοσουτονὶ λαβών;
ΕΡ. ἆρ᾽ οἶσθα, θάνατον ὅτι προεῖφ᾽ ὁ Ζεὺς, ὃς ἂν

imperatorem; ridicule. Plautus Capt. 98. *hic qualis imperator nunc privatus est!* Bacch. 723. *o imperatorem probum!* Poen. prol. 4. *audire jubet vos imperator histricus.*

356. Κιλλικών. τὴν νῆσον Μίλητον τοῦτόν φασι προδεδωκέναι τοῖς Πριηνεῦσι. πνυθανομένων δὲ πολλάκις αὐτοῦ τινων, τί μέλλει ποιεῖν, ἔλεγε πάντα ἀγαθά. — S. ὅπερ (ἐποίησε) καὶ Κιλλ. i. e. πάντ᾽ ἀγαθά. — Suidas: ἐπὶ πονηρίᾳ ἐτεθρύλλητο ὁ Κιλλικών, ὃς προδέδωκε Μίλητον Πριηνεῦσι· πνυθανομένων δέ τινων πολλάκις αὐτοῦ, τί μέλλει ποιεῖν, ἔλεγε πάντα τἀγαθά· καὶ ἔστι παροιμία πάντ᾽ ἀγαθὰ, ὡς ἔφη Κιλλικών. cf. Hesych. in Κιλλικών et in Δημοκλεῖδαι. E Br.

357, 58. οὐκ., ἢν λάχω. παίζει πρὸς τὸν Ἑρμῆν, ἐπειδὴ, ὅτε πολλοὺς κατεδίκαζον οἱ Ἀθηναῖοι ἀποθανεῖν, οὐκ εἰς μίαν ἡμέραν πάντες ἐφονεύοντο, ἀλλ᾽ ἕκαστος ἐκληροῦτο καθ᾽ ἡμέραν, καὶ τῷ κληρωθέντι θάνατος ἐπῆει. καθ᾽ ἡμέραν οὖν εἷς μόνος ἐτελεύτα· ἔστι γὰρ ὅτε μετεμελοῦντο, καὶ τοὺς λοιποὺς ἔσωζον. ἐπεὶ οὖν οἱ κλῆροι Ἑρμοῦ, παίζων τοῦτο λέγει. Ἑρμῆς γὰρ ὤν. εἰ ὥρισται, φησὶ, πάντως ἀποθανεῖν, κληρωθῆναι πρότερόν με δεῖ. οἱ γὰρ κλῆροι Ἑρμοῦ δοκοῦσιν εἶναι, ὅθεν καὶ τὸν πρῶτον κληρούμενον Ἑρμῆν, φησὶ (φασὶ), καλεῖν δεῖ. S. ἢν λάχω, *si quidem sors id jusserit. Fl. Chr.* sortiendi praeses Mercurius etiam hic sortibus dicitur usurus esse, κλήρῳ ποιήσεις τὸ πρᾶγμα, h. e. κληρώσεις.

359. ἐς τίν᾽ ἡμ.; *quam ad diem?* vid. S. ad 358.

360. sequ. Jocus in militiam, tanquam si ea esset certissimus pereundi modus. milites et nautae in expeditionem profecturi viatica sibi comparabant; quem morem equos etiam observasse, facete narrat Chorus Equ. 552. *Br.* cf. annot. ad 312.

362. καὶ μὴν ἐπ. γε, *imo jam prorsus periisti*, non *perituras* (ἀπολούμενος) *es*, ut dicis, qui Jovi refragari ausus sis.

563. ἀγαθὸν dictum pro κακόν. S.: πάλιν ἐνταῦθα τῇ ἀστειότητι ἐχρήσατο, καὶ ὥσπερ χαριεντίζεται τὸν θεὸν, τῷ γελοίῳ τὴν ὀργὴν αὐτοῦ καταπραΰνειν πειρώμενος. παίζων οὖν εἶπεν. S.

364. προεῖφ᾽. ἀντὶ τοῦ ὥρισε. — S. προειπεῖν verbum proprium est de civitatibus, ducibus, magistra-

ταύτην ἀνορύττων εὑρεθῇ;
ΤΡ. νῦν ἆρά με
ἅπασ' ἀνάγκη 'στ' ἀποθανεῖν;
ΕΡ. εὖ ἴσθ' ὅτι.
ΤΡ. ἐς χοιρίδιόν μοί νυν δάνεισον τρεῖς δραχμάς·
δεῖ γὰρ μυηθῆναί με, πρὶν τεθνηκέναι.
ΕΡ. ὦ Ζεῦ κεραυνοβρόντα...
ΤΡ. μὴ πρὸς τῶν θεῶν,
ἡμῶν κατείπῃς, ἀντιβολῶ σε, δέσποτα!
ΕΡ. οὐκ ἂν σιωπήσαιμι.
ΤΡ. ναὶ, πρὸς τῶν κρεῶν,
'αγὼ προθύμως σοι φέρων ἀφικόμην!
ΕΡ. ἀλλ', ὦ μέλ', ὑπὸ τοῦ Διὸς ἀμαλδυνθήσομαι,
εἰ μὴ τετορήσω ταῦτα, καὶ λακήσομαι.
ΤΡ. μὴ νῦν λακήσῃς, λίσσομαί σ', ὠρμίδιον! —
εἰπέ μοι, τί πάσχετ', ὦνδρες; ἕστατ' ἐκπεπληγμένοι. t. t. c.
ὦ πόνηροι, μὴ σιωπᾶτ'· εἰ δὲ μή, λακήσεται.
ΧΟ. μηδαμῶς, ὦ δέσποθ' Ἑρμῆ, μηδαμῶς, μὴ, μηδαμῶς, ἀντ.

tibus, qui publice edicunt (v. Thuc. 4, 26.) et εὑρεθῆναι de iis, qui in facinore quodam deprehenduntur. B.

367. ἐς χοιρ. — ὅτι τοῖς μυουμένοις ἐστὶν ἔθος χοιρίδιον θύειν ἐξ ἀνάγκης. S. — „hinc in Ach. 719. χοιρία μυστηρικά. dicit autem, ante mortem oportere se initiari, quia initiatorum melior est conditio post mortem. chorus mysticus in Ran. 457. (422.) μόνοις γὰρ ἡμῖν ἥλιος καὶ φέγγος ἱλαρόν ἐστιν, Ὅσοι μεμυήμεθ'. Be. cf. Ran. 327.

369. ὦ Ζεῦ κερ. τοῦτο ὁ Ἑρμῆς φησιν ἐπιβοώμενος τὸν Δία διὰ τὸ ἐπ' αὐτοφώρῳ καταλαβεῖν τοὺς ἀνασπῶντας τὴν Εἰρήνην. S.

371. ναὶ, — κρεῶν. γέλωτος χάριν τοῦτο, ἵνα δείξῃ καὶ τοὺς θεοὺς ἡττωμένους ὑπὸ λήμματος. S. cf. 192. Be. de παρομοίῳ ridiculo verborum πρὸς τῶν θεῶν, πρὸς τῶν κρεῶν, admonuit Fl. Chr.

373. ἀμαλδ., εἰ μὴ κατείπω ταῦτα τὰ πραττόμενα οὕτως ὑμῖν, καὶ διαβαλῶ. τορῶς γὰρ σαφῶς, καὶ ἀκριβῶς. (quum τορῶς a grammaticis reddatur μεγαλοφώνως [Phot. lex. 438.], τορεῖν est haud dubie *alta voce loqui*, et λακεῖν, ut λάκειν, *sonitum edere*, utrumque autem verbum h. l. *alto clamore aliquid indicare*. B. cf. Plut. 39. ἐπίτηδες δὲ τραγικαῖς λέξεσιν ἐχρήσατο, τῷ τετορήσω καὶ λακήσομαι. τὸ δὲ ἀμαλδ. ἀντὶ τοῦ ἀφανισθήσομαι. παρατηρητέον οὖν πρὸς τοὺς παρ' Ὁμήρῳ ἐξηγουμένους τεῖχος ἀμαλδύνας ἀντὶ τοῦ ὁμαλίσας. S. ἀμαλδύνεσθαι est i. q. ἀφανίζεσθαι, *everti, e medio tolli*. v. Heyn. ad Hom. Iliad. η', 463. B.

375. ὠρμίδιον, ὦ Ἑρμίδιον, pro Ἑρμείδιον ab Ἑρμείας: unde fit, ut antepenultima hujus deminutivi producatur. vide Matth. gr. §. 102, 5. et cf. 870., Lys. 400.

376. εἰπέ μοι, τί πάσχετ', ut Av. 356. εἰπέ μοι, τί μέλλετε. Be. B.: Alloquitur Choricos, qui velut perculsi stabant, et ne hiscere quidem, nedum rogare Mercurium, audebant, ne rem proderet.

377. ὦ πόν. ὦ ἐπίμοχθοι. (cf. 263.) ἐπιτιμᾷ δὲ αὐτοῖς, ὡς νῦν σιωπῶσι, δέον αὐτοὺς ἐν καιρῷ λαλεῖν. S.

εἴ τι κεχαρισμένον χοιρίδιον οἶσθα παρ' ἐμοῦ γε κατιδηδοκὼς,

380 * τοῦτο μὴ φαῦλον νομίζων ἐν τῷδε τῷ πράγματι.

TP. οὐκ ἀκούεις, οἷα θωπεύουσί σ', ὦναξ δέσποτα;

5 *XO.* μὴ παλίκοτος γένῃ

* ἀντιβολοῦσιν ἡμῖν, ὥστε τήνδε μὴ λαβεῖν,

ἀλλὰ χάρισαι, φιλανθρωπότατε καὶ μεγαλοδωρότατε δαιμόνων,

385 εἴ τι Πεισάνδρου βδελύττει τοὺς λόφους, καὶ τὰς ὀφρῦς·

10 καί σε θυσίαισιν ἱεραῖσι, προσόδοις τε μεγάλαισι, διαπαντὸς, ὦ

10 δέσποτ', ἀγαλοῦμεν ἡμεῖς ἀεί.

TP. ἴθ' ἀντιβολῶ σ', ἐλέησον αὐτῶν τὴν ὄπα, i. tr.

ἐπεί σε καὶ τιμῶσι μᾶλλον ἢ πρὸ τοῦ.

380. depravata. Fl. Chr. ἔν γε τῷδε πρ., Br. vel malebat τ. μὴ φ. ν. τουτωὶ τῷ πρ., vel potius κεῖνο μὴ φ. ν. τουτωὶ τῷ π.ρ, Porson. et D. τ. μὴ φ. νόμιζ' ἐν τουτωὶ τῷ πρ. sed nec elegans est τοῦτο ἔν τουτωὶ, id quod sentiens κεῖνο tentabat Br.. nec facile dixeris, cur quisquam pro τουτωὶ τῷ posuerit abhorrens illud a metro τῷδε τῷ, nisi et illi putidum visum fuerit τοῦτο τουτωί. quid multa? scribendum esse arbitror: τοῦτό μοι φ. νόμιζ' ἐν τῷδε τῷ ταράγματι. ταράγματι rei tam convenit, quam quod maxime, et simillima sunt verba ταράγματι, πράγματι, ut permutata inter se esse non sit mirandum. Eurip. Herc. fur. 816. τάραγμα Ταρτάρειον — Εἰς δόμους πέμπεις, et 988. ὡς δ' ἐν κλύδωνι καὶ φρενῶν ταράγματι Πέπτωκα δεινῷ etc. cf. supra 319. sequ.

382. ἀμέτρως libri μὴ γένῃ παλίγκοτος.

383. ne hic quidem versus sanis incedit pedibus. sic scribamus

ἀντιβολίαισιν ἡμῶν, τὸ τήνδε μὴ λ.

ὥστε videtur ab interprete profectum esse. Eurip. Hipp. 48. τὸ γὰρ τῆσδ' οὐ προτιμήσω καλὸν, Τὸ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς ἐμοὶ Δίκην τοσαύτην, ὥστε μοι καλῶς ἔχειν, ubi vid. Matth.

384. ita Br., cum in B. Paris. reperisset χάρισαι, (id habent etiam Rav. et Ven.) ὦ φιλ. vulgo χάρισ', ὦ φιλ. — φιλ. καὶ μεγ. δαιμόνων. tam magnifice compellari meruit Mercurius, quippe inventor creditus linguarum, litterarum, legum, mensurarum et ponderum, aliarumque rerum utilissimarum, quas enumerant Cic. de N. D. 3, 22., Diodor. Sic. 1, 16., 5, 75. Hygin. fab. 143., aliique.

385. εἴ τι Πεισ. ἴσως εἰρωνεύεται· ἐπὶ δειλίᾳ γὰρ ἐσκώπτετο παρὰ πολλοῖς. S. fuit igitur miles, sed ignavus. „Av. 1563. ἔνθα καὶ Πεισάνδρος ἦλθε δεόμενος ψυχὴν ἰδεῖν, ἣ ζῶντ' ἐκεῖνον προὔλιπεν.“ Be.

386. προσόδοις, reditibus. Harpocratio v. ἀπὸ μισθωμάτων: Δίδυμός φησιν ὁ γραμματικὸς, ἀντὶ τοῦ ἐκ τῶν τεμενικῶν προσόδων. ἑκάστῳ γὰρ θεῷ πλέθρα γῆς ἀκίνητον, ἐξ ὧν μισθουμένων αἱ εἰς τὰς θυσίας ἐγίνοντο δαπάναι etc. cf. H. ad Soph. Trach. 215.

387. ἀγαλ. ἡμεῖς ἀεί. ὅτι περισσὸν τὸ ἀεί· ἤρκει γὰρ εἰπεῖν τὸ διαπαντός. (hunc pleonasmum, qui ap. Atticos non infrequens est, in voc. ἀεὶ illustrat Porson. ad Eurip. Phoen. 1422. B.) ἀγαλοῦμεν δὲ ἐπικοσμήσομεν. — S.

390 ΕΡ. κλέπται γάρ εἰσι νῦν γε μᾶλλον ἢ πρὸ τοῦ.
ΤΡ. καί σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα,
ὃ τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται.
ΕΡ. ἴΘι δή, κάτειπ'· ἴσως γὰρ ἂν πείσαις ἐμέ.
ΤΡ. ἡ γὰρ Σελήνη, χὠ πανοῦργος Ἥλιος,
395 ὑμῖν ἐπιβουλεύοντε πολὺν ἤδη χρόνον
τοῖς βαρβάροισι προδίδοτον τὴν Ἑλλάδα.
ΕΡ. ἵνα τί δὲ τοῦτο δρᾶτον;
ΤΡ. ὅτιὴ, νὴ Δία,
ἡμεῖς μὲν ὑμῖν θύομεν, τούτοισι δὲ
οἱ βάρβαροι θύουσι· διὰ τοῦτ' εἰκότως
400 βούλοιντ' ἂν ὑμᾶς πάντας ἐξολωλέναι,
ἵνα τὰς τελετὰς λάβοιεν αὐτοὶ τῶν θεῶν.
ΕΡ. ταῦτ' ἄρα πάλαι τῶν ἡμερῶν παρεκλεπτέτην,

390. πάρ' ὑπόνοιαν. ἔπαιξε δέ, ὡς τοῦ Ἑρμοῦ χαίροντος ταῖς κλοπαῖς. — ἄλλως. αἰνίττεται εἰς τοὺς Ἀθηναίους, ὡς πολλὰ κλέπτοντας. S.

392. ἐπιβ. suscipitur clam. B.

395. ita Porson. Eurip. Hecub. p. 103. ed. Lips. 4., et Bekk. atque D. secundum Rav., in quo legitur, opinor, ἐπιβουλεύοντες, quod ἄμετρον. ipsum ἐπιβουλεύοντε esse videtur ἐπιβουλεύονται in MS. Victor. Act. Monac. fasc. 3. p. 403. vulgo ἐπιβουλεύουσι, temere usurpato asyndeto.

397. ἵνα τί (γένηται), cur. vid. H. ad Viger ann. 349.

398. τούτοισι δέ. οἱ βάρβαροι τὸν ἥλιον καὶ τὴν σελήνην τιμῶσιν, ὡς Ἡρόδοτος ἱστορεῖ. (Herodot. 1. cap. 131. de Persis: οἱ δὲ νομίζουσι Διὶ μὲν ἐπὶ τὰ ὑψηλότατα τῶν οὐρέων ἀναβαίνοντες θυσίας ἔρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλέοντες· θύουσι δὲ ἡλίῳ τε, καὶ σελήνῃ, καὶ γῇ, καὶ πυρί, καὶ ὕδατι, καὶ ἀνέμοισι etc.) εὐφυῶς δὲ πάλιν εἰς ὁμόνοιαν αὐτοὺς προτρεπόμενος δείκνυσιν, ὅτι ὑπὲρ τῶν βαρβάρων ἐστὶ τὸ τοὺς Ἕλληνας διὰ στάσεις ἀλλήλους διαφθείρειν. ἐπιεικῶς δὲ οἱ βάρβαροι τόν τε ἥλιον, καὶ τὴν σελήνην, θεῶν μᾶλλον πάντων σέβουσι. διὰ τοῦτο καὶ τὴν Δῆλον καὶ τὴν Ἔφεσον (de Epheso nihil Herodot. 6, 97.) οὐ διελυμήναντο· ὁ μὲν γὰρ ἥλιος Ἀπόλλων ἐνενόμιστο, ἡ δὲ Ἄρτεμις σελήνη. S.

401. ἵνα τὰς τελ. λάβοιεν αὐτοὶ. ἡμῶν ἀπολλυμένων, καὶ τῶν βαρβάρων αὐτοῖς θυόντων. παρατηρητέον δὲ, ὅτι ἀντὶ τοῦ τὰς θυσίας κεῖται τὰς τελετάς. S. τελετὴ est proprie θυσία μυστηριώδης (Phot. lex. p. 422. add. Suid. h. v., Etym. M. p. 757., Zonar. 2. p. 1718.); sed h. l. τελεταὶ videntur omnino sacra, sacrificia, esse, ut 409. omnino sunt solemnia, festa sacra. B.

402. Sensus: haec igitur causa est (ταῦτα pro διὰ ταῦτα), cur dudum partem dierum suffurati sint, et (iniqua) aurigatione (ὑφ' ἁρμ. pro διά, de quo usu praepositionis ὑπὸ v. Fisch. Anim. ad Well. 4. p. 276.) orbis (dierum noctiumque) partem rodendo absumserint (dies imminuerint). B. per jocum hanc causam esse ait, cur sol et luna id jam antiquitus (πάλαι) facere consueverint: nam mos significatur imperfectis παρεκλεπτέτην et παρέτρωγον. intelligit autem aequinoctia. S.: συντίθεται ὁ Ἑρμῆς, καὶ φησιν, ὅτι διὰ ταῦτα ὁ μὲν ἥλιος παρέκλεπτε τῶν ἡμερῶν, ἡ δὲ σελήνη τοῦ κύκλου. — τὸ οὖν φύσει γινόμενον ἐκλέπτετον εἶπε παίζων.

καὶ τοῦ κύκλου παρέτρωγον ὑφ' ἁρματωλίας.
ΤΡ. ναὶ μὰ Δία. πρὸς ταῦτ', ὦ φίλ' Ἑρμῆ, ξύλλαβε
ἡμῖν προθύμως τήνδε, καὶ ξυνέλκυσον·
καὶ σοὶ τὰ μεγάλ' ἡμεῖς Παναθήναι' ἄξομεν.
πάσας τε τὰς ἄλλας τελετὰς τὰς τῶν θεῶν,
μυστήρι', Ἑρμῆ, Διπόλει', Ἀδώνια·
ἄλλαι τε σοὶ πόλεις πεπαυμέναι κακῶν
ἀλεξικάκῳ θύσουσιν Ἑρμῇ πανταχοῦ.
χἄτερ' ἔτι πόλλ' ἕξεις ἀγαθά· πρῶτον δέ σοι
δῶρον δίδωμι τήνδ', ἵνα σπένδειν ἔχῃς.
ΕΡ. οἴμ', ὡς ἐλεήμων εἶμ' ἀεὶ τῶν χρυσίδων!

406. τὰ μεγάλα. οὐχ ὡς καὶ μικρῶν ὄντων τοῦτό φησιν, ἀλλ' αὔξων τὴν χάριν. (h. e. non propterea ita locutus est, ut magna Panathenaea parvis opponeret, magnorum tantum honorem Mercurio promittens, qui error est Florentis Christ., sed μεγάλα nominavit κατ' ἐξοχήν, quippe alteris longe splendidiora. de utroque festo vide Meursii Panathen., Gronov. Thes. Antt. gr. t. 7., et antiquitatis gr. scriptores, in his Nitschium vol. 1. pp. 714. seqq.) τῇ δὲ Ἀθηνᾷ ἤγοντο διὰ πέντε ἐτῶν, ὅτε καὶ ἡ ναῦς ἐπὶ χῆς πλέει παρ' αὐτοῖς. σοὶ, φησὶν, ἄξομεν τὰ Παναθήναια, καὶ οὐ τῇ Ἀθηνᾷ, ἐὰν τῆς εἰρήνης τύχωμεν διὰ σοῦ. S.

408. Ἑρμῆ edd. recentiores. vett. et MSS. minus recte Ἑρμῇ post σοί: quod sensit etiam B. — μυστ. Eleusinia. Διπόλει' pro Διϊπόλει', quae est vulgata lectio, scripsi auctore Dobraeo. lexicon Sangerm. MS. Bekker. Anecd. p. 91.: Διισωτήριον καλοῦσιν Ἀθήνησιν ἀντὶ τοῦ τὸν ναὸν σωτῆρος Διός. ἔστι δ' ἀττικὸν τὸ σχῆμα. Διπολιεῖα (Διπόλεια) γοῦν καλεῖται ἑορτή. καὶ Διπολιώδη φησὶν Ἀριστοφάνης. (Nub. 978.) Θουκυδίδης δὲ Διάσια καλεῖ τὴν ἑορτήν. Thucyd. 1, 126.: ἔστι γὰρ καὶ Ἀθηναίοις Διάσια, ἃ καλεῖται Διὸς ἑορτὴ Μειλιχίου μεγίστη, ἔξω τῆς πόλεως, ἐν ᾗ πανδημεὶ θύουσι πολλοὶ, οὐχ ἱερεῖα, ἀλλὰ θύματα ἐπιχώρια. ibi schol.: τινὰ πέμματα εἰς ζώων μορφὰς τετυπωμένα ἔθνον. cf. Pollux 6, 76. die 14. Scirrophorionis mensis hoc festum celebratum fuisse narrat S. — Ἀδώνια in honorem Adonidis Veneresque biduum agebantur vere. vide inprimis Plut. Alcib. 18., Nic. 13., Lucian. de dea Syria sub initium, et ex recentioribus Creuzerum Symbol. et Mythol. 2. pp. 93. sqq. ed. 2.

409. τοῦτό φησιν, ἵνα μὴ δόξῃ καταισχύνειν τὸ ἄξίωμα τῶν Ἀθηναίων, ὡς διὰ τὸ ἀποκαμεῖν μόνον ἐρώντων τῆς εἰρήνης. οὐ μόνον γὰρ αὐτοὶ, φησὶ, τὸν Ἑρμῆν τιμήσουσιν, ἀλλὰ καὶ πᾶσαι αἱ πόλεις τῆς εἰρήνης τυγχάνουσαι, διὰ τὸ χρησιμεύειν τῷ βίῳ τῶν ἀνθρώπων. S.

410. ἀλεξ. — καὶ Ἀπόλλωνα, καὶ Ἡρακλέα, ἀλεξικάκους τιμῶσι. φησὶν οὖν „οὔτε Ἀπόλλωνι, οὔτε Ἡρακλεῖ θύσομεν ὡς ἀλεξικάκοις, ἀλλὰ σοί." S.

212. [τοῦτο] παρεπιγραφή. τοῦτο γὰρ εἰπὼν δίδωσιν αὐτῷ φιάλην χρυσῆν. S. Ald. σπένδων, quod non inelegans.

413. ἐλεήμων χρυσίδων, ut ἀνθρώπων οὐδαμῶς δηλήμονες ap. Herod. 2, 74. et quae similia laudat Matth. gr. §. 322, 1. heu, quam me semper miseret aureorum vasorum! S.: — παρ' ὑπόνοιαν ἀντὶ τοῦ εἰπεῖν τῆς πόλεως εἰμὶ ἀεὶ ἐλεήμων, ἢ τῆς Ἑλλάδος, ἢ τῶν ἀνθρώπων, εἶπε τῶν χρυσίδων διὰ τὴν χρυσῆν φιάλην.

ὑμέτερον ἐντεῦθεν ἔργον, ὦνδρες· ἀλλὰ ταῖς ἄμαις t.t.c.
εἰσιόντες ὡς τάχιστα τοὺς λίθους ἀφέλκετε.
ΧΟ. ταῦτα δράσομεν· σὺ δ' ἡμῖν, ὦ θεῶν σοφώτατε,
ἅττα χρὴ ποιεῖν, ἐφιστὼς φράζε δημιουργικῶς·
τἄλλα δ' εὑρήσεις ὑπουργεῖν ὄντας ἡμᾶς οὐ κακούς.
ΤΡ. ἄγε δὴ σὺ ταχέως ὕπεχε τὴν φιάλην, ὅπως i. tr.
ἔργῳ 'φιαλοῦμεν, εὐξάμενοι τοῖσιν θεοῖς.
ΕΡ. σπονδή, σπονδή· εὐφημεῖτ', εὐφημεῖτε! do. h.
ΤΡ. σπένδοντες εὐχώμεσθα τὴν νῦν ἡμέραν i. tr.
Ἕλλησιν ἄρξαι πᾶσι πολλῶν, κἀγαθῶν,
χὤστις προθύμως ξυλλάβῃ τῶν σχοινίων,
τοῦτον τὸν ἄνδρα μὴ λαβεῖν ποτ' ἀσπίδα.

414. — ὁ Ἑρμῆς ταῦτα παρακελεύεται. ταχέως δὲ πεποίηκεν αὐτὸν μεταβαλλόμενον τὴν προαίρεσιν, ἵνα μᾶλλον αὐτὸν δείξῃ ἥττονα τοῦ λήμματος. S. ταῖς ἄμαις. cf. 299.

417. δημ. ἀντὶ τοῦ τεκτονικῶς· τοὺς γὰρ τέκτονας δημιουργοὺς ἔλεγον. S. at supra 296. dixit τέκτονες, καὶ δημιουργοί. schol. ad Equ. 656., quem Be. laudavit.: — κοινῶς δὲ ἔλεγον δημιουργοὺς τοὺς τὰ δημόσια ἐργαζομένους.— glossae ap. Be.: δημιουργὸς, moderator. cf. Schneider. in lex. gr. v. δημιουργός. Fl. Chr.: *Impera quid factu opus sit, Architecte, praesidens.* Voss.: *Sieh zur Seit', und, was geschehn muss, ordne du werkmeisterlich.*

419. infundere vult, quod litetur: itaque eum (Mercurium) subtus exhibere (*unterhalten*) jubet phialam. B.

420. ita Eustath. ad Odyss. χ', 49. δύναται γὰρ, inquit, ὥσπερ ἀττικίζεται ὁ λόγος ἐν τῷ τώμῷ, οὕτως εἶναι κατὰ συναλοιφὴν καὶ τὸ ἔργῳ 'φιαλοῦμεν ἀντὶ τοῦ ἐφιαλοῦμεν, καὶ ἐπιβαλοῦμεν, ἔργῳ, ἵνα, κατὰ τὸ χείρας ἁλλεῖν πράσιν, οὕτω καὶ ἔργῳ ἐφιαλεῖν ἢ τὸ ἐγχειρῆσαι πράξει τινί. idem Vesp. 1348. in suis exemplaribus legebat οὐδ' ἐφιαλεῖς, ἀντὶ τοῦ ἐπιβαλεῖς, ὁρμήσεις, nec miratus Homericum l. l. verbum ἐπίηλεν Ἰστίον, inquit, ὅτι τὸ ἰάλλειν φιλοῦται· ὁ δὲ Ὁμηρικὸς Ἐφιάλτης ὑποβάλλει νοεῖν, ὡς καὶ δασύνεται, ἀπὸ τοῦ ἵημι etc. hanc rationem merito probarunt Bentlejus et Br.; quam firmant illa in scholiis: ἢ ἔργῳ ἐπιβαλοῦμεν, ἐπὶ τοῦτο ὁρμήσωμεν, et quae similia sequuntur. vulgo tamen οὐδὲ φιαλεῖς legitur in Vespis, et h. l. ἔργῳ φιαλοῦμεν, quod S. ita interpretatur: οἷον ἐπιθῶμεν τῇ φιάλῃ ἐπὶ τῶν ἔργων (τῷ ἔργῳ), (?) ἢ ἔργῳ ἐπιβαλοῦμεν, ἐπὶ τοῦτο ὁρμήσωμεν. — παίζει δὲ παρὰ τὴν φιάλην τὴν δῶρον αὐτῷ δοθεῖσαν. ἢ ὅτι φιαλεῖν (? Venet. φιάλλειν) κυρίως ἐστὶ τὸ ἄρχεσθαι πράγματος. et compar ejus in Vespis: φιαλεῖν τὸ τῇ φιάλῃ πιεῖν. haec sunt quibus placeant; nos missa faciamus.

422, 3. δοκεῖ διὰ τούτων αἰνίττεσθαι τὴν ὑπὸ Μελησίππου λεχθεῖσαν ἀπειλήν. ἐν ἀρχῇ γὰρ τοῦ Πελοπ. πολέμου πεμφθεὶς πρεσβευτὴς ὁ Μελήσιππος ὑπὸ Λακεδαιμονίων εἰς τὰς Ἀθήνας, ὡς οὐχ ὑπήκουσαν οἱ Ἀθηναῖοι, ἠξίου ἀπαλλάττεσθαι λοιπὸν, καὶ γενόμενος ἐπὶ τοῖς ὁρίοις εἶπεν, ὡς ἥδε ἡ ἡμέρα πολλῶν καὶ μεγάλων κακῶν τοῖς Ἕλλησιν ἄρξει. ἐπεὶ οὖν τῶν τοῦ πολέμου κακῶν λοιπὸν ἀπαλλαχθήσεσθαι ἔμελλον, εἰς τοὐναντίον πάλιν ὁ ποιητὴς μετέστρεψε τὸν λόγον τὸν ὑπ' ἐκείνου ῥηθέντα. S. vid. Thuc. 2, 12.

424, 5. ξυλλ. τῶν σχοιν. ἀντιλάβοιτο. σχοινίοις γὰρ αὐτὴν καταχωσθεῖσαν ἀνεῖλκον. μὴ λ. τὴν ἀσπ. μηκέτι πανοπλίαν βαστάζειν, ἀντὶ τοῦ ἀπεῖναι τῶν κακῶν τοῦ

ΧΟ. μὰ Δί', ἀλλ' ἐν εἰρήνῃ διάγειν με τὸν βίον,
ἔχονθ' ἑταίραν, καὶ σκαλεύοντ' ἄνθρακας.
ΤΡ. ὅστις δὲ πόλεμον μᾶλλον εἶναι βούλεται,
μηδέποτε παύσασθ' αὐτὸν, ὦ Διόνυσ' ἄναξ,
ἐκ τῶν ὀλεκράνων ἀκίδας ἐξαιρούμενον.
ΧΟ. κεἴ τις ἐπιθυμῶν ταξιαρχεῖν σοὶ φθονεῖ
εἰς φῶς ἀνελθεῖν, ὦ πότνιά γ', ἐν ταῖς μάχαις
πάσχοι γε τοιαῦθ', οἷά περ Κλεώνυμος.
ΤΡ. κεἴ τις δορυξὸς, ἢ κάπηλος ἀσπίδων,
ἵν' ἐμπολᾷ βέλτιον, ἐπιθυμεῖ μαχῶν,
ληφθεὶς ὑπὸ λῃστῶν ἐσθίοι κριθὰς μόνας.
ΧΟ. κἤν τις στρατηγεῖν βουλόμενος μὴ ξυλλάβῃ,
ἢ δοῦλος αὐτομολεῖν παρεσκευασμένος,

πολίμου. (cf. 336.) χρησίμως δὲ νῦν ἀντιπαρατίθησι τοῖς τοῦ πολέμου δυσχερέσι τὰ τῆς εἰρήνης ἡδέα, προτρεπόμενος καὶ εἰς ἔρωτα αὐτοὺς φέρων αὐτῆς. S.

427. καὶ σκαλ. ἄ. ἀντὶ τοῦ ζωπυροῦντα τοὺς ἄνθρακας, οἷον ἐν ἀγρῷ διατρίβοντα. ἐπεὶ οὗτοι ὀπτῶσι βαλάνους (castaneas, vel palmulas), καὶ σκαλεύουσι τοὺς ἄνθρακας ἐν τῷ ὀπτᾶν. — S. Ach. 949., notante Be., τὸ πῦρ ὑποσκάλευε. Voss. „ἀνθρακας, die Glut des lange glutlosen Heerdes."

429. παύσασθ'. παύσασθαι. cf. 102. pertinet huc εὐχώμεσθα ex versu 422. Διόν. ἄναξ, praeses ludorum cf. 109.

430. ὀλέκρανον τινὲς τὸν ἀγκῶνα, ἢ τὸ ἐπὶ τῇ καμπῇ τῆς χειρὸς ὀξύ. ἐπώδυνος δὲ ὁ τόπος οὗτος τοῖς τρωθεῖσιν εἰς αὐτόν. ἄλλως. ἀκίδας τὰ βέλη λέγει. — S. εἰρωνικῶς dictum: nam fugere necesse est eos, quorum cubita vulnerantur.

433. Κλεώνυμος. τουτέστιν ἀσχημονοίη ῥίπτων τὴν ἀσπίδα. ῥίψασπις γὰρ ὁ Κλεώνυμος, ὡς καὶ ἐν τοῖς Σφηξὶ λέγει φανερῶς. S. vide Vesp. 585., Nub. 352., infra 638. seqq., Av. 293.

434. δορυξὸς bis Suidas MS. in v. ap. Dobr., vulgo edd. ante Brunckii, qui dedit δορυξόος, Bekk., D. cf. 527. Etym. M.: δορυξόος, (sic Ven.) ἐκ τοῦ δόρυ καὶ τοῦ ξέω. οὐδεὶς δὲ λέγει Ἑλλήνων δόρυξος, ἀλλὰ δορυξόος, καὶ κατὰ συγκοπὴν δορυξός· (male libri δόρυξος) etc. S. κάπ. ἀσπ. οὐκ αὐτὸς ἀσπίδας ποιῶν, ἀλλὰ παρ' ἄλλου λαμβάνων, καὶ πωλῶν. καπήλους γὰρ τοὺς μεταβολεῖς φησιν (φασιν).

435, 36. ἵν' ἐμπ. βέλτιον. ἵνα πιπράσκῃ πλείονος. κριθὰς μόνας. non ἄλφιτα. — κριθῆς, hordei, unum genus, *hordeum vulgare*, commemorat Dioscorides 2, 108., plura Theophrastus Hist. plant. 8, 4. Plin. H. N. 18, 7, 14.: *Antiquissimum in cibis hordeum, sicuti Atheniensium ritu, Menandro auctore, apparet, et gladiatorum cognomine, qui hordearii vocabantur; nunc studiosos idiotae sic appellare soleni.* cf. Billerbeckii Flora class. p. 27. Voss.: *Geschrotene Gerste, Viehfutter, nicht Mehl zu Brot und Klössen.* Equ. 1017. Cleon ad populum κριθὰς κοριῶ σοι, καὶ βίον καθ' ἡμέραν.

437. ita Br. libri κεἴ τις — καὶ ξυλλάβῃ, contra usum atticum. vide H. ad Viger. annot. 304., Jacobs. praefat. Anthol. Palat. pp. 49. seqq., Matth. gr. §. 525, b. ceterum tangi Alcibiadem, scholiastae aliisque visum est; nec male, modo nec de sicula expeditione cogitassent, quae pertinet ad 19. annum belli Pelop., cum haec fabula acta fuerit 13. vi-

ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο μαστιγούμενος·
ἡμῖν δ' ἀγαθὰ γένοιτ' (ἰὴ Παιών, ἰή!)...
ΤΡ. ἄφελε τὸ παίειν, ἀλλ' ἰὴ μόνον λέγε.
ΧΟ. ἰή, ἰὴ τοίνυν γ', ἰὴ μόνον λέγω.
ΤΡ. Ἑρμῆ, Χάρισιν, Ὥραισιν, Ἀφροδίτῃ, Πόθῳ.
ΧΟ. Ἄρει δέ;
ΤΡ. μὴ, μή!
ΧΟ. μηδ' Ἐνυαλίῳ γε;
ΤΡ. μή.
ΧΟ. ὑπότεινε δὴ πᾶς, καὶ κάταγε τοῖσιν κάλως.
ΕΡ. ὦ εἶα!
ΧΟ. εἶα μάλα!
ΕΡ. ὦ εἶ!
ΧΟ. εἶ ἔτι μάλα! i. tr. στ.
ΕΡ. ὦ εἶα, ὦ εἶα! amph. d.
ΤΡ. ἀλλ' οὐχ ἕλκουσ' ἄνδρες ὁμοίως. sp. d.
οὐ ξυλλήψεσθ'; οἵ' ὀγκύλλεσθ'!

dendi de rebus tum gestis Thucyd. libro 5., praesertim a capite 52., Plut. Alcib. 15, 16., et historici.

439. ἐπὶ τοῦ τροχοῦ γ' ἕλκ. οἱ γὰρ δοῦλοι σφαλλόμενοι ἐπὶ τοῦ τροχοῦ δεσμούμενοι, καὶ συρόμενοι, ἐτύπτοντο, ἀνακλώμενοι ἐν αὑτῷ. S. cf. Plut. 871.

440. Παιών. ἐφύμνιον εἰς Ἀπόλλωνα, inquit S., h. e. εἰς Ἀπόλλωνα ἰατρόν, qui et παιὼν seu παιὰν dicitur, omnis ille generis malorum cum corporis, tum animi, creditus ἀποτρόπαιος. cf. 533. Plut. 11., Soph. Trach. 190. seqq.

441. Παιὼν — παίειν. lusus verborum, quem temere fastidit Elmsl. ad Ach. 1226. (1139.) Be.: ἄφ. τὸ παίειν. propter malum omen: nam in bello caedunt et feriunt etc.

442. omisere nonnulli γὲ particulam. vide annotata ad Ran. 313., Plut. 563.

443. Ἑρμῇ etc. huc referendum ἀγαθὰ γένοιτ' ex 440.: vel potius εὔχεσθε, sive εὐχόμεθα suppleamus cum Be. S.: δικαίως προέταξε τὸν Ἑρμῆν, ὡς αἴτιον τῆς ἀναγωγῆς τῆς Εἰρήνης. καὶ τῶν ἑξῆς δὲ εἰκότως ἐμνήσθη, ὡς ἁρμοδίων αὐτῇ· ἐν γὰρ τῇ εἰρήνῃ τούτων ἀπολαύουσι πάντες. Ὥραις δὲ ταῖς τοῦ ἔτους, ὧν οὐδεὶς ἐν πολέμῳ ἀπολαύει, καὶ τῶν ἐν αὐταῖς ἔργων. similiter Graeci in compotatione, velut, notante Be., Athen. 1. p. 36.: Πανύασις δ' ὁ ἐποποιὸς τὴν μὲν πρώτην πόσιν ἀπονέμει Χάρισιν, Ὥραις, καὶ Διονύσῳ, τὴν δὲ δευτέραν Ἀφροδίτῃ, καὶ πάλιν Διονύσῳ, Ὕβρει δὲ, καὶ Ἄτῃ, τὴν τρίτην.

444. Ἐνυαλίῳ. ridicule, quasi alius hic sit quam Mars. similis jocus est Plut. 392. sequ. Macrob. Sat. 1, 19.: *Bacchus ἐνυάλιος cognominatur, quod est inter propria Martis nomina.* cf. Soph. Ajac. 178.

446. — μιμεῖται τοὺς βαρβαριστὶ (imo τοὺς βάρος τι) ἑλκύοντας. δεῖ οὖν νοεῖν, ὅτι ταῦτα ἀνὰ μέρος λέγεται, τὸ μὲν τοῦ Ἑρμοῦ κελεύοντος, καὶ ἕλκοντος, τὸ δὲ τῶν ἑλκόντων ὑπακουόντων. — (cf. 495.) ἔτι μάλα. ἔτι σφοδρότερον, προθυμότερον. (cf. 280.) S.

448. ita Bekk., D. vulgo ἄνδρες.

449. οἵ' ὀγκ. οἷα, φησὶν, ἐπερείδεσθε μὲν τῷ σχοινίῳ, προσποιούμενοι ἕλκειν, οὐχ ἕλκετε δέ. ἢ τὸν ὄγκον παραβάλλεσθε (περιβάλλ. Suidas ap. Br. ὀγκύλλεσθαι: ὑψαυχενεῖν, καὶ ὄγκους περιβάλλεσθαι, σεμνύνεσθαι. —) καὶ ἀλαζονεύεσθε.

450 (5) *οἰμώξεσθ', ὦ Βοιωτοί!* a. par.
EP. εἶα νῦν!
TP. εἰ' ὦ! cr. d. cat.
XO. ἄγετε, ξὺν δ' ἕλκετε καὶ σφώ! a. par.
TP. οὐκοῦν ἕλκω, κἀξαρτῶμαι, sp. d.
κἀπεμπίπτω, καὶ σπουδάζω.
455(10) *XO. πῶς οὖν οὐ χωρεῖ τοὔργον;* a. par.
TP. ὦ Λάμαχ', ἀδικεῖς ἐμποδὼν καθήμενος. i. tr.
οὐδὲν δεόμεθ', ὠνθρωπε, τῆς σῆς μορμόνος.
EP. οὐδ' οἵδε γ' εἶλκον οὐδὲν Ἀργεῖοι πάλαι,
ἀλλ' ἢ κατεγέλων τῶν ταλαιπωρουμένων,
460 *καὶ ταῦτα διχόθεν μισθοφοροῦντες ἄλφιτα.*

ἢ ὡς φιλοπόλεμοι δὲ οὐχ εἵλκον, ἢ ὡς ἔκσπονδοι. S.

450. Thuc. 5, 52. *Τοῦ δὲ ἐπιγιγνομένου θέρους* (anni 13. belli Pelop.) *εὐθὺς ἀρχομένου τὴν Ἡράκλειαν, ὡς μετὰ τὴν μάχην κακῶς ἐφθείρετο, Βοιωτοὶ παρέλαβον, καὶ Ἡγησιππίδαν τὸν Λακεδαιμόνιον, ὡς οὐ καλῶς ἄρχοντα, ἐξέπεμψαν. δείσαντες δὲ παρέλαβον τὸ χωρίον, μὴ, Λακεδαιμονίων τὰ κατὰ Πελοπόννησον θορυβουμένων, Ἀθηναῖοι λάβωσι. Λακεδαιμόνιοι μέντοι ὠργίζοντο αὐτοῖς.* foedus junxerant Boeoti cum Lacedaemoniis exeunte anno 11. belli Pelop., itaque hoc facto utriusque partis in odia incurrebant. S.: *οἰμώξεσθε. ὅτι μηδὲν αὐτοῖς μέλει τῆς εἰρήνης. ἐπὶ τοῦ Ἀλκμαίωνος σπονδὰς αὐτοῖς φησι Φιλόχορος γεγενῆσθαι πεντηκονταετεῖς, Ἀθηναίοις, καὶ Λακεδαιμονίοις, καὶ τοῖς συμμάχοις πλὴν Βοιωτῶν, καὶ Κορινθίων, καὶ Ἠλείων.* sed hoc longe repetitum videtur, ut quod pertineat ad ver anni 11., teste Thucyd. l. l. c. 20.

452. ll. nullis numeris *ἄγετον ξυνέλκετον καὶ σφώ.*

453. hisce etiam Mercurii persona adscribenda esse videtur, quoniam eum quoque adhortatus est Chorus.

455. 56. ita D. vulgo verba *πῶς — τοὔργον* Mercurio, sequentia usque ad *μορμόνος* Choro tribuuntur. de Lamacho dictum ad 304.

457. *τῆς σῆς μορμ. παρὰ τὴν μορμώ, καὶ τὴν Γοργόνα, ἣν εἶχεν ὁ Λάμαχος ἐπίσημον. οὕτως δὲ ἔλεγον τὸ ἐκφόβητρον, καὶ τὰ προσπεῖα τὰ αἰσχρὰ μορμολύκεια* etc. S. Gorgonem, quam pro insigni habuit Lamachus, vocat *μορμώ*: vide Ach. 539, 1104., quae loca laudavit Be. et cf. infra 457.

458, 9. *ὡς τῶν Ἀργείων ἐκφοτεριζόντων, ὁπότε δοκοίη αὐτοῖς — ἀλλ' ἢ κατ. ἐπεὶ Ἀργεῖοι κατεγέλων Λακεδαιμονίων, καὶ Ἀθηναίων, ἀλλήλοις μαχομένων, ἐπείπερ παρ' ἀμφοτέρων λαμβάνοντες χρήματα ἐπολέμουν. ἐνετρύφων οὖν τοῖς ἐκ τοῦ πολέμου διαφθειρομένοις. — περὶ δὲ Ἀργείων καὶ Φερεκράτης* (Comicus, Aristophanis aequalis: vide Meinekei Quaest. scen. spec. 2. p. 31.) *ἐν Αὐτομόλοις οὗτοι γάρ ἡμῖν οἱ κακῶς ἀπολούμενοι Ἐπαμφοτερίζουσ', ἐμποδὼν καθήμενοι.* S. annotavit Fl. Chr., propterea Lacedaemonios Argivam fidem semper suspectam habuisse, nec immerito, qui post *σπονδὰς πεντηκονταετεῖς* (cf. 450.) novis rebus studuerint, Peloponnesi imperium affectantes. Palmer. autem refert, secundum Thucydidem, 5, 61., ipso anno 13. belli Pelop. Argivos pacem turbasse illato Epidauriis bello cum mille Atheniensibus auxiliariis. — *ἀλλ' ἤ* qui sententiam, non verba, spectant, non inepte interpretabuntur *ἀλλά*: ceterum id quomodo possit, non una ratione explices: nam et *ἐλλειπτικῶς* dictum videri potest, quae Hermanni est opinio ad Viger.

ΤΡ. ἀλλ' οἱ Λάκωνες, ὦ 'γάθ', ἕλκουσ' ἀνδρικῶς.
ΧΟ. ἆρ' οἶσθ'; ὅσοι γ' αὐτῶν ἔχονται τοῦ ξύλου,
μόνοι προθυμοῦντ'· ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ.
ΕΡ. οὐδ' οἱ Μεγαρῆς δρῶσ' οὐδέν, ἕλκουσιν δ' ὅλως
γλισχρότατα, σαρκάζοντες, ὥσπερ κυνίδια,
ὑπὸ τοῦ γε λιμοῦ νὴ Δί' ἐξολωλότες.
ΤΡ. οὐδὲν ποιοῦμεν, ὦνδρες, ἀλλ' ὁμοθυμαδόν,
ἅπασιν ἡμῖν αὖθις ἀντιληπτέον.
ΕΡ. ὦ εἶα!
ΤΡ. εἶα μάλ'!
ΤΡ. ὦ εἶ'!
ΤΡ. εἶα νὴ Δία! ἀντ.
ΕΡ. ὦ εἶα, ὦ εἶα!
ΧΟ. μικρὸν κινοῦμέν γ'.
ΤΡ. οὐ δεινόν,

annot. 277., et πλεοναστικῶς, ut *εὐναντίον ἢ ἐκείνοις* ap. Plat. Rep. 4, p. 424. extr. (cf. Matth. gr. §. 450, 2.); quemadmodum et ὅτιῃ pro ὅτι dicitur ap. Atticos.

462. ἆρ' οἶσθ'; *scin'?* Voss.: *Weisst du?*, formula loquendi familiaris, et quidem elliptica: ἆρ' *οἶσθα τοῦτο*, ὃ λέξω; Plautus Mil. 1152.: *scin' quemadmodum?* Terentius Eun. 2, 3, 46. — *scin', quid ego te volebam?* — Br.: ὅσοι etc. optime h. l. interpretatus est Palmer., per eos, qui *ἔχονται τοῦ ξύλου* [qui ex materiatura fabrili vivunt: v. Blomf. ad Aeschyl. Sept. ad Th. 91., Jacobs ad Tat. p. 165., Matth. gr. §. 365, 6., et cf. 483.], intelligens ξυλουργούς, qui aratra, ligones, rastros, et alia pacis et arationis instrumenta, faciebant, et ideo pacem expetebant, quia eorum artes in pace magis expetitae et lucrosae. at χαλκεύς, qui arma fabricabat, pacem impedire volebat, ne suum lucrum cessaret. ea expositio firmatur iis, quae satis facete ipsi artifices et fabri Athenn. in extrema fabula loquuntur.

463. πρόθ. elisa diphtongus, ut 102. etc.

464. ὅλως, *prorsus*. ll. ὅμως. verba passim confusa. — οἱ Μεγ. socii Lacedaemoniorum in bello Pelop.; de quibus sociis Thuc. 2, 9.: *τούτων ναυτικὸν παρείχοντο Κορίνθιοι, Μεγαρῆς, Σικυώνιοι* etc. — ἕλκουσιν — γλισχρότατα, *parcissime trahunt*, ut solent maligni.

465. σαρκ. Galen. in Explan. voc. Hipp. p. 556. Franz. *σαρκάζειν κυρίως μὲν τὸ διὰ τῆς τῶν χειλῶν δήξεως γλευάζειν* [quod hic significatur]· *ὁ δ' Ἱπποκράτης καὶ τὸ ἄκροις τοῖς χείλεσι συναγομένοις ἀποτίλλειν τι.* B. S.: *σαρκ. οἷον, ὑποσεσηρότες, καὶ διανοίγοντες, ὥσπερ τὰ κυνίδια, ὅταν προσλιπαρῇ τινα, καὶ ἀφέλκῃ τοῖς ὀδοῦσι. τὸ δὲ ὑπὸ τοῦ γε λιμοῦ ἐξολ., ὅτι ὡς λιμώττοντες ἀεὶ Μεγαρεῖς παίζονται. διὰ γὰρ τοῦτο καὶ τοὺς ἑαυτῶν παῖδας ἐπίπρασκον.* etc. Causa famis, quia foro attico carendum erat illis durante bello. etiam antequam bellum inciperet, cum ex edicto Periclis (Thuc. 1, 139.) arcerentur foro et portubus atticis, statim penuria laborabant: hinc aliorum opem implorantes efficere volebant, ut illud edictum tolleretur; quae praecipua causa belli fuit. *Be.* vide inprimis Ach. 684. seqq.

471. ita Br. ll. corruptis numeris *μικρόν γε κιν.*

τοὺς μὲν τείνειν, τοὺς δ' ἀντισπᾶν;
πληγὰς λήψεσθ', ὠργεῖοι!
ΕΡ. εἶα νῦν!
ΤΡ. εἰ' ὦ!
ΧΟ. κακόνοι τινές εἰσιν ἐν ἡμῖν.
ΤΡ. ὑμεῖς μέν γ' οὖν οἱ κιττῶντες
τῆς εἰρήνης, σπᾶτ' ἀνδρείως!
ΧΟ. ἀλλ' εἶσ', οἳ κωλύουσιν.
ΤΡ. ἄνδρες Μεγαρῆς, οὐκ ἐς Κόρακας ἐρρήσετε; i. tr.
μισεῖ γὰρ ὑμᾶς ἡ θεὸς μεμνημένη·
πρῶτοι γὰρ αὐτὴν τοῖς σκορόδοις ἠλείψατε.
καὶ τοῖς Ἀθηναίοισι παύσασθαι λέγω
ἐντεῦθεν ἐχομένοις, ὅθεν νῦν ἕλκετε·
οὐδὲν γὰρ ἄλλο δρᾶτε πλὴν δικάζετε.
ἀλλ', εἴπερ ἐπιθυμεῖτε τήνδ' ἐξελκύσαι,
πρὸς τὴν θάλατταν ὀλίγον ὑποχωρήσατε.
ΧΟ. ἄγ', ὦνδρες, αὐτοὶ δὴ μόνοι λαβώμεθ' οἱ γεωργοί. i. t. c.
ΕΡ. χωρεῖ γε δὴ τὸ πρᾶγμα πολλῷ μᾶλλον, ὦνδρες, ὑμῖν.
ΧΟ. χωρεῖν τὸ πρᾶγμά φησιν· ἀλλὰ πᾶς ἀνὴρ προθυμοῦ.
ΕΡ. οἵ τοι γεωργοὶ τοὔργον ἐξέλκουσι, κἄλλος οὐδείς.

475. ll. item corrupto metro ὡς κακ. videtur natum ὡς ex ὦ vicino. κακόνοι. οἷον εἰ ἐχθροί, καὶ κακὸν νοῦν ἔχοντες πρὸς τὴν εἰρήνην. S.

476. ita Bentl., D. vid. Herm. annot. ad Viger. 296, b, p. 827. ἀμέτρως libri μὲν οὖν, et sequ. v. ἀνδρικῶς, quod item correxit primus Bentl. οἱ κιττ. ἀπὸ μεταφορᾶς τῶν κυουσῶν γυναικῶν, ἥγουν ἐπιθυμοῦντες, καὶ ἐπειδὴ ἀδηφάγον καὶ παμφάγον ὄρνεον ἡ κίττα (de hoc nihil Aristot. Hist. anim 9, 13. cf. Schneideri lex. v. κίσσα.) etc. S. cf. Etym. M. et Zonar. (2, 1216.), in κισσῶ. B.

479. οὐκ ἐς Κόρ. ἀντὶ τοῦ μετὰ φθορᾶς βαδίσετε. πολλάκις δὲ εἰρήκαμεν, ὅτι ἐπὶ κατάρας τίθεται. S. cf. 19.

481. τοῖς σκορ. ἀντὶ τοῦ δριμύτητι, ὅτι πολλὰ παρ' αὐτοῖς σκόροδα. (cf. 246.) αἰτίαν δὲ εἶχον ἀρχηγοὶ γενέσθαι τοῦ πολέμου διὰ τὴν ἁρπαγὴν τῶν πορνῶν Ἀσπασίας, καὶ τὴν ἐπὶ τούτοις ὀργὴν Περικλέους, καὶ τὸ ψήφισμα. S. cf. annot. ad 465. et de Aspasia elegantissimi Jacobsii disput. germ. *Beiträge zur Gesch. des weibl. Geschl. in Athen*, Att. Mus. 3. Bd. 2. St., S. 207—216. Be.: *quasi alliorum acrimonia usristis Pacem*, i. e. exacerbastis nos, ut pax turbaretur. — praeterea loquitur de Pace, tanquam de puella delicata, odorem allii aversante.

483. ἐντ. ἐχ. in hoc incumbentibus. cf. 462.

484. Athenn. φιλοδίκους Arist. cum alibi, tum in Vespis exagitat, ut notavit Fl. Chr.

485. sequ. Ingeniosum est hujus loci acumen, quo submonet Athena., ut maritimarum opum studio se applicent, quod identidem eis suadere solebat Themistocles. *Br.*

487. οἱ γεωργοί. optimi cives agricolae. cf. annot. ad 190.

XO. ἄγε νῦν, ἄγε πᾶς! a. ἐπῳδ.
καὶ μὴν ὁμοῦ 'στιν ἤδη. an.
μὴ νῦν ἀνῶμεν, ἀλλ' ἐπεντείνωμεν ἀνδρικώτερον! i. t.
ἤδη 'στὶ τοῦτ' ἐκεῖνο. an.
ὦ εἶα νῦν, ὦ εἶα πᾶς! i. d.
ὦ εἶα, εἶα, εἶα, εἶα! i. d. h.
ὦ εἶα, εἶα πᾶς! i. d. brach.
TP. ὦ πότνια βοτρυόδωρε, τί προσείπω σ' ἔπος; i. tr.
πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον,
ὅτῳ προσείπω σ'; οὐ γὰρ εἶχον οἴκοθεν.
ὦ χαῖρ', Ὀπώρα, καὶ σὺ δ', ὦ Θεωρία!
οἷον δ' ἔχεις τὸ πρόσωπον, ὦ Θεωρία!
οἷον δὲ πνεῖς, ὡς ἡδύ, κατὰ τῆς καρδίας.
γλυκύτατον, ὥσπερ ἀστρατείας καὶ μύρου!
EP. μῶν οὖν ὅμοιον καὶ γυλίου στρατιωτικοῦ;
XO. ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος.

492. καὶ μὴν ὁμοῦ 'στιν ἤδη. scil. ἡ *Εἰρήνη*, quam e fovea extrahebant. — *Br.* legebatur olim κ. μ. ὁ. 'στιν, ἡδ' ἐγγύς, quae est interpretatio. vide, quos laudat Br., Hemsterhus. ad Lucian. t. 1. p. 443., Toup. Cur. nov. in Suid. p. 110. (t. 3. p. 152. ed. Oxon. recentiss. B.)

494. *en illud, en id ipsum* Fl. Chr.

495. ὦ εἶα. ἀνηνέχθη ἡ Εἰρήνη. οὕτω γὰρ εἰώθασιν οἱ ἐπιστατοῦντες ἐπέχειν τὴν ὁρμὴν τῶν ἑλκόντων. S. Br. ad Lys. 665.: εἶα secunda brevi. — est adverbium adhortandi, quod saepe ap. Comicum recurrit, maxime vero in Pace 446. seqq. ab eo eadem ratione, qua alia ab aliis adverbiis verba (velut μύζειν, φεύζειν, ὤζειν, a μῦ, φεῦ, ὤ: cf. Valck. Diatr. Eurip. p. 20.), formatur verbum εἰάζω. Hesych. εἰάζων: εἶα ἐπικελεύων. Εὔριπ. Χρυσίππῳ.

496, 7. Rav. ὦ εἶα, εἶα, εἶα, εἶα, εἶα, εἶα. ὦ εἶα, εἶα, εἶα, εἶα, εἶα πᾶς. alii aliter.

498, 99. salutat extractam Pacem, ejusque comites Ὀπώραν et Θεωρίαν, meretricio habitu ac vestitu in scenam prodeuntes. cf. 670., 788. S.: βοτρ. βότρυς δωρουμένη. ὦ εὐφραντοποιέ. ἐπεὶ ἐν εἰρήνῃ φύονται αἱ ἄμπελοι. οἰκεῖον δὲ τοῖς γεωργοῖς καὶ τὰ παρ' αὐτῶν ἐπίθετα. (cf. 508.) — μυριάμφορον δὲ τίμιον, καὶ πολυπληθῆ. ἢ μυρία κεράμια χωρῆσαι δυνάμενον. ἀπὸ δὲ τῶν ληνῶν, καὶ πίθων, τῇ μεταφορᾷ ἐχρήσατο. Be.: „(ῥῆμα μυρ.) verbum, quo satis exprimam, quantus vini proventus tempore pacis esse soleat." *Wo nehm' ich es her, das Hunderttausendfuderwort, Dich damit su grüssen?*

500. εἶχον. cf. 142., 506., 559.

503. *o quam suave corde spiras intimo!* Fl. Chr.

505. γυλ. ἀγγεῖον στρατιωτικόν, εἰς ὃ τὰς τροφὰς ἄγονται οἱ στρατιῶται. — φησὶν οὖν, ὅτι οὐ ταὐτὸν ὄδωδεν ὁ γύλιος, καὶ ἡ Θεωρία. S. Zonar. 1. p. 460. reddit ἀγγεῖον πλεκτὸν ἀπὸ φοινίκων. *sportam* vertunt. B. cf. 742. S. ad Ach. 1027. Fl. Chr.: — „erat istud πλέγμα ὁδοιπορικὸν oblongum et angusti aditus [? imo oris.] (unde postea 758. macros et oblongo collo praeditos vocat γυλιαύχενας), ne composita corrumperentur, vocabaturque ὑποθήκη στρατιωτική." — In Acharn., l. l., Lamachus e γυλίῳ suo proferri jubet ἅλας θυμίτας, κρόμμυα, et θρῖον ταρίχους σαπροῦ.

506. ἐχθροῦ φ. τοῦ στρατιώτου,

τοῦ μὲν γὰρ ὄζει κρομμυοξυρεγμίας·
ταύτης δ' Ὀπώρας ὑποδοχῆς, Διονυσίων,
αὐλῶν τραγῳδῶν, Σοφοκλέους μελῶν κιχλῶν,
ἐπυλλίων Εὐριπίδου ...

ΤΡ. κλαύσει 'ρα σὺ,
ταύτης καταψευδόμενος· οὐ γὰρ ἥδεται
αὕτη ποιητῇ ῥηματίων δικανικῶν.

ΧΟ. κιττοῦ, τρυγοίπου, προβατίων βληχωμένων,
κόλπου γυναικῶν διατρεχουσῶν εἰς ἀγρὸν,

quod intelligendum ex praegresso verbo simili στρατιωτικοῦ. cf. Soph. Trachin. 237., 286., 785.

507. τοῦ. τοῦ στρατιώτου. intelligendum πλέκος, vas, sporta.

508. vulgo ὀπώρας, quod abhorret a tempore verno, quo acta est haec fabula. — ταύτης δ' Ὀ. item intelligendum πλέκος, cornu quoddam copiae, plenum uvis (493.), ficis, etc.

509. τραγ., h. e. τραγῳδικῶν. vide Matth. gr. §. 429, 4. vulgo αὐλῶν, τραγῳδῶν, Σοφοκλέους μελῶν, κ. S. αὐλῶν τραγ. (male libri αὐλῶν, τραγ.) ἐπεὶ καθόλου μὲν ὁ αὐλὸς ἐν εὐωχίαις ἀεὶ, καὶ Θαλίαις, ἐξετάζεται· ἐν δὲ τοῖς ἱσταμένοις χοροῖς, οὓς συνίστασαν οἱ χορηγοὶ διὰ τῶν Διονυσίων, πάντως καὶ αὐλητὰς ἔδει προσιέναι. — cf. Soph. Trach. 169., 607. Ovid. Fast. 6, 659. *Cantabat fanis*, cantabat tibia ludis, *Cantabat moestis tibia funeribus*. cf. Horat. A. p. 202. seqq. — μελῶν κιχλῶν, *carminum turdorum*, i. e. carminum tam dulcium quam sunt turdi, ἐπῶν ὄντων κιχλῶν, quemadmodum 604. κεκράγμασι δικροῖς aliaque alibi dixit similia. cf. 822., 989. eadem chorda oberrantes vulgati libri μελῶν, κιχλῶν, male turdis intermixtis Sophocli atque Euripidi. sponsorem etiam hujus correctionis dabo scholiasten, qui sic: Σοφ. μελῶν. ὅτι ἡδέα τὰ μέλη Σοφοκλέους. θέασαι δὲ, πῶς τὸν μὲν Σοφοκλέα καὶ τοῖς ὀνόμασιν ἐπαίρει, τὸν δὲ Εὐριπίδην σμικρύνει, ἐπ' ἐκείνου μὲν λέγων μελῶν, ἐπὶ τοῦ Εὐριπίδου δὲ ἐπυλλίων. (cf. Ran. 893.) — κιχλῶν, εἶδος στρουθῶν. δοκοῦσι δὲ πρὸς τρυφὴν ἐκ τῶν ἄλλων πτηνῶν περισκοῦδαστοι εἶναι μᾶλλον. ἀεὶ δὲ τὸν Σοφοκλέα σεμνολογεῖ. haec postrema verba aut ἀπροσδιόνυσα sunt, aut conjuncte legit homo Σοφ. μελῶν κιχλῶν, *Verskrametsvögel des Sofokles*. gaudet autem ejusmodi similibus, in risum compositis, poëta: vide 543, 564.

510. libri mendose κλαῦσ' ἄρα, vel ἄρα. Br. κλαῦσαι ῎ρα σύ. Bekk. κλαύσει ἄρα, D. κλαύσᾶρα, crasi inusitata.

512. δικ. δικανικώτερα τὰ Εὐριπίδου, ἔχοντα πεύσεις, καὶ ἀποκρίσεις. ἢ ἐπεὶ τὰ Εὐριπίδεια ἀντιλογίας πολλὰς ἔχει, καὶ δικαζομένοις εἰσάγει. S. Euripides in Ranis, 905. ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα, ubi vid. annot.

513. κιττοῦ, hederae, qua crateres ipsique convivantes coronabantur. — τρυγοίπου, coli vel sacci vinarii, quo vina saccantur Voss.: *Mostseige*. cf. Plut. 1083. — προβ. βλ. quae jam tuto pascentur in agro attico.

514. κόλπου γυν. ἐπεὶ, ὅταν πολὺ σταῖς κομίζωσιν, ὀλίγον τι καταπώσασαι τοῦ χιτῶνος ἐκ περιζώματος, ἐκεῖ ἐντιθέασιν. ἄλλως. καλλάκις ἐν εἰρήνῃ ὑπὸ κόλπους φέρουσί τι. καὶ πάλιν εἰρήνης οὔσης αἱ γυναῖκες ἁδεῶς εἰς τοὺς ἀγροὺς ἐξέρχονται, καὶ ἀνθολογοῦσιν. γράφεται εἰς ἰπνόν. ἰπνὸς δὲ, ὃ ἡμεῖς καμίνιον καλοῦμεν. S. ἰπνὸν, furnum balnearium. (aliud est infra 780.) significantur officia domestica feminarum, quae dum obeunt, ne sibi quidem ipsis desunt, curriculo in sinu auferentes lagenam: quoniam potare

δούλης μεθυούσης, ἀνατετραμμένου χοὸς,
ἄλλων τε πολλῶν, κἀγαθῶν.
ΕΡ. ἴθι νυν, ἄθρει,
οἷον πρὸς ἀλλήλας λαλοῦσιν αἱ πόλεις
διαλλαγεῖσαι, καὶ γελῶσιν ἄσμεναι,
καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι
ἀπαξάπασαι, καὶ κνάθοις προσκείμεναι.
ΤΡ. καὶ τῶνδε τοίνυν τῶν θεωμένων σκόπει
τὰ πρόσωφ', ἵνα γνῷς τὰς τέχνας.
ΕΡ. αἰβοῖ, τάλας! —
ἐκεινονὶ γοῦν τὸν λοφοποιὸν οὐχ ὁρᾷς
τίλλονθ' ἑαυτόν; ὁ δέ γε τὰς σμινύας ποιῶν
κατέπαρδεν ἄρτι τοῦ ξιφουργοῦ 'κεινονί.
ΤΡ. ὁ δὲ δρεπανουργὸς οὐχ ὁρᾷς ὡς ἥδεται,
καὶ τὸν δορυξὸν οἷον ἐσκιμάλισεν;
ΕΡ. ἴθι νυν, ἄνειπε τοὺς γεωργοὺς ἀπιέναι.

inter viros non decet. B.: Recepit εἰς ἀγρὸν e Rav. Invern. (item Bekk. et D.), et videtur antiquitus jam duplex fuisse scriptura. certe illud huc non ex inferioribus (530.) retrahi potuit. (quod putabat Br.) etc.

515. χοὸς Suid. h. v. libri mendose χοῦς. ἀνατ. χοῦς. ἀνακαμφθέντος ἢ κενωθέντος εἰς γῆν, ὡς οἱ ἐν τοῖς πότοις σφαλλόμενοι ὑπὸ μέθης ἐν τῷ ὑπηρετεῖν ἢ παίζειν εἰώθασι ποιεῖν. S.

519. ὑπωπ. σφοδρῶς πληγεῖσαι ὑπὸ τοῦ πολέμου, παρὰ τὰ ὑπώπια, ἃ ἐστιν ὑπὸ τῶν ὄψεων τὰ ὀγκώματα, καὶ κρούσματα, ἅπερ κορδύλας φασίν. S.

520. κνάθοις. ἐπεὶ ἐν ὀξυβάφοις χαλκοῖς τὰ ὑπώπια ἀνατρίβοντες — ἀφανῆ ποιοῦσι. — τοιούτοις γὰρ τοὺς ἐκ τῶν πληγῶν ἐθεράπευον μώλωπας. S. cyathos calida impletos (cucurbitulae solent vocari) admovebant ejusmodi tumoribus, ut detumescerent. cf. Lys. 445. *Ex Be.*

522. ἵνα γνῷς. ἵνα διαγνῷς, καὶ διακρίνῃς, ἐκ τοῦ ἱλαροὺς εἶναι καὶ κατηφεῖς, ποίαν τις αὐτῶν τέχνην μεταχειρίζεται. οἱ μὲν γὰρ τὰ πολεμικὰ ἀσκοῦντες, ἀχθόμενοι τοῖς παροῦσι, καὶ ὅτι ἀργοὶ ἔσονται, στυγνοί εἰσι καὶ κατηφεῖς, οἱ δὲ τὰ εἰρηνικὰ ἱλαροί. S. αἰβοῖ, τ., *hei miser!* hoc ad fabricatorem cristarum; quae autem sequuntur, ἐκεινονὶ — ξιφ. 'κεινονί, rursus ad Trygaeum.

524. τίλλ. ἑαυτόν. τίλλειν ἑαυτὸν λέγεται τὸ τῶν ἑαυτοῦ τριχῶν ἐπιλαμβάνεσθαι, καὶ σπαράττειν τὰς κόμας. — S. — Tim. lex. Plat.: σμινύην οἱ μὲν δίκελλαν, οἱ δὲ ἀξίνην καλοῦσι. *ligones, Hacken.*

525. κατέπαρδεν. cf. Plut. 613. Horat. Sat. 1, 9, 69. *vin' tu Curtis Judaeis oppedere?* ibi Porphyr.: oppedere, *contemnere eos, ac religiones eorum deridere.* — libri κεινονί, quod abhorret ab usu Comicorum. vid. Elmsl. ad Eurip. Med. 88. recte scripserunt 'κεινονί.

527. ἐσκιμ. τῷ μέσῳ δακτύλῳ συναρμόσας τὸν μέγαν καὶ πλήξας ἐφυβρίζει. ἢ κατεδακτύλισε. — S. σκιμαλίζειν hic est καταδακτυλίζειν et ἐφυβρίζειν, i. e. contumeliose irridere, et in contemtum digitum medium ostendere, qui infamis vulgo existimatur. id gallico idlotismo dicitur *faire la figue. Ex Fl. Chr.* Voss.: *Und dem Lanzenschäfter, wie er dem hohnfingerte?*

528. ἀνειπεῖν proprium est praeconibus aliquid proclamantibus. vid. Demosth. de Cor. t. 1. p. 244. *Reiske.*

ΤΡ. ἀκούετε, λεώ· τοὺς γεωργοὺς ἀπιέναι,
τὰ γεωργικὰ σκεύη λαβόντας, εἰς ἀγρὸν
ὡς τάχιστ', ἄνευ δορατίου, καὶ ξίφους, κἀκοντίου· t. t. c.
* ὡς ἅπαντ' ἤδη 'στὶ μιστὰ τἀνθάδ' εἰρήνης σαπρᾶς.
ἀλλὰ πᾶς χώρει πρὸς ἔργον εἰς ἀγρὸν παιωνίσας.
ΧΟ. ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα,
ἄσμενός σ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους·
τάς τε συκᾶς, ἃς ἐγὼ 'φύτευον ὢν νεώτερος,
ἀσπάσασθαι θυμὸς ἡμῖν ἐστι πολλοστῷ χρόνῳ.
ΤΡ. νῦν μὲν οὖν, ὦνδρες, προσευξώμεσθα πρῶτον τῇ θεῷ,
ἥπερ ἡμῶν τοὺς λόφους ἀφεῖλε, καὶ τὰς Γοργόνας·
εἶθ' ὅπως λιταργιοῦμεν οἴκαδ' ἐς τὰ χωρία,
ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.
ΕΡ. ὦ Πόσειδον, ὡς καλὸν τὸ στῖφος αὐτῶν φαίνεται,
καὶ πυκνὸν, καὶ γοργὸν, ὥσπερ μᾶζα καὶ πανδαισία!
ΤΡ. νὴ Δί', ἡ γὰρ σφῦρα λαμπρὸν ἦν ἄρ' ἐξωπλισμένη,

529. ἀκ. λεώ. formula praeconum, de qua praeter alios dixit Bentl. Opusc. philol. p. 261. ed. Lips. τοὺς γ. ἀπιέναι. intell. κελεύω.

532. σαπρᾶς. παλαιᾶς καὶ ἀρχαίας, inquit S. vix adducor, ut homini assentiar, qui nusquam σαπρὸς in bonam partem acceptum repererim. vide Plut. 319. (ἀρχαῖον, καὶ σαπρὸν), 538., 809. etc. quodsi igitur hoc dedit Arist., mire jocatus est, nec, ut solet. quare fuit, cum scribendum existimarem εἰρήνης ἀβρᾶς. β et π nonnunquam misceri docuit Bast. Append. ad Epist. crit. p. 28. cf. Eurip. Hel. 1385. apte Pax ἁβρὰ opponitur Bello τῷ δεινῷ, τῷ ταλαυρίνῳ. (241.) εὐπρόσωπος vocatur 584.

533. παιων. εὐξάμενος, καὶ τοῖς θεοῖς ὁμολογήσας χάριν. παιὼν (seu παιὰν) γάρ ἐστιν ὕμνος εὐχαριστήριος. S. Soph. Oed. R. 180. παιὰν δὲ λάμπει, στονόεσσά τε γῦρυς ὅμαυλος. ubi S. λέγεται (ὁ παιὰν) πρὸς ἀποτροπὴν τῶν κακῶν. cf. ibid. 5., Eurip. Alc. 411., Blomf. ad Aeschyl. Sept. ad Th. 632. gloss., et Elmsl. ad Acharn. 1128.

534. οἱ γεωργοὶ ταῦτά φασι, πεισθέντες τῷ κηρύγματι. S. h. e. ὦ ἡμέρα ποθ. καὶ γεωργ. τοῖς δικ. de agricolarum laudibus cf. 190., 487. seqq. καὶ γ., etiam agricolis, ut illis, quos nominavit 524. et 526.

536. ἃς — νεώτερος. περισκοπούμενος γὰρ πᾶς ἡγεῖται, ἅπερ ἂν αὐτὸς ἐργάσηται. διὰ τοῦτον δὲ τὸν πολὺν τοῦ πολέμου χρόνον δηλοῖ, ὅτι νεώτερος ὢν ἐφύτευσε συκᾶς, ἃς οὐκ εἶδε γηράσας. καὶ οὐκ ἀρκεσθεὶς τούτῳ ἐπήγαγε πολλοστῷ χρόνῳ. S.

539. τὰς Γοργ. Lamachi. cf. 457.

540. εἶθ' ὅ. λιτ. εἶτα μετὰ τὸ εὔξασθαι τῇ θεῷ συντόμως θαρρούμεθα. — S. ὅπως λιτ. vid. Matth. gr. §. 520, 4. λιταργίζειν Hesychio valet τροχάζειν, Photio p. 166. τρέχειν. cf. Fl. Chr. et B. „χωρία sunt praedia, villae." B.

541. ἐμπολ. cf. 435.

543. γοργὸν, alacre, promptum, animosum. S.: καὶ γοργόν. ἐπεὶ διὰ χρόνου ἐξιόντες ἐσπευδον. μᾶζα, καὶ πανδ. πανδαισία ἡ δαψιλὴς καὶ παντοία εὐωχία. μᾶζα δέ ἐστιν ὁ στρυφνὸς ἄρτος. — de hoc vide 1.

544. sequ. σφῦρα Bekk. et D. vulgo σφύρα claudicante versu. λαμπρὸν, λαμπρῶς. ἦν dictum ut ἀπέπτυσα 506 etc. *Ja beim Zeus, denn hergerüstet ist der Schlägel glän-*

545 *αἵ τε θρίνακες διαστίλβουσι πρὸς τὸν ἥλιον.*
ἢ καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον·
ὥστ' ἔγωγ' ἤδη 'πιθυμῶ καὐτὸς ἐλθεῖν εἰς ἀγρὸν,
καὶ τριαινοῦν τῇ δικέλλῃ διὰ χρόνου τὸ γήδιον.
ἀλλ' ἀναμνησθέντες, ὦνδρες, τῆς διαίτης τῆς παλαιᾶς,
t. t. *προῳδ.*
550 *ἣν παρεῖχ' αὕτη ποθ' ἡμῖν, τῶν τε παλαισίων ἐκείνων,*
τῶν τε σύκων, τῶν τε μύρτων, τῆς τρυγός τε τῆς γλυκείας,

sendhell. S.: *νοῆσαι δεῖ τὸν Χορὸν σφύραν ἔχοντα, αἷς βωλοκοποῦσι, καὶ θρίνακας, καὶ σκεύη ἄλλα γεωργικὰ, δι' ὧν τὰς βώλους τῆς γῆς ἔμελλον θραύσειν.* non huc pertinet, quod ab alio additum legitur, *θρίνακες, τὰ πτύα, ἐργαλεῖον, ᾧ ἀποχωρίζουσι τῶν σπερμάτων τὰ ἄχυρα* etc., etsi idem cantant Suid. et Zonar. 2, 1052. recte Br.: — „quis fando audivit aut vidit unquam fulgentia ventilabra? tum quis ventilabri usus ad vitium et ficuum conserendarum ordines? *θρίνακες* sunt *τρίαιναι*, *tridentes rastri*, seu *ligones*, idem fere quod *δίκελλαι*. mox *τριαινοῦν τῇ δικέλλῃ*. vid. Hesych. in *θρίναξ*. *τριαινοῦν* est *terram vertere*, *τὸ ἄνω κάτω ποιεῖν*. pro *diruere*, *evertere*, utitur Eurip. Bacch. 306."

546. *μετόρχιον τὸ μεταξὺ τῶν ὀρχων. ὄρχοι δὲ καλοῦνται τὰ μέσα τῶν ἐλαιῶν, καὶ τῶν ἀμπέλων.* — S. notavit Fl. Chr., id spatium sive intervallum inter vites ordinarias, oleas, aliasque arbores, inter quas sementem faciebant, *interordinium* vocari a Columella de R. R. 3, 13, 3., quo modo Vitruv. 3, 1. et alibi dixerit *intercolumnium*: nam *ὄρχους* sive *ὀρχάτους* esse ordines in quincuncem digestos, *παρὰ τὸ ἔρχεσθαι δι' αὐτῶν τὰς τάξεις τῶν φυτῶν.* (ita Suidas; sed vid. Schneider. lex. v. *ὄρχος*.) B. secundum Reiskium: Hoc vult: *profecto bene ab iis discedet, abibit, interordinium*, i. e. bene curabunt (*θρίνακες* istae) agri consitionem.

548. *γήδιον ὑποκοριστικῶς ἀντὶ τοῦ τὴν γῆν.* — S.

549. seqq. haec vulgo in breviores versus troch. divisa leguntur, cum facile intelligatur, assurgentem orationem a trochaicis t. cat. ad similes acatalecticos, gravissimum metri genus, progredi rectius quam ad dimetros, leves illos et velut ludibundos, more Anacreontis (vid. Gaisford. ad Hephaest. p. 261.). sic etiam infra 618. seqq., et ap. Sophoclem et Tragicos graecos, item Latinorum poëtas scenicos, non semel restituendos esse intellexi octonarios trochaïcos. vide Soph. El. 1210., Oed. R. 631., Oed. Col. 1140., 1571., Plant. Amph. 4. seqq., Terent. Andr. 2, 1, 7. etc. *ἐμφατικὸν* illud *ὧν ποθοῦμεν* D. quoque proprio versu extulit. similiter in anapaestis erratum est 729. — 733., et in iambicis Nub. 1052. seqq. — jubet autem Trygaeus agricolarum Chorum gratias agere Paci, quae tot eos bonis olim cumulaverit, quorum ut jam denuo participes fiant optat.

550. *παλαισ. τῶν πεπατημένων ἰσχάδων. τινὲς δὲ τῶν παλαθῶν* (imo *παλαθίων*). *παλάθη δὲ εἶδος βοτάνης.* S. — Hesych. *πλασία* (scrib. *παλάσια*): *τὰ συγκεκομμένα σῦκα. καὶ διὰ τοῦ θ' πλάθια* (scrib. *παλάθια*), *καὶ παλάθη.* Phot.: *παλάσια: τὰ συγκεκομμένα σῦκα. — εἰσὶ δὲ ἐξ ἰσχάδων, ἢ σύκων, κεκομμένοι βῶλοι πλινθοειδεῖς. E Br.* Voss.: *jener festgeballten Welkfrucht.* (?) Droysen: (*Denkt*) *An das allerliebste Backobst.*

551. non solum *τρὺξ* est faex vini et subsistentia (Graeci *ὑποστάθμην* vel *ὑπόστασιν* vocant), sed etiam novum mustum, *ἀπὸ ληνοῦ ἀδιήθητον*, inquit Hesych., ut h. l. recte autem cum vino jungit ficus: nam ficuum tanta fuit apud vett. commendatio, ut secundum a vite locum ob-

τῆς ἰωνιᾶς τε τῆς πρὸς τῷ φρέατι, τῶν τ' ἐλαῶν,
ὧν ποθοῦμεν, t.
ἀντὶ τούτων τήνδε νυνὶ τὴν θεὸν προσείπατε! t. t. c.
555 ΧΟ. χαῖρε, χαῖρ', ὦ φιλτάτη! t. d. c. ἀνομοιόστρ.
ὡς ἀσμένοισιν ἡμὶν ἦλθες. i. d. h.
σῷ γὰρ ἐδάμην πόθῳ, pae. d.
δαιμόνια βουλόμενος εἰς ἀγρὸν ἀνερπύσαι. pae. t.
ἦσθα γὰρ τὸ μέγιστον ἡμῖν κέρδος, ὦ ποθουμένη as., gl. h. et t. d. c.
560 πᾶσιν, ὁπόσοι γεωργὸν βίον ἐτρίβομεν· pae. t.
μόνη γὰρ ἡμᾶς ὠφέλεις. i. d.
πολλὰ γὰρ ἐπάσχομεν πρίν ποτ' ἐπὶ σοῦ γλυκέα, pae. t.

tinuerit, et merito Hipponax dixerit *συκῆν μέλαιναν ἀμπέλου κασιγνήτην* etc. *Fl. Chr.*

552. *ἰωνιὰ λέγεται ἡ φυτεία τῶν ἴων, ὡς καὶ τῶν ῥόδων ῥοδωνιὰ, ὅπου τὰ ῥόδα φύεται.* (hisce additur tertium *κριωνιὰ* ex Hesych., Suid. et Theophr. H. Pl. 6, 6.) *ἄνθος δὲ τὸ ἴον διάφορον μορφὴν ἔχον· ἃ μὲν γὰρ αὐτῶν ἐστι πορφυρᾶ, ἃ δὲ λευκὰ, ἃ δὲ μέλανα. καὶ ἐν τούτῳ τῶν ἴων τὸ θαυμαστόν ἐστιν,* (vel scrib. *τὸ τῶν ἴων*, vel *τὸ ἴον*, *θαυμ. ἐ.*) *ὅτι τῇ ποικιλίᾳ τῆς ὄψεως αὐτὰ καθ' ἑαυτὰ δύναται λειμῶνα πληροῦν.* S. Fl. Chr.: — „dixit Virg. (Georg. 4, 32.) *irriguumque bibant violaria fontem.* expressum ex his Aristophanis: nam *τὸ φρέαρ fontem* esse facile credo cum grammaticis" etc. cf. Plut. 806., et de violis Billerbeckii Flor. class. p. 45. sequ. — S.: *τῶν τ' ἐλ.* olivae, quae Minervae sacra erat, Attica feracissima, ut notum est.

553. *ὧν*, *quorum* omnium, quae commemoravi.

555. cantio in honorem Pacis. — perperam libri *φίλταθ'*, *ὡς ἀσμένοισιν* etc. S. D. *χ.*, *χ.*, *ὡς ἀ. ἡ. ἦ.*, *φιλτάτη.*

556. *ἀσμ. ἡμὶν*, *nobis volentibus*, *exoptata nobis.* conferri jubet Be. Soph. Trach. 18. „formulam *ἀσμένοις ἡμῖν ἦλθες* illustrant Wyttenbach. Epist. crit. p. 27. sequ. p. 247. ed. Schäf. et Porson. ad Eurip. Phoen. 1061." B. vide etiam Soph. Phil. 251. et, monstrante Dobr., Aeschyl. Prom. 23.

557. *ἐδάμην πόθῳ*, ut *θεομανεῖ λύσσῃ δαμεὶς* Eurip. Or. 817., *πόθῳ δαμέντες* Rhes. 724. etc. ita D. et sequ. versu *βουλόμενος* pro *ἐδάμημεν*, *βουλόμενοι.*

558. bene Bekk. et D. ediderunt *δαιμόνια*, i. e. *δαιμονίως* (cf. 530., Plut. 670.), pro insulso *δαίμονα*, quod habent libri. S.: *ἀνερπύσαι. ἀπελθεῖν. ἰδίως δὲ ἕρπειν τὸ τῇ γαστρὶ εἱλεῖσθαι. ὅθεν καὶ ἑρπετόν.*

259. non desunt metra ejusmodi asynarteta apud hos poëtas, quorum metrorum quaedam recensui in Sophoclis indice metrico. quare non est quod scribamus, id quod Fl. Christiano aliisque placuit, trochaïcum obtrudentibus poëtae, *ἦσθα γὰρ μέγιστον* etc. — S.: *ἐπεὶ ἡ εἰρήνη πλείω πάντων τοῖς γεωργοῖς συμφέρει.* — *ἦσθα.* v. 500.

560. codd. metro nullo *γεωργικόν. γεωργὸν* et elegans est (vide 509.), et id, quo saepius hic usurpatus restituitur versus paeonicus. interpretis est *γεωργικόν.* — *βίον ἐτρ.* cf. Plut. 522.

561. *μόνη*, *sola*, h. e. inprimis. Soph. Oed. R. 283. *ᾧ Τάληθὲς ἐμπέφυκεν ἀνθρώποιν μόνῳ.* cf. 709., Antig. 763., Oed. Col. 227. Terentius Andr. 5, 6, 9. *solus es*, *quem diligunt di.*

καδάπανα, καὶ φίλα. pae. d. cat.
τοῖς ἀγροίκοισιν γὰρ ἦσθα χῖδρα, καὶ σωτηρία, t. t. c.
ὥστε σὲ τά τ' ἀμπέλια, καὶ τὰ νέα συκίδια, pae. t.
τἄλλα θ' ὅσσ' ἐστὶ φυτὰ, pae. d.
προσγελάσεται λαβόντ' ἄσμενα. pae. tr. cat.
ἀλλὰ ποῦ ποτ' ἦν ἀφ' ἡμῶν τὸν πολὺν τοῦτον χρόνον t. t. c.
ἥδε, τοῦθ' ἡμᾶς δίδαξον, ὦ θεῶν εὐνούστατε.
EP. ὦ λιπερνῆτες γεωργοὶ, τἀμὰ δὴ ξυνίετε
ῥήματ', εἰ βούλεσθ' ἀκοῦσαι τήνδ', ὅπως ἀπώλετο.
** πρῶτα μὲν γὰρ αὐτῆς ἦρξε Φειδίας πράξας κακῶς·*

563. suaderem *φίλια*, quo compleretur numerus paeonicus, nisi 567. quoque versus similis clauderetur dactylo, idque pariter in fine strophae, ubi major est licentia. — S. *καδάπ. ἐκ τῶν ἀγρῶν γὰρ πάντα εἶχον αὐτόματα· ἐν δὲ τῷ πολέμῳ ὠνοῦντο, καὶ ἐδαπάνων.* —

564. *χῖδρα* (*χίδρον*) *τὸ ἀπὸ ἑλύμου γινόμενον ὄσπριον, ἔδεσμα περὶ Καρίαν· ἤτοι τὸ ἀπὸ χλωρῶν κριθῶν· ἢ εἶδος βοτάνης. ἐκ τούτου δὲ δηλοῖ τὴν εὐετηρίαν. ἄλλως. ἑρεικτὰ ἐκ κριθῆς νέας γινόμενα.* S. — Fruges novellas, vel farinas ex leguminibus, exponit Hesych., qui ait *σῖτος νέος φυτόμενος* (corrige *φρυττόμενος*: nam alibi vocat *ἑρεγμὸν πεφρυγμένον*): est enim legumen (?) fresum ex ordeo maxime. — *Fl. Chr. χῖδρα* edulium ex hordeo freso recenti. (Voss.: *Uns den Feldanbauern, warst du* Gerstensang' *und Wohlergehn*, et in annot.: *Sangen*, geröstete Gerstenähren etc.) Pacem dicit rusticis fuisse *χῖδρα*, quia tempore Pacis haberi possunt recentes fruges ad paranda *χῖδρα*, et quia valde delectabantur illo cibi genere. In Equ. 751. de rusticis *εἰ δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀπελθὼν εἰρηναῖος διατρίψῃ, Καὶ χῖδρα φαγὼν ἀναθαῤῥήσῃ* etc. *Be.*

566. *ὅσσ'*, quod obtulit Ven., pro *ὅσ'* ponendo versum sanavimus. aliena non est forma *ὅσσος* ab usu poëtarum Att., praesertim in melicis. Soph. Phil. 484. *ἀθλ', ὅσσα μηδεὶς τῶν ἐμῶν τύχοι φίλων*, ubi vidd. annot. Bekk. et D. *ὁπόσ'*.

567. quod in libris legitur, *σὲ* post *προσγελάσεται*, male illud quidem ex superioribus huc illatum, metroque inimicum paeonico, Porsonus ad Eurip. Hec. 1141. in Add. aliique deleverunt. pejus etiam membr. Paris., Ald., Br. *προσγελάσονταί σε.*

570. ita Diod. Sic. 12, 14., probante Wesselingio. vulgo *ὦ σοφώτατοι γεωργοί.* Bentl.: „vet. ed. *ὦ πενῆτες καὶ γεωργοί.* lege ergo *ὦ λιπερνῆτες.* vid. schol., Hesych., Suid.“ etiam ap. Diodorum ante Wesselingium legebatur *ὦ πενῆτες καὶ γεωργοί.* S.: *τἀμὰ δὴ ξυνίετε. πρὸς ταῦτα καὶ Κρατῖνος ἐν Πυτίνῃ πεποίηκεν ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε. ἔστι δὲ πρὸς τὰ (τὸ) Ἀρχιλόχου ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε Ῥήματα.* (Eupolis, annotante Be., ap. Stob. Serm. 4. p. 113. ed. Schow., *ἀλλ' ἀκούετ', ὦ θεαταὶ, τἀμὰ καὶ ξυνίετε Ῥήματ'* etc.) *ὁ Ἑρμῆς δέ ἐστιν ὁ λέγων πρὸς τὸ ἐρωτηθὲν ὑπὸ τοῦ Χοροῦ, δι' ὧν αἰτίων τοσοῦτον ἀπέστη αὐτῶν ἡ θεὸς χρόνον. καί φησι πρῶτον αὐτῶν γεγονέναι Φειδίαν.* (perperam ll. *δι' ἣν αἰτίαν — πρ. αὐτὸν γεγ.*) proprie *λιπερνὴς* dictus fuerit is, qui liberos deseruit, solum vertens, exul: hinc miser generatim.

572. laborat versus, nec ferendum *αὐτῆς* obscura sententia. Dindorfio placuit *ἦρξεν ἄτης*, quo facto initio emendandi scribam *πρῶτα μέν γ' ἄτης τις ἦρξε, Φειδίας, π. κ. τὶς, quidam*, vir illustris. gradatio inest verbis *τὶς, αὐτὸς*, illique nomen subjectum est per epexegesin, quasi dicas *τὶς, ἦγουν Φειδίας. γὲ* et *γὰρ*

εἶτα Περικλέης φοβηθείς, μὴ μετάσχῃ τῆς τύχης,
τὰς φύσεις ξυμῶν δεδοικὼς, καὶ τὸν αὐτοδὰξ τρόπον,
πρὶν παθεῖν τι δεινὸν, αὐτὸς ἐξέφλεξε τὴν πόλιν·
ἐμβαλὼν σπινθῆρα μικρὸν μεγαρικοῦ ψηφίσματος,
ἐξεφύσησεν τοσοῦτον πόλεμον, ὥστε τῷ καπνῷ

alias quoque librarii permiscuerunt; τις potest ut haustum sit a -της syllaba, quae antecedit. S. Φειδίας. Φιλόχορος ἐπὶ Πυθοδώρου ἄρχοντος (vid. Siebelis ad Philochori reliqu. p. 54., ubi ostenditur, praeeuntibus Palmerio et Corsinio, pro Pythodoro ponendum esse Theodori nomen. B.) ταῦτά φησι. „καὶ τὸ ἄγαλμα τὸ χρυσοῦν τῆς Ἀθηνᾶς ἑστάθη εἰς τὸν νεὼν τὸν μέγαν (Parthenona in arce Athen.: vide Thuc. 2, 13., Paus. 1, 24.), ἔχον χρυσίου σταθμὸν ταλάντων μδ΄ (imo 40. secundum Thuc. l. l.), Περικλέους ἐπιστατοῦντος, Φειδίου δὲ ποιήσαντος. καὶ Φειδίας ὁ ποιήσας, δόξας παραλογίζεσθαι τὸν ἐλέφαντα (scrib, τὸν χρυσόν. alius S. — Φειδίας, ὡς Φιλόχορός φησιν, ἐπὶ Πυθοδώρου ἄρχοντος τὸ ἄγαλμα τῆς Ἀθηνᾶς κατασκευάσας ὤφειλετο τὸ χρυσίον ἐκ τῶν δρακόντων τῆς χρυσελεφαντίνης Ἀθηνᾶς etc.) τὸν εἰς τὰς φολίδας, ἐκρίθη. καὶ φυγὼν εἰς Ἦλιν ἐργολαβῆσαι τὸ ἄγαλμα τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ λέγεται, τοῦτο δὲ ἐξεργασάμενος ἀποθανεῖν ὑπὸ Ἠλείων ἐπὶ Σκυθοδώρου.“ —

573. εἶτα ὁ Περικλῆς, δεδιὼς μὴ τῆς τύχης κοινωνήσῃ αὐτῷ, τουτέστιν εὐλαβούμενος μὴ καὶ αὐτὸς ζημιωθῇ φυγῇ (ἐδόκει γὰρ ὁ Περικλῆς συνεγνωκέναι τῇ κλοπῇ, ἐπεὶ καὶ ἐργεπιστατεῖν παρὰ τῶν Ἀθηναίων κεχειροτόνηται), φοβηθεὶς οὖν αὐτοῦ διελεγχθῆναι τὰς κλοπὰς, ἐκίνησε τὸν Πελοποννησιακὸν πόλεμον, ἐλπίσας ταραχῆς γενομένης, καὶ περὶ τὸν πόλεμον ἀπασχοληθέντων τῶν Ἀθηναίων, εὐθύνας μὴ παρασχεῖν. S. Vana haec et a Comicis conficta esse ait B., cum alios ille secutus, tum Meinersium libro germ. Gesch. der Wiss. in Griech. u. Rom, t. 2. p. 234. sequ. quidam in scholiis: ἄλογος δὲ φαίνεται ἡ κατὰ Περικλέους ὑπόνοια, ἕπτὰ ἔτεσι πρότερον τῆς τοῦ πολέμου ἀρχῆς τῶν περὶ Φειδίαν γενομένων: ubi B. „nempe si Theodoro archonte, Ol. 85, 3. [ante Chr. nat. 437. vel 438.] Minervae simulacrum dedicatum est.“ nec sane haec vel digna habuit Thucydides, quae commemoraret; vel Plut. in vita Periclis, aut Diod. Sic. libro 12. et Athen. 3, 13., quos laudavit Fl. Chr., pondus iis addiderunt suis testimoniis. at tamen nullum in hisce rebus momentum fuisse, minime contenderim; neque ita existimare video Joh. Müllerum (*Vier und zwanzig Bücher allg. Geschichten*, vol. 1. p. 143.), Bredowium (*Handbuch der alt. Gesch.* p. 327.), Beckerum (*Weltgeschichte*, 5. verbess. Ausgabe, 1. Th. S. 134.), aliosque. imo fuerunt haec artificia inimicorum cum Periclis, tum ipsius reip. Athen., vulgo ignota; id quod ipse Trygaeus significat et Chorus 582. seqq. ceterum cf. 465.

574. τὸν αὐτοδάξ. τὸν ἐμπεσόντα, καὶ δάκνοντα, αὐθάδη, ὀργίλον· ἐπεὶ οἱ ὀργίλοι δάκνουσι τοὺς ὀδόντας. οὐδὲν ἢ δάκνειν βλέποντα. S. *contumaciam*, *iracundiam*. — Lys. 690. αὐτοδὰξ ὠργισμένος. — Be.

575. ἐξέφλεξε, *penitus incendit*: nam αὐξητικὸν est τὸ ἐκ, ut passim.

576. ἐμβαλὼν etc. asyndeton ἐξηγητικὸν, de quo Matth. ad Eurip. Hecub. 777., nos ad Bacch. 237. Heraclid. 176. cf. 465.

577. ita Suid. MS., et ejus ed. Mediol., v. ἐξεφύσησε, ut Dobr. annotavit; item K., Br. etc. vulgo codd. ἐξεφύσησε γὰρ, quod eorum facinus est, qui nescirent, verbi φυσᾶν primam syllabam produci. S. ἐξεφύσησε γάρ. ἐξεκίνησεν, ἐτάραξεν. ἐξῆς δὲ ἀπὸ τοῦ σπινθῆρος τὸ φυσᾶν ἔλαβε. καπνῷ δὲ τροπικῶς εἰπὼν ἐπέμεινε διόλου τῇ τροπῇ. S.

πάντας Ἕλληνας δακρῦσαι, τούς τ' ἐκεῖ, τούς τ' ἐνθάδε.
ὡς δ' ἅπαξ τοπρῶτον ἤκουσ', ἐψόφησεν ἄμπελος,
καὶ πίθος πληγεὶς ὑπ' ὀργῆς ἀντελάκτισεν πίθῳ·
οὐκέτ' ἦν οὐδεὶς ὁ παύσων, ἥδε δ' ἠφανίζετο.

ΤΡ. ταῦτα τοίνυν μὰ τὸν Ἀπόλλω 'γὼ 'πεπύσμην οὐδενός,
οὐδ', ὅπως αὐτῇ προσήκοι Φειδίας, ἠκηκόη.

ΧΟ. οὐδ' ἔγωγε, πλήν γε νυνί. ταῦτ' ἄρ' εὐπρόσωπος ἦν,
οὖσα συγγενὴς ἐκείνου. πολλά γ' ἡμᾶς λανθάνει.

ΕΡ. κἄτ' ἐπειδὴ 'γνωσαν ὑμᾶς αἱ πόλεις, ὧν ἤρχετε,
ἠγριωμένους ἐπ' ἀλλήλοισι καὶ σεσηρότας,
πάντ' ἐμηχανῶντ' ἐφ' ὑμῖν, τοὺς φόρους φοβούμεναι,
κἀνέπειθον τῶν Λακώνων τοὺς μεγίστους χρήμασιν.
οἱ δ', ἅτ' ὄντες αἰσχροκερδεῖς, καὶ διειρωνόξενοι,

578. τούς τ' ἐκεῖ, τ. τ' ἐνθ. *et eos, qui illic, et qui hic sunt*, h. e. et Lacedaemonios, et Athenienses.

579. ἤκουσε τοῦ πολέμου. ἐψοφ. *crepuit*, turbavit, tumultuatus est. Be.: „De vite loquitur tanquam de animali, more Aesopico. ita et de doliis. vult autem dicere, agros esse vastatos et vites excisas" etc. S.: οἰκείως, πρὸς τοὺς γεωργοὺς λέγων, τοιαύταις τροπαῖς ἐχρήσατο etc.

580. πληγεὶς, cadus percussus ab altero cado. Voss.: *und das Fass, vom Schlage zornig, schlug zurück aufs andre Fass.*

581. ἥδε δ' ἠφ. — καὶ οὕτως ἡ εἰρήνη παραπώλετο. S.

582. seqq. vid. annot. ad 573.

583. *nec, quomodo haec ad Phidiam pertineret, audiveram.* cf. annot. ad 585.

584. ἦν, fuit, et adhuc est. cf. 142. Fl. Chr.: *jure est ergo formosissima.*

585. οὖσα συγγ. ἐπειδὴ προεῖπεν οὐδ' ὅπως ⌣ ἠκηκόειν, πρὸς τὸ προσήκοι τὸ συγγενὲς (συγγενὴς) ἐπήγαγε· προσήκοντες γάρ λέγονται οἱ συγγενεῖς. (Be.: — attinebat Phidias ad Pacem, quia occasione statuae a Phidia factae pax erat turbata [vide annotata ad 572. sequ.]; nunc autem ita loquitur, quasi προσήκειν [594.] acceperit pro *contingere aliquem cognatione.* itaque Pacem *pulchram* esse dicit, quia Phidiae, qui pulchras statuas faciebat, sit cognata etc.) τὸ δὲ ἠκηκόειν οὕτω Φρύνιχος διὰ τοῦ η ἀναγινώσκει (attice). συγγενὴ δὲ εἶπε τὸν Φειδίαν Εἰρήνης, καθὸ τεχνίτης ὁ Φειδίας. εὔμορφος δὲ εἰσάγεται ἡ Εἰρήνη οὖσα. —

587. σεσηρ. ἀπὸ τῶν κυνῶν ἡ μεταφορά· ὅταν γὰρ ὀργίζωνται, σεσήρασιν ἀλλήλοις. S. σαίρειν dicuntur canes exacerbati, h. e. ringere, ore hiare. v. Zonar. 2, 1237. et Phot. p. 375. annotavit B.

588. τοὺς φόρους. ἐδόκουν γὰρ οἱ Ἀθηναῖοι ἐν καιρῷ τοῦ πολέμου ἀπηνεῖς εἶναι πρὸς τοὺς φόρους, οὓς ἐτέλουν οἱ ὑπήκοοι. S. Thuc. 1, 99. αἰτίαι δὲ ἄλλαι τε ἦσαν τῶν ἀποστάσεων, καὶ μέγισται αἱ τῶν φόρων καὶ νεῶν ἔκδειαι, καὶ λειποστράτιον, εἴ τῳ ἐγένετο. οἱ γὰρ Ἀθηναῖοι ἀκριβῶς ἐπρασσον, καὶ λυπηροὶ ἦσαν, οὐκ εἰωθόσιν οὐδὲ βουλομένοις, ταλαιπωρεῖν προσάγοντες τὰς ἀνάγκας etc.

590. αἰσχροκ. ὅτι αἰσχροκερδεῖς καὶ σμικρολόγοι οἱ Λάκωνες, δῆλον ἐκ τοῦ χρησμοῦ ἀ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν. ἦσαν δὲ καὶ περὶ τοὺς ξένους ἀπάνθρωποι, καὶ οὐκ ἐξῆν ξένῳ τινὶ ἀεὶ τῆς Σπάρτης ἐπιβαίνειν, ἀλλ' ὡρισμέναις ἡμέραις. διειρων. ἐξαπατῶντες τοὺς ξένους, καὶ ψευδόμενοι δι' εἰρωνείας καὶ ὑποκρίσεως. καὶ οὐδὲν θαυμαστὸν ἐνταῦθα ἐποί-

τήνδ' ἀποῤῥίψαντες αἰσχρῶς τὸν Πόλεμον ἀνήρπασαν.
κᾆτα τἀκείνων γε κέρδη τοῖς γεωργοῖς ἦν κακά·
αἱ γὰρ ἐνθένδ' αὖ τριήρεις ἀντιτιμωρούμεναι
οὐδὲν αἰτίων ἂν ἀνδρῶν τὰς κράδας κατήσθιον.
595 ΧΟ. ἐν δίκῃ μὲν οὖν, ἐπεί τοι τὴν κορώνεών γέ μου
ἐξέκοψαν, ἣν φυτεύσας ἐξεθρεψάμην ἐγώ.
ΤΡ. νὴ Δί', ὦ μέλ', ἐνδίκως γε δῆτ', ἐπεὶ κἀμοῦ, λίθον
ἐμβαλόντες, ἑξμέδιμνον κυψέλην ἀπώλεσαν.
ΕΡ. κᾆτα δ', ὡς ἐκ τῶν ἀγρῶν ξυνῆλθεν οὐργάτης λεὼς,
600 τὸν τρόπον πωλούμενος τὸν αὐτὸν οὐκ ἐμάνθανεν,

ουν, παρ' οἷς καὶ ὁ τῆς ξενηλασίας κεῖται νόμος. S. conferri jubent his de rebus Plut. Instit. lacon. §. 12., Eurip. Androm. 440. seqq., aliosque. ipse Comicus Av. 1012. ὥσπερ ἐν Λακεδαίμονι, Ξενηλατοῦνται etc., ubi vidd. interpp., collato Köpkei libro germ. de legibus et judiciis Graecorum pagg. 197. sequ.

591. ἀνήρπ. cupide arripuerunt.

592. τοῖς γ. colonis Lacedaemoniis.

593. αἱ ἐνθένδε τρ. hinc (i. e. Atheniensium) triremes. vide Thuc. 2, 25.

594. ἄν. cf. 607. τὰς κρ. κατ. καὶ αὐτοὶ ἀντέκοπτον τὰς συκᾶς, ὥσπερ ἐκεῖνοι τὰς ἀμπέλους ἡμῶν. κράδη δὲ εἶδος συκῆς. ἔστι δὲ καὶ μηχανή. S. sunt κράδαι *ficus agrestes*, ut censent Nicandri schol. et Pollux Onom. (4, 129.; 6, 40. add. Zonar. t. 2. p. 1248. et 1252. rami quoque ficuum κράδαι dicuntur. vid. Bod. a Stapel ad Theophr. H. Pl. p. 496. B.) etc. *Fl. Chr.* cf. Schneideri lex. v. κράδη.

595. κορώνεων (a κορώνεως), ὡς φιβάλεων. ἔστι δὲ εἶδος συκῆς. καὶ ἐν Ἀχαρνεῦσι. (scrib. — Ἀχαρνεῦσι φιβάλεως ἰσχάδας; vid. Ach. 757.) ταύτην δὲ κοράκειον (κοράκιον. Venet. κορακίονα.) λέγουσιν· ὁ γὰρ καρπὸς αὐτῆς κόρακι ἔοικε κατὰ τὸ χρῶμα. S. similiter Suidas v. κορώνεως.

596. sequ. libri verbis trajectis ἐγὼ φυτεύσας ἐξεθρ. operose Bentl. aliique ἣν ἐγὼ 'φύτευσα κἀξεθρεψάμην.

598. suspicatur Dobr., scribendum esse potius ἑκμέδιμνον, ut ἕκπλεθρος, ἕκπους, ἕκπηχυς, ἕκμηνος, alia, more attico. vid. Elmsl. ad Eurip. Med. 1150. S.: ἑξμ. κυψ. ἓξ μεδίμνους χωροῦσαν κυψέλην. ἔστι δὲ εἶδος ἀγγείου, ἢ μέτρου, δεκτικὸν πυρῶν ἢ κριθῶν. — οὐ μόνον δὲ πλεκταὶ ἦσαν αἱ κυψέλαι, ἀλλὰ καὶ κεραμέαι· διὸ λίθῳ φησὶν αὐτὴν κλασθῆναι.

599. διὰ γὰρ τὰς συνεχεῖς τῶν πολέμων (πολεμίων) εἰσβολὰς ἐσκευαγωγήσαντο εἰς τὴν πόλιν οἱ ἀπὸ τῶν ἀγρῶν. S.

600. ita Bekk. et D. secundum S.: nam codd. Aristoph. ἐλάνθανεν. S.: ἐὰν μὲν ᾖ οὐκ ἐλάνθανε, σεμνολογεῖ λεληθότως αὐτοὺς, ὡς μᾶλλον συνιέναι δυναμένους τὰς κατὰ τῆς πόλεως βλαβὰς τῶν ἐν τῇ πόλει τραφέντων, καὶ ταῦτα ἀγροίκους ὄντας. ἐὰν δὲ οὐκ ἐμάνθανε, φησὶν, ὅτι ὁ ἄγροικος λεὼς μετοικισθεὶς εἰς τὰς πόλεις οὐ συνῆκε τὰς τῶν προδιδόντων πονηρίας, ἀλλ' ἠγνόησεν ὑπὸ τῶν πολιτευομένων πωλούμενος, καθάπερ οἱ συνήθως ὑπ' αὐτῶν ἀπατώμενοι. h. e. urbani, quorum quotidie aures obtundebant oratores et demagogi. ceterum τὸν αὐτὸν τρόπον non est *eodem modo, ut urbani*, sed *eodem modo, ut antea, cum ipsi in agris degerent*. sentiebant agricolae, non melius agi secum, sive ruri, sive in urbe essent. — de λ et μ litteris confusis vide Schäfer. Mel. crit. p. 95., Eur. Suppl. 1175., Iphig. T. 98.

ἀλλ', ἄτ' ὢν ἄνευ γιγάρτων, καὶ φιλῶν τὰς ἰσχάδας,
ἔβλεπεν πρὸς τοὺς λέγοντας· οἱ δέ, γιγνώσκοντες εὖ
τοὺς πένητας ἀσθενοῦντας, κἀποροῦντας ἀλφίτων,
τήνδε μὲν δικροῖς ἐώθουν τὴν θεὸν κεκράγμασι,
πολλάκις φανεῖσαν αὐτὴν τῇσδε τῆς χώρας πόθῳ·
τῶν δὲ συμμάχων ἔσειον τοὺς παχεῖς καὶ πλουσίους,
αἰτίας ἂν προστιθέντες, ὡς φρονοῖ τὰ Βρασίδα·
εἶτ' ἂν ὑμεῖς τοῦτον, ὥσπερ κυνίδι', ἐσπαράττετε·
ἡ πόλις γὰρ ὠχριῶσα κἂν φόβῳ καθημένη,
ἄττα διαβάλοι τις αὐτῇ, ταῦτ' ἂν ἥδιστ' ἤσθιεν.

601. γιγ.: τῆς σταφυλῆς. διὰ τὸ ἀποστερεῖσθαι τῆς συνήθους διαίτης, καὶ ἀνακεχωρηκέναι ἐκ τῶν ἀγρῶν, καὶ ἐπιθυμεῖν αὐτῶν. — S. pro *uvis* dixit γίγαρτα, h. e. grana acinorum, ut annotavit Fl. Chr.: nam maxima agricolarum atticorum praesidia ad vivendum erant uvae atque ficus.

602. ἔβλ. πρ. τ. λέγ. *respiciebat oratores*, fidebat iis.

603. ἀσθ. ἀντὶ τοῦ ἐν ἐνδείᾳ ὄντας. τὴν γὰρ τύχην ἰδίως νόσον καλοῦσι. καπ. ἀλφ. φαίνονται, ὅτι συνελθόντες εἰς τὸ ἄστυ ἐπένοντο μὴ γεωργοῦντες. S.

604. δικροῖς. δικράνοις. — ἔδει δὲ εἰπεῖν ξύλοις δικράνοις, τουτέστι διφυέσιν· ὁ δὲ εἶπε δικράνοις (δικροῖς) κεκράγμασιν, ἐπειδὴ οἱ ῥήτορες δημηγοροῦντες τῇ πραγγῇ ἔπειθον μὴ ποιῆσαι τὴν εἰρήνην. S. cf. annot. ad 509.: nam κεκράγματα δικρᾶ sunt κεκρ. ὄντα δικρᾶ, i. e. furcis similia, sive ea, quibus utare tanquam furcis. — „notum proverb. δικράνοις ὠθεῖν, *furcillis ejicere*, sive, ut Hor., *expellere furca*. Lucian. Tim. 12. καὶ μονονουχὶ δικράνοις με ἐξεώθει τῆς οἰκίας.“ *Ex Be.*

605. αὐτὴν, ipsam, sponte, neque expetitam ab Atheniensibus. S.: πολλ. φαν. μετὰ γὰρ τὰ ἐν Πύλῳ ἐκρέσβευσαν περὶ διαλλαγῶν Λακεδαιμόνιοι· οἱ δὲ Ἀθηναῖοι οὐ προσεῖχον. S. cf. 629.

606. verbum σείειν eximie dici de sycophantis, qui alios vexant et exagitant, ostendit Phot. lex. p. 373. B. — τοὺς παχεῖς, obesos, pingues, quales fere sunt opulenti. Horat. Epist. 1, 4, 15. *me pinguem et nitidum bene curata cute vises.* „Vesp. 287. καὶ γὰρ ἀνὴρ παχὺς ἥκει Τῶν προδόντων τἀπὶ Θρᾴκης, ὃν ὅπως ἐγχυτριεῖς. — Maxime autem illos aggrediebantur sycophantae, qui essent simpliciores [quales etiam ipsi dicuntur παχεῖς], et simul divites. v. Equ. 260. et 265., quae ibi ad Cleontem spectant: nam is talia docte norat facere.“ *E Be.*

607. αἰτ. ἄν πρ. crimina in eos conferre soliti. consuetudinem ita faciendi significat ἄν particula, ut passim. — Βρασίδα Suidas h. v., probante Dobr. vulgo Βρασίδου. vidd. Matth. p. 66. et grammatici. S.: τὰ Βρασίδου. ἀντὶ τοῦ τὰ Λακεδαιμονίων· ἅμα δὲ, ὅτι ἐπὶ αὐτοῦ πολλοὶ τῶν ὑπηκόων προσεχώρουν. S. vid. Thuc. 4, 78. seqq. Be. conferri jubet Vesp. 473. seqq.

608. ἄν. cf. praegressum versum, 594, 610, 613.

609. ὠχρ. οὐ παρὰ τὸ φοβουμένη (fort. οὐ παρ' ὅσον φοβ.) ὠχριῶσα, ἀλλ' ἴσον τῷ ἀσθενοῦσα, ἀπὸ μεταφορᾶς τῶν νοσούντων. — S. imo pallere solent esurientes. est igitur metaph. a famelicis, qui quidvis appositum devorant, praesertim metuentes, ne quis ipsis id eripiat, ut solet fieri in bello.

610. ita Fl. Chr. aliique, metro admoniti. codd. ἄττ' ἄν. S.: ἀντὶ τοῦ εἰπεῖν παραβάλοι, (?) ὡς ἐπὶ τροφῆς, διαβάλοι εἶπε διὰ τοὺς διαβάλλοντας. S.

οἱ δὲ τὰς πληγὰς ὁρῶντες, ἃς ἐτύπτονθ' οἱ ξένοι,
* χρυσίῳ τῶν ταῦτα ποιούντων ἐβύνουν τὸ στόμα·
ὥστ' ἐκείνους μὲν ποιῆσαι πλουσίους, ἡ δ' Ἑλλὰς ἂν
ἐξερημωθεῖσ' ἂν ὑμᾶς ἔλαθε. ταῦτα δ' ἦν ὁ δρῶν
βυρσοπώλης.

TP. παῦε, παῦ', ὦ δέσποθ' Ἑρμῆ· μὴ λέγε,
ἀλλ' ἔα τὸν ἄνδρ' ἐκεῖνον, οὗπερ ἔστ', εἶναι κάτω.
οὐ γὰρ ἡμέτερος ἔτ' ἔστ' ἐκεῖνος ἀνὴρ, ἀλλὰ σός·
ἅττ' ἂν οὖν λέγῃς ἐκεῖνον, κεἰ πανοῦργος ἦν, ὅτ' ἔζη, t. t.
καὶ λάλος, καὶ συκοφάντης, καὶ κύκηθρον, καὶ τάραχτρον,
ταῦθ' ἁπαξάπαντα νυνὶ τοὺς σεαυτοῦ λοιδορεῖς. t. t. c.
ἀλλ', ὅ τι σιωπᾷς, ὦ πότνια, κάτειπέ μοι. i. tr.

EP. ἀλλ' οὐκ ἂν εἴποι πρός γε τοὺς θεωμένους·
ὀργὴν γὰρ αὐτοῖς ὧν ἔπαθε πολλὴν ἔχει.

TP. ἡ δ' ἀλλὰ πρὸς σὲ μικρὸν εἰπάτω μόνον.

EP. εἶφ', ὅ τι νοεῖς αὐτοῖσι, πρὸς ἔμ', ὦ φιλτάτη.
ἴθ', ὦ γυναικῶν μισοπορπακιστάτη. —

611. τὸ ἑξῆς οἱ δὲ ξένοι τὰς πλ. ὁρῶντες, ἃς ἐτύπτοντό τινες τῶν δημοτῶν παρὰ τῶν δημαγωγῶν, (imo in οἱ intelligendum σύμμαχοι, nec divellenda sunt verba ἃς — ξένοι) χρυσίον προσέφερον τοῖς ταῦτα ποιοῦσι. λέγει δὲ τοῖς ῥήτορσιν. S.

612. versus parum modulatus. malim χρυσίῳ τοι τῶν ποιούντων ταῦτ' ἐβ. τὸ στ. — ἐβύνουν Suid. h. v., Bekk., D. vulgo ἐβύουν. S. ἐβύουν: ἐπλήρουν, ἔφρασσον.

615. βυρσ., coriarius, *ein Gerber*. S. ἐπεὶ μάλιστα ὁ Κλέων ἐνίστατο τῇ εἰρήνῃ. cf. 270. — παῦε, desine, tace. cf. 326. etc. ὦ δεσπ. usitata appellatio deorum ap. Graecos. servus Euripideus Hipp. 80. ἄναξ (θεοὺς γὰρ δεσπότας καλεῖν χρεών) —. contra barbarus Rhes. 235. δεσπότου (Hectoris) πέρσαντος Ἀχαιὸν ἄρη. vidd. interpp. utroque loco, et cf. 657., Plut. 743. similiter dea Pax infra 669. appellatur ὦ δέσποινα.

617. ἡμ. noster, ap. Superos. σὸς, tuus, Mercurii, cui mortui curae sunt. vide Ran. 1061., Soph. Aj. 778., Aeschyl. Cho. 1.

618. εἰ (sic) παν. ἦν. λελῃθότως κωμῳδεῖ αὐτὸν, ὡς τοιοῦτον, πάλιν, καὶ ταῦτα παραινῶν ἐκεῖνον μὴ λοιδορεῖν αὐτόν. S.

619. κύκ. Be.: „supra 270. ὁ βυρσοπώλης, ὃς ἑκύκα τὴν Ἑλλάδα. cf. Ach. 625." B.: „vocab. κυκήθρα (nescio utrum hic lectum) habent Phot., Hesych., Zonar. 2, 1266. aliique grammatici."

620. τοὺς σεαυτοῦ, tuos (h. e. Cleonem), quibus parcere debes. de metro (nam vulgo hic versus et praegressi duo in dimetros divisi sunt troch.) vide annot. ad 549.

621. πρὸς τὴν Εἰρήνην φησί. καφὸν γὰρ εἰσάγει τὸ πρόσωπον. S.

623. ὀργ. γὰρ αὐτοῖς. ἀττικῶς ἀντὶ τοῦ ὀργίζεται. λείπει δὲ ἡ ὑπὲρ, ὑπὲρ ὧν ἔπαθεν. S.

624. ἀλλὰ, saltem.

626. μισ. ἀντὶ τοῦ μισοπόλεμ, παρὰ τὸν πόρπακα. πόρπαξ δὲ κατά τινας μὲν ὁ ἀναφορεὺς τῆς ἀσπίδος· ὡς δέ τινες τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήριον, ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης. S.

εἰέν γ', ἀκούω. ταῦτ' ἐπικαλεῖς. μανθάνω.
ἀκούσαθ' ὑμεῖς, ὧν ἕνεκα μομφὴν ἔχει.
ἐλθοῦσά φησιν αὐτομάτη μετὰ τὰν Πύλῳ,
σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν,
ἀποχειροτονηθῆναι τρὶς ἐν τῇ ἐκκλησίᾳ.
ΤΡ. ἡμάρτομεν ταῦτ', ἀλλὰ συγγνώμην ἔχε·
ὁ νοῦς γὰρ ἡμῶν ἦν τότ' ἐν τοῖς σκύτεσιν.
ΕΡ. ἴθι νυν. ἄκουσον, οἷον ἄρτι μ' ἤρετο·
ὅστις κακόνους αὐτῇ μάλιστ' ἦν ἐνθάδε,
χὥστις φίλος, κἄσπευδεν εἶναι μὴ μάχας.
ΤΡ. εὐνούστατος μὲν ἦν μακρῷ Κλεώνυμος.
ΕΡ. ποῖός τις οὖν εἶναι δοκεῖ τὰ πολεμικὰ
ὁ Κλεώνυμος;
ΤΡ. ψυχὴν ἄριστος, πλήν γ' ὅτι
οὐκ ἦν ἄρ', οὖπέρ φησιν εἶναι, τοῦ πατρός·

627. sic liber Venetus. ceteri hiante versu εἶεν, ἀκ. S.: εἶεν, ἀκούω. ὡς τῆς Εἰρήνης καλεσάσης τὸν Ἑρμῆν, καὶ λαλησάσης αὐτῷ. τὸ δὲ ἐπικαλεῖς ἀντὶ τοῦ ἐγκαλεῖς.

628. μομφὴν ἔχει, suscenset. cf. Eurip. Phoen. 719., Alc. 961., quae laudavit Be.

629. μετὰ τὰν Πύλῳ. μετὰ τὰ ἐν Πύλῳ καὶ τοὺς αἰχμαλώτους, οὓς ἔλαβεν ὁ Κλέων, ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐπαγγελλόμενοι δώσειν τὰς τριήρεις, ἃς εἰλήφεσαν τῶν Ἀθηναίων ἐν τῷ πολέμῳ· (περὶ ἑξήκοντα Thuc. 4, 16., οὔσας ξ Philochorus ap. S.) ἅμα δὲ καὶ περὶ εἰρήνης καὶ σπονδῶν. ἀντεῖπεν οὖν τότε Κλέων, καὶ τοῦ ἐπισάτου τρίτον ἐρωτήσαντος τὴν Βουλήν, τί βούλεται, εἰρήνην ἢ πόλεμον, εἵλετο ἡ Βουλὴ τὸν πόλεμον συνεστάναι. S. cf. 219., 605.

630. κίστην πλέαν. πλήρη κυτίδια. (κυτίδα scribendum esse vidit Corayus ad Heliod. 2. p. 155.) κυτίδας δὲ ἐκάλουν τὰς κίστας. (adscriptum hoc procul dubio ab eo, qui explicaret minus tritum vocab. κυτίδα, neque hinc colligendum est, ipsum Aristophanem id dedisse; quod facit Corayus l. l.) πλέαν δὲ προσέθηκεν, ὅτι ἐξῆν τοῖς Ἀθηναίοις τότε ἐκ περιουσίας τὴν εἰρήνην ποιήσασθαι, οὕτω λαμπρῷ τῷ πολέμῳ κεκρατηκόσι. S.

631. ἀπ. τρίς. ὡς τρὶς ἀποχειροτονηθείσης. (ἀποχειροτονεῖσθαι est suffragatione repudiari. B.) καὶ διὰ τούτων δὲ σεμνύνει τοὺς Ἀθηναίους, ὡς ἐξουσίαν ἐσχηκότας ποιῆσαι εἰρήνην. S. cf. 629., Equ. 738. seqq.

633. ἐν τοῖς σκύτεσιν. διὰ τὴν δειλίαν. (?) ἡ παροιμία ἐπὶ σκύτη βλέπει. ἢ σκύτη (ἢ ἐν τοῖς σκύτεσιν) ἀντὶ τοῦ πρὸς τὰ πολεμικά. (ut scuta pellibus inducta intelligantur *συνεκδοχικῶς*, quae est sententia Florentis Christiani.) ἢ πρὸς τὸν Κλέωνα, ὅτι σκυτεὺς ἦν, ἀντὶ τοῦ ἐν τῷ φόβῳ τοῦ Κλέωνος ὁ νοῦς ἦν ἡμῶν. S. Terent. Eun. 4, 7, 56. *animus est in patinis.* Be.: „i. e. Cleo coriarius tunc gubernabat remp., cui oportebat advertere animum et auscultare; is autem rejiciebat pacem" etc. proverbiale est σκύτη βλέπειν non ἐπὶ σκ. βλέπειν: vide Vesp. 613.

636. κἄσπευδεν. καὶ ἐσπούδαζεν. cf. Plut. 1163.

637. εὖ μὲν ἦν. ὅτι ῥίψασπις καὶ δειλὸς ἦν. S. cf. 433.

639. ψυχὴν ἄριστος. per ironiam dictum, vel qua ratione dicimus *minime malus.* — *Fl. Chr.*

εἰ γάρ ποτ' ἐξέλθοι στρατιώτης, εὐθέως
ἀποβολιμαῖος τῶν ὅπλων ἐγίγνετο.
ΕΡ. ἔτι νῦν ἄκουσον, οἷον ἄρτι μ' ἤρετο·
ὅστις κρατεῖ νῦν τοῦ λίθου τοῦ 'ν τῇ Πνυκί.
ΤΡ. Ὑπέρβολος νῦν τοῦτ' ἔχει τὸ χωρίον.
αὕτη, τί ποιεῖς; τὴν κεφαλὴν ποῖ περιάγεις;
ΕΡ. ἀποστρέφεται τὸν δῆμον, ἀχθεσθεῖσ', ὅτι
αὐτῷ πονηρὸν προστάτην ἐπεγράψατο.
ΤΡ. ἀλλ' οὐκέτ' αὐτῷ χρησόμεθ' οὐδέν, ἀλλὰ νῦν
ἀπορῶν ὁ δῆμος ἐπιτρόπου, καὶ γυμνὸς ὤν,
τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο.
ΕΡ. πῶς οὖν ξυνοίσει ταῦτ', ἐρωτᾷ, τῇ πόλει.
ΤΡ. εὐβουλότεροι γενησόμεθα.
ΕΡ. τρόπῳ τίνι;

642. ἀποβολ. ἅμα μὲν καὶ δια τὸ ἀποβαλεῖν τὰ ὅπλα, καὶ παρὰ τὸ ὑποβολιμαῖος (spurius) εἶναι. S. lusus verborum.

644. Pnyx locus fuit Athenis prope arcem, legitimae concioni habendae destinatus. v. Petit. Leg. att. p. 378. ed. Wess., Potter. Arch. gr. 1. p. 19. ex interp. Ramb. *B. ad Equ.* 42. — neque vero illic tantum fiebant conciones, sed etiam in theatro Dionysiaco, et in ipso foro, adeo sane, ut ἀγορὰν pro concione acceperint. quem vero hic vocat lapidem, profecto βῆμα est et suggestus in tribunali; quae erat προεδρία prytanibus et epistatis assignata, olim e lapide; qua ratione etiam altare dicitur λίθος. *E Fl. Chr.* cf. Harpocration v. λίθος et lexicographi. „Equ. 884. λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν." *Be.*

645. Τπέρβολος. ὅτι μετὰ τὸν Κλέωνα Τπέρβολος ἐπολιτεύσατο. Χορέμητος δὲ υἱὸς ἦν Τπέρβολος, ἀδελφὸς δὲ Χάρωνος, λυχνοπώλης (Nub. 1028. *Be.*), φαῦλος τοὺς τρόπους. — προείλετο δὲ τοὺς τοιούτους ὁ δῆμος, ἀπιστῶν διὰ πόλεμον τὸν πρὸς Λακεδαιμονίους τοῖς ἐνδόξοις τῶν πολιτῶν, μὴ τὴν δημοκρατίαν καταλύσαιεν. ἐξωστρακίσθη δὲ οὗτος οὐ διὰ δυνάμεως φόβον καὶ ἀξιώματος, ἀλλὰ διὰ πονηρίαν καὶ αἰσχύνην τῆς πόλεως. (verba Thucydidis 8, 73.) ἐν Σάμῳ δὲ διατρίβων ὑπὸ τῶν Ἀθηναίων ἐχθρῶν ἐπιβουλευθεὶς ἀπέθανε, καὶ τὸν νεκρὸν αὐτοῦ εἰς σάκκον βαλόντες ἔῤῥιψαν εἰς τὸ πέλαγος. S. cf. 851., Ran. 532., Equ. 1251., Plut. Nic. 15., Alcib. 13. et ibi Bähr. Cic. Bruto, c. 62.: *Is* (C. Servilius Glaucia) *praetor eodem die, quo Saturninus trib. plebis, Mario et Flacco coss., publice est interfectus; homo simillimus Atheniensis Hyperboli, cujus improbitatem vett. Atticorum comoediae notaverunt.* qui horum meminit, Fl. Chr. Eupolin quoque fabulam in Hyperbolum scripsisse ait Maricam.

646. περιάγεις; ἀποστρέφεται τὸ ὄνομα τοῦ Τπερβόλου ἀκούσασα ἡ Εἰρήνη. S.

648. ἐπεγρ. ἀντὶ τοῦ ἐχειροτόνησε, κατέστησεν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μετοίκων τοὺς προστάτας προγραφόντων ἑαυτοῖς. S.

651. περιεζώσατο. οἱ γὰρ γυμνοὶ ἐπιθυμοῦσι κἂν περιζώματος τυχεῖν. ὁ δὲ νοῦς, δι' ἀνάγκην τέως τοῦτον ἐζώσατο πολυτελέστερον. (imo: ἐζώσατο, *non magis sumtuoso, civitas usa est*, h. e. εὐτελεῖ, *vili*. similiter οὐ neglectum est ante φιλοκερδὴς Pind. I. 2.)

TP. ὅτι τυγχάνει λυχνοποιὸς ὤν. πρὸ τοῦ μὲν οὖν
655 ἐψηλαφῶμεν ἐν σκότῳ τὰ πράγματα·
νυνὶ δ' ἅπαντα πρὸς λύχνον βουλεύσομεν.
EP. ὦ, ὦ,
οἷά μ' ἐκέλευσεν ἀναπυθέσθαι σου!
TP. τὰ τί;
EP. πάμπολλα καὶ τἀρχαί', ἃ κατέλιπεν τότε·
πρῶτον δ', ὅ τι πράττει Σοφοκλέης, ἀνήρετο.
660*TP.* εὐδαιμονεῖ· πάσχει δὲ θαυμαστόν.
EP. τὸ τί;
TP. ἐκ τοῦ Σοφοκλέους γίγνεται Σιμωνίδης.
EP. Σιμωνίδης πῶς;
TP. ὅτι γέρων ὤν, καὶ σαπρὸς,
κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι.
EP. τί δαί; Κρατῖνος ὁ σοφὸς ἔστιν;
TP. ἀπέθανεν,

656. πρὸς λύχνον βουλ. ὅτι λυχνοπώλης ὁ Τπέρβολος. τινὲς δέ φασιν αὐτὸν Σύρον. καὶ Κρατῖνος δὲ ἐν Πυτίνῃ Τπέρβολον δ' ἀποσβέσας ἐν τοῖς λύχνοις Γράψω. S.

657. τὰ τί; τὰ dixit, quia praecessit οἷα, sicut 660. τὸ in τὸ τί; refertur ad θαυμαστόν. vid. Herm. ad Viger. annot. 25.

658. h. e. καὶ τὰ ἀρχαῖα πάμπολλα (ὄντα), ἃ. κ. τ., *etiam vetera illa plurima, quae tum hic reliquit*, quae opponuntur novis rebus, de quibus modo dictum est.

661. S.: ὅτι ἐπὶ μισθῷ ἔγραψε τὰ μέλη. καὶ γὰρ Σιμωνίδης δοκεῖ πρῶτος σμικρολογίαν εἰσενεγκεῖν εἰς τὰ ἄσματα, καὶ γράψαι ἄσμα μισθοῦ. — ἄλλως. ὁ Σιμωνίδης διεβέβλητο ἐπὶ φιλαργυρίᾳ. καὶ τὸν Σοφοκλέα οὖν διὰ φιλαργυρίαν ἐοικέναι τῷ Σιμωνίδῃ. λέγεται δὲ καὶ ὅτι ἐκ τῆς στρατηγίας τῆς ἐν Σάμῳ ἠργυρίσατο. — at incidit alterum illud Atheniensium cum Samiis bellum Olymp. 85, 1., sive ante Chr. nat. 439., cum bellum Pelop. coeperit Olymp. 87, 1., sive ante Chr. nat. 431. vide Aristophanis gramm. argumentum Antigonae Soph., ibique Herm. et interpp. parum igitur verisimile est, Comicum veteris illius criminis, si quod fuit, memoriam refricasse. de Simonidis quidem φιλαργυρίᾳ nota est Aristotelis Rhetor. 3, 2. narratio, quam commemoravit Fl. Chr.

662. γέρων ὤν, καὶ σαπρός. ἀρχαῖος, καὶ παλαιός. (?) — S. „Suidas σαπρὸς καὶ ἐπὶ τοῦ παλαιοῦ. Σιμωνίδης (Σοφοκλῆς) γέρων ὢν etc.“ *Br.* in scholio legerim ἀχρεῖος, ὡς π.

663. ῥιπός. φρυγάνου, ψιάθου. λέγοιτο δ' ἂν ἐπὶ φιλοκερδεῖ. λέγεται δέ καὶ ἄλλως θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις. ῥὶψ δὲ ἐστιν ἱμαντῶδες φυτὸν, παρὰ τὸ ῥέπω ῥὶψ, καὶ ῥῖψ, καὶ ῥίπεσι τοῖς τῆς ἰτέας κλάδοις. S. Fl. Chr.: — Est ῥὶψ *teges* vel *storia* ex calamis. — itaque nare in tam levi re est quasi τῶν ἀδυνάτων, ut summa sit avaritia ejus, qui extremo se periculo committit propter lucrum. —

664. τί δαί; *quid porro?* vide Plut. 156., Ran. 135., Eur. Iph. Aul. 1309., H. ad Viger. annot. 346. — Κρατῖνος. Quintil. 10. 1.: *Plures ejus* (veteris comoediae) *auctores; Aristophanes tamen, et Eupolis, Cratinusque praecipui.* floruit Cratinus, poëta comicus Ath., Callimedis filius,

665 δϑ᾽ οἱ Λάκωνες ἐνέβαλον.
EP. τί παϑών;
TP. ὅ τι;
ὡρακιάσας· οὐ γὰρ ἐξηνέσχετο
ὁρῶν πίϑον καταγνύμενον οἴνου πλέων.
χἄτερα πόσ᾽ ἄττ᾽ οἴει γεγενῆσϑ᾽ ἐν τῇ πόλει;
ὥστ᾽ οὐδέποτ᾽, ὦ δέσποιν᾽, ἀφεξόμεσθά σου.
670 *EP.* ἴϑι νυν, ἐπὶ τούτοις τὴν Ὀπώραν λάμβανε
γυναῖκα σαυτῷ τήνδε, κἄτ᾽ ἐν τοῖς ἀγροῖς
ταύτῃ ξυνοικῶν ἐκποιοῦ σαυτῷ βότρυς.
TP. ὦ φιλτάτη, δεῦρ᾽ ἐλϑέ, καὶ δός μοι κύσαι.
ἆρ᾽ ἂν βλαβῆναι διὰ χρόνου τί σοι δοκῶ,

una cum Cratete et Eupolide, circa Olymp. 81., teste Eusebio. vide praeter Platonem aliosque vett. Beck. Aristoph. vol. 4. pagg. XXVII. seqq., Cruqu. ad Horat. Epist. 1, 19, 1., Torrent. et interpp. ad ejusdem Sat. 1, 4, 1., Fl. Chr. ad h. l., qui quidem *φιλοπότην* eum audiisse dicit, laudatis Eq. 373., 488. cf. seqq. — *ἀπέϑανεν.* natus annos 97., ut fama est. vid. Cruquius l. l.

665. *ἐνέβαλον.* *ἀντὶ τοῦ ἐπῆλϑον τῇ πόλει.* S. anno 1. belli Pelop., Olymp. 87, 2. sive ante Chr. nat. 431. vid. Thuc. 2, 19. — *τί παϑών;* cf. Plut. 904.

666. *ὡρ. οἷον ὠχριάσας, ἢ ἐλκυσθείς, (?) ἢ λειποψυχήσας, ἢ ἀϑυμήσας. ὡς φιλοπότην δὲ πάλιν διαβάλλει τὸν Κρατῖνον, μετὰ ἐκλύσεως ἐσκοτωμένον. οἷ ἴσως ἀκολουθεῖ καὶ τὸ ὠρακιάσας. τοιοῦτοι δὲ οἱ λειποψυχοῦντες· τρέπεται γὰρ αὐτῶν ἡ χροιά. Λυκόφρων δὲ (?) τὸ ὠρακιᾶν ἀντὶ τοῦ ὠχριᾶν. Ἐρατοσθένης δὲ τὸ ὑπὸ ἐκλύσεως ἐσκοτῶσθαι.* (— grammatici etymon dant, quasi *ὥραν αἰκίζειν*: nam pallor vultum et formam turpat. *Fl. Chr.*) *ὅτι δὲ φίλοινος ὁ Κρατῖνος, καὶ αὐτὸς ἐν τῇ Πυτίνῃ* (de qua ejus fabula laudantur Athen. 11., ed. Schweigh. t. 4. p. 332. sequ., et Fabric. B. gr. 2. p. 433.) *λέγει σαφῶς.* S.

667. *ὁρῶν.* sic bene A. (et Ven.) vulgo *ἰδών.* — *Br.* Causam hujus judicii non indicatam hanc esse puto, quod et, *dum videt*, dicitur non sustinuisse, et *ἰδὼν πίϑον* male sonat. B.

668. ita Rav., Bekk., D. vulgo *γεγενῆσθαι τῇ π.* S.: *ὥσπερ ἐκπλαγείσης τῆς Εἰρήνης ἐκπήγαγε τὸ καὶ ἕτερα τοιαῦτα γέγονεν ἐν τῇ πόλει.*

669. — Dubitari potest, an, quod ex uno Rav. editum est, *ἀφησόμεσθα* sit interpretamentum scripturae omnium aliorum codd. et edd. *ἀφεξόμεσθα.* B. *δέσποινα* appellatur Pax, ut dea. cf. 615.

670. *ἐπὶ τούτοις* (ut Ran. 551. etc.) hac conditione, hac lege, scil. ut Pacem semper retineas et colas. *ἐκποιεῖσθαι* est *sibi gignere, procreare.* B. S.: *μίαν τῶν συναναβαινουσῶν τῇ Εἰρήνῃ πρὸς γάμον αὐτῷ δίδωσι. προειρήκαμεν δὲ, ὅτι συναναβεβήκεισαν αὐτῇ ἥ τε Ὀπώρα, καὶ ἡ Θεωρία. ἦσαν δὲ ἑταῖραι.*

672. *ἐκποιοῦ σαυτῷ.* *οὐκ εἶπε [τοὺς] παῖδας, ἀλλὰ [τοὺς] βότρυς διὰ τὴν Ὀπώραν.* S.

673. *δός μοι κύσαι, permitte mihi osculari.*

674. *διὰ χρόνου* pertinet ad *κατελάσας* per hyperbaton: *si longe post tempore irruero in Oporam.* S.: *ὅτι οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν βλάπτονται, καὶ οἱ συνουσιάζοντες συνεχῶς. ἐπεὶ οὖν ἐδόκει ὀπώρα εἶναι καὶ ἡ πόρνη, πρὸς ἀμφότερα ἔπαιξεν.* S.

675 *ὦ δέσποθ' Ἑρμῆ, τῆς Ὀπώρας κατελάσας;*
ΕΡ. οὔκ, εἴ γε κυκεῶν' ἐπιπλοις βληχωνίαν.
ἀλλ' ὡς τάχιστα τήνδε τὴν Θεωρίαν
ἀπάγαγε τῇ Βουλῇ λαβών, ἥσπερ ποτ' ἦν.
ΤΡ. ὦ μακαρία Βουλὴ σὺ τῆς Θεωρίας,
680 *ὅσον ῥοφήσεις ζωμὸν ἡμερῶν τριῶν,*
ὅσας δὲ κατέδει χόλικας ἐφθὰς, καὶ κρέα!
ἀλλ', ὦ φίλ' Ἑρμῆ, χαῖρε πολλά!
ΕΡ. καὶ σύ γε,
ὦνθρωπε, χαίρων ἄπιθι, καὶ μέμνησό μου.
ΤΡ. ὦ κάνθαρ', οἴκαδ', οἴκαδ' ἀποπετώμεθα!
685 *ΕΡ. οὐκ ἐνθάδ', ὦ 'τᾶν, ἔστι.*
ΤΡ. ποῖ γὰρ οἴχεται;
ΕΡ. ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ.
ΤΡ. πόθεν οὖν ὁ τλήμων ἐνθάδ' ἕξει σιτία;
ΕΡ. τὴν τοῦ Γανυμήδους ἀμβροσίαν σιτήσεται.

675. ὦ δ. Ἑρμῆ. cf. 615.

676. βληχ. βλήχωνα Ἀττικοὶ διὰ τοῦ β, οὐ διὰ τοῦ γ. οἱ δὲ πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν κυκεῶνα βληχωνίαν πίωσιν, οὐ βλάπτονται. — S. de herba, quae dicitur βλήχων sive γλήχων, etiam βληχὼ, γληχὼ, *mentha pulegium* Linn., germ. *Polei*, *Poleimünze*, vide Billerbeck. Flor. class. p. 151. et, quos laudat, Dioscor. 3, 36., Plin. H. N. 20, 14. ceterum cf. 1083.

677. τοῖς μὲν γεωργοῖς φέρουσα (ἡ Εἰρήνη) τὴν Ὀπώραν ἔδωκε, τῇ δὲ Βουλῇ τὴν Θεωρίαν ἀπένειμεν. — ἡ γὰρ Βουλὴ τὰς θεωρίας ἐξέπεμπε. — S. Convenienter Theoriam senatui applicat: nam senatus quos extra fines ad sacra, vel ad ludos solemnes, vel ad oracula mittebat, oratores θεωροὺς vocabant, (cf. Phot. lex. p. 71. et Fischer. ad Plat. Crit. 1, 13., Phaed. 1, 19. B.) navim, qua vehebantur, θεωρίδα, sacrificium θεωρίαν, etc. *Fl. Chr.*

679. μακαρία τῆς Θεωρίας. vid. Matth. gr. §. 348.

680. ἡμ. τριῶν. ἐπὶ γ' γὰρ ἡμέρας ἐψηφίσατο ἡ Βουλὴ βοῦς θύειν· ἀφ' ὧν καὶ ἕτερα ζῶα. S. Quia in triduum supplicationes decerni solebant. *Br.*

681. κατέδει, *comedes*. vid. Matth. gr. §. 180. S.: χόλικας. τὰ τῶν βοῶν παχέα ἔντερα· ταῦτα γὰρ οὐχ ἱεροῦντο, ὡς τὸ ἄλλο σῶμα. — S.

685. ὦ 'τᾶν. h. e. ὦ ἑτᾶν. vide H. ad Soph. Phil. 1373. (1305.), nos ad Oedip. R. 1086.

686. ὁ στίχος ἐκ Βελλεροφόντου Εὐριπίδου. παρὰ τὸ ἀστραπαῖς ὑπηρετεῖν. S.

688.—690. ἀμβρ. ἀντὶ τοῦ τὴν κόπρον. — S. cf. 11. sequ. — π. α. τὴν θεὸν, *hic juxta ipsam deam* Pacem, sive ab latere illius. quidam Minervam intelligebant, teste S.: ἄγαλμα γὰρ ἦν, inquit, ἐν τῷ θεάτρῳ τῆς Ἀθηνᾶς. sed recte, nisi fallor, Fl. Chr.: „Non puto: nam Pallas potius ἡ κόρα vel παρθένος dicta. et quidni ipsam Pacem intelligamus, per quam et ascensus et descensus ubique liberi? sane non temere, ut opinor, invenias τὴν θεὰν pro Minerva, nisi de ea praecesserit sermo" etc. — ὦ κόραι, Opora et Theoria. S.: κατέλυσε τοῦ οὐρανοῦ τὴν ὑπόκρισιν· κάτεισι γὰρ ἐπὶ τὴν ὀρχήστραν κλίμαξιν. ἐχόμενος δὲ τῆς Εἰρήνης καταβαίνει ὁ πρεσβύτης [ἐπὶ τὴν ὀρχήστραν].

τοὺς φεύγοντας, κἀξαπατῶντας, καὶ τυπτομένους ἐπίτηδες,
ἐξήλασ' ἀτιμώσας πρῶτος· καὶ τοὺς δούλους παρέλυσεν,
οὓς ἐξῆγον κλάοντας ἀεὶ, καὶ τούτους οὕνεκα τουδὶ,
ἵν' ὁ σύνδουλος σκώψας αὐτοῦ τὰς πληγὰς εἶτ' ἀνέροιτο
710 „Ὦ κακόδαιμον, τί τὸ δέρμ' ἔπαθες; μῶν ὑστριχὶς εἰσέβαλέν σοι
εἰς τὰς πλευρὰς πολλῇ στρατιᾷ, κἀδενδροτόμησε τὰ νῶτα;"
τοιαῦτ' ἀφελὼν κακὰ, καὶ φόρτον, καὶ βωμολοχεύματ' ἀγεννῆ,

(in Alcestide), (fort. πεινῶντα, ut in alio scholio ἐπεπόλαζε γὰρ τότε ταῦτα, Ἡρακλῆς πεινῶν, κ. Διόνυσος δειλὸς, κ. μοιχὸς Ζεὺς etc.) καὶ Διόνυσον δειλὸν, καὶ Δία μοιχὸν, καὶ δοῦλον κλαίοντα. τινὲς δέ φασιν εἰς Κρατῖνον αἰνίττεσθαι, ὡς τοιαῦτα ποιοῦντα δράματα. ἐπεπόλασε δὲ τότε ταῦτα τὰ λήμματα (argumenta fabularum). καὶ αὐτὸς δὲ ὁ Ἀριστοφ. ὡς γαστρίμαργον τὸν Ἡρακλέα κωμῳδεῖ καὶ ἐν Ὄρνισι (1696.), καὶ ἐν Αἰολοσίκωνι, (etiam in Ranis,) καὶ ἐν τοῖς Σφηξὶ (58 seqq.) περὶ τούτων φησὶ, τοῦ τε Ἡρακλέους, καὶ τοῦ δούλου. —

706. τοὺς φεύγοντας, *fugitivos*. „τυπτ. nempe ab Omphale: παιόμενος ὑπὸ τῆς Ὀμφάλης χρυσῷ σανδάλῳ, ut est ap. Lucian. in dial. Jov. Aescul. et Herculis (deor. dial. 11, 1.)." *Bc.* nempe si haec omnia ad Herculem referuntur; sed verba πειν. ἐκείνους etc. videntur spectare alios ejusmodi homines, qui a Tragicis (Comicisque) inducebantur, ut Telephus (Philoctetes, et Oedipus Col., ap. Sophoclem, aliique). B. ἐπίτηδες, *de industria*. cf. 877. etc.

707. παρ., *exemit* fabulis.

709. εἶτ' ἀν. ita Bentl. et Dawes. Misc. crit. p. 279., merito probantibus viris doctis. libri mendose ἐπανέροιτο. de particula εἶτα inter particip. et verbum interposita laudantur Dawes. l. l. et Koen. ad Corinth. de Dial. att. p. 145. sequ. ed. Schaefer. cf. Plut. 794., Soph. Oed. Col. 855.

710. ὑστρ. ἡ ἐξ ὑείων τριχῶν μάστιξ. ἔστι δὲ καὶ ὑστριχὶς θηρίον τρίχας ἔχον ὑός, (vide Schneideri lex. vv. ὕστριξ, ὑστριχίς.) ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει κατὰ τῶν διωκόντων. (hoc quidem confictum esse, nemo hodie ignorat.) εἰσέβαλεν. ἀπὸ μεταφορᾶς τῶν τὰς πόλεις πορθούντων τὸ εἰσέβαλεν. — S.

712. recte addidit ἀγεννῆ, quia auctore Aristot. in Rhet. (3, 18, 7.) τῶν εἰδῶν τοῦ γέλωτος ἄλλο μὲν ἁρμόττει τῷ ἐλευθέρῳ, ἄλλο δὲ τῷ βωμολόχῳ. (cf. Cic. de Off. 1, 29.) sunt autem proprie βωμολόχοι, qui in sacrificiis aras frequentant (qualis postea Hierocles), et cum adulatione aliquid petunt, et mendicant. Hesych. ἱεροσύλους vocat, quia insidiantur aris. Moschopulus (Περὶ σχεδῶν p. 84. ed. Paris.) definit, qui ficto lusu utuntur ad fraudem. tales etiam dicuntur tibicines, et divini aeruscatores, denique per tralationem εὔκολοι καὶ ταπεινοὶ ἄνθρωποι, καὶ πᾶν ὁτιοῦν ὑπομένοντες ἐπὶ κέρδει διὰ τοῦ παίζειν καὶ σκώπτειν. recte autem hic φόρτον addidit, et puto dictum, ut illud (Virg. Georg. 2, 192.) *pateris libamus et auro*, ut intelligas βωμολοχίαν φορτικήν. est enim βωμολοχία γένος κολακείας φορτικὸν, καὶ γελωτοποιὸν etc. *Fl. Chr.* cf. Ran. 344., 1024. S.: βωμοὶ, τουτέστι βωμολόχα σκώμματα, ὅ

ἐποίησε τέχνην μεγάλην ἡμῖν, κἀπύργωσ' οἰκοδομήσας
ἔπεσιν μεγάλοις, καὶ διανοίαις, καὶ σκώμμασιν οὐκ ἀγο-
ραίοις,
οὐκ ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν, οὐδὲ γυναῖκας,
ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων τοῖσι μεγίστοις ἐπι-
χειρεῖ,
διαβὰς βυρσῶν ὁσμὰς δεινὰς, κἀπειλὰς βορβοροθύμους.
καὶ πρῶτον μὲν μάχομαι πάντων αὐτῷ τῷ καρχαρό-
δοντι,
οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀκτῖνες
ἔλαμπον,
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων ὀλιωξομένων ἐλι-
χμῶντο
περὶ τὴν κεφαλὴν, φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον
τετοκυίας,
φώκης δ' ὀσμὴν, λαμίας δ' ὄρχεις ἀπλύτους, πρωκτὸν δὲ
καμήλου.

ἐστι σκώπτοντας εὐτελεῖς τινας καὶ ἀσθενεῖς ἄνδρας.

713. *ταῦτα καὶ Φερεκράτης ἐποίησε τὸν Αἰσχύλον λέγοντα ἐν τοῖς Κραπατάλλοις ὅστις* (ὅστις γ') *αὐτοῖς παρέδωκε* (*παρέδωκα*) *τέχνην μεγάλην ἐξοικοδομήσας. κἀπύργωσεν. ὕψωσεν, ηὔξησεν, ἐμεγάλυνεν, ἠσφαλίσατο, καὶ ἐπὶ τὸ σεμνότερον τὰ ποιήματα ἤγαγεν. καὶ ἐν ἄλλοις* (Ran. 943.) *ἀλλ', ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνά.* S.

714. *οὐκ ἀγ.*, *non forensibus*, i. e. jocis ejusmodi, quales hominum *ἀγοραίων*, sive circumforaneorum, esse solent. „*nati in triviis et paene forenses* Horat. dixit. *ἀγοραῖοι* hic sunt viles et pauperes, dicti ab antiquis Latinis *canalicolae*, quod consisterent ad canales fori. *Fl. Chr.*

715. *ἰδιώτας*, privatos.

716. 718.—723. versus ex Vespis 995. seqq. repetiti, quia placuerant, nec minus ad hanc orationem conveniebant.

717. *βυρσῶν ὀδμάς. ὡσανεὶ ἔλεγε ποταμοὺς, ἢ χαράδρας. διὰ δὲ τὸν Κλέωνα* (coriarium) *ταῦτα· εἰκὸς γὰρ ἦν, αὐτὸν ἀπειλεῖν τῷ Ἀριστοφάνει διὰ τὰς ὕβρεις.* — S.

718. *τῷ καρχ.* quasi Hercules Cerbero. *Fl. Chr.*

719. — *Κύννα καὶ Σαλαβακχὼ πόρναι Ἀθήνησι. ἄλλως. τὴν ἀναίδειαν αὐτοῦ, καὶ τὴν τραχύτητα τῶν τρόπων, δείκνυσι διὰ τῶν ὄψεων, ὡς καὶ Ὅμηρος* (Il. α', 104.) *ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην. τῆς δὲ Κύννης μέμνηται καὶ ἐν τοῖς Ἱππεῦσι* (711.), *λέγων καὶ Κύνναν καὶ Σαλαβακχώ.* S.

720. *κολάκων.* *ὡσεὶ ἔλεγεν ὄψεων. εἰκὸς γὰρ, πλῆθος κολάκων ἔχειν τὸν Κλέωνα.* — S. *ὀλιω.*, quibus plorandum erit, pessimorum.

721. *χαρ. ἀντὶ τοῦ χειμάρρου ποταμοῦ. κατάγουσι δὲ οὗτοι παντοῖα μετὰ τοῦ ῥεύματος.* — S. *χαράδρα ὄλεθρον τετοκυῖα* est *torrens, qui interitum peperit*, h. e. qui homines et pecora una cum tectis arboribusque abripuit.

722. *θαλάσσιον ζῶον φώκη. Ὅμηρος* (Od. δ' 442.) *φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή.* S. *λαμίας*, *canis carchariae*, cujus animalis voracis cum te-

τοιοῦτον ἰδὼν τέρας οὐ κατέδεισ', ἀλλ' ὑπὲρ ὑμῶν πολεμίζων
ἀντεῖχον ἀεί, καὶ τῶν ἄλλων νήσων. ὧν εἵνεκα νυνὶ
ἀποδοῦναί μοι τὴν χάριν ὑμᾶς εἰκὸς, καὶ μνήμονας εἶναι·
καὶ γὰρ πρότερον πράξας κατὰ νοῦν οὐχὶ παλαίστρας περινοστῶν
παῖδας ἐπείρων, ἀλλ' ἀράμενος τὴν σκευὴν εὐθὺς ἐχώρουν,
παῦρ' ἀνιάσας, πόλλ' εὐφράνας, πάντα παρασχὼν τὰ δέοντα.
πρὸς ταῦτα χρεὼν εἶναι μετ' ἐμοῦ καὶ τοὺς ἄνδρας, καὶ τοὺς παῖδας· a. t.

stes dicit, nihil aliud quam libidinem significare videtur Cleonis insatiabilem, dignamque cane carcharia. neque enim haec ad vivum resecanda sunt aut reprehendenda propterea, quod testes neque pisces habent, neque ullum aliud genus, quod caret pedibus, auctore Aristot. H. A. 5, 5. minus etiam ὄρχεις conveniunt Lamiae, monstro feminae, de quo Diodor. Sic. 20., 41. et ibi Wesseling., Philostrat. vit. Apoll. 4, 25., Suidas h. v. aliique. nihilominus hanc scripturam alteri praetulerunt recentiores; quorum Fl. Chr.: „Cum Lamia femina sit," inquit, „ei tamen ὄρχεις tribuit, et, ut Cleonis spurcitiem arguat, ἀπλύτους, i. e., ut ait Plautus (Men. 1, 2, 57.), *illutibili odore*. ceterum fuit Lamia olim etiam atticum scortum, cujus dictum Aelianus (V. H. 13, 8.) memorat." eam quidem intelligi non posse, ipse haud dubie sentiebat Florens, cum amica fuerit Demetrii Poliorcetis, qui floruit plus 100 annos post actam hanc fabulam. S. inter alia: ἀλλόκοτον δέ τι τέρας ὑποστήσασθαι βούλεται τὸν Κλέωνα· τὴν γὰρ Λάμιαν φησιν (λαμίαν φασὶν) ἄγριον εἶναι ζῶον, καὶ δύσοσμον, καὶ ἀνήμερον. (quis dubitet, ita describi squalum carchariam Linn., *den Menschenfresser?*) οὐκ ἀρκεσθεὶς δὲ τούτοις αὐτὸν εἰπάσαι μόνοις, προσέθηκεν ἄπλυτον (ἀπλύτους), ἵνα μᾶλλον αὐξήσῃ τὴν περὶ Κλέωνα δυσοσμίαν. — πρωκτὸν καμήλου intelligo εὐρὺν πρωκτόν, quo Cleonem deridet, tanquam cinaedum. Fl. Chr.: „salacem camelum et θερμόπρωκτον existimant." camelos toto die coitum exercere dicit Aristot. H. A. 5, 2.

724. τῶν ἄλλων νήσων vel est *aliarum terrarum, quae terrae sunt insulae*, quemadmodum Soph. dixit Phil. 38. καὶ ταῦτά γ' ἄλλα θάλπεται ῥάκη, h. e. *et hic alia siccantur, panni;* vel, quod malim dictum hoc est πλεοναστικῶς, ut χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας Eurip. Med. 281., ubi vidd. interpp.

726. — εἰώθασι δὲ καὶ παιδεραστεῖν, ἀβρυνόμενοι τῇ νίκῃ. αἰνίττεται δὲ εἰς Εὔπολιν καὶ τοὺς περὶ αὐτὸν, ὡς παίδων ἐρῶντας, καὶ παλαίστρας περιερχομένους. S.

727. ἀρ. τὴν σκευὴν ε. ἐ., *sublata supellectile* scenica *statim excedebam ex theatro.*

728. παῦρ' ἀν. ὡς τῶν νικώντων ταῦτα ποιούντων, καὶ εἰς ὕβριν ἐξελκομένων. ὀλίγα κωμῳδήσας, ἢ οὐδὲν λυπήσας. — S. πάντα π. τὰ δ., *omnia praestans, quae praestanda essent.*

729. de his versibus v. ann. ad 549. πρὸς ταῦτα, *proinde.*

καὶ τοῖς φαλακροῖσι παραινοῦμεν ξυσπουδάζειν περὶ τῆς νίκης·
πᾶς γάρ τις ἐρεῖ νικῶντος ἐμοῦ κἀπὶ τραπέζῃ, καὶ ξυμποσίοις,
„Φέρε τῷ φαλακρῷ, δὸς τῷ φαλακρῷ, τῶν τρωγαλίων, καὶ μὴ ἀφαίρει
γενναιοτάτου τῶν ποιητῶν ἀνδρὸς τὸ μέτωπον ἔχοντος.“ a. Arist.

HM. Μοῦσα, σὺ μὲν πολέμους ἀπωσαμένη μετ' ἐμοῦ as., da. tr. cat. et da. d. h. στ.
τοῦ φίλου χόρευσον, ith.
κλείουσα θεῶν τε γάμους, ἀνδρῶν τε δαῖτας as., a. d. br. et i. h.
καὶ θαλίας μακάρων! da. d. h.
σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει. i. d.
ἦν δέ σε Καρκίνος ἐλθὼν da. tr.
ἀντιβολῇ μετὰ τῶν παίδων χορεῦσαι, as., da. d. h. et i. h.
μήθ' ὑπάκουε, μήτ' ἐλθὴς συνέριθος αὐτοῖς, ἀλλὰ νόμιζε πάντας as., 3 chor. d. cat.

730. καὶ τοῖς φαλ. τοῦτο εἰς ἑαυτόν· φαλακρὸς γὰρ ἦν ὁ Ἀριστοφ. (ut, annotante H. Vossio, Shakspearius.) — S. Plut., quem laudavit Fl. Chr., Sympos. 2, 1.: διὸ καὶ τῶν Κωμικῶν ἔνιοι τὴν πικρίαν ἀφαιρεῖν δοκοῦσι τῷ σκώπτειν ἑαυτούς, ὡς Ἀριστοφ. εἰς τὴν φαλακρότητα etc.

732. τῶν τρωγ. cf. Plut. 793. et, quem hic laudant, plura bellariorum nomina referentem Ath. 14., t. 5. pp. 323. seqq. ed. Schweigh. sequentium verborum hic ordo est et sensus καὶ μὴ ἀφαίρει (τι) ἀνδρὸς ἔχοντος τὸ μέτωπον γενν. τῶν ποιητῶν, *et ne detrahe quidquam viro, qui frontem habet poëtarum generosissimi*, h. e. Aristophanis; *ne defrauda calvum, qualis est Aristophanes.* ridicule ob calvitiem suam, si quidem vicerit, omnibus calvis bene fore dicit in conviviis. hyperbato non intellecto lapsi sunt interpp.

734. Musam bellis valedicere jubet illam, quae nuptias epulasque deorum et virorum illustrium canere soleat, potiusque secum, amico suo, Pacem receptam celebrare cantu, et saltatione, atque agendis proborum poëtarum fabulis.

736. θεῶν τε γάμους. Martis et Veneris nuptias ridiculas commemorat S. (Hom. Odyss. Θ', 266.), H. Vossius Promethei et Hesiones, sed tribus verbis descriptas, ap. Aeschylum Prom. 560., obliti illi carminis pulcherrimi de connubio Pelei et Thetidos ap. Euripidem Iphig. Aul. 939. seqq., notique Catulliani.

738. ἐξ ἀρχῆς, *omnino*, vel *inprimis.*

739. Καρκίνος τραγῳδίας ποιητής, ὃς εἶχε ταπεινούς τινας παῖδας. — (ἄλλως.) παῖδες δὲ Καρκίνου τρεῖς, Ξενοκλῆς, Ξενότιμος, Ξέναρχος. τραγικοὶ δὲ οὗτοι χορευταί, οἵτινες διὰ τὴν σμικρότητα τῶν σωμάτων ὄρτυγες ἐκαλοῦντο. S. ridetur Carcinus etiam Nub. 1261. et Vesp. 1512. ejus fabulam Thyestem commemorat Aristot. Poët. 13., ut annotavit Fl. Chr. cf. Fabric. Bibl. gr. 2. p. 290. sequ. ed. Harless.

741. ita Bentl., D. libri corrupto metro ὑπακούσῃς. versus τρίκωλος,

ὄρτυγας οἰκογενεῖς, γυλιαύχενας ὀρχηστάς, da. hex. cat.
νεννοφυεῖς, σφυράδων ἀποκνίσματα, μηχανοδίφας· her.
her.
καὶ γὰρ ἔφασχ' ὁ πατὴρ, ὃ παρ' ἐλπίδας da. t.
εἶχε, τὸ δρᾶμα γαλῆν τῆς ἑσπέρας ἀπάγξαι. as., da. d.
h. et an.

ΗΜ. Τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων ἀντ.
τὸν σοφὸν ποιητὴν
ὑμνεῖν, ὅταν ἠρινὰ μὲν φωνῇ χελιδὼν
ἐζομένη κελαδῇ,

cujusmodi plures etiam Sophocli atque Euripidi restituimus. vide Eurip. Suppl. 763., Soph. Trach. 123. et cf. infra 795., 797., 1240., 1248. — *συνέριθος*, *socia*, vel *adjutrix*. vid. praeter alios Jacobs. Anthol. Palat. 3. p. 471.

742. *ὄρτυγας*. — *φιλεριστικὴ γὰρ τῶν ἀρρένων ὀρτύγων ἡ φύσις.* (de hac coturnicum natura vid., quem B. laudavit, Camus ad Aristot. H. A. 3. p. 150.) *οἰκογενεῖς δὲ ἀντὶ τοῦ ἡμέρους ἐν οἴκῳ τεθραμμένους.* (*Stubensitzer*, *Bärenhäuter.*) *προείρηται δὲ περὶ τῶν Καρκίνου υἱῶν, ὅτι μικροί.* — *γυλ.* — *μακροτραχήλους.* (Sic etiam Suid. et Zonar. 1, 457.) *γύλιος* (*γυλιὸς*) *γὰρ πλέγμα ἐστὶ στρατιωτικὸν ἐπίμηκες, τουτέστιν εἰς ὀξὺ λῆγον. κολοβὸν οὖν εἰκὸς εἶναι τὸ ὅλον σῶμα, καὶ μόνον τὸν τράχηλον μακρόν.* — S. cf. 505.

743. *νεννο.* *νέννοι γὰρ* (vel *νέννοι*, *nanî*,) *λέγονται οἱ κολοβοὶ τῶν ἀνθρώπων· οἱ δὲ κολοβοὶ τῶν ἵππων ἵννοι λέγονται. σφυρ. ἀποκν. ταπεινοὺς, καὶ μικροὺς, οὐδὲ ὅλας σφυράδας. σφυράδες δέ εἰσι τὰ τῶν αἰγῶν καὶ προβάτων ἀποπατήματα. Εὔπολις Αἰξὶ σφυράδων πολλῶν ἀναμέστη.* (atticum esse dicitur *σφυρὰς*, vulgare *σπυράς*. vide Br. et ab eo laudatos Hesych. v. *σφυράδες*, Pierson. ad Moer. in *σχινδαλμός*.) *μηχαν. ἀπὸ μέρους τοῦτο· Ξενοκλῆς γὰρ ὁ Καρκίνου δοκεῖ μηχανὰς καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασι. Πλάτων Σοφισταῖς Ξενοκλῆς ὁ δωδεκαμήχανος Ὁ Καρκίνου παῖς τοῦ θαλαττίου.* (cf. S. ad 799.) *μηχανοδίφας δὲ εἶπεν αὐτοὺς, ἐπειδὴ πολλάκις, ὡς τραγῳδοὶ, μηχανὰς προσέφερον, ἡνίκα θεοὺς ἐμιμοῦντο ἀνερχομένους, ἢ κατερχομένους ἐκ τοῦ οὐρανοῦ, ἢ ἄλλο τι τοιοῦτον.* S.

744. *nam etiam pater* eorum, *quod praeter spem peperit drama, felem id vesperi suffocasse dixit.* S.: — *τὸ δρᾶμα αὐτοῦ, ὅπερ εἶχε παρὰ προσδοκίαν, τουτέστιν ὃ μετὰ μόχθου συνεγράψατο.* — *δρᾶμα δὲ ἐποίησε τοὺς Μύας. διὰ τοῦτο καὶ γαλῆν εἶπεν ἀπάγξαι.* — *δρᾶμα δὲ ποιήσας ὁ Καρκίνος* [*ἢ ὁ Ξενοκλῆς*] *παρῆλθε* (h. e. effecit ut ageretur), *μέγα καυχώμενος ἐπ' αὐτῷ, καὶ παρελθὼν ἠττήθη.* — S. ergo ne ipse quidem Carcinus fuit aliquid: quo minus filiorum ejus rationem habendam esse ait Arist.

746. — *ἔστι δὲ παρὰ τὰ Στησιχόρου ἐκ τῆς Ὀρεστείας τοιάδε χρὴ Χαρίτων δαμώματα Καλλικόμων ὑμνεῖν, Φρύγιον μέλος Ἐξευρόνθ' ἁβρῶς ἥρως ἐπερχομένου. δαμώματα δὲ τὰ δημοσίᾳ ᾀδόμενα.* S. „Hesych. *δαμώματα*: *κοινώματα*, *δημοσιώματα*. carmina quae publice cantantur.“ B. evolvi jubet Zonar. 1. p. 470., et Stesichori fragm. a Suchfortio edita pag. XXXVIII.

748. *καὶ αὕτη πλοκὴ Στησιχόρειος. φησὶ γὰρ οὕτως ὅταν ἥρως ὥρᾳ κελαδῇ χελιδών.* S.

χορὸν δὲ μὴ 'χῃ Μόρσιμος,
μηδὲ Μελάνθιος, οὗ δὴ
πικροτάτην ὄπα γηρύσαντος ἤκουσ',
ἡνίκα τῶν τραγῳδῶν τὸν χορὸν εἶχον ἀδελφός τε καὶ αὐτὸς, ἄμφω
Γοργόνες ὀψοφάγοι, βατιδοσκόποι ἅρπυιαι,
γραοσόβαι μιαροὶ, τραγομάσχαλοι, ἰχθυολῦμαι·
ὧν καταχρεμψαμένη μέγα καὶ πλατὺ,
Μοῦσα θεὰ, μετ' ἐμοῦ ξύμπαιζε τὴν ἑορτήν.

750. *Μόρσιμος, μηδὲ Μελάνθιος.* τραγικοὶ ποιηταὶ ἀμφότεροι. ὁ δὲ *Μόρσιμος Φιλοκλέους τοῦ Τραγικοῦ υἱὸς, πονηρὸς καὶ ἄμετρος.* (cf. Ran. 151.) *ὁ δὲ Μελάνθιος κωμῳδεῖται εἰς μαλακίαν, καὶ ὀψοφαγίαν.* (cf. 936.) *καὶ πολὺ μᾶλλον ἐν τοῖς Κόλαξιν Εὔπολις ὡς κίναιδον αὐτὸν διαβάλλει, καὶ κόλακα. ἀλλὰ καὶ ὡς λευκὰς ἔχοντα, καὶ λεπρὰς (λέπραν), Ἀριστοφ. ἐν Ὄρνισιν* (151.) *ὡς οὐκ ἰδὼν Βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου.* S.

753. *Ἀδελφός.* *ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ Μελανθίου Τραγικοῦ ὄντος ἀσήμου.* — S.

754. Gorgones cum magnis malis dentibusque pingebantur et fingebantur. (vide Apollod. 2, 4. et a B. laudatum Millinum *Gallerie mythol.* t. 2. p. 144.) unde voraces et manduci Gorgones vocati et gumiae. tales in exodiis Atellanarum personae pallentes et hiantes erant, quae risum movebant, et pueris terrorem incutiebant, ut ait Juvenalis (Sat. 3, 175.) etc. *Fl. Chr.* S.: *βατιδ. βάτις εἶδος ἰχθύος.* (est *raja, eine Rochenart.* v. Camus ad Aristot. H. An. 2. p. 715. seqq., ubi Aristotelis loca de hoc piscis genere laudantur. B. cf. Plut. 1007. Fl. Chr.: Piscibus libenter vescebantur Athenienses. inter eos *batis* excellit, et sane Sannyrion in Risu fabula inter mensarum delicias hunc piscem appellat hoc semiversu: *ὦ βατίδες, ὦ γλαυκῶν κάρα.* et Archestratus, culinarius poëta, quomodo sit apparanda batis, docet l. 8. Athen. [p. 44. sequ. t. 3. ed. Schweigh.] etc.) *ἅρπυιαι δὲ ἅρπαγες τῶν ἰχθύων.* —

755. *γραοσόβαι. ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραῖδας, ὡς μὴ ἀγοράζειν. ἢ γραῖ συγκοιμώμενοι.* (hoc recte: nam *σοβεῖν* est *κινεῖν.*) *σοβάδας γὰρ τὰς πόρνας λέγουσιν. Εὔπολις παρὰ τῇδε σὺ τῇ σοβάδι κατήγου. ὡς γραοφίλους δὲ αὐτοὺς εἰσάγει, καὶ περὶ γραῶν ἔρωτας ἐπτοημένους. ἀντὶ τοῦ γραῦς ὀχεύοντες. τραγ. δύσοσμοι. οἱ γὰρ ἀρρένες τῶν αἰγῶν τοιοῦτοι.* (magis ridiculum epitheton *τραγομάσχαλοι* in *Τραγικοῖς.*) *ἰχθ. οἱ γὰρ Ἀθηναῖοι τοὺς ἰχθύας εἶχον ὡς μέγα ἔδεσμα.* S.

756. *καταχρ. μέγα καταπτύσασα αὐτῶν, ὦ Μοῦσα, τῶν προειρημένων ποιητῶν, καὶ τῶν παίδων τοῦ Καρκίνου.* S. vertitur *καταχρ. μ. καὶ πλ. quos despue screatu magno et largo.* B.

ΤΡΥΓΑΙΟΣ. ΟΙΚΕΤΗΣ. ΧΟΡΟΣ. ΙΕΡΟΚΛΗΣ.

ΤΡ. Ὡς χαλεπὸν ἦν ἐλθεῖν ἄρ' εὐθὺ τῶν θεῶν! i. tr.
ἔγωγέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλη.
μικροὶ δ' ὁρᾷν ἄνωθεν ἦστ'. ἔμοιγέ τοι
ἀπὸ τοὐρανοῦ 'φαίνεσθε κακοήθεις πάνυ·
ἐντευθενὶ δὲ πολύ τι κακοηθέστεροι.
ΟΙ. ὦ δέσποθ', ἥκεις;
ΤΡ. ὡς ἐγὼ 'πυθόμην τινός.
ΟΙ. τί δ' ἔπαθες;
ΤΡ. ἤλγουν τὼ σκέλη, μακρὰν ὁδὸν
διεληλυθώς.
ΟΙ. ἴθι νυν, κάτειπέ μοι.
ΤΡ. τὸ τί;
ΟΙ. ἄλλον τιν' εἶδες ἄνδρα κατὰ τὸν ἀέρα
πλανώμενον πλὴν σαυτόν;
ΤΡ. οὔκ, εἰ μή γέ που
ψυχὰς δύ' ἢ τρεῖς διθυραμβοδιδασκάλων.

758. ὡς χαλ. κορωνίς. προϊᾶσι γὰρ οἱ ὑποκριταί. — ὁ Τρυγαῖος δέ ἐστι κατελθὼν ἐκ τοῦ οὐρανοῦ, καὶ λοιπὸν τῇ οἰκίᾳ πλησιάσας, καὶ τὸν κόπον, ὃν ὑπέστη, διηγεῖται. S. εὐθὺ τῶν θεῶν, recta ad deos. B. cf. 77. etc.

759, 60. κομιδῇ, vehementer. cf. Plut. 1082. etc. — malim ἐμοιγέ τε.

761. κακ. πάνυ. ἀνθυπήλλαξεν ἀντὶ τοῦ εἰπεῖν μικρότεροι, παρ' ὑπόνοιαν διαβάλλων Ἀθηναίους ὡς κακουργεῖν ἑτοίμους. — S.

763. ἐπυθόμην τινός. ἀντὶ τοῦ εἰπεῖν ὡς νομίζω, ὡς περὶ ἄλλου φησί. S. similis jocus est Nub. 1201.

768. διθυρ. διαβάλλει αὐτοὺς ὡς μετεώρους, ἐπεὶ περὶ τῶν νεφελῶν λέγουσι πολλά. συνεχῶς δὲ κωμῳδοῦσι τοὺς διθυραμβοποιούς, ὡς ἐκ τοῦ ἀέρος καὶ τῶν νεφελῶν σπῶντας τὰς λέξεις, διὰ τὸ συνθέτους εἶναι παρ' αὐτοῖς. S. In Av. 1383. introducit dithyramborum poëtam Cinesiam (de quo ad Ran. 153.) alas petentem, ut sublime volans possit captare procemia: ὑπὸ σοῦ πτερω-

ΟΙ. τί δ' ἔδρων;
ΤΡ. ξυνελέγοντ' ἀναβολὰς ποτώμεναι,
τὰς εὐδιαεριανρονηχέτους. τί γάρ;
ΟΙ. οὐκ ἦν ἄρ' οὐδ', ἃ λέγουσι, κατὰ τὸν ἀέρα
ὡς ἀστέρες γιγνόμεθ', ὅταν τις ἀποθάνῃ;
ΤΡ. μάλιστα.
ΟΙ. καὶ τίς ἐστι νῦν ἀστὴρ ἐκεῖ;
ΤΡ. Ἴων' ὁ Χῖος, ὅσπερ ἐπυίησεν πάλαι
ἐνθάδε τὸν Ἀοῖόν ποθ'· ὡς δ' ἦλθ', εὐθέως
Ἀοῖον αὐτὸν πάντες ἐκάλουν ἀστέρα.

θεὶς βούλομαι μετάρσιος Ἀναπτόμενος ἐκ τῶν νεφελῶν καινὰς λαβεῖν Ἀεροδονήτους καὶ νιφοβόλους ἀναβολάς. ad quem alter κρέμαται μὲν οὖν ἐντεῦθεν ὑμῖν ἡ τέχνη. Be.

769. ἀναβ. τὰς ἀρχὰς τῶν ἁρμάτων. Ὅμηρος (Odyss. α', 155.) ἤτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν. S.

770. soloece junctis τὰς et τινὰς, nec perspicua sententia, legitur τὰς ἐνδιαεριανεριυηχέτους τινάς. soloecismo fecimus medicinam scribendo τί γάρ; quidni? de quo v., si tanti est, Etym. M. p. 687. ed. Lips., nos ad Soph. Oed. Col. 501. quod autem reposuimus, εὐδιαεριανρονηχέτους, verbum compositum ex εὖ, διὰ, ἀέριος αὔρα, et νήχεσθαι, id agnoscas in scriptura Ravennatis libri et Veneti ἐνδιαεριανεριυηχέτους: nec multum abludit cum Suidae MS. v. διθυραμβοδιδάσκαλοι „ἐνδιαεριαβεριυηχ.," tum ipsum illud vulgatum ἐνδιαεριανεριυηχ.

771. sequ. nescio, quis hoc diserte dixerit; sed intelligenda mihi videntur illa, quae passim leguntur apud vett. de animorum origine et natura. Euripides Chrysippo (fragm. 6. nostrae ed., Fragm. Eurip. p. 308.) χωρεῖ δ' ὀπίσω τὰ μὲν ἐκ γαίας Φύντ' εἰς γαῖαν· Τὰ δ' ἀπ' αἰθερίου βλάστοντα γονῆς Εἰς οὐράνιον πάλιν ἦλθε πόλον. Cic. de N. D. 3, 14. *omnia Stoici solent ad igneam vim referre, Heraclitum, ut opinor, sequentes.* idem in Somnio Scip., 3. *eaque* (hominibus) *animus datus est ex illis sempiternis ignibus, quae sidera et stellas vocatis.* quae Macrobius exponens, Comment. in Somn. Scip. 1, 14. *mentem*, inquit, *praestat intelligi, quae nobis proprie cum coelo sideribusque communis est.* H. Vossius, incertum quo auctore: *Nach der Vorstellung einiger Weltweisen war des Menschen Seele ein Theil des feurigen, alldurchdringenden Weltgeistes, und kehrte nach dem Tode des Leibes als Gestirn zum Aether zurück. Je feuriger die Seele gewesen war, je feuriger stralte sie am Himmel fort; aber ungesehn verdumpfte die werthlose Seele als mattes Licht in der Wolkenregion. — οὐδ'. ne id quidem*, quod verissimum duxi.

773. ll. deteriore numero μάλιστα. | — καὶ τίς ἐστιν | ἀστὴρ | νῦν ἐκεῖ; — ἐστὶ, est, factus est. quaerit, quis recens mutatus ibi fuerit in stellam.

774. Ἴων ὁ Χῖος. διθυράμβων, καὶ τραγῳδίας, καὶ μελῶν ποιητής. ἐποίησε δὲ ᾠδὴν, ἧς ἡ ἀρχὴ ἀοῖον ἀερορροίταν ἀστέρα μείνομεν ἀελίου λευκῇ πτέρυγι (B. ἀ. ἀμερδροίταν ἀ. μείναμεν ἀ. λευκοπτέρυγα) πρόδρομον. φαίνεται δὲ τετελευτηκὼς ἐκ τούτων. καίτοι οὖν ὁ Ἀριστ. ἀοῖον αὐτόν φησιν ἀστέρα κληθῆναι etc. S. floruit Ion Chius, vir celeber, circa Olymp. 82. vide Bentl. Opusc. philol. p. 494. sequ. ed. Lips., Fabric. B. gr. 2. p. 307. sequ. ed. Harl., et inprimis doctissimi E. Köpkei librum de Ione et ejus scriptis.

ΟΙ. τίνες γάρ εἰσ' οἱ διατρέχοντες ἀστέρες,
οἵ καόμενοι θέουσιν;
ΤΡ. ἀπὸ δείπνου τινὲς
τῶν πλουσίων οὗτοι βαδίζουσ' ἀστέρων,
ἱπνοὺς ἔχοντες, ἐν δὲ τοῖς ἱπνοῖσι πῦρ.
ἀλλ' εἴσαγ' ὡς τάχιστα ταυτηνὶ λαβών,
καὶ τὴν πύελον κατάκλυζε, καὶ θέρμαιν' ὕδωρ,
στόρνυ τ' ἐμοὶ καὶ τῇδε κουρίδιον λέχος·
καὶ ταῦτα δράσας ἧκε δεῦρ' αὖθις πάλιν·
ἐγὼ δ' ἀποδώσω τήνδε τῇ Βουλῇ τέως.
ΟΙ. πόθεν δ' ἔλαβες ταύτα σύ;
ΤΡ. πόθεν; ἐκ τοὐρανοῦ.
ΟΙ. οὐκ ἄν ἔτι δοίην τῶν θεῶν τριώβολον,
εἰ πορνοβοσκοῦσ', ὥσπερ ἡμεῖς οἱ βροτοί.
ΤΡ. οὔκ, ἀλλὰ κἀκεῖ ζῶσιν ἀπὸ τούτων τινές.
ΟΙ. ἄγε νυν ἴωμεν. εἰπέ μοι, δῶ καταφαγεῖν
ταύτῃ τι;
ΤΡ. μηδέν· οὐ γὰρ ἐθελήσει φαγεῖν,
οὔτ' ἄρτον, οὔτε μᾶζαν, εἰωθυῖ' ἀεὶ
παρὰ τοῖς θεοῖσιν ἀμβροσίαν λείχειν ἄνω.
ΟΙ. λείχειν ἄρ' αὐτῇ κἀνθάδε σκευαστέον.
ΧΟ. εὐδαιμονικῶς ὁ πρεσβύτης, ὅσα γ' ὧδ' ἰδεῖν, τανῦν τώδι
πράττει. as., 2 ion. a ma. d. c. et sim. br. στ.

778. οἱ καόμενοι. οἱ σπινθηρίζοντες, οἱ καλούμενοι διάττοντες, οἱ ἐν τῷ λάμπειν τοὺς σπινθῆρας πέμποντες. S. trajectiones stellarum, *Sternschnuppen*, de quibus Aristotelem Meteorol. 1, 4. sequ. laudavit Fl. Chr.

780. ἱπνούς. οὓς νῦν ἡμεῖς λαμπτῆρας, ἢ φανοὺς (laternas), καλοῦμεν. τοὺς δὲ νῦν φανοὺς καλουμένους λύχνους τινάς φασι λέγειν τῶν παλαιῶν, τὰς δὲ λαμπάδας τοὺς Τραγικοὺς φανούς, ἢ πανοὺς διὰ τοῦ π. S. de hoc vide, quos laudant, Aeschyl. Ag. 275. ed. Blomf., et Valck. ad Ammon. cf. etiam Euripidis interpp. ad Ion. 1188., de vocabulo ἱπνός autem 514. et annot. ad Plut. 811.

781. — τὴν μὲν Ὀπώραν τοῖς οἰκέταις ὁ Τρυγαῖος δίδωσιν ἀπάγαγεῖν εἰς τὴν οἰκίαν, ὡς αὐτὸς αὐτὴν γαμήσων. καὶ παρακελεύεται τὰ πρὸς τοὺς γάμους αὐτῇ εὐτρεπίσαι· τὴν δὲ Θεωρίαν αὐτὸς φησὶν ἀπομόσας δώσειν τῇ Βουλῇ. — S.

786. vulgo ταῦτα. Rav., Bekk., ταύτας. „ταύτα est dualis femin. generis, ut Acharn. 491. πόρνα.“ Br. sic etiam D.

788. πορν. cf. 498.

793. λείχειν ἄνω. τοῦτο καὶ τὸ ἑξῆς (versu sequ.) διὰ τὸ κατέμφατόν τινες παραιτοῦνται (h. e. ἀποτρέπουσιν), ὅτι ἐπαμφοτεριζόντως λέλεκται, καὶ πρὸς τὸ πρᾶγμα (intell. τοῦ λείχειν ἀμβροσίαν), καὶ πρὸς τὸ ἀσελγές. S. laudavit Br. Martial. 2, 50. λείχειν — σκευαστ. ergo *hic quoque parandum illi est, quod lingat.* λεσβίζειν dixit Vesp. 1300.

795. metri genus, de quo ad 741.

TP. τί δῆτ', ἐπειδὰν νυμφίον μ' ὁρᾶτε λαμπρὸν ὄντα; i. t. c.
XO. ζηλωτὸς ἔσει, γέρον, αὖθις νέος ὢν πάλιν, μύρῳ κατάλειπτος. as. simil. 795.
TP. οἶμαι. τί δῆθ', ὅταν ξυνὼν τῶν τιτθίων ἔχωμαι; i. t. c.
(5) *XO.* εὐδαιμονέστερος φανεῖ τῶν Καρκίνου στροβίλων.
800 *TP.* οὔκουν δικαίως, ὅστις εἰς ὄχημα κανθάρου πιβὰς i. t.
ἔσωσα τοὺς Ἕλληνας, ὥστ' ἐν τοῖς ἀγροῖς i. tr.
ἅπαντας ὄντας ἀσφαλῶς κινεῖν τε, καὶ καθεύδειν; i. t. c.
OI. ἡ παῖς λέλουται, καὶ τὰ τῆς πυγῆς καλά· i. tr.
ὁ πλακοῦς πέπεπται, σησάμοις ξυμπάττεται,
805 καὶ τἄλλ' ἅπαξάπαντα· τοῦ πέους δὲ δεῖ.
TP. ἴθι νυν ἀποδῶμεν τήνδε τὴν Θεωρίαν
ἀνύσαντε τῇ Βουλῇ.
OI. τί ταυτηνί; τί φής;
αὕτη Θεωρία 'στὶν, ἣν ἡμεῖς ποτε
ἐπαίομεν Βραυρῶναδ' ὑποπεπωκότες;

796. τί δῆτ' ἐρεῖτε — cf. 798, Ach. 948. etc. λαμπρόν, *splendidum, elegantem.*

799. — στροβίλους φησὶ τοὺς τοὺς ἢ διὰ τὸ τραχὺ τοῦ σώματος, ἢ πρὸς τὸ τοῦ Καρκίνου ὄνομα παίζων· ὀστρακόδερμοι γὰρ οἱ καρκίνοι, καθάπερ καὶ οἱ στρόβιλοι, τουτέστιν οἱ κοχλίαι, ἢ οἱ θαλάττιοι κήρυκες. ἢ διὰ τὸ ἐν τῇ ὀρχήσει στροβεῖσθαι, ἐπειδὴ καὶ οἱ στρόβιλοι κώνου ἐπέχουσι δίκην. ἄλλως. στρόβιλός ἐστιν ἡ συστροφή. στροβίλους οὖν εἶπε καθὰ καὶ ἀλλαχοῦ (742.) γυλιούχενας. S. ita vocat Carcini filios, ludens in homonymia voc. στρόβιλος, quae et *nucem pineam* significat, et *saltationis* genus quoddam, quia erant saltatores. (vox πολύσημος: vide Plat. Rep. 4, 149. et lexicographos.) simili ratione eosdem istos vocat ὀρχίλους Vesp. 1511., ludens in vocibus ὀρχεῖσθαι *saltare* et ὀρχίλος *orchilus, avicula quaedam.* Be. cf. 743.

802. κιν., καθ. cf. 340.

803. τὰ τῆς πυγῆς. h. e. ἡ πυγή. B.

804. vulgo σησαμῆ (Bekk. σ — μὴ) ξυμπλάττεται. membr. Paris. σησάμοις, cui aptum ξυμπάττεται, *conspergitur* (scil. ὁ πλακοῦς). noti enim seminibus sesami conspersi, vel cum iis cocti, panes ex Athenaeo p. 111., 115., et σασαμόπαστα πέμματα dicit Philoxenus ibidem p. 643. male igitur Br. σησαμοῦς, quasi alia quaedam placenta diceretur. S.: σησαμῆ. (fort. σησάμῳ.) παρὰ τὸ ἐν τοῖς γάμοις ἔθος. ἐδόκουν γὰρ ἐν τοῖς γάμοις σήσαμον (?) διδόναι, ὃς ἐστι πλακοῦς γαμικὸς ἀπὸ σησάμου πεποιημένος, διὰ τὸ πολύγονον, ὥς φησι Μένανδρος. — de sesamo v. Billerbeckii Flor. class. h. v.

807. ἀνύσ. ponitur ap. Nostrum inprimis particip. ἀνύσας cum alio verbo sic, ut sit *quam celerrime.* v. Viger. de Id. l. gr. p. 350. ed. recentiss. B. Rav.: ἀνύσ. τῇ Βουλῇ ταυτηί. *OIK.* τί φής; D. ἀν. τῇ B. τί ταυτηί; *OIK.* τί φ.; in quibus nescio quid sibi velit τὶ in oratione Trygaei. vulgo ἀν. τῇ B. *OIK.* τίς ἔσθ' αὕτη; τί φ.;

809. ἐπαίομεν. παίειν hic ut 833., Conc. 874. pro ἐλαύνειν et συνουσιάζειν. — *Fl. Chr.* Βραυρ. intell. ἰόντες, vel quiddam simile. S.: Βραυρὼν πόλις τῆς Ἀττικῆς, ἐν ᾧ (ᾗ) τὰ Διονύσια ἤγοντο, καὶ μεθύοντες πολλὰς πόρνας ἥρπαζον. „vidd., qui de pagis Atticae scripserunt, ut Meursius, et Hemsterhus. ad Polluc. p. 1046., de sacris autem Dianae Brauroniae

ΤΡ. σάφ' ἴσθι, κἀλήφθη γε μόλις.
ΟΙ. ὦ δέσποτα,
ὅσην ἔχει τὴν πρωκτοπεντετηρίδα!
ΤΡ. εἶεν, τίς ἔσθ' ὑμῶν δίκαιος; τίς ποτε,
τίς διαφυλάξει τήνδε τῇ Βουλῇ λαβών;
οὗτος, τί περιγράφεις;
ΟΙ. τὸ δεῖν', ἐς Ἴσθμια
σκηνὴν ἐμαυτοῦ τῷ πέει καταλαμβάνω.
ΤΡ. οὔπω λέγεθ' ὑμεῖς, τίς ὁ φυλάξων; — δεῦρο σύ·
καταθήσομαι γὰρ αὐτὸς εἰς μέσους ἄγων.
ΟΙ. ἐκεινοσὶ νεύει.
ΤΡ. τίς;
ΟΙ. ὅστις; Ἀριφράδης,
ἄγειν παρ' αὐτὸν ἀντιβολῶν.
ΤΡ. ἀλλ', ὦ μέλε,
τὸν ζωμὸν αὐτῆς προσπεσὼν ἐκλάψεται.—
ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί.
* Βουλή, πρυτάνεις, ὁρᾶτε τὴν Θεωρίαν.

Potter. Arch. gr. t. 1. p. 818 sequ. interpr. Ramb." B.

811. πρωκτ. *παρόσον διὰ πεντατηροῦς χρόνου ἤγοντο αἱ Θεωρίαι τῶν Διονυσίων.* S.

812. δίκαιος, *probus et continens homo.* B.

814. τὸ δεῖνα. exclamatio. vid. Schneider. lex. h. v. S. Rav.: ἐς Ἴσθμια. *οἱ γὰρ θέλοντες Θεωρεῖν προκαταλαμβάνουσιν ἑαυτοῖς τόπους.* (Flor. Chr., secundum alia quaedam apud S. et Leopardum in Emendd.: „respondet famulus, quasi de sede cogitet ad spectacula Isthmiaca, ubi in honorem Neptuni γυμνικὸς ἀγὼν erat. dixit autem σκηνὴν καταλαμβάνειν, ut solent boni auctores graeci θέαν καταλαμβάνειν.") ἐς Ἴσθμια *δὲ εἴρηκεν ἅμα ὅτι καὶ ἀγὼν Ἰσθμιακὸς, καὶ διὰ τὴν στενότητα τοῦ αἰδοίου τῆς πόρνης (διὸ καὶ εἶπε τῷ πέει σκηνὴν ποιῶ)· στενὸς δὲ καὶ ὁ Ἴσθμος.* —

816. Trygaeus primum spectatores alloquitur; deinde (δεῦρο σὺ) Theoriam. ad spectatores etiam pertinent verba μέσους αὐτοὺς et ἐκεινοσί. B.

817. ita D. mendose Rav. αὐτούς. vulgo κ. γ. εἰς μέσ. αὐτοὺς ἄ.

818. Ἀριφράδης, cunnilingus, vide Equ. 1169. sequ.

820. quatenus Theoria (θεωρία) est festorum et sacrificiorum celebratio, per ζωμὸν intelligitur *jus culinarium*; sed quatenus meretrix, intelligitur ἡ ἀπόπτυστος δρόσος, quam solebat Ariphrades *ἐν τοῖς κασαυρίοισι λέγειν*, ut de eo loquitur in Eq. l. l. etiam sequentia, quae dicit de Theoria, duplicem habent sensum. Bs.

821. τὰ σκεύη. τὰ μαγειρεῖα, διὰ τὸ θύειν ἐν ταῖς πανηγύρεσιν. ἢ πρὸς τὴν Θεωρίαν λέγει, φέρουσάν τινα εἰρήνης κ. γεωργίας σύμβολα. S. „haec non ad servum, sed ad Theoriam dicuntur, quam Senatui monstrare et tradere vult, ut est. σκεύη sunt omnia ejus ornamenta et instrumenta." B.

822. Βουλή, πρυτάνεις. appellatio ταυτολόγος minimeque elegans. ponendum censeo Βουλὴ πρύτανις, *Senatus supreme.* ita Aesch. A. 675. τύχη δὲ σωτὴρ pro σώτειρα. cf. Matth. gr. §. 429, 4. et supra 509. nominativus πρύτανις pro vocativo usurpa-

σκέψασθ', ὅσ' ὑμῖν ἀγαθὰ παραδώσω φέρων,
ὥστ' εὐθέως ἄραντας ὑμᾶς τῷ σκέλη
ταύτης μετέωρα καταγαγεῖν ἀνάῤῥυσιν.
τουτὶ δ' ὁρᾶτε τοὐπτάνιον ὑμῖν καλόν!
διὰ ταῦτα καὶ κεκάπνικεν ἄρτ'. ἐνταῦθα γὰρ
πρὸ τοῦ πολέμου τὰ λάσανα τῇ Βουλῇ ποτ' ἦν.
ἔπειτ' ἀγῶνά γ' εὐθὺς ἐξέσται ποιεῖν
ταύτην ἔχουσιν αὔριον καλὸν πάνυ,
ἐπὶ γῆς παλαίειν, τετραποδηδὸν ἑστάναι,
καὶ παγκράτιόν γ' ὑπαλειψαμένοις νεανικῶς
παίειν, ὀρύττειν, πὺξ ὁμοῦ καὶ τῷ πέει.
τρίτῃ δὲ μετὰ ταῦθ' ἱπποδρομίαν ἄξετε,
ἵνα δὴ κέλης κέλητα παρακελητιεῖ,
ἅρματα δ' ἐπ' ἀλλήλοισιν ἀνατετραμμένα

tus, ut saepe fit. *πρυτάνεις* nescio quis videtur scripsisse, qui verbum *ὁρᾶτε* relatum ad nomen singulare miraretur, et 840. legisset *ὦ Πρυτάνεις*. ceterum prytanes senatui praesidebant: v. Harpocratio h. v. et scriptores antiquitatum gr. cf. etiam 840.

825. *ἀνάῤῥυσις κυρία τῶν Ἀπατουρίων ἡμέρα. Ἀπατούρια δὲ ἑορτὴ παρ' Ἀθηναίοις, τὸ συμβὰν δηλοῦσα τῇ προσηγορίᾳ. καὶ ἀναῤῥύσειν (ἀναῤῥύειν) τὸ ἐπιθύειν, ἀντὶ τοῦ θυσίαν ἐπιτελεῖν. τρεῖς δὲ ἦσαν αἱ ἡμέραι τῶν Ἀπατουρίων, Δόρπεια, Κουρεῶτις, Ἀνάῤῥυσις.* S. — vereor ut de hoc festo cogitaverit Aristoph. *ἀνάῤῥυσις* videtur esse sacrificium, quae metaphora usitata est in re amoris.

826, 7. *τουτὶ — καλόν*. huc referenda sunt, quae sequuntur verba *ἐνταῦθα — ἦν*. ridicule autem haec immiscet *διὰ τ. π. κεκ. ἄρτ'*, *propterea* (quia haec culina est senatus) *etiam nunc ipsum fumavit*. mendose vulgus codicum *κεκάπνικ'. ἄρ'*. Rav. *κ. ἄρα*, quod natum procul dubio ex *ἄρτι*. „quatenus Theoria est festorum celebratio, *ὀπτάνιον* est culina, ubi post sacrificium carnes coquuntur; quatenus est meretrix, *τὸ αἰδοῖον* ejus, quod monstrat." *Be.* S. — *τὸ αἰδοῖον αὐτῆς δείκνυσι. — καὶ κεκαπνικ', ὡς ἀποπνευματισάσης. τὸ δὲ κεκάπνικεν, ὡς ἐπὶ ὀπτανίου.* pedere fingitur Theoria, quod dixit Comicus *καπνίζειν*, *fumare*, a cognato, quoniam accensus in culina ignis fumare et crepitare solet.

828. *τὰ λάσανα. ὅτι οὕτως οἱ χυτρόποδες. ἐπεὶ δὲ εἶπε τὸ ὀπτανεῖον*, (Attici *ὀπτάνιον* dicebant: v. Phrynich., Etymol. *Bentl.*) *ἐπήγαγε καὶ τὰ λάσανα, δηλοῖ δὲ* (?) *τοὺς δασεῖς αὐτῆς μηροὺς.* —

329. ita Bekk. Rav. *ἀγῶνά θ'*. D. *ἀγῶνα δ'*.

831. *ἅπαντα ὡς ἐπὶ συνουσίας σχημάτων, καὶ Θεωρίας.* S. *τῷ τετραποδηδὸν ἑστάναι* nihil aliud significari videtur quam venus stataria, simili joco Francogalli *faire la bête à deux dos*.

833. *πὺξ ὁμοῦ. παρὰ τὸ λεγόμενον „πὺξ ὁμοῦ καὶ τῷ σκέλει." παρὰ προσδοκίαν οὖν ἀντὶ τοῦ τῷ σκέλει, δεικνύς τε τὰ μὲν ὡς ἐπὶ παλαισμάτων, τὰ δὲ ὡς ἐπὶ γυναικείων σχημάτων.* S.

835. *ἱππ. τὸ γὰρ παλαιὸν ταῖς ὑστέραις ἡμέραις τὰς ἱπποδρομίας ἦγον ἐν ταῖς ἀγῶσι.* S.

835. *κέλης κέλητα. παρὰ τὴν συνουσίαν, καὶ τοὺς κέλητας ἵππους, οἵ εἰσι μονάτορες.* S.

836. *ἀντὶ τοῦ εἰπεῖν σώματα περικείμενα ἀλλήλων ἅρματα εἶπε. τῇ δὲ τρίτῃ τῶν Ἀπατουρίων ἱπποδρομία ἄγεται.* S.

φυσῶντα, καὶ πνέοντα, προσκινήσεται·
ἕτεροι δὲ κείσονταί γ' ἀπεψωλημένοι
περὶ ταῖσι κάμπαις ἡνίοχοι πεπτωκότες.
ἀλλ', ὦ Πρυτάνεις, δέχεσθε τὴν Θεωρίαν. —
θέασ', ὡς προθύμως ὁ Πρύτανις παρεδέξατο!
ἀλλ' οὐκ ἄν, εἴ τι προῖκα προσαγαγεῖν σ' ἔδει,
ἀλλ' εὗρον ἄν σ' ὑπέχοντα τὴν ἐκεχειρίαν.
ΧΟ. ἦ χρηστὸς ἀνὴρ πολίτης ἐστὶν ἅπασιν, ὅστις γ' ἐστὶ τοιοῦτος! ἀντ.
ΤΡ. ὅταν τρυγᾶτ', εἴσεσθε πολλῷ μᾶλλον, οἷός εἰμι.
ΧΟ. καὶ νῦν σύ γε δῆλος εἶ· σωτὴρ γὰρ ἅπασιν ἀνθρώποις γεγένησαι....
ΤΡ. φήσεις, ἐπειδὰν ἐκπίῃς οἴνου νέου λεπαστήν.
ΧΟ. καὶ πλήν γε τῶν θεῶν ἀεί σ' ἡγησόμεσθα πρῶτον.
ΤΡ. πολλῶν γὰρ ὑμῖν ἄξιος Τρυγαῖος Ἀθμονεὺς ἐγώ,
δεινῶν ἀπαλλάξας πόνων τὸν δημότην ὅμιλον,
καὶ τὸν γεωργικὸν λεών, Ὑπέρβολόν τε παύσας.
ΧΟ. ἄγε δή, τί νῷν ἐντευθενὶ ποιητέον; i. tr.
ΤΡ. τί δ' ἄλλο γ' ἢ ταύτην χύτραις ἰδρυτέον;

837. πρόσκιν. ut Lys. 227. cf., si vacat, Fl. Chr. et Be.

839. κάμπαις. συστροφαῖς. — S. *flexibus curriculi.*

840. seqq. τοῖς πρυτάνεσιν ἔθος ἦν προσάγειν τοὺς δεομένους εἰς τὴν Βουλήν, καὶ δῆλον, ὅτι ἐδωροδοκοῦντο παρὰ τῶν χρῃζόντων προσελθεῖν. — σκώπτει γοῦν αὐτούς, ὡς ἥττους ὄντας λήμματος. — τὴν δὲ ἐκεχειρίαν ἅμα μὲν ὡς προφασιζομένων „ὅτι ἐκεχειρία ἐστίν, οὐ δυνάμεθα τήμερον προσάγειν." — ἐκεχειρία (h. e. proprie ἐχεχειρία) δὲ ἡ ἀνοχὴ τοῦ πολέμου, παρὰ τὸ ἀπέχειν τὰς χεῖρας. (etiam τροπικῶς dicitur, velut Tatius p. 164. ed. Jacobs. πάσης εἶναι δεῖν τιμωρίας ἐκεχειρίαν. h. l. significat *justitium*, quod prytanem causari (ὑπέχειν) dicit, si quis nihil doni afferat.) — S.

844. ἐστὶν ἅπ., *est omnibus*, h. e. habent eum omnes pro viro bono.

845. ὅταν τρ. quando vindemia erit, ut in pace.

847. λεπ. εἶδος ποτηρίου μεῖζον ἢ κύλιξ. οὕτω Σύμμαχος· ὁ δὲ Παλαμήδης τὸ πιθάριον ἐκδέχεται. S. *lepistam*, seu *lepastam*. v. Non. 15, 35., Fest. p. 375. ed. Gothofr. Cratinum, vocabulo λεπασταὶ (κύλικές τινες) usum, laudavit Phot. p. 157. B.

849. ita Porson. ad Hecub. 313, aliique. libri solito errore Ἀθμονεύς.

850. δημότην. δημοτικόν. tribulibus suis et omnino agricolis, opem se tulisse ait bello laborantibus, quo urbani minus affligebantur.

851. de Hyperbolo dictum ad 645.

853. χύτραις ἱδρ. ὁτὲ μὲν ταῖς χύτραις ὅσπρια ἥψων, ὁτὲ δὲ ἄλλο τι πολυτελέστερον ἱερεῖον, καὶ οὕτως ἵδρυον, καὶ πρὸς τὸ θυόμενον ἔλεγον βοῖ ἱδρύεσθαι, ἢ αἰγί, ἢ προβάτῳ, ἢ οἷον ἂν ᾖ τὸ ἱερεῖον, ὥσπερ ἐν Πλούτῳ. (1193., ubi vid. annot.) — ἄλλως. ὁπότε μέλλοιεν βωμοὺς καθιδρύειν, ἢ ἀγάλματα θεοῦ, ξύοντες ὅσπρια ἀπήρχοντο, τούτοις τοῖς ἀφιδρυμένοις χαριστήρια ἀπανέμοντες τῆς πρώτης διαίτης, ὡς οὗτος εἶπεν ἐν Δαναΐσι μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας, Μεθ' ὧν ὁ βωμὸς οὗτος ἱδρύθη

XO. χύτραισιν, ὥσπερ μεμφόμενον Ἑρμίδιον;
TP. τί δὴ δοκεῖ; βούλεσθε λαρινῷ βοΐ;
XO. βοΐ; μηδαμῶς, ἵνα μὴ βοηθεῖν ποι δέοι.
TP. ἀλλ' ὑῒ παχείᾳ, καὶ μεγάλῃ;
XO. μὴ, μή,
TP. τιή;
XO. ἵνα μὴ γένηται Θεαγένους ὑηνία.
TP. τῷ δὴ δοκεῖ σοι δῆτα τῶν λοιπῶν;
XO. ὀΐ.
TP. ὀΐ;
XO. ναὶ μὰ Δί'.
TP. ἀλλὰ τοῦτό γ' ἔστ' ἰωνικὸν τὸ ῥῆμ'.
XO. ἐπίτηδές γ', ἵν', ἐὰν ἐν τῇ 'κκλησίᾳ,

ποτέ. ποτὲ δὲ καὶ πολυτελεστέρῳ ἱερείῳ ἀφιδρύοντο, ὡς φησι καὶ ἐν τοῖς ἑξῆς (1015.) εἰρήνην εἵλαντο (sic), καὶ ἱδρύσανθ' ἱερείῳ etc. S.

154. ἠγανάκτησαν ἐν χύτραις ἀκούσαντες ἱδρύεσθαι τὴν Εἰρήνην, ὡς εὐτελοῦς οὔσης τῆς θυσίας —. Ἑρμ. (cf. 376.) ἀντὶ τοῦ εὐτελὲς, ὡς τοῦ Ἑρμοῦ χύτραις ἱδρυμένου ἐπὶ πολὺ, ὡς μέμφεσθαι αὐτόν. S. Sensus est: ollisne (leguminum adhibitis) eam consecremus, veluti Hermulam (ante fores), quae queritur se coli vili ritu (i. e. vilem)? B. de cultu Εἰρήνης, seu Pacis, deae ap. Graecos et Rom. vidd. Paus. Att. 8., Boeot. 16., Plut. Cimone, Sueton. Vespas. c. 9., Plin. H. N. 33, 8., Hirt. *Bilderb. für Mythol.* p. 104 sequ., aliique.

855. λαρινῷ. Casaub. ad Ath. 9, 4.: „Graecis λαρὸν et λαρινὸν dicitur τὸ ἡδύ (Phot. lex. p. 152., Zonar. 2, 1289. B.), quod placet ac gratum est: inde λαρινεύειν dictum, quod non simpliciter σιτίζεσθαι significat, ut Athen. interpretatur, sed *habere molliter et delicate.* Epirotici boves Larini (λαρινοὶ) dicti, quod ad victimas impinguabant, ut docet Varro lib. de Re rust. (cap. 5, 10., ubi cf. Schneider. t. I. p. 2. p. 447. B.)" Graeci grammatici a Larino quodam, aut a Larina, quae fuerit pagus aliquis epiroticus (secundum Athen. l. l.), ita dictos boves istos putant. Be. S. inter alia λαρινῷ. μεγάλῳ, καὶ εὐτραφεῖ. τοὺς δὲ ἠπειρωτικοὺς βοῦς οὕτω λέγουσιν ἀπό τινος Λαρινοῦ βουκόλου, παραλαβόντος παρὰ Ἡρακλέους τοὺς Γηρυόνου βοῦς, καὶ θρέψαντος εἰς εὐεξίαν. τοῦτο δὲ Ἡρωδιανὸς ὀξύνει ἐν τῷ ζ' τῆς καθόλου, λαρινὸς ὡς ἀληθινὸς, ὥστε περισπαστέον τὴν δοτικὴν λαρινῷ.

856. βοηθεῖν. ἐπὶ μάχην δραμεῖν. S. verbis ludit, ut etiam in seqq.

858. Θεαγ. ὑηνία. μωρία, ἀμαθία. διεβάλλετο γὰρ ὁ Θεαγένης εἰς μαλακίαν, καὶ ὡς μωρὸς, καὶ ὑώδης. ἦν δὲ ἐκ Πειραιῶς. ἐδόκει δὲ καὶ πένης εἶναι, θρύπτεσθαι δὲ ἐπὶ πλούτῳ. ἦν δὲ τὸ σῶμα παχὺς, καὶ λοίδορος. — ἔστι δὲ ἄλλος Θεαγ. ὁ εἰς Ὅμηρον γράψας, ὃς καὶ ἐπὶ μαλακίᾳ διεβάλλετο, καὶ ἄλλοι. S. „velut Megarensium ille rex, Cylonis socer, ap. Thuc. 1, 126." Fl. Chr.

860. ἰωνικόν. οἱ γὰρ Ἴωνες δισυλλάβως λέγουσιν ὄϊς, οἱ δὲ Ἀττικοὶ μονοσυλλάβως τὰς οἷς etc. S.

861. ita Porson. ap. Dobr. libri mendose: τὸ ῥῆμά γ'. *XO.* ἐπ. γ', ἵν' ἐν τῇ 'κκλησίᾳ. Rav. τὸ ῥ. *XO.* ἐπ. γ', ἵν' ἐν τἠκκλησίᾳ — λέγει —. Br. ἵν', εἰ τῇ 'κλ. — λέγοι — dure D. ἐπ. οὖν, ἵν' ἐν τἠκ. — λέγων τις —. ἐπίτηδες. cf. 717.

ὡς χρὴ πολεμεῖν, λέγοι τις, οἱ καθήμενοι
ὑπὸ τοῦ δέους στένωσ' ἰωνικῶς ὀΐ...
TP. εὖ τοι λέγεις.
XO. καὶ τἄλλα γ' ὧσιν ἥπιοι·
ὥστ' ἐσόμιεθ' ἀλλήλοισιν ἀμνοὶ τοὺς τρόπους,
καὶ τοῖσι συμμάχοισι πραότεροι πολύ.
TP. ἴθι νυν, ἄγ' ὡς τάχιστα τὸ πρόβατον λαβών·
ἐγὼ δὲ ποριῶ βωμὸν, ἐφ' ὅτου θύσομεν.
XO. ὡς πάνθ', ὅσ' ἂν θεὸς θέλῃ χὴ τύχη κατορθοῖ, Eurip. ἀλλοιόσι.
χωρεῖ κατὰ νοῦν, ἕτερον δ' ἑτέρῳ τούτων κατὰ καιρὸν ἁπαντᾷ! a. Arist.
TP. ὡς ταῦτα δῆλά γ' ἔσθ'· ὁ γὰρ βωμὸς θύρασι καὶ δή. i. t. c.
ἐπείγετε νῦν, ἐν ὅσῳ σοβαρὰ θεόθεν κατέχει amph. hex. c.
πολέμου μετάτροπος αὔρα· an.
νῦν γὰρ δαίμων φανερῶς ἐς ἀγαθὰ μεταβιβάζει. as., a. d. br. et an.
XO. τὸ κανοῦν πάρεστ', ὀλὰς ἔχον, καὶ στέμμα, καὶ μάχαιραν, i. t. c.
καὶ πῦρ γε τουτί, κοὐδὲν ἴσχει πλὴν τὸ πρόβατον ἡμᾶς.

863. στένωσ'. ll. λέγωσ', putide quidem, cum antecesserit λέγοι, idque sensu magis proprio. huc accedit scholiastae auctoritas, qui sic: ἵνα ἐπιστένωσι τῷ εἰσηγουμένῳ πόλεμον. τὸ γὰρ ὀΐ ὀδυρομένων ἐστὶν ἐπίφθεγμα, καὶ δυσχεραινόντων. (est οἴ vulgare.) Δίδυμος δὲ ἐν ἐκτάσει (ut scribendum sit ὀΐ). οἱ γὰρ φοβούμενοι οὕτω λέγουσιν. S.

865. ἀμνοὶ τοὺς τρόπους. εὐήθεις, δειλοὶ ὡς οἱ κριοί. — S.

871. ita Suid. vv. βωμὸς et θύρασι, Dobr. in annot., D. vulgo θύραισι. vide Elmsl. ad Soph. Oedip. Col. 366. et Eurip. Med. 466. p. 157., collato Eurip. El. 1007. sic etiam 949. versu hujus fabulae erratum est. — ὁ γὰρ — δή. paulo insolentius est, καὶ δὴ poni in extrema sententia; nec tamen quidquam mutandum, sed hyperbaton hoc est, ita explicandum: καὶ γὰρ ὁ βωμὸς θύρασι δή.

872. — 881. perincommode libri *XO.* ἐπείγετε —. *TP.* τὸ κανοῦν —. *XO.* οὔκουν —. *TP.* ἄγε δὴ etc. vel imperativus ἐπείγετε et futura ἀμιλλήσεσθον, προσδώσετε, indicio esse poterant, haec Choro dici a Trygaeo, non contra. — ἐν ὅσῳ — αὔρα. *dum mobilis obtinet divinitus, sive invalescit, aura illa, quae bellum convertit*, h. e. finivit. μετάτροπος πολέμου, ut ἀνθρώπων δηλήμονες Herodot. 2, 74., quod cum aliis genitivi sic usurpati exemplis protulit Matth. gr. §. 322., A, 1. — S. σοβαρὰ, σεσοβημένη, εὐκίνητος.

375., 6. instrumentum sacrificii. S. ὁλάς. ἀντὶ κριθάς. ὅτι ἐκέκρυπτο ἐν τῷ κανῷ ἡ μάχαιρα ταῖς ὁλαῖς, καὶ τοῖς στέμμασι. — Be.: „πλὴν τὸ πρόβατον. quasi dicat „*et ephippium et frenum habeo, tantum equum non habeo*, ἐν ᾧπερ ἐστι πάντα μοι τὰ πράγματα. neque hodie certe mactabitur illa ovis, etsi omnia ad sacrificandum parata sunt, ἀλλ' ὅψε προφάσεις αὐτὸν παρέχοντα (944)."

TP. οὔκουν ἁμιλλήσεσθον; an.
ὡς, ἣν Χαῖρις ὑμᾶς ἴδῃ, ant. an. d.
πρόσεισιν αὐλήσων ἄκλητος, κἀντὶ τοῦδ' εὖ οἶδ' ὅτι i. t.
880 φυσῶντι, καὶ πονουμένῳ, προσδώσετε δήπου. as., i. d. et a. h.
ἄγε δή, τὸ κανοῦν λαβὼν σὺ, καὶ τὴν χέρνιβα, i. tr.
περίῑθι τὸν βωμὸν ταχέως ἐπιδέξια.
OI. ἰδού. λέγοις ἂν ἄλλο· περιελήλυθα.
TP. φέρε δή, τὸ δαλίον τόδ' ἐμβάψω λαβών.
885 σείου σὺ ταχέως· σὺ δὲ πρότεινε τῶν ὁλῶν,
καὐτός τε χερνίπτου, παραδοὺς ταύτην ἐμοί,
καὶ τοῖσι θεαταῖς ῥίπτε τῶν κριθῶν.
OI. ἰδού.

877. duobus servis haec dicit, quorum deinde unum appellat 881. cf. 885.

878. *Χαῖρις.* τῶν περὶ τὰς θυσίας αὐλητῶν ἦν ὁ Χαῖρις. ἦν δὲ καὶ ἕτερος κιθαρῳδός. S. „idem de hoc Chaeride ad Av. 859. ὡς αὐτομάτως ἐπιόντος αὐτοῦ ταῖς εὐωχίαις." *Be.*

879. *κἀντὶ τοῦδ'.* obscure ll. *κἄτα τοῦτ'. ἀντὶ τοῦδε, pro hoc,* i. e. potius quam audiatis miserum ejus cantum. Droysen

So lauft doch um die Wette hin;
Denn sähe der Chäris uns,
So käm' er ungeladen her,
Und flötete so verflucht,
Dass, wie er schnaubt und wie er blāst,
Ihr gäbt ihm obenein was!

882. *περίῑθι. τοῦτο πρῶτον ἐποίουν, καθαίροντες τὸν βωμόν.* S. — nam prius quam sacrificarent liquore expiatorio vel aqua manuali abluebantur. — hinc lustralis unda, qua etiam utuntur Christiani, et quam sacerdos spargit circa populum, antequam sacra peragat. — aqua autem illa spargi vett. vocabant *χερνίπτεσθαι.* (886) lege Athen. 9. (t. 3. p. 511. seqq. ed. Schweigh.) etc. *Fl. Chr.*

883. *ἰδού.* vox obedientis.

884, 5. *δαλίον* Suid. h. v. 1. p. 506., probante ibi Küstero ex Eurip. Herc. fur. 928. (837.) *Dobr.* ita etiam Br., D. codd. Arist. *δᾳδίον.* Hesych. *δαλίον: δαλόν. ἐν ταῖς ἱεροποιαῖς εἰώθασι τὸν δαλὸν ἐμβάλλειν εἰς τὴν χέρνιβα, καὶ περιῤῥαίνειν τὸν βωμόν.* vid. Lysistr. 1129. S.: — *καθαρτικὸν γὰρ πάντων τὸ πῦρ.* — cf. Eurip. Iphig. A. 995. *σείου.* torrem famulo traditum quassari, et aqua conspergi aram, jubet. — B.: *πρότ. τῶν ὁλῶν,* scil. *τί,* partem molae salsae porrige.

886. *ταύτην, τὴν χέρνιβα,* quod intelligendum ex vocabulo *χερνίπτου* , h. e. vas, in quo erat aqua lustralis. id vas ab altero servo, qui fert, accipit Trygaeus, ipsique porrigit ad conspergendum sese aqua. hordeum seu molam salsam jam ante ab eodem accepit (*πρότεινε τῶν ὁλῶν*), quam nunc spargere jubet hominem in spectatores. quam vulgo intelligunt, facem, *τὴν δᾷδα,* ne accipere quidem ab hoc servo potuit Trygaeus, qui alteri tradiderit in aqua tinctam 884. sequ.

887. *τῶν κριθῶν.* „videtur in usu fuisse positum, ut hordei (et bellariorum: vide Plut. 793. sequ., Vesp. 58., et ibi Br.) sparsiones fierent in populum. sic et ap. Romanos ludis floralibus omnia semina spargebantur in populum, ut Tellus suis muneribus placaretur: unde Persius (5, 177.) *vigila et cicer ingere large Rixanti populo.*" — Fl. Chr.



τούτων σὺ ποίει μηδὲν ἔθ' ἡμᾶς.
ΤΡ. μὰ Δί', ἀλλ' ἀπόφηνον ὅλην σαυτὴν
γενναιοπρεπῶς τοῖσιν ἑρασταῖς
ἡμῖν, οἵ σου τρυχόμεθ' ἤδη
τρία καὶ δέκ' ἔτη· a.
λῦσον δὲ μάχας, καὶ κορκορυγὰς,
ἵνα Λυσιμάχην σε καλῶμεν·
παῦσον δ' ἡμῶν τὰς ὑπονοίας
τὰς περικόμψους, a.
αἷς στωμυλλόμεθ' εἰς ἀλλήλους· a. d.
μίξον δ' ἡμᾶς τοὺς Ἕλληνας
πάλιν ἐξ ἀρχῆς φιλίας χυλῷ,
καὶ ξυγγνώμῃ τινὶ πραοτέρᾳ
κέρασον τὸν νοῦν, ὡς τὴν ἀγορὰν
ἡμῖν ἀγαθῶν ἐμπλησθῆναι,
μεγάλων σκορόδων, σικύων πρώων,
μήλων, ῥοιῶν, a.
δούλοισι χλανισκιδίων μικρῶν· a. d.

914. σοῦ, *te propter*. vide Matth. gr. §. 345., Soph. Philoct. 714.

916. κορκ. τὰς βοὰς, τὰς ταραχὰς, θορύβους. S. Lys. 490. *αἰεί τινα κορκορυγὴν ἐκίνων*. similiter etiam alii lexicographi. vid. Tittmann. ad Zon. 2, 1242.

917. Λυσ. nempe ut ex re nomen habeat. sic in Lys. 556. *οἶμαί ποτε Λυσιμάχας ἡμᾶς ἐν τοῖς Ἕλλησι καλεῖσθαι. Be.*

918. *cessare fac istas admodum quaesitas* (περικόμψους, factas sive injectas argutias) *suspiciones, quibus nos invicem altercando* (garriendo) *lacessimus; imo nos Graecos rursus amicitiae succo commisce, et mentem tempera mansuetiore quadam venia* (noscendi voluntate). B. S.: ὑποψίας. ἵνα μὴ ὑπονοῶσι τὰς ἀλλήλων σκορδάς.

922. φιλίας χυλῷ. ὡς ἐπὶ καρυκεύμασιν. (?) χυλῷ οὖν τῷ ῥοφήσει. S. imo metaphora videtur esse male concoquentibus, quod iis evenire solet, qui cibis disparibus et inter se inimicis vescuntur, acidis dulcia, liquidisque frigida, temere ingerentes; eorum isto tempore similes erant Graeci dissidentes inter se, et bellis civilibus labefactati.

924. vulgo καὶ τὴν ἀγορὰν etc.; sed Suidas MS. v. περικόμψους, teste Dobraeo, habet ὡς τὴν ἀγορὰν, quas voculas non semel permixtas esse scimus in codd.: vide Elmsl. ad Soph. Oed. Col. 16., Jacobs. Tat. p. 643., Musgrav. ad Soph. Antig. 605., nos ad Eurip. Herc. fur. 719. jam infinitivi tantum illi ἰδεῖν, ἐλθεῖν et sequentes usque ad ἐπιχαίρειν referuntur ad δίδου. quae longe facilior et minus molesta est constructio verborum.

926. σικύων, a σίκυς sive σίκυος, cucumis sativa, *die gemeine Gurke* oder *Kukumber*. S.: σικ. πρῴων. ἐν εἰρήνῃ ὄντες (fort. ὄντος) πόλλην δι' ἐπιμέλειαν καὶ πρῷα σικύα (πρῷοι σίκυοι) γίνονται. ὅτι δὲ καλοὶ οἱ πρωΐμοι σικύαι (σίκυοι), καὶ ἡ παροιμία δηλοῖ „ἀρχομένων σικύων, καὶ λήγουσῶν κολοκυντῶν."

928. δούλοισι, servis, in usum servorum. cf. 975. etc. etiam ista χλανισκίδια Megaris importata esse videntur, sicut allia et fruges.

ΤΡ. ἔδωκας ἤδη;
ΟΙ. νὴ τὸν Ἑρμῆν, ὥστε γε
τούτων, ὅσοιπέρ εἰσι, τῶν θεωμένων
890 οὐκ ἔστιν οὐδεὶς ὅστις οὐ κριθὴν ἔχει.
ΤΡ. οὐχ αἱ γυναῖκές γ' ἔλαβον;
ΟΙ. ἀλλ' εἰς ἑσπέραν
δώσουσιν αὐταῖς ἄνδρες.
ΤΡ. ἀλλ' εὐχώμεθα.
τίς τῇδε; ποῦ ποτ' εἰσὶ πολλοὶ κἀγαθοί;
ΟΙ. τοισδὶ φέρε δῶ· πολλοὶ γάρ εἰσι κἀγαθοί.
895 ΤΡ. τούτους ἀγαθοὺς ἐνόμισας;
ΟΙ. οὐ γὰρ, οἵτινες,
ἡμῶν καταχεόντων ὕδωρ τοσουτονί,
ἐς ταὐτὸ τοῦθ' ἑστᾶσ' ἰόντες χωρίον;
ΤΡ. ἀλλ' ὡς τάχιστ' εὐχώμεθ', εὐχώμεσθα δή.
ὦ σεμνοτάτη βασίλεια, θεὰ a. d.
900 πότνι' Εἰρήνη, a.
δέσποινα χορῶν, δέσποινα γάμων, a. d.
δέξαι θυσίαν τὴν ἡμετέραν!
ΧΟ. δέξαι δῆτ', ὦ πολυτιμήτη,
νὴ Δία, καὶ μὴ ποίει γ', ἅπερ αἱ
905 μοιχευόμεναι δρῶσι γυναῖκες·
καὶ γὰρ ἐκεῖναι παρακλίνασαι
τῆς αὐλείας παρακύπτουσιν,
κἄν τις προσέχῃ τὸν νοῦν αὐταῖς,
ἀναχωροῦσιν· a.
910 καὐτ', ἢν ἀπίῃ, παρακύπτουσιν. a. d.

890. πρὸς τὴν κριθὴν παίζει, ὅτι τὸ τῶν ἀνδρῶν αἰδοῖον κριθὴν ἔλεγον. — S.

893. τίς τῇδε; σπένδοντες γὰρ ἔλεγον τίς τῇδε; ἀντὶ τοῦ τίς πάρεστιν; εἶτα οἱ παρόντες εὐφημιζόμενοι ἔλεγον πολλοὶ κἀγαθοί. S.

894. τοισδί. τοῖς χορευταῖς. καταχεῖ δὲ αὐτῶν ὕδωρ ἐπὶ γέλωτι —. S. aqua lustrali Chorum conspergit, precaturum deam Pacem.

895. οὐ γάρ εἰσιν ἀγαθοί, nonne enim sunt viri boni, h. e. mites placidique, qui aqua large conspersi nobis non irascantur, neque diffugiant, sed eodem loco, quo antea, constant? atqui id facere debebat Chorus; sed jocatur servulus.

901. χορῶν, γάμων. „siquidem neque chori duci, neque nuptiae fieri, nisi in pace solent". H. Vossius.

906. παρακλ. παρανοίξασαι. Ὅμηρος (Il. ε', 751.) ἀνακλῖναι δὲ πυκινὸν πέφος. S. intell. τὴν αὐλείαν θύραν.

907. τῆς αὐλ. ἐκ τῆς αὐλ.

910. καὐτ', καὶ αὖτε. mend. Il. κἄτ'.

τούτων σὺ ποίει μηδὲν ἔθ' ἡμᾶς.
ΤΡ. μὰ Δί', ἀλλ' ἀπόφηνον ὅλην σαυτὴν
γενναιοπρεπῶς τοῖσιν ἐρασταῖς
ἡμῖν, οἵ σου τρυχόμεθ' ἤδη
τρία καὶ δέχ' ἔτη· a.
λῦσον δὲ μάχας, καὶ κορκορυγὰς,
ἵνα Λυσιμάχην σε καλῶμεν·
παῦσον δ' ἡμῶν τὰς ὑπονοίας
τὰς περικόμψους, a.
αἷς στωμυλλόμεθ' εἰς ἀλλήλους· a. d.
μίξον δ' ἡμᾶς τοὺς Ἕλληνας
πάλιν ἐξ ἀρχῆς φιλίας χυλῷ,
καὶ ξυγγνώμῃ τινὶ πραοτέρᾳ
κέρασον τὸν νοῦν, ὡς τὴν ἀγορὰν
ἡμῖν ἀγαθῶν ἐμπλησθῆναι,
μεγάλων σκορόδων, σικύων πρώων,
μήλων, ῥοιῶν, a.
δούλοισι χλανισκιδίων μικρῶν· a. d.

914. σοῦ, *te propter*. vide Matth. gr. §. 345., Soph. Philoct. 714.

916. κορκ. τὰς βοὰς, τὰς ταραχὰς, Θορύβους. S. Lys. 490. αἰεί τινα κορκορυγὴν ἐκύκων. similiter etiam alii lexicographi. vid. Tittmann. ad Zon. 2, 1242.

917. Λυσ. nempe ut ex re nomen habeat. sic in Lys. 556. οἶμαί ποτε Λυσιμάχας ἡμᾶς ἐν τοῖς Ἕλλησι καλεῖσθαι. *Be.*

918. *cessare fac istas admodum quaesitas* (περικόμψους, factas sive injectas argutius) *suspiciones, quibus nos invicem altercando* (garriendo) *lacessimus; imo nos Graecos rursus amicitiae succo commisce, et mentem tempera mansuetiore quadam venia* (ignoscendi voluntate). B. S.: ὑπονοίας. ἵνα μὴ ὑπονοῶσι τὰς ἀλλήλων σπονδάς.

922. φιλίας χυλῷ. ὡς ἐπὶ καυσουμένων. (?) χυλῷ οὖν τῷ ῥοφήματι. S. imo metaphora videtur esse a male concoquentibus, quod iis evenire solet, qui cibis disparibus et velut inimicis vescuntur, acidis dulcia, calidisque frigida, temere ingerentes; quorum isto tempore similes erant Graeci dissidentes inter se, et bellis civilibus labefactati.

924. vulgo καὶ τὴν ἀγορὰν etc.; sed Suidas MS. v. περικόμψους, teste Dobraeo, habet ὡς τὴν ἀγορὰν, quas voculas non semel permixtas esse scimus in codd.: vide Elmsl. ad Soph. Oed. Col. 16., Jacobs. Tat. p. 643., Musgrav. ad Soph. Antig. 605., nos ad Eurip. Herc. fur. 719. jam infinitivi tantum illi ἰδεῖν, ἰδεῖν et sequentes usque ad ἐπιχαίρειν referuntur ad δίδου. quae longe facilior et minus molesta est constructio verborum.

926. σικύων, a σίκυς sive σίκυος, cucumis sativa, *die gemeine Gurke* oder *Kukumber*. S.: σικ. πρῴων. ἐν εἰρήνῃ ὄντες (fort. ὄντος) πολλὴν δι' ἐπιμέλειαν καὶ πρῷα σικύα (πρῷοι σίκυοι) γίνονται. ὅτι δὲ καλοὶ οἱ πρώϊμοι σικύαι (σίκυοι), καὶ ἡ παροιμία δηλοῖ „ἀρχομένων σικύων, καὶ ληγουσῶν κολοκυντῶν.“

928. δούλοισι, servis, in usum servorum. cf. 975. etc. etiam ista χλανισκίδια Megaris importata esse videntur, sicut allia et fruges.

κἀκ Βοιωτῶν γε φέροντας ἰδεῖν
χῆνας, νήττας, φάττας, τροχίλους,
καὶ Κωπάδων ἐλθεῖν σπυρίδας,
καὶ περὶ ταύτας ἡμᾶς ἀθρόους
ὀψωνοῦντας τυρβάζεσθαι
Μορύχῳ, Τελέᾳ, Γλαυκέτῃ, ἄλλοις
τένθαις πολλοῖς, κἄτα Μελάνθιον
ἥκειν ὕστερον εἰς τὴν ἀγορὰν,
τὰς δὲ πεπράσθαι, τὸν δ' ὀτοτύζειν,
εἶτα μονῳδεῖν ἐκ Μηδείας
ὀλόμαν, ὀλόμαν, ἀποχηρωθεὶς
τὰς ἐν τεύτλοισι λοχευομένας!
τοὺς δ' ἀνθρώπους ἐπιχαίρειν,

a. par.

929, *Βοιωτῶν*. ὅτι ὀρνιθοτρόφος ἡ Βοιωτία. — S. conferri jubent Ach. 820. seqq.

931. ita Elmsl. ad Ach. 827., et eum secutus D. Elmsl. l. l.: „*Κωπαΐδων*," inquit, „vulgo, et *Κωπαΐδ'* inferius v. 903. In hujusmodi vocibus vel produci debet vocalis ante ι, vel crasis adhiberi" etc. S.: *Κωπαΐς λίμνη Βοιωτίας, ἐν ᾗ μεγάλαι ἐγχέλεις γίνονται, ὡς καὶ ἐν Ἀχαρνεῦσι* (830.) *πρέσβειρα πεντηκοντα Κωπάδων κορᾶν*. de palude Copaïde Pausan. 9, 24.: *ἐξ Ἀκραιφνίου δὲ ἰόντι εὐθεῖαν ἐπὶ λίμνην τὴν Κηφισίδα* (οἱ δὲ *Κωπαΐδα ὀνομάζουσι τὴν αὐτὴν*) *πεδίον καλούμενόν ἐστιν Ἀθαμάντιον· οἰκῆσαι δὲ Ἀθάμαντα ἐν αὐτῷ φασιν. ἐς δὲ τὴν λίμνην ὅ τε ποταμὸς ὁ Κηφισσὸς ἐκδίδωσιν, ἀρχόμενος ἐκ Λιλαίας τῆς Φωκέων, καὶ διαπλεύσαντι ἐς Κώπας κεῖνται αἱ Κῶπαι πόλισμα ἐπὶ τῇ λίμνῃ. τούτου δὲ καὶ Ὅμηρος ἐποιήσατο ἐν καταλόγῳ* (Il. β', 502.) *μνήμην*. — *οἱ μὲν ἰχθῦς οἱ ἐν τῇ Κηφισίδι οὐδέν τι διάφορον ἐς ἄλλους ἰχθῦς τοὺς λιμναίους ἔχουσιν· αἱ δὲ ἐγχέλεις αὐτόθι καὶ μεγέθει μέγισταί, καὶ ἐσθίειν εἰσὶν ἡδισταί. — Κωπάδων*, h. e. *ἐγχελέων Κωπ.*

933. *τυρβ.* cum dativo, ut *ὠστίζεσθαι* in Ach. 797., ubi item de turba in foro obsonantium (altero alterum trudente) *οὐδ' ὡστιεῖ Κλεωνύμῳ. Be.*

934. nomina helluonum, de quibus Be. conferri jubet Av. 168., Acharn. 779., Thesm. 1062., Plato Com. ap. S. ad Nub. 109. *ὦ θεῖε Μόρυχε, τὸ νῦν γὰρ εὐδαίμων ἔφυς, Καὶ Γλαυκέτης ἡ ψῆττα, καὶ Λεωγόρας, Οἳ ζῆτε τερπνὸν, οὐδὲν ἐνθυμούμενοι.* Rav.: *Μορ., Τελέα. καὶ* (imo *ὡς*: vid. annot. ad 924.) *τούτους ἀεὶ ἀπεῖναι βούλεται τῶν ὄψων, διὰ τοῦτο αὐτοὺς κολάζων ὡς γαστριμάργους* etc.

935. *τένθαι* sunt, vett. grammaticis auctoribus, *λίχνοι*, gulosi, helluones. v. Photii lex. p. 424., Zonar. 2. p. 1717., Timaeus Gl. Plat. p. 252. ibique Ruhnken. B. cf. 1044., et de Melanthio S. ad 750.

937. *τὰς δέ. τὰς ἐγχέλεις.*

938. *ἐκ Μηδ.* tragoedia Melanthii.

939. ita Suid. v. *μονῳδεῖν*, Fl. Chr. in annot., Bekk., D. vulgo *ἀποχειρωθεὶς*, quod vereor ut sit usitatum.

940. *τὰς — λοχ.* anguillas copaïcas. S.: *λοχ. καὶ ἐν τοῖς Ἀχαρνεῦσιν* (903.) *ἔφαμεν, τοὺς μαγείρους μετὰ τεύτλων ἔψειν τὰς ἐγχέλεις. — λοχ.* pro *λοχωμένας*, occultas, absconditas, h. e. betarum foliis involutas. de betis dictum ad Ran. 893.

941. *τοὺς δ' ἀ. ἐπ. τοὺς ὁρῶντας ἐπιχαίρειν αὐτῷ θρηνοῦντι.* S.

ταῦτ', ὦ πολυτίμητ', εὐχομένοις ἡμῖν δίδου! i. tr.
OI. λαβὲ τὴν μάχαιραν. εἶθ' ὅπως μαγειρικῶς
σφάξεις τὸν οἶν.
TP. *ἀλλ' οὐ θέμις.*
OI. *τιή; τί δή;*
945 *TP. οὐχ ἥδεται δήπουθεν Εἰρήνη σφαγαῖς,*
υὐδ' αἱματοῦται βωμός. ἀλλ' εἴσω φέρων
θύσας τὰ μηρί' ἐξελὼν δεῦρ' ἔνεγκε,
χοὔτω τὸ πρόβατον τῷ χορηγῷ σώζεται.
XO. σὲ δὴ θύρασι χρὴ μένοντα νῦν i. tr. br. ὠλλοιόστ.
950 *σχίζας δευρὶ τιθέναι ταχέως, τά τε πρόσφορ' ἅπαντ' ἐπὶ*
τούτοις. a. Arist.
TP. οὔκουν δοκῶ σοι μαντικῶς τὸ φρύγανον τίθεσθαι; i. t. c.
XO. * *πῶς δ' οὐχί; τί γάρ σε πέφευγ', ὅσα χρὴ* a. d.
σοφὸν ἄνδρα; τί δ' οὐ σὺ φρονεῖς, ὁπόσ' ἂν
χρεών ἐστι τὸν σοφῇ δόκιμον φρενὶ, as., ant. et gl.
955 *πορίμῳ τε τόλμῃ;* i. h.
TP. ἡ σχίζα γοῦν ἐνημμένη τὸν Στιλβίδην πιέζει. i. t. c.

945. ταῦτα πρὸς τὸ ἔθος. φασὶ γὰρ τῇ τῶν Συνοικίων ἑορτῇ θυσίαν τελεῖσθαι Εἰρήνῃ, τὸν δὲ βωμὸν μὴ αἱματοῦσθαι, Ἑκατομβαιῶνος μηνὸς ἕκτῃ ἐπὶ δέκα. — ἄλλως. πρὸς σύγκρισιν (comparationem) τοῦ πολέμου καλῶς ἔφησε μὴ χαίρειν τὴν Εἰρήνην σφαγαῖς. S.

948. χοὔτω τὸ πρ. διὰ τὸ μὴ θύεσθαι ἐν τῷ θεάτρῳ, ἀλλὰ τὸν χορηγὸν τῷ δοκεῖν θύειν ἀποκερδαίνοντα (ἀποκερδαίνειν) τὸ θῦμα. τῶν γὰρ ἐντοσθίων αἱρουμένων παρὰ τῶν θυόντων τὸ λοιπὸν σῶμα σωθήσεται (σώζεται) τῷ ἱερεῖ, ἐπὰν θύσωσιν. S. H. Voss.: Die fleischlosen Schenkelknochen, mit Nezhaut und Fett umwickelt, (adde: und bei Homer mit Abschnitzeln von allen Gliedern des Opferthiers belegt: vidd. Homer. Il. α', 461. et J. H. Voss. *Mythol. Briefe* 39. circa finem.) werden verbrannt; das Fleisch (bei Homer das übrige Fleisch. Iliad. α', 465. μίστυλλόν τ' ἄρα τἆλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν etc.) verzehren die Opferer. Statt der Schmausenden wird scherzhaft der Chorage genannt, der die Schauspieler zu beköstigen hatte: Ach. 1080. sequ." Imo praeter expectationem τῷ χορηγῷ dixit pro τῷ ἱερεῖ. ceterum recte Vossius.

949. θύρασι. cf. 871.

950. σχίζας κυρίως ἔλεγον οἱ παλαιοὶ τὰ ἐπὶ ταῖς θυσίαις τιθέμενα ξύλα, ὡς καὶ Ὅμηρος (Il. α', 462.) καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων. S.

951. μαντικοῦ (sic) τὸ φρ. οἱ γὰρ ἀπὸ τοῦ πυρὸς μαντευόμενοι τὰ φρύγανα ὑποτιθέασιν εἰς τὸ ἐξάψαι κατὰ τὴν ἐπιστήμην τὴν ἑαυτῶν. S.

952. ταυτολόγα et oppleta interpretationibus. hoc ab Aristophane esse puto:

πῶς δ' οὐχί, τί γάρ σε πέφευγεν; a. par.
τί δ' οὐ σὺ φρονεῖς, ὁπόσ' ἂν
χρεών i. d.
τὸν σοφῇ δόκιμον φρενὶ, gl.
πορίμῳ τε τόλμῃ; i. h.

τί — πέφευγεν; quid te fugere, seu praeterire solet?

954. δόκιμον, probatum.

955. πορίμῳ, εὐπόρῳ, sagaci, solerti.

956. ὁ Στιλβίδης εὐδόκιμος κα[illegible]

καὶ τὴν τράπεζαν οἴσομαι, καὶ παιδὸς οὐ δεήσει.
ΧΟ. τίς ἂν οὐκ ἐπαινέσειεν ἄνδρα τοιοῦτον, as., an. et adon.
ὅστις πόλλ' ἀνατλὰς ἔσωσε τὴν ἱερὰν πόλιν, as., pher. et gl.
960 ὥστ' οὐχὶ μὴ παύσει ποτ' ὢν ζηλωτὸς ἅπασιν; as., i. h. et gl. pol. h.
ΟΙ. ταυτὶ δέδραται. τίθεσο τὼ μηρὼ λαβών· i. tr.
ἐγὼ δ' ἐπὶ σπλάγχν' εἶμι καὶ θυλήματα.
ΤΡ. ἐμοὶ μελήσει ταῦτά γ'· ἀλλ' ἥκειν ἐχρῆν.
ΟΙ. ἰδοὺ πάρειμι. μῶν ἐπισχεῖν σοι δοκῶ;
965 ΤΡ. ὄπτα καλῶς νυν ταῦτα· καὶ γὰρ οὑτοσὶ
προσέρχεται δάφνῃ τις ἐστεφανωμένος.
τίς ἄρα ποτ' ἐστίν;
ΟΙ. ὡς ἀλαζὼν φαίνεται,

περιβόητος μάντις —. ὃν φησι Φιλόχορος ἀκολουθῆσαι ἐν Σικελίᾳ, ἡνίκα ἐπολέμουν Ἀθηναῖοι [καὶ ἐν Σικελίᾳ ἐστράτευον]. μέμνηται δὲ αὐτοῦ καὶ Εὔπολις Πόλεσιν ὡς οὖν τίν' ἔλθω δῆτά σοι τῶν μάντεων. πότερος ἀμείνων ἀμφοτέρων; ἢ Στιλβίδης; — πιέζει. ὡς λοιπὸν ἐκείνου ἀπορουμένου διὰ τὸ τοῦτον εὐδοκιμῆσαι. S.

957. τράπ., in qua dissecanda est victima. cf. 998. οἴσομαι, apportabo.

958. vulgo τίς οὐκ ἂν ἐπαιν., quod et ipsum admitti potest.

959. τὴν ἱερὰν πόλιν, Athenas. Minervae urbem Athenarum consecraverat Amphictyon rex: quamobrem τὰ Παλλάδος appellatur ap. Euripidem Suppl. 696. cf. ejusdem Ion. 9., et de sanctitate urbium in universum Casaub. ad Equ. 538.

960. ζηλωτὸς, *invidendus, admirabilis.*

961. Redit Famulus in scenam, afferens femora (ossa femorum: vide 947.), quae igni imponat Trygaeus; sed ille mavult id a famulo fieri, ipse autem intrare, ut extis scil. (et carne victimae) et farre vescatur. Ex B. τίθεσο, impone igni.

962. θυλήματα. τὰ τοῖς θεοῖς ἐπιθυόμενα ἅλφιτα. ἐπιῤῥαίνεται δὲ οἴνῳ καὶ ἐλαίῳ. Τηλεκλείδης Στερρὸς ὦ δέσποθ' Ἑρμῆ, κάπτε τῶν θυλημάτων. S.

963. ἀλλ' ἦ. ἐχρ. *igitur oportebat te hic adesse.* accelerato opus esse ait, quae vis est imperfecti. quodsi dixisset ἀλλ' ἥκειν χρῆ, hoc tantummodo significasset, redeundum esse puero.

964. ἐπισχεῖν. βραδύνειν, quae interpretatio hujus vocabuli est inter Suidae, ut annotavit Fl. Chr.

966. οἱ ἱερεῖς, καὶ οἱ μάντεις, δάφνῃ ἐστεφανοῦντο εἰς γνώρισμα τῆς τέχνης. S.

967. ὡς — ἔστιν. *pro arrogantia, quam prae se fert vultu, vates est.* perperam libri — φαίνεται· Μάντις —.

968. οὐ — Ἱεροκλέης, *imo hercle est Hierocles.* Lysistr. 54. ΛΥΣ. ἀρ' οὐ παρεῖναι τὰς γυναῖκας δῆτ' ἐχρῆν; ΚΑΛ. οὐ γὰρ μὰ Δί', ἀλλὰ πετομένας ἥκειν πάλαι, h. e. interprete Fl. Chr.: LYS. *nonne hic adesse feminas oportuit?* CA. *imo volantes convenire jam diu.* sed proprie verba οὐ γὰρ — πάλαι significant *imo non advenire modo, sed advolantes dudum adesse*, siquidem in hujusmodi formulis inest aliquid, quod tacite negatur, ut animadvertit Br. ad Ran. 705. ita etiam h. l. verborum οὐ — Ἱεροκλέης sensus hic est proprius: *imo non modo vates aliquis, sed Hierocles.* S. — οὗτος δὲ μάντις ἦν, καὶ χρησμολόγος, τοὺς προγεγενημένους χρόνους ἐξηγούμενος, ὡς ἀφνῇ δὲ, καὶ οὐκ ἀκριβῆ, μάντιν

μάντις τίς ἐστιν.

ΤΡ. οὐ μὰ Δί', ἀλλ' Ἱεροκλέης.

ΟΙ. αὐτός γέ πού 'σθ' ὁ χρησμολόγος οὑξ Ὠρεοῦ.

τί ποτ' ἄρα λέξει;

ΤΡ. • δῆλός ἐσθ' οὗτός γ', ὅτι

ἐναντιώσεταί τι ταῖς διαλλαγαῖς.

ΟΙ. οὔκ, ἀλλὰ κατὰ τὴν κνῖσαν εἰσελήλυθε.

ΤΡ. μή νύν γ' ὁρᾷν δοκῶμεν αὐτόν.

ΟΙ. εὖ λέγεις.

ΙΕ. τίς ἡ θυσία ποθ' αὕτηΐ, καὶ τῷ θεῶν;

ΤΡ. ὄπτου σὺ σιγῇ, κἄπαγ' ἀπὸ τῆς ὀσφύος.

ΙΕ. ὅτῳ δὲ θύετ', οὐ φράσεθ';

ΤΡ. ἡ κέρκος ποιεῖ

καλῶς;

ΟΙ. καλῶς δῆτ', ὦ πότνι' Εἰρήνη φίλη!

ΙΕ. ἄγε νυν ἀπάρχου, κἆτα δὸς τἀπάργματα.

αὐτὸν κωμῳδεῖν βούλεται. invisum Nostro aliisque fuit hoc genus hominum propter arrogantiam. Agamemnon Euripideus Iphig. A. 473. τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν. cf. Eurip. Hel. 695. seqq.

969, 70. Invern., Bekk., D., ex Rav.: οὗτός γε —, sed recte B. suspicatur hanc scripturam provenisse ex sequente versu. certe οὗτος h. l. otiosum est, αὑτὸς quod in Veneto legitur, vim addit sententiae. — S.: οὑξ Ὠρεοῦ. (cf. 1049.) διαβάλλει αὐτὸν, ὡς οὐ πολίτην, ἀλλ' Εὐβοέα· διὸ δηλοῖ, ὅτι ὡς ξένος οὐκ εὐνοεῖ τῇ εἰρήνῃ. Ὠρεὸς δὲ Εὐβοίας πόλις, ἣν Ὅμηρος (Il. β', 537.) Ἱστίαιάν (Thuc. Ἑστίαιάν) φησιν. (vide Xenoph. Hist. gr. 5, 4, 56., Strab. 10, 1.) δῆλός ἐ. ο. γ' ὅτι. προείπομεν γὰρ (fortasse ad Nub. 211.) περὶ Εὐβοέων, ὡς ἂν ἧσσον προθυμουμένων τῇ εἰρήνῃ. Sp. ad Nub. l. c. „Euboeam totam, quae ab initio belli Pelop. ab Athen. defecerat, mox a Pericle subactam ita, ut reliquae ejus partes certis conditionibus in deditionem reciperentur, Hestiaeensibus vero sede sua pulsis eorum agrum retinuisse Athenn., docet Thuc. (1, 14. add. 7, 57. B.)." —

972. ita Bekk., D. Venetus κνίσαν, alii κνίσσαν. Favorinus: κνίσσα: κοινότερον μὲν διὰ δύο σσ γράφεται· Ἡρωδιανὸς δὲ θέλει ἀπὸ μέλλοντος αὐτὴν γενομένην τοῦ κνίζω κνίσω δι' ἑνός τε γράφεσθαι σ, καὶ ἕκτασιν λαβεῖν τοῦ ι. pluribus de hac re dixit H. ad Eurip. Alcest. 1161., qui Herodiani sententiam valde commendari ait analogia, qua in simili causa utitur Elmsl. ad Oed. Col. 687., quod Attici non dixerunt κνίττα.

975. perperam ll. ὄπτα. quiete spectare sacrificium jubet vatem et facessere a victima, ad quam accessit gustatum lumbum. α et ου confusorum exemplum insigne ad perspicuitatem. cf. 983. et sequ.

976. ἡ κέρκος π. καλῶς. (sic plerique ll.) ἡ οὐρὰ καλὰ σημαίνει. ἔθος γὰρ εἶχον τὴν ὀσφὺν, καὶ τὴν κέρκον, ἐπιτιθέναι τῷ πυρὶ, καὶ ἐξ αὐτῶν σημείοις τισὶ κατανοεῖν, εἰ εὐπρόσδεκτος ἡ θυσία, καὶ ἄλλα τινὰ πρὸς τὰ νεύματα σημεῖα λαμβάνειν περὶ ὧν τὴν θυσίαν ἐποίουν. S. Br. ex B. Paris. ἡ κέρκος π. καλῶς: quod etiam Reiskeo placuerat.

978. τἀπ. τὰς ἀπαρχὰς, ἃς εἰώθασιν οἱ ἱερεῖς λαμβάνειν· ὁ Ἱεροκλῆς ταῦτα σημαίνει. S.

ΤΡ. ὀπτᾶν ἄμεινον πρῶτον.
ΙΕ. ἀλλὰ ταυταγὶ
ἤδη 'στὶν ὀπτά.
ΤΡ. πολλὰ πράττεις, ὅστις εἶ. —
κατάτεμνε. ποῦ τράπεζα; τὴν σπονδὴν φέρε.
ΙΕ. ἡ γλῶττα χωρὶς τέμνεται.
ΤΡ. μεμνήμεθα.
ἀλλ' οἶσθ' ὃ δρᾶσον;
ΙΕ. ἦν φράσῃς.
ΤΡ. μὴ διαλέγου
νῷν μηδέν· Εἰρήνῃ γὰρ ἱερὰ θύομεν.
ΙΕ. ὦ μέλεοι θνητοὶ, καὶ νήπιοι . . .
ΤΡ. ἐς κεφαλήν σοι. hex. her.
ΙΕ. οἵτινες, ἀφραδίῃσι θεῶν νόον οὐκ ἀΐοντες,
συνθήκας πεποίησθ' ἄνδρες χαροποῖσι πιθήκοις . . .
ΟΙ. αἰβοῖ, βοῖ!
ΤΡ. τί γελᾷς;
ΟΙ. ἧσθην χαροποῖσι πιθήκοις.
ΙΕ. καὶ κέπφοι τρήρωνες ἀλωπεκιδεῦσι πέπεισθε,

980. πολλὰ πρ. οἷον, πολλὰ ἐργάζῃ, καὶ πολυπραγμονεῖς. S. cf. Ran. 228.

982. ἡ γλ. χ. τέμνεται. καὶ τοῦτο παροιμιακὸν ἀπὸ Ὁμήρου (Odyss. γ', 332.) ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας, ὥς φησι Καλλίστρατος. καὶ τοῦτο δὲ Ἱεροκλέους πρὸς τὸ ἔθος. προειρήκαμεν δὲ, ὅτι χρησμολόγος Ἱεροκλῆς· διόπερ νῦν χρησμοῦ τινος αὐτὸν προσάγει μνημονεύοντα. S. de hoc more sacrificiorum Be conferri jubet Av. 1701., Plut. 1106., ex quo quidem loco intelligitur, linguas victimarum Mercurio sacras fuisse; id quod etiam Athenaeum testari ait Fl. Chr. Deipnos. 1. tom. 1. pag. 60. ed. Schweigh., item Suidam, S. Apollonii Rhod. 1, 516., qui allegoricam ejus rei rationem affert, et Erasmum in Adagiis v. *lingua secorsum inciditur.*

983. οἶσθ' ὃ δρᾶσον. vid. Matth. gr. §. 511, 4.

985. ἐς κεφ. σοι. ὡς καταρασαμένου αὐτοῦ καὶ βλασφημίσαντός φησιν εἰς τὴν (σὴν) κεφαλὴν ἔλθοι τὸ δεινὸν, τουτέστι σεαυτῷ μάντις σαι ὅπερ εἶπας δυσχερές. — S. cf. Plut. 522.

986. οὐκ ἀΐοντες. οὐ νοοῦντες· οἵτινες διὰ τὴν ἀβουλίαν τὴν ἑαυτῶν τῆς τῶν θεῶν οὐ συνίεντες προνοίας. S.

987. χαρ. φοβεροῖς. πιθήκοις δὲ τοῖς Λακεδαιμονίοις. ἀντὶ τοῦ εἰκεῖν λέουσιν. (quorum id est epitheton.) S.

988. αἰβοῖ, αἰβοῖ. (sic etiam libri Aristoph. praeter A Paris., quem Br. secutus metrum restituit) παραγραφή. ἀκούσαντες γὰρ τοῦ χρησμοῦ ἐγέλασαν. γέλωτος γάρ ἐστι τοῦτο τὸ μίμημα. S. imo variis affectibus significandis servit haec exclamatio: vide 15., 522., Nub. 102., Av. 1055., 1348.

989. εὐηθες ζῷον ὁ κέπφος, οὗ μέμνηται καὶ Νίκανδρος (Alexiph. 166.), καὶ Ἄρατος (Prognost. 916.), περὶ διοσημείων διαλεγόμενοι, καὶ Καλλίμαχος ἐν τοῖς Ἰάμβοις (fragm. 81). ἐκ δὲ τῆς θαλάσσης ζῇν αὐτὸν λέγουσιν, ἐσθίοντα τὸν ἀφρόν. (imo

ὧν δόλιαι ψυχαὶ, δόλιαι φρένες.
ΤΡ. εἴθε σου εἶναι
ὤφελεν, ὦ 'λαζὼν, οὑτωσὶ θερμὸς ὁ πλεύμων.
ΙΕ. εἰ γὰρ μὴ Νύμφαι γε θεαὶ Βάκιν ἐξαπάτασκον,
* μηδὲ Βάκις θυητοὺς, μηδ' αὖ Νύμφαι Βάκιν αὐτὸν . . .
ΤΡ. ἐξώλης ἀπόλοι', εἰ μὴ παύσαιο βακίζων!
ΙΕ. οὔπω θέσφατον ἦν Εἰρήνης δέσμ' ἀναλῦσαι,
ἀλλὰ τότε πρῶτον . . .
ΤΡ. τοῖς ἁλσί γε παστέα ταυτί.
ΙΕ. οὐ γάρ πω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσι,

semina, herbas et insecta.) εἶναι δὲ αὐτὸν πολὺν μὲν ἐν τοῖς πτεροῖς, ὀλίγον δὲ ἐν τοῖς κρέασι, καὶ κεκραγέναι ὠδίνοντα. ὅθεν γενέσθαι τὴν παροιμίαν „Κέπφος ὠδίνει" ἐπὶ τῶν ἐπαγγελλομένων μὲν μεγάλα, μηδὲν δὲ ἄξιον τῆς ἐπαγγελίας ποιούντων. — ὅθεν καὶ τοὺς ἐλαφροὺς ταῖς φρεσὶ κούφους (κέπφους) καλοῦμεν. S. κέπφον fulicam, *poule d'eau*, intelligit Camus ad Arist. H. A. t. 2. p. 333., Schneider. ad eundem Aristot. t. 3. p. 161. procellariam pelagicam. cf. Plut. 908. pro adjectivo τῷ κέπφοι additum est τρήρωνες, modo loquendi, de quo dictum ad 509.: nam proprie τρήρων significare videtur columbam, deinde quemvis timidum. germanice dicas *taubenhafte Gimpel*. cf. etiam 1002. — „Nescio, unde in recentiores edd. venerit ἀλωπεκίδεσσι. sincera forma est ἀλωπεκιδεὺς (vulpecula), ut πελαργιδεὺς Av. 1356., περιστεριδεὺς ap. Suidam in Χαιριδεῖς. vid. Valck. in annot. ad Theocr. Adon. 121." *Br.* verisimile videtur, haec et alia in seqq. hominis dictis petita esse ex Bacidis oraculis.

990. ὧν δόλ. ψ. ἀεὶ τοὺς Λακεδαιμονίους εἰς τοῦτο κωμῳδοῦσι. καὶ Εὐριπ. (Androm. 441.) Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια. S. cf. 601., Ach. 308., Lys. 330.

991. θερμός. κεκαυμένος. ἐσθιόντων γὰρ τὰ σπλάγχνα θερμὰ ὄντα τοῦτό φασι (φησι) πρὸς Ἱεροκλῆν. — S.

992. Νύμφαι. αἱ ἔφοροι τῆς μαντικῆς νύμφαι. — S. Nympharum occursu insanientes vaticinari credebantur. Pausan. 4, 27.: Βάκιδι γὰρ μανέντι ἐκ Νυμφῶν ἐς ἄλλους τέ ἐστιν Ἑλλήνων, καὶ ἐς τὴν Μεσσηνίων κάθοδον, προειρημένα etc. cf. Fest. 10. p. 210. ed. Dac. — rursus S.: χρησμολόγος ὁ Βάκις. Βάκιδες δὲ τρεῖς· ὧν πρεσβύτατος ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὁ δὲ δεύτερος Ἀττικὸς, τρίτος Ἀρκὰς ἐκ πόλεως Καφύης, ὃς καὶ Κύδας (h. e. fortasse κυδὴς, *celeber*: vid. Schneideri lex. v. κυδέστερος.) ἐκαλεῖτο, καὶ Ἀλήτης, ὥς φησι Φιλητᾶς ὁ Ἐφέσιος. Θεόπομπος δὲ ἐν τῇ θ' τῶν Φιλιππικῶν ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος. ἔστι δὲ καὶ ἐπίθετον Πεισιστράτου. S. Aelianus V. H. 12, 35., notante Fl. Chr., Βάκιδες τρεῖς, ὁ μὲν Ἐλεώνιος, ὁ δὲ Ἀθηναῖος, ὁ δὲ Ἀρκάς. cf. Plat. Theag. 5., Cic. de Divin. 1, 18., Paus. l. l. et Phoc. 14, ipsumque Nostrum praeterea Equ. 123, 920., Av. 963., quae ejus loca laudavit Be. pro appellativo autem dici coepit nomen Bacidos (cf. 1043.); unde factum est, ut eo nomine carmina quaedam sua inscriberet Götheus (*Weissagungen des Bakis*). — ἐξαπ. αὐξητικὸν est ἐκ, ut passim.

993. μηδ' αὖ — αὐτόν. tautologia nimis insulsa. scribamus μ. αὖ Νύμφας Βάκις αὐτός.

994. βακίζων. εἰ μὴ παύσαιο μεμνημένος Βάκιδος, Βάκιδος μνημονεύων. S.

995. τοῖς ἁλσί γε. ἐπίτηδες ἀπο-

φυλόπιδος λῆξαι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ . . .
ΤΡ. καὶ πῶς, ὦ κατάρατε, λύκος πότ' ἂν οἶν ὑμεναιοῖ;
ΙΕ. ὡς ἡ σφονδύλη φεύγουσα πονηρότατον βδεῖ,
χὴ κώδων ἀκαλανθὶς ἐπειγομένη τυφλὰ τίκτει.
τουτάκις οὔπω χρῆν τὴν εἰρήνην ποιεῖσθαι.
ΤΡ. ἀλλὰ τί χρῆν ἡμᾶς; οὐ παύσασθαι πολεμοῦντας,
ἢ διακαυνιάσαι, πότεροι κλαυσούμεθα μείζω,
ἔξὸν σπεισαμένοις κοινῇ τῆς Ἑλλάδος ἄρχειν;
ΙΕ. οὔποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν . . .
ΤΡ. οὔποτε δειπνήσεις ἔτι τοῦ λοιποῦ πρυτανείῳ,

κεκοφὼς τὸν λόγον λέγει. φησὶ δὲ τὰ κρέα χρῆναι πρότερον τοῖς ἁλσὶ πασθῆναι τὰ ὀπτηθέντα. S.

998. ὑμεν. εἰς γάμους ἄγοιτο. τὸ ἀδύνατον δὲ εἶπε παρὰ τὸ ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὄρκια πιστὰ, Οὐδὲ λύκοι τε καὶ ἄνδρες ὁμόφρονα θυμὸν ἔχουσιν. S. conferri jubent Horat. Od. 1, 33, 7. (*prius Appulis Jungentur capreae lupis*) et Paroemiographos.

1000. σίλφη τίς ἐστιν ἡ σφονδύλη, βδέλλῃ προσομοία, δυσώδης ὄντως. ἄρχεται δὲ ἀδιανόητα λέγειν, τοὺς χρησμῳδοὺς μιμούμενος, καὶ τῶν χρησμῶν τὰ λοξά. S. ὡς, *quoniam*. referenda haec sunt ad praegressam vatis orationem. B.: „Utrum, quod hic memoratur, insectum idem sit cum σφονδύλῃ seu σπονδύλῃ ap. Aristot., dubitatur (vid. Camus ad Aristot. H. A. 2, 780.); nec magis consentiunt, quodnam genus sit, gryllotalpa, an larva scarabaei melolonthae, an blattarum species." Be.: — „φεύγουσα dicit, quia vult docere, non esse festinandum." *blatta* interpp. lat., Voss. mire: *der Iltis*, Droysen *der Pirats*. — πονηρ., κάκιστα.

1001. χὴ κώδων. παρὰ τὸ κραυγαστικόν. ἢ κύων τὸ ζῶον — παρὰ τὴν παροιμίαν ἡ κύων σπεύδουσα τυφλὰ τίκτει. τὸ δὲ ἀκαλανθὶς εἶδος ὀρνέου. — (ἄλλως.) ἀκαλ. ὄνομα κυνὸς ἐπισήμου. οἱ δὲ ὀρνέου. — S. — Hesych. utrumque exponit, et celerem canem (ταχεῖαν κύνα), et aviculam. vox autem κώδων pro epitheto est (cf. 989.): nam vel canem intelligit rictantem et ululantem acute instar tubae aut tintinabuli, vel clamosam avem. — Fl. Chr. B. ad Av. 871. „ἀκαλανθὶς i. q. ἀκανθὶς, (fringilla) carduelis, *Distelfink*. (Stieglitz.)" de vario cantu fringillarum, inprimis earum, quae cognominantur caelebes (*Buchfinken*), vide scriptores historiae natur. sed vix avi convenire dicas τὸ τυφλὰ τίκτειν. quare ad eorum opinionem propendeo, qui canem intelligunt, etsi ne ejus quidem proprium est parere coecos fetus.

1002. τουτ. τότε, *tum*, cum fecistis pacem. consentaneum est, hominem odisse pacem: vide 1009.

1004. ἢ διακ. ἢ διακληρώσασθαι, πότεροι ἐξ ἡμῶν τέλεον διαφθαρήσονται. καῦνον γὰρ τὸν κληρόν φασι. καὶ ἐν ἄλλοις πόσος ἔσθ' ὁ καῦνος; — καὶ Κρατῖνος Πυτίνῃ ἀπὸ προτέρου τὸν καῦνον ἀριθμήσεις. — S. cf. Hesych. v. mendosa διακανκανιάσαι et Zonar. 2, 542., quos laudant Br. et B.

1005. κοινῇ τῆς Ἑλλ. ἐξ ἀρχῆς (?) γὰρ οἱ Λακεδαιμόνιοι τῆς γῆς ἐκράτουν, οἱ δὲ Ἀθηναῖοι τῆς θαλάσσης. S.

1006. οὔποτε — βαδίζειν. οὔτε τοὺς Λακεδ. δηλονότι ὀρθὰ καὶ ἁπλᾶ φρονεῖν. S. est fab. Aesop. 205. collect. Furiae. — B.

1007. libri ἐν πρυτ., quae videtur esse interpretatio. v. Jacobs. Anthol. Palat. 3. p. 168., nos indice Euripidis v. ἐν, et scriptores ellipsium gr. Bekk. tamen et D. auctore Dobr. τοῦ λοιποῦ 'ν πρυτ. S. οὐκ δειπν. ὅτι καὶ οἱ χρησμολόγοι μετεῖχον τῆς

οὐδ' ἐπὶ τῷ πραχθέντι ποιήσεις ὕστερον οὐδέν.
ΙΕ. οὐδέποτ' ἂν θείης λεῖον τὸν τρηχὺν ἐχῖνον.
ΤΡ. ἆρα φενακίζων ποτ' Ἀθηναίους ἔτι παύσει;
ΙΕ. ποῖον γὰρ κατὰ χρησμὸν ἐκαύσατε μῆρα θεοῖσιν;
ΤΡ. ὅνπερ κάλλιστον δήπου πεποίηκεν Ὅμηρος,
Ὡς οἱ μὲν, νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο,
Εἰρήνην εἵλοντο, καὶ ἱδρύσανθ' ἱερείῳ.
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη, καὶ σπλάγχν' ἐπάσαντο,
ἔσπενδον δεπάεσσιν· ἐγὼ δ' ὁδὸν ἡγεμόνευον·
χρησμολόγῳ δ' οὐδεὶς ἐδίδου κώθωνα φαεινόν.
ΙΕ. οὐ μετέχω τούτων· οὐ γὰρ ταῦτ' εἶπε Σίβυλλα.
ΤΡ. ἀλλ' ὁ σοφός τοι, νὴ Δί', Ὅμηρος δεξιὸν εἶπεν
Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
ΙΕ. φράζεο δὴ, μή πώς σε δόλῳ φρένας ἐξαπατήσας
ἰκτῖνος μάρψῃ —
ΤΡ. τουτὶ μέντοι σὺ φυλάττου,

ἐν πρυτανείῳ σιτήσεως, δῆλον ἐκ τοῦ Λάμπωνος, ὃς τούτου ἠξίωτο. φησὶν οὖν οὐκέτι ἔσται πόλεμος. τούτου γὰρ μὴ ὄντος οὐδὲν ἐλάμβανεν οὗτος ἐκ δημοσίου· ἐπὶ γὰρ τοῦ πολέμου χρεία τῶν μάντεων. S.

1008. ἐπὶ τῷ πρ. ἐπὶ τῷ γενέσθαι τὴν εἰρήνην. S. imo: *praeter ea, quae adhuc fecisti*, seu *commisisti*, cum demagogos populumque instigasti in arma.

1009. οὐδὲ ὑμεῖς φιλίαν πρὸς Λακεδαιμονίους. — S.

1010. φεν., decipiens. cf. Ran. 872. etc.

1013. ἀστείως πάνυ παρέπλεξε τὰ Ὁμήρου. S. ex variis (Homeri) locis haec conflata sunt. nam ἀπωσάμενοι occurrit Iliad. π', 301., νέφος πολ. ρ', 243., σπένδειν δεπάεσσιν Odyss. η', 137., reliqua Il. α', 467. seqq. aliisve locis. B.

1014. ἴδρ. ἱερείφ. οὐ χύτραις, ὡς ἄνω (853.) ἔλεγον. S.

1016. ὁδὸν ἡγ. τῆς θυσίας ἡρξάμην. S.

1017. κώθωνα. — κώθωνα λέγει τὸν νῦν λεγόμενον νάσθον, εἶδος ποτηρίου λακωνικοῦ μονώτου, ὀστρακίνου —. καὶ κωθωνίσαι μεθύσαι, ὡς τὸ ἱρῶν δὲ (male libri δὲ καὶ, corrupto senario alicujus Comici) κωθωνιζόμενος ἀφ' ἡμέρας. S.

1018. Σίβ. οὐ γὰρ κεῖται ταῦτα παρὰ Σιβύλλῃ, τῇ χρησμολόγῳ. — S. οὐ μετέχω τ. signum est ἀπαιδευσίας, quod nihil ad se pertinere putat Homerica, et poëtarum principem spernit prae Sibylla. vide Plut. Alcib. 7. et ibi doctissimum Bährium. Fl. Chr.: „οὐ — Σίβ. sapit hoc proverbium, et Chrysostomus dixit οὐδ' ἂν ἀληθέστερα εἴκω τῶν Σιβύλλης, ἡ Βάκιδος." de Sibyllis et earum celeberrima Herophile, quam ante bellum Trojanum vaticinatam esse arbitrabantur, vide Pausan. 10, 12., Hesych. et Suid. h. v., Petit. de Sibylla etc.

1020. sequ. versus Homeri ex Il. ι', 63. sequ.

1023. μάρψῃ τὰ σπλάγχνα. σὲ

ὡς οὗτος φοβερὸς τοῖς σπλάγχνοις ἐστὶν ὁ χρησμός.
ἔγχει δὲ σπονδὴν, καὶ τῶν σπλάγχνων φέρε δευρί.
ΙΕ. ἀλλ', εἰ ταῦτα δοκεῖ, κἀγὼ 'μαυτῷ βαλανεύσω.
ΤΡ. σπονδὴ, σπονδή. dispond.
ΙΕ. ἔγχει δὴ κἄμοι, καὶ σπλάγχνων μοῖραν ὄρεξον. hex. her.
ΤΡ. ἀλλ' οὔπω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν,
ἀλλὰ τόδε πρότερον, σπένδειν ἡμᾶς, σὲ δ' ἀπελθεῖν.
ὦ πότνι' Εἰρήνη, παράμεινον τὸν βίον ἡμῖν!
ΙΕ. πρόσφερε τὴν γλῶτταν.
ΤΡ. σὺ δὲ τὴν σαυτοῦ γ' ἀπένεγκε.
ΙΕ. σπονδή.
ΤΡ. καὶ ταυτὶ μετὰ τῆς σπονδῆς λαβὲ θᾶττον.
ΙΕ. οὐδεὶς προσδώσει μοι σπλάγχνων;
ΤΡ. οὐ γὰρ οἷόν τε
ἡμῖν προσδιδόναι, πρὶν κεν λύκος οἶν ὑμεναιοῖ.
ΙΕ. ναὶ πρὸς τῶν γονάτων!
ΤΡ. ἄλλως, ὦ 'τᾶν, ἱκετεύεις·
οὐ γὰρ ποιήσεις λεῖον τὸν τραχὺν ἐχῖνον.
ἄγε δὴ, θεαταὶ, δεῦρο συσπλαγχνεύετε i. tr.
μετὰ νῷν.
ΙΕ. τί δ' ἔγωγε;
ΤΡ. τὴν Σίβυλλαν ἔσθιε.
ΙΕ. οὔ μοι, μὰ τὴν Γῆν, ταῦτα κατέδεσθον μόνω,

φρένας p. σοῦ φρ., ut Av. 497. καὶ λωποδύτης παίει ζοπάλῳ με τὸ νῶτον etc. imperfectus est Hieroclis sermo, quem perculsus his vocibus interrumpit. *Ex Br.* τουτὶ etc. servo haec dicuntur.

1026. βαλαν. διακονήσω, ὑπουργήσω, καὶ ἐγχέω ἐμαυτοῦ (κατεγχέων ἐμαυτῷ) τῶν σπονδῶν. — ἄλλως. κυρίως ἐπὶ τοῦ τὰς βαλάνους ὀπτεῖν· νῦν δὲ ἁπλῶς ὀπτεύσω (et διακονήσω, a conjuncto). τὸ δὲ σπονδὴ, σπονδὴ, παρεπιγραφὴ ἐν εἰσθέσει κώλου δισπονδείου. S. cf. annot. ad 1034.

1029. hic et in seqq. παρῳδεῖ ante dicta ab hariolo. vide 998. etc.

1031. τὸν βίον, *per omnem vitam.* vid. de hoc usu accusativi Matth. gr. §. 424.

1032. πρ. τὴν γλ. κἀκ τούτου δηλοῖ, ὅτι ἰδίᾳ τετμημένη προσφέρετο ἡ γλῶττα παρὰ τῶν παλαιῶν. (cf. 999.) ἀπέσγυσε. ἀπόκεμπτ. ἤτοι μὴ γευσαμένην τῶν σπλάγχνων, μηδὲ μετασχοῦσαν τῆς σπονδῆς, ἃς βλάσφημα καὶ πονηρὰ μαντευομένην. S.

1033. σπονδή. imitatur Hercules Trygaeum, et sibi quoque iritium libationis fieri (h. e. vinum dari) vult. B. ταυτί. ossa quaedam victimae.

1037. cf. 1009., ubi Ven. τραχὸν, ut hic etiam Rav. malim τρηχὺν, formam epicam.

1038. συσπλ. συγγενέσθαι τῶν σπλάγχνων. S.

1040. μὰ τὴν Γῆν. Cererem intelligere videtur vates famelicus, quae θνητῶν θρέπτειρα προπάντων

ἀλλ' ἁρπάσομαι σφῷν αὐτά· κεῖται δ' ἐν μέσῳ.
ΤΡ. παῖ, παῖε, παῖε, τὸν Βάκιν!
ΙΕ. μαρτύρομαι.
ΤΡ. κἄγωγ', ὅτι τένθης εἶ σὺ κἀλαζὼν ἀνήρ.
παῖ αὐτὸν, ἐπέχων τῷ ξύλῳ τὸν ἀλαζόνα.
ΟΙ. σὺ μὲν οὖν· ἐγὼ δὲ τουτονὶ τῶν κωδίων,
ἃ 'λάμβαν' αὐτὸς ἐξαπατῶν, ἐκβολβιῶ.
οὐ καταβαλεῖς τὰ κώδι', ὦ θυηπόλε;
ἤκουσας; — ὁ κόραξ, οἷος ἦλθ' ἐξ Ὠρεοῦ,
οὐκ ἀποπετήσει θᾶττον εἰς Ἐλύμνιον.
ΧΟ. ἥδομαί γ', ἥδομαι, cr. d. στ.
κράνους ἀπηλλαγμένος, τυροῦ τε καὶ κρομμύων· as., i. et cr. bis.
οὐ γὰρ φιληδῶ μάχαις, as., i. et cr.
ἀλλὰ πρὸς πῦρ διέλκων μετ' ἀνδρῶν ἑταίρων φίλων, cr. pent.

appellatur ap. Orpheum hymn. 39, 7. vel παρφδῶν per eam jurat more Trygaei et agricolarum: vide Plut. 64., 551.

1041. ἀλλ' ἁρπ. παρεπιγραφή. ταῦτα γὰρ εἰπὼν χλευάζει, καὶ ἀναιδῶς ἁρπάζει· καὶ ἐπιδραμοῦντες κατέλαβον, καὶ ἐτύπτησαν. S.

1042. Rav. ὦ παῖε, ut infra 1255. ὦ χαίρετε, neque id noluit Bentl. alibi ὦ excidit. lepide Dawes. παῖ, παῖε, quod edidit Br., conjectura etiam Bentl. assecutus est. S.: τὸν Βάκιν. (992.) τὸν Βάκιδος χρησμοὺς λέγοντα. (imo *Bacidem*, i. e. similem Bacidis. Plautus Asin. 575.: *videlicet Solonem* etc.) τυπτόμενος δὲ λέγει ὁ Ἱεροκλῆς μαρτύρομαι. S.

1043. τένθης. λίχνος. τένθειν γὰρ τὸ ἐσθίειν. S. cf. 935.

1044. ἐπέχων. Eccles. 318. ἐπεῖχε κροῦσιν. Lys. 493. οἱ ἐπέχοντες ταῖς ἀρχαῖς. *Be.*

1045. τουτ. eundem Hieroclem, qui prodierat, observante Br., pellibus aliquot involutus, quas e sacris, quibus eodem die praefuisse fingitur, abstulerat, ex more. vide Thesm. 758., Plut. 1170.

1046. ἐκβολβιῶ. ἐξορύξω. ἀπὸ τῶν τοὺς βολβοὺς χαμόθεν ἐκβαλλόντων ἡ μεταφορά. — S. — Dixit ergo *ebulbitare* pro *effodere*. *Fl. Chr.* rectius Schneider. in lex. h. v., quem secutus Voss. haec ita reddidit: *ich will der Schaffell' unterdess, Die dieser mitnahm durch Betrug*, aushülsen *ihn*. poterat etiam dicere *auszwiebeln*.

1048. ἤκουσας; *audin'?* At neque audit ille, neque manus abstinet; quod miratus puer exclamat ὁ κόραξ etc. S.: κόρακα εἶπεν, ἐπειδὴ ἥρπαζεν. de Oreo vide 969.

1049. Καλλίστρατός φησι τόπον Εὐβοίας τὸ Ἐλύμνιον. Ἀπολλώνιος δὲ ναόν φησιν εἶναι πλησίον Εὐβοίας· νυμφικὸν δέ τινες αὐτό φασιν, ὅτι Ζεὺς τῇ Ἥρᾳ ἐκεῖ συνεγένετο. μέμνηται καὶ Σοφ., πρὸς πέτραις Ἐλυμνίαις. καὶ ἐν Ναυπλίῳ νυμφικὸν Ἐλύμνιον. S. cf. Hesych. et Steph. Byz. h. v.

1051. τυρ. τε καὶ κρ. qui est cibus militaris. intelligit per haec bellum. *Be.* gaudet Chorus, se bello defunctum esse, jamque sibi bene fore cum amicis potanti, et amanti. — de κρομμύῳ vide Ran. 615.

1052. φιλ., *delector*. vid., quem B. laudat, Toup. Emend. in Suid. 2. p. 343.

1053. διέλκων, *perpetans*. vid. Toup. ibidem. „Equ. 107. ἕλκ', ἕλκε

(5) ἐκκέας τῶν ξύλων ἅττ' ἂν ᾖ δανότατα, τοῦ θέρους
1055 * ἐκπεπιεσμένα,
κἀνθρακίζων τοῦ 'ρεβίνθου, τήν τε φηγὸν ἐμπυρεύων, t. t.
χἄμα τὴν Θρᾷτταν κυνῶν, τῆς γυναικὸς λουμένης. as., t. d. c. bis.
οὐ γὰρ ἔσθ' ἥδιον ἢ τυχεῖν μὲν ἤδη 'σπαρμένα, t. t. c. ἐπίῤῥ.
τὸν θεὸν δ' ἐπιψακάζειν, καί τιν' εἰπεῖν γείτονα
1060 „Εἰπέ μοι, τί τηνικαῦτα δρῶμεν, ὦ Κωμαρχίδη;
ἐμπιεῖν ἔμοιγ' ἀρέσκει τοῦ θεοῦ δρῶντος καλῶς.
ἀλλ' ἄφευε τῶν φασήλων, ὦ γύναι, τρεῖς χοίνικας,
τῶν τε πυρῶν μίξον αὐτοῖς, τῶν τε σύκων ἔξελε,
τόν τε Μανῆν ἡ Σύρα βωστρησάτω 'κ τοῦ χωρίου·
1065 οὐ γὰρ οἷόν τ' ἐστὶ πάντως οἰναρίζειν τήμερον,
οὐδὲ τυντλάζειν, ἐπειδὴ παρδακὸν τὸ χωρίον·

τὴν τοῦ δαίμονος τοῦ Πραμνίου" etc. *Be.*

1054. Hesych. secundum Be.: ἐκκέας: ἐκκαύσας. (vid. Matth. gr. §. 239.) sic Rav., Bekk., D. vulgo οὐκ ἐᾷς, A Paris. οὐκ ἐάσω. Br. συγκέας. — δαν. ξηρότατα τῷ θέρει, κ. εὐκαυστότατα, ἃ μήτε κάπνον ποιεῖ, κ. εὐκόλως ὑφάπτεται. S. — τοῦ θέρους, aestate.

1055. creticum dim. esse convenit hunc versum, qualis est ἀντίστροφος. atqui brevis est πι syllaba in πιέζειν, quam longam poscit creticus, neque placet in eo genere metri itidem brevis syllaba postrema verbi ἐκπεπιεσμένα. sic autem codd. praeter Rav., in quo legitur ἐκπεπρισμένα, h. e., ni fallor, ἐκπεπρεμνισμένων, excisorum.

1056. ἀνθρακίζων. φρύγων τὸν ἐρέβινθον, καὶ ξηρὸν ποιῶν. ταῦτα γὰρ ἐσθιόμενα προτρέπεται εἰς ποτόν. S. ἐρέβινθος est cicer arietinum Linn., die gemeine Kicher, Kichererbse, Zisererbse. vid. Billerbeckii Flor. class. p. 190. S.: φηγὸς εἶδος φυτοῦ, ὃ τὰς ἀγρίας βαλάνους φασὶ φέρειν. — quercus esculus, die Speiseeiche, dicta a φαγεῖν „wegen ihrer Frucht, die wie Kastanien schmeckt," ut verbis utar Billerbeckii l. l. p. 231. Fl. Chr. antiquam rusticorum εὐτέλειαν hisce significari ait, cicere et glande esculea victitantium. glandem autem h. l. sonat vox φηγόν.

1057. Θρᾷτταν, ancillam Thraciam, cujus gentis plurimi serviebant ap. Graecos. cf. Ach. 272., Ran. 569.

1058. τυχεῖν ἤδη ἐσπαρμένα, sementem jam factam esse.

1060. Κωμ. nomen agricolae.

1061. τοῦ θεοῦ ὄντος ἀρίστου μοι τὸ σχολάζειν τῷ ποτῷ. S.

1062. ἄφευε Suid. h. v., MS. etiam v. φασήλων, probante Porsono ad Toup. p. 480., Bekk., D. vulgo ἄφανε. — φάσηλος germ. vocatur Schwertbohne, sive Säbelbohne. vid. Billerbeck. Flor. class. p. 184. Virg. Georg. 1, 227. viciamque seres, vilemque faselum, i. e. bene provenientem, neque caram. — χοίνικας. vide Plut. 276.

1063. — τὸ ἔξελε ἀντὶ τοῦ κάθελε, ἀνάλεξον τὰ σῦκα. S.

1064. Μάνης seu Μανῆς servorum nomen est, de quo ad Ran. 916; Σύρα servarum, etiam ap. Plaut. et Terentium. βωστρεῖν est alta voce advocare.

1065, 6. οἷν. τὸ ἀποφυλλίζειν. οἴναρα γὰρ τὰ φύλλα τῆς ἀμπέλου. — τυντλάζειν. πηλοπατεῖν· τύντλος γὰρ ὁ πηλός. ἢ ἀντὶ τοῦ βαλοκοπεῖν. παρδακὸν δὲ ὄνυγρον. οὕτω γὰρ καὶ Ἀρχίλοχος, καὶ Σιμωνίδης. S. Strabo 13, 2. extremo: τὰς δὲ δυσφημίας τῶν ὀνομάτων φυγόν-

κἀξ ἐμοῦ δ' ἐνεγκάτω τις τὴν κίχλην, καὶ τὼ σπίνω·
ἦν δὲ καὶ πυός τις ἔνδον, καὶ λαγῶα τέτταρα,
εἴ τι μὴ 'ξήνεγκεν αὐτῶν ἡ γαλῆ τῆς ἑσπέρας·
ἐψόφει γοῦν ἔνδον οὐκ οἶδ' ἄττα, κἀκυδοιδόπα.
ὧν ἐνεγκ', ὦ παῖ, τρί' ἡμῖν, ἓν δὲ δοῦναι τῷ πατρί·
μυῤῥίνας τ' αἴτησον ἐξ Αἰσχινάδου τῶν καρπίμων·
χἄμα τῆς αὐτῆς ὁδοῦ Χαρινάδην τις βωσάτω,
ὡς ἂν ἐμπίῃ μεθ' ἡμῶν, t. d.
εὖ ποιοῦντος κὠφελοῦντος τοῦ θεοῦ τἀρώματα.
ΗΜ. ἡνίκ' ἂν δ' ἀχέτας ἀντ.
ᾄδῃ τὸν ἡδὺν νόμον, διασκοπῶν ἥδομαι
τὰς Λημνίας ἀμπέλους,
εἰ πεπαίνουσιν ἤδη (τὸ γὰρ φῖτυ πρῷον φύσει),
τόν τε φήλιχ' ὁρῶν οἰδάνοντ'· εἶθ', ὁπόταν ᾖ πέπων,

τες τινὲς ἐνταῦθα μὲν Ποροσελήνην (non Πορδοσελήνην) δεῖν λέγειν φασὶ, τὸ δ' Ἀσπόρδηνον ὄρος τὸ περὶ Πέργαμον, τραχὺ καὶ λυπρὸν ὄν, Ἀσπόρηνον, καὶ τὸ ἱερὸν τὸ ἐνταῦθα τῆς μητρὸς τῶν θεῶν Ἀσπορηνῆς. τί οὖν φήσομεν τὴν πόρδαλιν, καὶ τὸν σαπέρδην, καὶ τὸν Περδίκκαν, καὶ τὸ Σιμωνίδου σὺν πορδάκοισιν ἐκπεσόντες ἱμᾶσιν, ἀντὶ τοῦ διαβρόχοις, καὶ ἐν τῇ ἀρχαίᾳ που κωμῳδίᾳ πορδακὸν τὸ χωρίον, τὸ λιμνάζον; dixit de h. l. Palmerius Exerc. ad gr. auct. p. 341.

1067. τὼ σπίνω. σπίνος εἶδος στρουθοῦ. S. *fringilla* esse dicitur. Aristoteli est σπίζα, ad quem vid. Camus 2. p. 648. seqq. *B. ad Av.* 1079.

1068. πυός. τὸ πρῶτον γάλα, ὃ καὶ ἑψόμενον πήγνυται, καὶ ἡμεῖς χυτρίπην λέγομεν. — S. Voss.: *auch war etwas* Biest *im Haus'* etc.

1070. — est κυδοιδοπᾷν *turbare* et *omnia miscere*. ταράττειν et κυκᾶν interpretantur Hesych. et Suid. — In Nubb. (595.) dixit ἄνω κάτω κυδοιδοπᾷς. *Fl. Chr.*

1072. μυῤῥίνας. nam pueri in conviviis sumto laureo aut myrteo ramo cantabant. auctor Suidas. *Idem.* cf. 1193. seqq. ejusmodi ramorum laetior adspectus est, cum habent baccas. S.: Αἰσχ. ὡς τοῦ Αἰσχινάδου μᾶλλον τῶν ἄλλων ἔχοντος καρπίμους μυῤῥίνας (*mit Beeren dran.* Voss.). — (Χαρινάδην.) ἢ ὄνομα κύριον αὐλητοῦ, ἢ φίλον. (hoc recte.) βωσάτω δὲ βοησάτω. S.

1075. ταῤῥ. τὰ ἀροτριώματα, παρὰ τὸ ἀροτριοῦν. — S.

1076. ἀχέτας. ὁ τέττιξ, παρὰ τὸ Ἡσιόδειον (Op. et D. 582.) ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ, καὶ ἠχέτα τέττιξ (Δενδρέῳ ἐφεζόμενος λιγυρὴν καταχεύετ' ἀοιδὴν etc.). τοὺς ἄῤῥενας δὲ ᾄδοντας (ᾄδειν φασὶ) τῶν τεττίγων. οὕτως Ἀρίσταρχος. S. Putes scribendum esse o. Ἀριστοτέλης, ejusque nominis compendium librarios fefellisse. certe id tradit Aristot. H. A. 5, 30.

1078. τὰς Λ. ἄμπ. minus has quidem celebres, sed tamen probatas propterea, quod earum uvae cito maturescebant, ut ait Chorus.

1079. φύσει Rav., Suid., Bekk. quod et metro convenit, et aptum est sententiae. ἄμετρον est φύσει, quod alibi legitur. — φῖτυ. σπέρμα, καὶ φιτῦσαι γεννῆσαι, καὶ τὸ γέννημα φίτυμα. Εὔπολις Αὐτολύκῳ „αὐτὰρ ἤγαγες καινὸν φίτυμα βοῶν.“ πρῷον δὲ πρώϊμον (praecox), διασυλλάβως.

1080. φήληκα. τὸν ὄλυνθον. (grossum, fructum caprifici, seu ficus silvestris.) κυρίως μὲν οὖν ὁ ἤδη σκληρὸς καὶ πάρωρος, ὁ ὄψιν μὲν πεπάνσεως ἔχων, ἄωρος δὲ ὤν. καὶ

ἐσθίω, κἀπέχω, cr. d.
χἄμα φήμ' Ὧραι φίλαι! καὶ τοῦ θύμου τρίβων κυκῶμαι·
κᾆτα γίγνομαι παχὺς τηνικαῦτα τοῦ θέρους
μᾶλλον ἢ θεοῖσιν ἐχθρὸν ταξίαρχον προσβλέπων, ἀντεπίῤῥ.
τρεῖς λόφους ἔχοντα, καὶ φοινικίδ' ὀξεῖαν πάνυ,
ἣν ἐκεῖνός φησιν εἶναι βάμμα Σαρδιανικόν·
ἢν δέ που δέῃ μάχεσθ' ἔχοντα τὴν φοινικίδα,
τηνικαῦτ' αὐτὸς βέβαπται βάμμα Κυζικηνικόν·
κᾆτα φεύγει πρῶτος, ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν,
τοὺς λόφους σείων· ἐγὼ δ' ἕστηκα λινοπτώμενος.

μήποτε φήληξ τίς ἐστιν ὁ ἀπατεὼν καὶ ψευδόμενος τὴν ὄψιν εἰς βρῶσιν. (Voss.: Wie *der Traub' Herling* schwillt, seh' ich froh.) καὶ φῆλος ὁ ἀπατεών. Μένανδρος Ἁλιεῖ δύ' οἰκίας φηλῶν γερόντων. καὶ φηλώματα, ἐξαπάτας, παρ' Ἀντιφῶντι. S. — οἰδάνοντ' scribendum esse monuit Porson. ad Eurip. Phoen. 1398. vidit etiam Bentl. libri corrupto metro οἰδαίνοντ'.

1081. κἀπέχω. (*et porrigo* aliis.) τῷ στόματι προσάγω. καὶ Ὅμηρος (Il, ι', 485.) ὄψου ἄσαιμι προταμὼν, καὶ οἶνον ἐπισχών. S.

1082. κυκῶμαι. κυκεῶνας ἐσθίω. ἄνω (676.) τῷ πότῳ τῷ ἐπὶ τῆς γλήχωνός φησι χρῆσθαι πρὸς τὴν ὀπώραν, νῦν δὲ τῷ θύμῳ χρῶνται. μετὰ δὲ τὸ τὴν ὀπώραν φαγεῖν κυκεῶνα πίνουσι, καὶ οὐ βλάπτονται, ἀλλὰ καὶ παχεῖς γίνονται. S.

1083. γίνομαι παχύς. ἐπειδὴ ἀργοῦσιν οἱ γεωργοὶ τότε τοῦ ἀμητοῦ, ὡς Ἡσίοδός φησι (Op. et D. 608.) δμῶας ἀναψύξαι φίλα γούνατα. S.

1085. φοινικὶς hic, ut in Lys. 1140., militare sagum, seu chlamydem, significat, quae plerumque apud alias gentes, ap. Lacedaemonios semper, punicea erat. ὀξεῖαν ad colorem refertur, vividumque, saturum et intentiorem notat. v. Salmas. ad Script. Hist. Aug. p. 398. *Ex Br.* S. ὀξεῖαν ἀντὶ τοῦ εὔχρουν κ. ἐρυθρὰν πάνυ

1086. βάμμα Σαρδ. Sardoae tincturae magna fuit commendatio: nam eximiae illic purpurae. Ach. 112. ἵνα μή σε βάψω βάμμα Σαρδιανικὸν, h. e. μή σε πληγέντα φοινίξω etc. *Ex Fl. Chr.* igitur rubra erat illa purpura Sardiana; Cyzicenorum luteam, sive colore merdae, fuisse, ex hoc loco intelligitur, siquidem ἁβπτεσθαι β. Κυζ. significat concacari metu. Salmas. ad Solin. 53. (817, b, c): *Erat* [pro diversis littoribus] *atra purpura, erat livida, violacea, caerulea, rubra, lutea.* cf. Heerenii librum germ. de πολιτείᾳ et commercio veterum (*Ideen über Politik u. Handel der alten Welt*) vol. 2. pp. 598. seqq. 1. edit.

1088. Κυζ. Markland. ad Eurip. Suppl. 1181., Br., Bekk. χεζικηνικὸν, quo non opus.

1089. ὥσπερ ξ. ἱππ. ὡς φοινικὰ πτερὰ ἔχοντα δηλοῖ. ὅτι τοῦ παρ' Αἰσχύλῳ κληθέντος ἱππαλεκτρυόνος ἐν Μυρμιδόσι μέμνηται. S. cf. Ran. 883. Fl. Chr.: „Sic apud Theocr. in Dioscuris ἀλεκτρυόνες vocantur φοινικόλοφοι. Aeschylus in Myrmidonibus (p. 54. nostrae ed. Fragm. Aesch.) ἱππαλεκτρυόνος meminit rubras alas habentis, ad quem alludit. tamen Hesych. exponit μέγαν ἀλεκτρυόνα, qua ratione τὸ βου in compositione *magnum* significat. sic antea (181.) ἱπποκάνθαρον dixit, i. e. magnum et Aetnaeum" etc.

1090. ἐγὼ δ' ἕστ. λιν. ἐγὼ δ' ἕστ. ἐν τῷ αὐτῷ τόπῳ παρατηρῶν, καὶ περιβλεπόμενος, ὅπου ἂν ταχθῶ. λινόπτας γάρ φησιν Ἀριστοτέλης τοὺς τὰ θηρευτικὰ λίνα φυλάττοντας, ὡς

ἡνίκ' ἂν δ' οἶκοι γένωνται, δρῶσιν οὐκ ἀνασχετά,
τοὺς μὲν ἐγγράφοντες ἡμῶν, τοὺς δ' ἄνω τε καὶ κάτω
ἐξαλείφοντες ὀλίς, ἢ τρίς. Αὔριον δ' ἔσθ' ἥξοδος,
τῷ δὲ σιτί' οὐκ ἐώνητ'· οὐ γὰρ ᾔδειν ἐξιών,
εἶτα, προστὰς πρὸς τὸν ἀνδριάντα τὸν Πανδίονος,
εἶδεν αὐτὸν, κἀπόρῳ 'θει τῷ κακῷ βλέπων ὀπόν.
ταῦτα δ' ἡμᾶς τοὺς ἀγροίκους δρῶσι, τοὺς δ' ἐξ ἄστεος
ἧττον, οἱ θεοῖσιν οὗτοι κἀνδράσιν ῥιψάσπιδες·
ὧν ἔτ' εὐθύνας ἐμοὶ δώσουσιν, ἢν θεὸς θέλῃ.

καὶ οἰνόπτας τοὺς οἰνοφύλακας. — S. sane τροπικῶς hoc dictum est: *ego autem adsto servans* sive *expectans*, qua parte exercitus mihi militandum sit in bello.

1091. γεν. οἱ ταξίαρχοι.

1092. ὅτι τοὺς μὲν ἐξήλειφον, τοὺς δὲ ἐνέγραφον εἰς τὸν κατάλογον τῶν πολεμίων (πολιτῶν). S. *Scriptus miles et dilectus* Livio 7. (41, 4.) — Delere autem militem ex catalogo armatorum officium erat taxiarchi, quem facio tribunum militum. nam deni ταξίαρχοι ex tribubus singulis fuerunt. *Fl. Chr.* Equ. 1257. ἐπειθ' ὁ πολίτης ἐντεθεὶς ἐν καταλόγῳ Οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται, Ἀλλ', ὥσπερ ἦν τὸ πρῶτον, ἐγγεγράφεται. — ἄνω, κάτω, *susque deque*, *temere*. cf. Equ. 806. *Be.* Casanb. ad Equ. 1257. „In historiis Athenn. passim fit mentio hujus catalogi, in quo descripti erant, quicunque nomen militiae dedissent, (vid. Phot. lex. p. 104.) et κατάλογον sic dixerunt, ut Latini illud album sive laterculum appellarunt *numeros*. ibi erat descriptus quisque, prout militabat. militiae autem multi sunt gradus, alii honestiores, alii minus: unde locus fraudi, quam hic Arist. tangit, cum exempli causa, qui erat centurio adscriptus, postea studio alicujus improbi inter praefectos manipulorum rescriptus fuerat, aut contra."

1093. verba taxiarchi, profectionem subito edicentis civibus, qui ne scirent quidem, se in catalogo descriptos esse; unde fieri significat, ut multis sine viatico sit proficiscendum.

1094. σιτία, viaticum. — *Be.* S. ᾔδειν. ἀττικῶς ἀντὶ τοῦ ᾖδει, ὡς τὸ ὁ δὲ θεὸς ὐμῖν οὐ προσήειν. (Plut. 691.)

1095. πρ. τὸν ἀ. τοῦ Πανδ. εἷς ἐστι τῶν ιβ' ἀνδριάντων, ἐν οἷς ἐγράφοντο οἱ στρατιωτικοὶ κατάλογοι, καὶ τὰ κηρύγματα. εἶδεν οὖν, φησὶ, (intell. τις, aliquis civium,) τὸ ἑαυτοῦ ὄνομα γεγραμμένον ἐν τῷ ἀνδριάντι τοῦ Πανδ. S. igitur civis ille ex Pandionide tribu fuisse fingitur, ut Aristoph., qui fortasse hoc modo ipse aliquando vexatus fuerat a malevolo taxiarcho. S. ἑκάστης φυλῆς (Atheniensium) ἐπώνυμος ἦν ἀνδριὰς τοῦ τῶν φυλῶν (τῆς φυλῆς) ἐξηγησαμένου, Αἰαντίδος, Θησηίδος, Ἀκαμαντίδος, κ. τῶν λοιπῶν, ἔνθα ἐτίθεντο τὰ ὀνόματα τῶν ἐπ' ἐξόδῳ καταλελεγμένων.

1096. ll. κἀπορῶν θεῖ, cumulatis participiis, et importune illato tempore praesenti. longe fortius est ἀπόρῳ τῷ κακῷ, *propter immedicabile malum*. βλέπων ὀπὸν, *laserpitium* (Plut. 714., Eccles. 403.) *tuens*, dictum, ut alibi βλέπειν νάπυ, κάρδαμα, ὀρίγανον. S. sine tropo ὀπόν: δριμύτητα, πικρότητα. —

1097. τοὺς — ἧττον. urbanos minus laedi ait ab istis tribunis, quippe cautiores, et eorum malitiae probe gnaros.

1098. ῥιψάσπιδας a parte dicere videtur, cum intelligat proditores, jurisque deorum atque hominum contemtores.

1199. εὐθ. δώσ. *poenas dabunt*. „εὐθῦναι inprimis dicuntur multae solvendae ab iis, qui male magistratu functi sunt. v. Vocc. jur. ap.

1100 πολλὰ γὰρ δή μι' ἠδίκησαν,
ὄντες οἶκοι μὲν λέοντες, ἐν μάχῃ δ' ἀλώπεκες.

Bekker. Anecd. 1, 187., Phot. lex. p. 30." B.

1101. παροιμία παρὰ τοὺς ἐν Ἀσίᾳ Λάκωνας ἀνυχήσαντας, οἶκοι λέοντες, ἐν Ἐφέσῳ δὲ Λάκωνες. (imo ἐν Ἐφ. δ' ἀλώπεκες, ut scribi jussit Fl. Chr.) S. cf. laudatos ab interpretibus Be. ad Alciphr. 2. ep. 1. p. 275. ed. Wagner., Aelianum V. H. 13, 9., Plutarchum Sylla.

ΤΡΥΓΑΙΟΣ. ΔΡΕΠΑΝΟΥΡΓΟΣ. ΔΟΦΟΠΟΙΟΣ. ΘΩΡΑΚΟΠΩΛΗΣ. ΣΑΛΠΙΓΚΤΗΣ. ΚΡΑΝΟΠΟΙΟΣ. ΔΟΡΥΞΟΟΣ. ΠΑΙΣ ΛΑΜΑΧΟΥ. ΠΑΙΣ ΚΛΕΩΝΥΜΟΥ. ΧΟΡΟΣ.

ΤΡ. Ἰοὺ, ἰού, i.
ὅσον τὸ χρῆμ' ἐπὶ δεῖπνον ἦλθ' ἐς τοὺς γάμους! i. tr.
ἐχ', ἀποκάθαιρε τὰς τραπέζας ταυτηΐ·
πάντως γὰρ οὐδὲν ὄφελος ἔστ' αὐτῆς ἔτι.
ἔπειτ' ἐπείσφερε τὰς ἀμύλους καὶ τὰς κίχλας,
καὶ τῶν λαγώων πολλὰ, καὶ τοὺς κολλάβους.
ΔΡ. ποῦ, ποῦ Τρυγαῖός ἐστιν;
ΤΡ. ἀναβράττω κίχλας.
ΔΡ. ὦ φίλτατ', ὦ Τρυγαῖ', ὅσ' ἡμᾶς κἀγαθὰ
δέδρακας, εἰρήνην ποιήσας· ὡς πρὸ τοῦ

1102. Dicit haec Tryg., dum videt magnam hominum multitudinem confluere, velut ad epulas nuptiales. B.
1103. τὸ χρῆμ' ἀνθρώπων. „Nub. 1. ἰού, ἰού, τὸ χρῆμα τῶν φυτῶν ὅσον!“ Be. cf. Plut. 890.
1104. περικεφαλαίαν δίδωσιν, ἵνα τοῖς λόφοις ἀπομάττῃ τὴν τράπεζαν. — S.
1106. τὰς ἀμ. ἄμυλοι πλακοῦντές τινες. — S. conferre jubemur Athenaeum l. 14. t. 5. pag. 353. et 357. ed. Schweigh. et Matronis carmen ap. eundem l. 4. t. 3. p. 29.
1107. κολλάβους. εἶδος ἄρτων. εἰσὶ δὲ μικροὶ ἀρτίσκοι, ἐκ τῶν μεγάλων κεκολλαβισμένοι etc. S. cf. Ran. 472.
1109. ὅσα κἀγαθὰ, ut alias πολλὰ καὶ ἀγαθά. soloece ll. τἀγαθά: neque enim dicitur ὅσα τἀγαθὰ, sed ὅσα ἀγαθά.

οὐδεὶς ἐπρίατ' ἂν δρέπανον οὐδὲ κολλύβου,
νυνὶ δὲ πεντήκοντα δραχμῶν ἐμπολῶ·
ὁδὶ δὲ τριδράχμους τοὺς κάδους εἰς τοὺς ἀγρούς.
ἀλλ', ὦ Τρυγαῖε, τῶν δρεπάνων τε λάμβανε,
καὶ τῶνδ' ὅ τι βούλει, προῖκα. καὶ ταυτὶ δέχου·
ἀφ' ὧν γὰρ ἀπεδόμεσθα κἀκερδαίνομεν,
τὰ δῶρα ταυτί σοι φέρομεν εἰς τοὺς γάμους.

ΤΡ. ἴθι νυν καταθέμενοι παρ' ἐμοὶ ταῦτ' εἴσιτε
ἐπὶ δεῖπνον ὡς τάχιστα· καὶ γὰρ οὑτοσὶ
ὅπλων κάπηλος ἀχθόμενος προσέρχεται.

ΛΟ. οἴμ', ὡς προθέλυμνόν μ', ὦ Τρυγαῖ', ἀπώλεσας!

ΤΡ. τί δ' ἐστίν, ὦ κακόδαιμον; οὔ τί που λοφᾷς;

ΛΟ. ἀπώλεσάς μου τὴν τέχνην καὶ τὸν βίον,
καὶ τουτουΐ, καὶ τοῦ δορυξοῦ 'κεινουΐ.

ΤΡ. τί δῆτα τουτοινὶ καταθῶ σοι τοῖν λόφοιν;

ΛΟ. αὐτὸς σὺ τί δίδως;

ΤΡ. ὅ τι δίδωμ'; αἰσχύνομαι·
ὅμως δ', ὅτι τὸ σφήκωμ' ἔχει πόνον πολύν,
δοίην ἂν αὐτοῖν ἰσχάδων τρεῖς χοίνικας,
ἵν' ἀποκαθαίρω τὴν τράπεζαν τουτωΐ.

ΛΟ. ἔνεγκε τοίνυν εἰσιὼν τὰς ἰσχάδας·
κρεῖττον γὰρ, ὦ 'τᾶν, ἐστιν ἢ μηδὲν λαβεῖν.

ΤΡ. ἀπόφερ', ἀπόφερ' ἐς Κόρακας ἐκ τῆς οἰκίας!
τριχορρυεῖτον, οὐδέν ἐστον τὼ λόφω·

1111. κολλ. εἶδος εὐτελοῦς νομίσματος. ἀντὶ τοῦ οὐδὲ ὁβολοῦ. S.

1113. τοὺς κ. εἰς τοὺς ἀγρ. πιπράσκει δηλονότι. καθοποιὸς δὲ ἦν ὁ σὺν αὐτῷ. S. ἐμπολᾷ intelligendum ex superioribus.

1121. προθ. ὃ ἐστιν ἄρδην ἀπώλεσάς με, τὴν εἰρήνην προξενήσας. φαίνεται δὲ καὶ οὗτος, καὶ ἄλλοι πολλοί, τὸ προθέλυμνον ἀντὶ τοῦ πρόῤῥιζον ἀκούειν. καὶ παρ' Ὁμήρῳ (Il. ι', 541.) πολλὰ δ' ὄγε προθέλυμνα (χαμαὶ βάλε δένδρεα μακρά). Ἀρίσταρχος δὲ τὸ συνεχὲς, καὶ ἄλλο ἐπ' ἄλλῳ, δηλοῦσθαί φησι, φράξαντες δόρυ δουρὶ, [καὶ] σάκος σάκεϊ προθελύμνῳ (Il. ν', 130.). καὶ σάκος θέτο τετραθέλυμνον (Odyss. χ', 119.), τουτέστι τέσσαρας ἐπ' ἀλλήλων ἔχον τρύχας. (πτήχας.) — S.

1122. λοφᾷς. λόφους πολλοὺς ἔχεις ἐν πράσει. ὄνομα δὲ πεποίηκε νοσήματος, ὡς λέγομέν τινα ὑδερικῶν, ποδαγρᾶν, σπληνιᾶν, χαλαζᾶν. (λιθιᾶν addidit Be.) σημαίνει δὲ τὸ πλῆθος ἔχειν λόφων. S.

1125. καταθῶ, ponam, soluam.

1126. αἰσχ. ἐλάχιστον γάρ ἐστιν, ὃ μέλλω δοῦναι, τίμημα. S.

1127. τὸ σφήκωμα. τόπος τῆς περικεφαλαίας, ὅπου τὰ πτερὰ δέδεται. — S.

1133. τριχ. οἷον, οὐκ ἐπιμελῶς συνδεδεμένοι εἰσίν. ὑπὸ τοῦ χρόνου γὰρ ἐσάπησαν. — S.

οὐκ ἂν πριαίμην οὐδ' ἂν ἰσχάδος μιᾶς.
ΘΩ. τί δαὶ δεκάμνῳ τῷδε θώρακος κύτει
ἐνημμένῳ κάλλιστα χρήσομαι τάλας;
ΤΡ. οὗτος μὲν οὐ μή σοι ποιήσει ζημίαν,
ἀλλ' αἱρέ μοι τοὔτόν γε τῆς ἰσωνίας·
ἐναποπατεῖν γάρ ἐστ' ἐπιτήδειος πάνυ. . .
ΘΩ. παῦσαί μ' ὑβρίζων τοῖς ἐμοῖσι χρήμασι.
ΤΡ. ὠδὶ παραθέντι τρεῖς λίθους οὐ δέξιῶς;
ΘΩ. ποίᾳ δ' ἀποψήσει ποτ', ὦ 'μαθέστατε;
ΤΡ. τῇδιδιεὶς τὴν χεῖρα διὰ τῆς θυλαμιᾶς,
καὶ τῇδ'.
ΘΩ. ἆμ' ἀμφοῖν δῆτ';
ΤΡ. ἔγωγε νὴ Δία,
ἵνα μή γ' ἁλῶ τρύπημα κλέπτων τῆς νεώς.
ΘΩ. ἔπειτ' ἐπὶ δεκάμνῳ χεσεῖ καθήμενος;

1135. θώρακος κύτει. περιφραστικῶς εἶπεν ἀντὶ τοῦ θώρακα. — S. Tragici, opinor, verba. ἀνδρεῖον κύτος dixit Soph. Trach. 12., τρίποδος, λέβητος Eur. Suppl. 1155., Cycl. 398. etc. vid. annot. ad Soph. l. l.

1136. ἐν. συντεθειμένῳ, ἐῤῥαμμένῳ. — S. ἐν. ab ἐνάπτομαι, induo. dicitur loricae superinductum, vel intus subductum, corium.

1138. αἶρε, affer. S.: τῆς ἴσ. τῆς ἴσης τιμῆς. — S. Phot. p. 89. ἰσωνία· ἰσοτιμία. Vertitur: da mihi eam (loricam) eodem pretio, quo tibi constitit. — B.

1139. ἐναπ. — πάνυ. δηλονότι οὐκ ἔστιν ἀλυσιδωτὸς, ἀλλ' ὁ λεγόμενος στατός. εἰκάζει γὰρ αὐτὸν λασάνῳ ὀρθῶς σταθέντι. S. vide Köpkei librum Über das Kriegswesen der Gr. pp. 95. seqq.

1140. χρήματα sunt opes ejus; ea, quae possidet. vulgo vertitur merces. B.

1141. τρεῖς λίθους. καὶ γὰρ παροιμία τρεῖς εἰσιν ἱκανοὶ πρωκτὸν ἐκμάξαι λίθοι. — S. cf. Pl. 813. — οὐ δεξιῶς. scil. ἔχει τὸ χρῆμα; nonne sic bene habet res?

1142. ποίᾳ δ' ἀπ. ποίου μέρους (a qua parte loricae) τὸν πρωκτὸν ἀπομάξασθαι δυνήσῃ; S.

1143. διὰ τῆς θαλ. διὰ τῆς ἐκβολῆς τῆς χειρὸς τῆς ἐν τῷ θώρακι (per aperturam loricae ad inserendas manus) τὴν αὐτοῦ χεῖρα καθῆκε. θαλαμιὰ δὲ εἴρηται διὰ τὸ ἐοικέναι νεὼς τρυπήματι· κυρίως γὰρ ἡ κάτω τῆς νεὼς τρώγλη θαλαμία (intell. ὀπή, foramen,) λέγεται. S. cf. annot. ad Ran. 1013.

1144. ἆμ' ἀμφ. utraque simul manu (facies)?

1145. ἵνα μή γ' ἁλῶ. τοῦτό φησιν εἰς τοὺς τριηράρχους, ὅτι ἀπέφραττόν τινα τρυπήματα, ἵνα τὸν μισθὸν τὸν ναυτῶν κερδαίνοιεν, ἐκ δὲ τῆς ὄψεως τῶν τρυπημάτων μὴ ἐλέγχωνται. γελοίως οὖν ἀμφοτέραις ταῖς χερσί φησιν ἀποψῆσαι τὸν πρωκτὸν, ἵνα μὴ ὡς τριήραρχοι κρύπτων τρῆμα τῆς νεὼς ἁλῶ. ἠναγκάζοντο γὰρ οἱ ναύκληροι τοσούτους ναῦτας μισθοῦσθαι, ὅσα εἶχε τρυπήματα τριήρης. — S.

1146. ἐπὶ δεκάμνῳ, in vase, quod decem minis venditur. respondet Trygaeus, se non minoris venditurum esse podicem suum. valent autem 10 minae 1000 drachmas.

ΤΡ. ἔγωγε, νὴ Δί', ὦ 'πίτριπτ'· οἴει γὰρ ἂν
τὸν πρωκτὸν ἀποδόσθαι με χιλίων δραχμῶν;
ΘΩ. ἴθι δὴ 'ξένεγκε τἀργύριον.
ΤΡ. ἀλλ', ὦ 'γαθέ,
θλίβει τὸν ὄρρον· ἀπόφερ', οὐχὶ ὠνήσομαι.
ΣΑ. τί δ' ἔγωγ' ἄρα τῇ σάλπιγγι τῇδε χρήσομαι,
ἣν ἐπριάμην δραχμῶν ποθ' ἑξήκοντ' ἐγώ;
ΤΡ. μόλυβδον ἐς τουτὶ τὸ κοῖλον ἐγχέας,
ἔπειτ' ἄνωθεν ῥάβδον ἐνθεὶς ὑπόμακρον,
γενήσεταί σοι τῶν κατακτῶν κοττάβων.
ΣΑ. οἴμοι, καταγελᾷς!
ΤΡ. ἀλλ' ἕτερον παραινέσω.
τὸν μὲν μόλυβδον, ὥσπερ εἶπον, ἔγχεον·
ἐντευθενὶ δὲ σπαρτίοις ἠρτημένην
πλάστιγγα πρόσθες, καὐτό σοι γενήσεται
τὰ σῦκ' ἐν ἀγορᾷ τοῖς οἰκέταισιν ἱστάναι.
ΚΡ. ὦ δυσκάθαρτε δαῖμον, ὡς μ' ἀπώλεσας,
ὅτ' ἀντέδωκά γ' ἀντὶ τῶνδε μνᾶν ποτε!
καὶ νῦν τί δράσω; τίς γὰρ αὖτ' ὠνήσεται;
ΤΡ. πώλει βαδίζων αὐτὰ τοῖς Αἰγυπτίοις·
ἔστιν γὰρ ἐπιτήδεια συρμαίαν μετρεῖν.
ΔΟ. οἴμ', ὦ κρανοποί', ὡς ἀθλίως πεπράγαμεν!

1147. ἐπίτριπτε. cf. Plut. 275.

1150. μιμεῖται τοὺς ἐπ' ἀληθείᾳ ἐνδυομένους τοὺς θώρακας, καὶ διὰ τὸ μὴ ὠνεῖσθαι θλίβειν λέγοντας τὸν τράχηλον ἢ τοὺς ὤμους. τοιαῦτα δέ φασι βουλόμενοι διακόψαι τὸ τίμημα. ὄρρος δέ ἐστιν ὁ ὑποκείμενος τοῖς σφαιρώμασι (clunibus) τόπος. δῆλον ὅτι, λαβὼν τὸν θώρακα, ἐπεκάθισεν αὐτῷ, ὡς ἐν λασάνῳ, ἵνα μᾶλλον κινήσῃ γέλωτα. S.

1155. S. — ἐλέγοντό τινες κατακτοὶ κότταβοι. ἦν δὲ λύχνιον ἀγόμενον (ἀναγόμενον), πάλιν τε συμπῖπτον, ὑψηλὸν ἔχον τὸν μάνην καλούμενον, ἐφ' ᾧ τὴν κυβαλλομένην ἐπικεσεῖν πλάστιγγα, ἐντεῦθεν δὲ ἐμπίπτειν εἰς λεκάνην ὑποκειμένην, πληγεῖσαν τῷ κοττάβῳ. καί τις ἦν ἀκριβὴς εὐχέρεια τῆς βολῆς. cf. Groddeck. l. l. ad 341., pp. 214. seqq.

1158. σκ. ἠρτ. τὸ μεσαίτατον, φησίν, ἐκδησον σπάρτῳ (σπάρτων), ἵνα τρυτάνη (libra) γένηται ἐκ τοῦ τῆς σάλπιγγος αὐλοῦ. S.

1159. καὐτό. καὶ αὐτὸ, h. καὶ κατ' αὐτὸ, et per hoc, sive hoc modo. — γεν. licebit.

1161. ὦ δυσκ. δαῖμον, o implacate daemon. Be. Fortunam adversam dicit. S.: οὗτος κράνη κομίζει δύο.

1165. συρμ. μετρεῖν. — φαίνονται τοῦ χυλοῦ τῆς συρμαίας πίνειν οἱ Αἰγύπτιοι πρὸς διάῤῥοιαν, ὡς Δίδυμος. ἁλμαίαν ἐκ ζαφανίδων αἰγυπτιακὴν, πρὸς κάθαρσιν ἐπιτήδειον. S. cf. Schneideri lex. gr. v. συρμαία, Wesseling. ad Herodot. 2, 125.

ΚΡ. οὗτος μὲν οὐ πέπονθεν οὐδέν· ἀλλὰ τί
ἔτ' ἐστὶ τοῖσι κράνεσιν ὅ τι τις χρήσεται;
ΤΡ. ἐὰν τοιαυτασὶ μάθῃ λαβὰς ποιεῖν,
ἄμεινον ἢ νῦν αὖτ' ἀποδώσεται πολύ.
ΚΡ. ἀπίωμεν, ὦ δορυξέ.
ΤΡ. μηδαμῶς γ', ἐπεὶ
τούτῳ γ' ἐγὼ τὰ δόρατα ταῦτ' ὠνήσομαι.
ΔΟ. πόσον δίδως δῆτ';
ΤΡ. εἰ διαπρισθεῖεν δίχα,
λάβοιμ' ἂν αὖτ' ἐς χάρακας, ἑκατὸν τῆς δραχμῆς.
ΔΟ. ὑβριζόμεθα. χωρῶμεν, ὦ 'τᾶν, ἐκποδών.
ΤΡ. νὴ τὸν Δί', ὡς τὰ παιδία γ' ἤδη 'ξέρχεται
οὐρησόμενα τὰ τῶν ἐπικλήτων δεῦρ', ἵνα,
ἅττ' ἄσεται, προαναβάλητ', ἐμοὶ δοκεῖν.
ἀλλ', ὅ τι περ ᾄδειν ἐπινοεῖς, ὦ παιδίον,
αὐτοῦ παρ' ἐμὲ στὰν πρότερον ἀναβαλοῦ 'νθαδί.
ΠΑ. Νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα...
ΤΡ. παῦσαι hex. her.

1167. οὗτος. falcarium dicit, puto, qui videtur restitisse, quamvis vocatus a Trygaeo 1119., sermonibus ceterorum opificum delectatus.

1169. μάθῃ τις. S.: λαβάς. ὠτάρια τοῖς κράνεσιν, ἵνα γένωνται κάδοι. δείκνυσι δὲ τὰ ὦτα αὐτοῦ, καὶ ἔστι παρεπιγραφή.

1172. ἀττικῶς εἶπε τούτῳ ὤν. ἀντὶ τοῦ παρὰ τούτου ὤν. S.

1174. χάρ. palos, ridicas, vel pedamenta, quibus fulcitur vitis. *Ex Fl. Chr.*

1176. cf. annot. ad 1089.

1177. οὐρ. *micturi*, antequam canant, vel prae timore, ne cantus sibi parum succedat, vel potius jam ipsi quoque appoti, ut patres.

1178. minus commode ll. προαναβάλληταί μοι δοκεῖ. S.: ἅττ' ᾄσ. τὸ ἑξῆς· δοκεῖ δέ μοι ἵνα δεῦρο προοιμιάσηταί τινα μέλη ᾄσαι καὶ προμελετῆσαι. „referendum igitur δεῦρο ad ἐξέρχεται." B.

1181. οὐδὲν ἀστειότερον τῆς εὐσέβειας. δύο γὰρ δῆθεν ἵστησι παιδία ᾄδοντα, ἵνα ἀφορμὴν σχῇ τοῖς πατράσιν αὐτῶν ὀνειδίσαι, καὶ διαβαλεῖν τὸν μὲν ὡς φιλοπόλεμον ὄντα, τὸν δὲ ὡς ῥίψασπιν. πρῶτον οὖν πεποίηκε τὸ τοῦ φιλοπολέμου ᾄδον παιδίον, καὶ θέασαι, ὡς πρόσφορα αὐτῷ περιέθηκε πράγματα. (senarius, qui forte excidisse videtur scholiastae.) ἀρχὴ δὲ τῶν Ἐπιγόνων Ἀντιμάχου. S. annotavit Br., non Antimachi esse perhiberi carmen epicum de Epigonis, sed Homeri, certe ap. illum, quisquis fuit, qui scripsit Certamen Homeri et Hesiodi, quod habetur inter opera Hesiodea. quanquam ne ille quidem id pro certo affirmat, sed nonnullis ita videri ait, φασὶ γάρ τινες καὶ ταῦτα Ὁμήρου εἶναι. legitur autem ibi: Νῦν αὖθ' ὁπλοτέρων ἀρχώμεθα, Μοῦσαι, cum scribendum sit, secundum Aristophanem, numero integro, N. α. ὁπλ. ἀνδρῶν ἀ., M. ceterum recte quidem hunc versum Br. abjudicare videtur ab Antimacho Colophonio, qui paulo seriore tempore floruit ad finem vergentis belli Pelop.; sed esse ait B., qui ab hoc an-

ὁπλοτέρους ᾄδον, καὶ ταῦτ', ὦ τρισκακόδαιμον,
εἰρήνης οὔσης· ἀμαθές γ' εἶ, καὶ κατάρατον.
Π. Α. Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
σύν ῥ' ἔβαλον ῥινούς τε, καὶ ἀσπίδας ὁμφαλοέσσας.
ΤΡ. ἀσπίδας; οὐ παύσει μεμνημένος ἀσπίδος ἡμῖν;
Π. Α. Ἐνθάδ' ἅμ' οἰμωγή τε, καὶ εὐχωλὴ, πέλεν ἀνδρῶν.
ΤΡ. ἀνδρῶν οἰμωγή; κλαύσει νὴ τὸν Διόνυσον,
οἰμωγὰς ᾄδον, καὶ ταύτας ὁμφαλοέσσας.
Π. Α. ἀλλὰ τί δῆτ' ᾄδω; σὺ γὰρ εἰπέ μοι, οἵστισι χαίρεις.
ΤΡ. Ὡς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὶ τὰ τοιαυτί·
Ἄριστον προτίθεντο καὶ ἅτθ' ἥδιστα πάσασθαι.
Π. Α. Ὡς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὐχένας ἵππων
ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμου ἐκόρεσθεν.
ΤΡ. εἶεν, ἐκόρεσθεν τοῦ πολέμου, κἄτ' ἤσθιον,
ταῦτ' ᾄδε, ταῦθ', ὡς ἤσθιον κεκορημένοι.
Π. Α. Θωρήσοντ' ἄρ' ἔπειτα πεπαυμένοι.
ΤΡ. ἄσμενοι, οἶμαι.
Π. Α. Πύργων δ' ἐξεχέοντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
ΤΡ. κάκιστ' ἀπόλοιο, παιδάριον, αὐταῖς μάχαις· i. tr.

tiquiorem quendam distinguant Antimachum Teium, de quo vidd. Fabric. et Harles. Bibl. gr. 2. p. 104. sequ. atut res haec sese habet, illud dubium non est, versum esse poëtae alicujus antiquissimi. — ὁπλοτ. παρὰ τὸ ὅπλον παίζει. S.

1184. similiter Hom. Il. δ', 446. et θ', 60. οἱ δ' ὅτε δὴ ῥ' ἐς χῶρον ἔνα ξυνιόντες ἵκοντο, Σὺν ῥ' ἔβαλον δινούς, σὺν δ' ἔγχεα, καὶ μένε' ἀνδρῶν Καλχεοθωρήκων· ἀτὰρ ἀσπίδες ὁμφαλόεσσαι Ἔπληντ' ἀλλήλῃσι, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει. annotavit Br.

1192. etiam haec ex variis locis verbisque Homericis sunt composita. τὰ τοιαυτί. quae dicturus est.

1195. ἔκλυον. ἀπέλυον, ἐξέλυον. S.

1198. Θωρ. ἀντὶ τοῦ ἔπινον, παρὰ τὸ εἰς τὸν θώρακα (intell. corporis) πέμπειν τὸν οἶνον. S. θωρήσσεσθαι et *thoracem induere* significat, et *inebriari*, propter ambiguitatem verbi θώραξ. Br.: „Ex hac ambiguitate," inquit, „petitus est lepidus jocus in Ach. 1064., ubi, quum Lamachus sibi thoracem adferri jussisset, dixissetque ἐν τῷδι πρὸς τοὺς πολεμίους θωρήξομαι, congium Dicaeopolis sibi dari jubet, aitque ἐν τῷδε πρὸς τοὺς ξυμπότας θωρήξομαι. hic vero puer cum dixisset, heroas facto edendi fine (πεπαυμένους) θωρήξασθαι, intelligit Tryg., majoribus eos sese poculis invitasse, ideoque addit ἄσμενοι, οἶμαι."

1200. αὐτ. μάχαις. σὺν αὐτ. μάχ.

οὐδὲν γὰρ ᾄδεις πλὴν πολέμους. τοῦ καί ποτ' εἶ;
Π. Α. ἐγώ;
ΤΡ. σὺ μέντοι, νὴ Δί'.
Π. Α. υἱὸς Λαμάχου.
ΤΡ. αἰβοῖ!
ἦ γὰρ ἐγὼ θαύμαζον ἀκούων, εἰ σὺ μὴ εἴης hex. her.
ἀνδρὸς βουλομάχου καὶ κλαυσιμάχου τινὸς υἱός.
ἄπειρέ, καὶ τοῖς λογχοφόροισιν ᾄδ' ἰόν. i. tr.
πού μοι τὸ τοῦ Κλεωνύμου 'στὶ παιδίον;
ᾆσον, πρὶν εἰσιέναι, τι· σὺ γὰρ εὖ οἶδ' ὅτι
οὐ πράγματ' ἄσει· σώφρονος γὰρ εἶ πατρός.
Π. Β. Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ, hex. her.
ἔντος ἀμώμητον, κάλλιπον οὐκ ἐθέλων. pent. eleg.
ΤΡ. εἰπέ μοι, ὦ πόσθων, εἰς τὸν σαυτοῦ πατέρ' ᾄδεις; hex. her.
Π. Β. Ψυχὴν δ' ἐξεσάωσα ...
ΤΡ. κατῄσχυνας δὲ τοκῆας.
ἀλλ' εἰσίωμεν· εὖ γὰρ οἶδ' ἐγὼ σαφῶς, i. tr.
ὅτι ταῦθ', ὅσ' ἦσας ἄρτι περὶ τῆς ἀσπίδος,
οὐ μὴ 'πιλάθῃ πότ', ὢν ἐκείνου τοῦ πατρός.
ὑμῶν τὸ λοιπὸν ἔργον ἤδη 'νταῦθα τῶν μενόντων i. t. c. στ.

1200. τοῦ — εἶ; vim particulae καὶ ita interpositae, ut reddi possit *praeterea*, illustravit copiose Porson. ad Eurip. Phoen. 1373. B.

1203. vi etymologiae idem βουλάμαχος et λάμαχος: nam λῇς est βούλει, *vis*. κλαυσίμαχον autem Lamachum vocat, quasi fleturum, quia jam belligerare non possit. ἡμέρα γὰρ ἐξέλαμψεν ἤδη μισολάμαχος, inquit supra v. 304. *Be. S.*: Λαμάχου. τοῦ ἀεὶ βουλομένου μάχεσθαι. — τὸ δὲ αἰβοῖ γελῶν λέγει.

1208. οὐ πρ. ᾄσει dixit joco inexpectato. usitatum est πράγματα παρέχειν, *molestiam exhibere*. Voss.: *Nicht* Händel *singst du*.

1209. distichon est Archilochi, quod extat ap. Strab., Plut., Sext. Empir. male vulgo legitur ἐντὸς, tanquam si adverbium esset. scribi debuit ἔντος, quod nomen singulari parum usitatum, plurale ἔντεα ap. quosvis poëtas frequens. *Br.* id Reiskeus quoque animadvertit. „Notum est, Archilochum in pugna contra Saïos, Thraciae gentem, id perpetrasse, quod in elegia sua satis testatur." (h. e. clipeum abjecisse.) *Ex Fl. Chr.* vixit Archil., poëta celeberrimus, ab olympiade 16. ad 25., quod tempus congruit annis ante Chr. nat. 715. et 679. ejus reliquias edidit Liebelius Lips. 1812.

1211. πόσθων. ὑποκοριζόμενοι οὕτως ἔλεγον τὰ παιδία. — S. a πόσθη, praeputium, penis. Photius, a Br. laudatus, p. 329. ed. Herm.: πόσθων κυρίως (imo ἀκύρως, *improprie*,) λέγεται παιδάριον. οὕτω γὰρ ὑποκοριζόμενοι ἔλεγον ἀπὸ τοῦ αἰδοίου etc.

φλᾶν ταῦτα πάντα, καὶ σποδεῖν, καὶ μὴ κενὰς παρέλκειν,
ἀλλ' ἀνδρικῶς ἐμβάλλετον, i. d.
καὶ σμώχετ' ἀμφοῖν ταῖν γνάθοιν· οὐδὲν γὰρ, ὦ πόνηροι, i. t. c.
1220 5 λευκῶν ὀδόντων ἔργον ἔστ', ἢν μή τι καὶ μασῶνται.
ΧΟ. ἡμῖν μελήσει ταῦτά γ'· εὖ ποιεῖς δὲ καὶ σὺ φράζων. ἀ.
ΤΡ. ἀλλ', ὦ πρὸ τοῦ πεινῶντες, ἐμβάλλεσθε τῶν λαγώων,
ὡς οὐχὶ πᾶσαν ἡμέραν
πλακοῦσιν ἐστὶν ἐντυχεῖν πλανωμένοις ἐρήμοις.
1225 5 πρὸς ταῦτα βρύκετ', ἢ τάχ' ὑμῖν φημὶ μεταμελήσειν.
εὐφημεῖν χρὴ, καὶ τὴν νύμφην ἔξω τινὰ δεῦρο κομίζειν, a. Arist. ἐπίῤῥ.
δᾷδάς τε φέρειν, καὶ πάντα λεὼν ξυγχαίρειν, κἀπικελεύειν,
καὶ τὰ σκεύη πάλιν εἰς τὸν ἀγρὸν νυνὶ χρὴ πάντα κομίζειν
ὀρχησαμένους, καὶ σπείσαντας, καὶ Ὑπέρβολον ἐξελάσαντας·
1230 κἀπευξαμένους τοῖσι θεοῖσιν a. d.
διδόναι πλοῦτον τοῖς Ἕλλησιν,
κριθάς τε ποιεῖν ἡμᾶς πολλὰς
πάντας ὁμοίως, οἶνόν τε πολὺν,

1217. φλᾶν de esu etiam Plut. 689. κἀγὼ τότ' ἤδη τῆς ἀθάρης πολλὴν ἔφλων. Nub. 1380. itidem junxit φλᾶν et σποδεῖν, sed non de esu, κἄπειτ' ἔφλα με κἀσπόδει. Be. „Phot. φλᾶν, μαλάττειν, ἀναμαλάττειν. σποδεῖν ridicule dictum videtur p. παίειν, concidere dentibus, h. e. comminuere." B. — κενὰς κύλικας, quemadmodum, annotante Be., Antiphanes ap. Athen. 10. p. 446. πῖθι οὖν, ὦ ἑταῖρε, καὶ μὴ μεστὰς ἀεὶ ἕλκωμεν. παρὰ in παρέλκειν vitium actionis significat, ut qua nihil efficiatur, inanibus scil. poculis. nam ἕλκειν etiam h. l. est bibere, ut passim.

1219. σμώχετε Suid. h. v., Rav. σμόχετε pro eodem. olim legebatur σμήχετε, sed recte Br. et ab eo editores σμώχετε. „Lennep. Etym. p. 674. verbum σμώχω, mandendi significatione usurpatum, a μόω, i. e. μάω, μάσσω, derivat. Phot. et Hesych. interpretantur μετὰ σπουδῆς ἐνεργεῖν. alias est atterere, terendo purgare." B. πόνηροι, laboriosi, aerumnosi. cf. 263., 378.

1220. ἔργον ἔστ', opus est, usui est. cf. Plut. 1150.

1224. πλαν. ἐρ. ὑμῖν. Fl. Chr.: nam nec licet totos dies Frui placentis dulcibus deserta pervagantes. descriptio haec est vitae agricolarum.

1225. βρύκειν est λάβρως ἐσθίειν. Hipponax: καὶ λάγως καταβρύκων. Fl. Chr. „cf. Eurip. Cycl. 345. Eubulus Com. ap. Athen. 13. p. 572. καὶ τῶν κρεῶν ἀπέβρυκον αἰσχρῶς." Be.

1227. δᾷδας, faces nuptiales.

1229. de Hyperbolo cf. 645.

σῦκά τε τρώγειν· a.
τάς τε γυναῖκας τίκτειν ἡμῖν· a. d.
1376. ἥρωα αὐτόν φησι διὰ τὴν ὁμωνυμίαν τὴν πρὸς τὸν Ἀγαμέμνονος υἱὸν Ὀρέστην. ἥρωες δὲ δύσοργοι, καὶ χαλεποὶ τοῖς ἐμπελάζουσι γίνονται, καθάπερ Μένανδρος ἐν Συνερίθοις ὅτι ἀγαθὸν γάμον Χειμῶνος ὁ θεὸς δίδωσιν, οὐδ' ἥρωες κεῖς τοῦτο δύνανται, ἀλλ' ἀποπλήκτους μὲν ποιεῖν δύνανται· Τὸ δ' ὠφελὲς οὐ κέκτηνται. (neglexerunt haec Menandri editores, neque ipsam Συνερίθων fabulam commemoraverunt. sunt autem affecta. scripserim ὅτι ἀγ. γ. Χειμῶνι θεὸς δίδωσιν, οὐδ' ἥρ. εἰς Τουτὶ δύνανε', ἀλλ' ἢ 'ποπλήκτους μὲν π., Τὸ δ' ἀφελὲς (vel ἀσφαλὲς) οὐ κέκτηντ', vel κέκτηντο· ὠφελὲς nescio an sit inusitatum. τὸ ἀφελὲς, *simplicitatem*, innocentiam. malevoli finguntur he-

εἰ γὰρ ἐντύχῃ τις ἥρῳ τῶν βροτῶν νύκτωρ Ὀρέστῃ,
γυμνὸς ᾖ, πληγεὶς ὑπ᾽ αὐτοῦ πάντα τἀπιδέξια.

roes: vide fabulam cognominem, Aristoph. fragm. p. 88. difficilius intellectu τὸ ἀσφαλές.) διό μοι δοκοῦσι καὶ οἱ τὰ ἡρῷα παριόντες σιγὴν ἔχειν etc. S.

1377, 8. vulgo — ἐντύχοι — γυμνὸς ἦν etc. ἐντύχῃ vett. edd. ᾖ, *fuerit*. „γυμνὸς vestibus superioribus ab eo spoliatus.“ B. S. πάντα τἀπ. ὀφθαλμοὺς, κεφαλήν. οἷον τὰ δεξιὰ τῆς φύσεως. (ἐπιδέξια sunt praestantissimae corporis partes. v. Hesych. h. v.) ἐπλήττοντο γὰρ οἱ συντυγχάνοντες αὐτῷ. — B. „scil. heroës dicebantur iis, qui noctu occurrerent, molesti esse, inprimisque apoplexiam immittere.“

ΠΡΟΜΗΘΕΥΣ. ΠΕΙΣΘΕΤΑΙΡΟΣ. ΧΟΡΟΣ.

ΠΡ. Οἴμοι τάλας, ὁ Ζεὺς ὅπως μή μ' ὄψεται! i. tr.
ποῦ Πεισθέταιρός ἐστιν;
ΠΕ. ἔα, τουτὶ τί ἦν;
τίς ὁ συγκαλυμμός;
ΠΡ. τῶν θεῶν ὁρᾷς τινα
ἐμοῦ κατόπιν ἐνταῦθα;
ΠΕ. μὰ Δί', ἐγὼ μὲν οὔ.
τίς δ' εἶ σύ;
ΠΡ. πηνίκ' ἐστὶν ἄρα τῆς ἡμέρας; . . .
ΠΕ. ὁπηνίκα; σμικρόν τι μετὰ μεσημβρίαν.
ἀλλὰ σὺ τίς εἶ;
ΠΡ. βουλυτὸς, ἢ περατέρω;
ΠΕ. οἴμ', ὡς βδελύττομαί σε!
ΠΡ. τί γὰρ ὁ Ζεὺς ποιεῖ;

1379. — ὁ Προμηθεὺς ἀπαγγέλλει αὑτῷ τινα συγκεκαλυμμένος (obvoluto capite). S. de Prometheo vide Hesiod. Theog. 507., Aeschylum Prometheo, Apollod. 1, 2., aliosque. hic quidem agit partes proditoris.

1383. πηνίκ' ἐστὶν ἄρα. ἀντὶ τοῦ ποία ἐστὶν ὥρα τῆς ἡμέρας. τοῦτο δὲ, ἐπεὶ ὥρας ἐξήταζον εὐκαίρως. (cum otium esset.) S. sic quidem apud nos quoque solent otiosi, cum nihil aliud habent, quod quaerant. at otiosus non est Prometheus, sed negotiosus ut cum maxime. igitur id quaerere putandus est propterea, quia cupit vesperam esse aut noctem, ne conspiciatur a quoquam deorum. vide ipsum S. ad 1387.

1385. βουλυτός. tempus, quo boves jugo solvuntur. Lucian. Cataplo c. 1. σχεδὸν ἀμφὶ βουλυτὸν etc. Be. cf. Apollon. Soph. lex. Hom. h. v., ibique Villois. περαιτ., *aliquando ultra illud tempus.* Prometheus Pisthetaeri quaestionibus non respondet, sed suas tantum res curat: inde hic dicit se eum abominari, odisse (βδελύττεσθαι, ut Plut. 695.). B.

1386. οἴμοι indignantis est, ut 1165., Soph. Ant. 86. ibidem 306. οἰμ', ὡς λάϊημα δῆλον ἐκπεφυκὸς εἶ! — K.: τί γὰρ ὁ Ζεὺς ποιεῖ; — *quaenam est coeli tempestas? quel tems fait-il?* sic quum significare volebant Attici, coelum esse pluvium, eadem elegantia dicebant ὁ Ζεὺς ὕδωρ ποιεῖ, i. e. pluit (Theophr.

ἀπαιθριάζει τὰς νεφέλας, ἢ ξυννεφεῖ;
ΠΕ. οἴμωζε μεγάλ' !
ΠΡ. οὕτω μὲν ἐκκεκαλύψομαι.
ΠΕ. ὦ φίλε Προμηθεῦ.
ΠΡ. παῦε, παῦε, μὴ βόα.
ΠΕ. τί γάρ ἐστι;
ΠΡ. σίγα, μὴ κάλει μου τοὔνομα·
ἀπὸ γὰρ ὀλέσεις, εἴ μ' ἐνθάδ' ὁ Ζεὺς ὄψεται.
ἀλλ', ἵνα φράσω σοι πάντα τἄνω πράγματα,
τουτὶ λαβών μου τὸ σκιάδειον ὑπέρεχε
ἄνωθεν, ὡς ἂν μή μ' ὁρῶσιν οἱ θεοί.
ΠΕ. ἰοὺ, ἰοὺ, i.
εὖ γ' ἐπενόησας αὐτὸ, καὶ προμηθικῶς! i. tr.
ὑπόδυθι ταχὺ δὴ, κἄτα θαῤῥήσας λέγε.
ΠΡ. ἄκουε δὴ νῦν.
ΠΕ. ὡς ἀκούοντος λέγε.
ΠΡ. ἀπόλωλεν ὁ Ζεύς.
ΠΕ. πηνίκ' ἄττ' ἀπώλετο;

Char. c. 3, 2.), vel ὁ θεὸς ποιεῖ ὕδωρ. (Vesp. 261.)

1387. ὑπαιθριάζει (sic, male secutis Porto atque editoribus Lugdun. et Amstelod.). σκορπίζει, εὐδίαν ἄγει. συννεφεῖ δὲ συνάγει τὰ νέφη. οὐχ ὁρᾷ γὰρ αὐτὸν ὁ Ζεὺς νεφῶν ὄντων. S.

1388. ita membr. et B Paris. vulgo ἐκκαλύψομαι. annotatum est, Atticos paulopostfuturis non modo pro futuris 1. pass., sed etiam pro futuris mediorum uti. v. Pierson. ad Moer. p. 293. sequ., et Matth. gr. §. 498. — οὕτω, sic; quoniam ita se habet res, ut tu mihi nihil praeterea respondeas, opus mihi est, ut rejiciam involucra capitis, ipseque videam, quid rei sit.

1391. ὀλέσεις pristinae edd., MSS. fere ὀλέσει. ἀπὸ γὰρ ὁλ. dictum per tmesin. μὲ ad utrumque verbum pertinet.

1393. σκιάδ. κατασκεύασμά τι, ὅπερ ἔχουσιν αἱ κανηφόροι (1436.), ἀπιοῦσαι εἰς τὰ Ἐλευσίνια, ὑπὲρ τοῦ μὴ καίεσθαι ὑπὸ τοῦ ἡλίου. — S. umbellam (Parasol), quam secum apportavit. ὑπέρεχε, ὑπεράνω ἔχε, super me tene, ut Equ. 1073., et saepius ap. Hom. E B. μοὺ pertinet ad ὑπέρεχε.

1396. sequ. προμ., provide. sed simul ad Promethei nomen alludit. ὑπόδυθι, subi eam, ut Plut. 730. B.

1399. πηνίκ' ἄττ'. ita codd. praeter C Paris. et Urbin. illi: πην. ἄρ' (ἆρ') ἀπ., quod occupavit Br. at ipse Eustath., quem laudat, ad Hom. p. 148. extr., φασὶ δὲ οἱ παλαιοὶ περὶ τοῦ ἄττα, καὶ, ὅτι τρία δηλοῖ· τὸ τινὰ, ὅτε καὶ ψιλοῦται· τὸ ἄτινα, ὅτε δασύνεται· καὶ τρίτον τὸ πότε ἢ τὸ ἰσοδυναμοῦν τούτῳ. Ἀριστοφάνης πύθου, γελιδὼν πηνίκ' ἄττα φαίνεται. Burgess. in Append. ad Dawesii Misc. crit. p. 430. „Saepe," inquit, „adjectiva neutra pluralia adverbialiter dicuntur, ut οἷα etc. itaque ἄττα est quodammodo, aut de tempore aliquando, tandem, et πηνίκ' ἄττα quando tandem, quo circiter tempore?" cf., quos laudant, Harpocr., Etym. M., Hoogev. Doctr. part. gr. 1. p. 152. sequ., H. ad

ΠΡ. ἐξ οὗπερ ὑμεῖς ᾠκίσατε τὸν ἀέρα.
θύει γὰρ οὐδεὶς οὐδὲν ἀνθρώπων ἔτι
θεοῖσιν, οὐδὲ κνῖσα μηρίων ἄπο
ἀνῆλθεν ὡς ἡμᾶς ἀπ' ἐκείνου τοῦ χρόνου,
ἀλλ' ὥσπερεὶ Θεσμοφορίοις νηστεύομεν
ἄνευ θυηλῶν· οἱ δὲ βάρβαροι θεοὶ
πεινῶντες, ὥσπερ Ἰλλυριοὶ, κεκριγότες
ἐπιστρατεύσειν φάσ' ἄνωθεν τῷ Διΐ,
εἰ μὴ παρέξει τἀμπόρι' ἀνεῳγμένα,
ἵν' εἰσάγοιντο σπλάγχνα κατατετμημένα.
ΠΕ. εἰσὶν γὰρ ἕτεροι βάρβαροι θεοί τινες
ἄνωθεν ὑμῶν;
ΠΡ. οὐ γάρ εἰσι βάρβαροι,
ὅθεν ὁ πατρῷός ἐστιν Ἐξηκεστίδῃ;

Viger. annot. 37. ceterum παρφδῶν haec dicere videtur Pisthetaerus. cf. 1383.

1402. cf. supra 187. — 194.

1404. mulieres olim medium Thesmophoriorum diem, i. e. tertium (festum enim illud 5 dies durabat), jejunio colere solebant; ad quem morem Arist. hic alludit. v. nos ad Thesm. 86. K.

1405. θυηλῶν, θυσιῶν. gl. Vict. B. „θυηλαὶ non tantum primitiae sunt victimarum (Iliad. ι', 220., ibique Heyn.), aut extispicia (Phot. lex. p. 75.), sed etiam victimae, quae immolantur. v. Arcad. ap. Albert. ad Hesych. h. v."

1406. ὥσπερ Ἰλλ. (κεκριγότες.) Δίδυμος „ὥσπερ βάρβαροι." ἀνέπλασε δέ τι γένος θεῶν βαρβάρων Τριβαλλῶν ἀνώτατον, οἷον ὥσπερ ἐπὶ τῶν ἀνθρώπων βάρβαρα ἔθνη πορρωτάτω καθεστήκασι. περὶ δὲ Θρᾴκην εἰσὶν οἱ Ἰλλυριοί. — οἱ γεωργεῖν μὲν οὐκ ἔχουσι γῆν, λῃστεύοντες δὲ τρέφονται. (Strabo 9, 5., ed. Tauchniz. 2. p. 107. sequ., τοιαύτη δ' οὖσα ὠλιγωρεῖτο πρότερον ἡ Ἰλλυρικὴ παραλία· τάχα μὲν καὶ κατ' ἄγνοιαν τῆς ἀρετῆς, τὸ μέντοι πλέον διὰ τὴν ἀγριότητα τῶν ἀνθρώπων, καὶ τὸ ληστρικὸν ἔθος.) τὸ δὲ κεκριγότες μίμησις ἐστιν οὐκ εἰς τὸν ἦχον, ἀλλ' εἰς τὴν ἀσάφειαν τῶν βαρβαρικῶν διαλέκτων. S. d. voc. κρίζειν, quod et avium est, et recte de barbaris, avium more stridentibus, dici potuit, cf. Heyn. ad Iliad. π', 470. B.

1407. ἄνωθεν, ἄνω, *supra*, ut 1418. *E B.* cf. 1394, 1436.

1408. τἀμπ. ἀν. quia belli tempore cessant commercia, et emporia clauduntur. Demosth. Olynth. 2. (t. 1. p. 22. Oratt. gr. ed. Reisk.) κεκλεισμένων τῶν ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον. orietur autem mox bellum sacrum inter aves et deos, nisi dii avibus voluerint imperium reddere; et jam dii intercepti sunt, postquam aërem muniverunt aves. *Be.* παρέξει ἀν. *efficiet, ut aperiantur.* Aeschin. Socr. 3, 16. παρέχειν γνῶσιν. B.

1411. βάρβαροι θεοί.

1412. ita Br. D. perperam libri Ἐξηκεστίδης, quemadmodum permisceri solet ς cum iota adscripto. Br. „*nonne enim barbari* (dii) *sunt, e quibus Patrius est suus Execestidi?* In inquisitione, quae fiebat Athenis in magistratuum natales et vitam, hoc erat εἰ Ἀθηναῖοί εἰσιν ἑκατέρωθεν ἐκ τριγονίας, καὶ τὸν δῆμον πόθεν, καὶ εἰ Ἀπόλλων ἐστὶν αὐτοῖς πατρῷος, καὶ Ζεὺς ἑρκεῖος. hac de re vidd. Pollucis interpp. ad 8, 85. (inprimis Hemsterhus. p. 902. erant vero Graecis etiam alii dii πατρῷοι. v. Periz.

ΠΕ. ὄνομα δὲ τούτοις τοῖς θεοῖς τοῖς βαρβάροις
τί ἐστιν;
ΠΡ. δ τι ἐστίν; Τριβαλλοί.
ΠΕ. μανθάνω.
ἐντεῦθεν ἄρα τοὐπιτριβείης ἐγένετο.
ΠΡ. μάλιστα πάντων· ἓν δέ σοι λέγω σαφές.
ἥξουσι πρέσβεις δεῦρο περὶ διαλλαγῶν
παρὰ τοῦ Διὸς καὶ τῶν Τριβαλλῶν τῶν ἄνω·
ὑμεῖς δὲ μὴ σπένδεσθ', ἐὰν μὴ παραδιδῷ
τὸ σκῆπτρον ὁ Ζεὺς τοῖσιν ὄρνισιν πάλιν,
καὶ τὴν Βασιλείαν σοι γυναῖκ' ἔχειν διδῷ.
ΠΕ. τίς ἐστιν ἡ Βασιλεία;
ΠΡ. καλλίστη κόρη,
ἥπερ κεραμεύει τὸν κεραυνὸν τοῦ Διός,
καὶ τἄλλ' ἁπαξάπαντα, τὴν εὐβουλίαν,
τὴν εὐνομίαν, τὴν σωφροσύνην, τὰ νεώρια,
τὴν λοιδορίαν, τὸν κωλακρέτην, τὰ τριώβολα.

ad Aelian. V. H. 3, 22, 4. B.) et Petit. de Legg. att. p. 321. nemo pro cive Athen. habebatur, nisi cui esset Apollo πατρῷος. idcirco patres, quum in curialium albo filios inscribi curabant, postquam eos ad curiales deduxerant, Apollinis πατρῴου seu tutelaris sacris initiabant, quod ostendit Demosth. orat. c. Eubul. p. 1315. Execestides autem, cui peregrina et servilis exprobratur origo supra 730., sacra Apollinis πατρῴου, Atheniensibus civibus peculiaria, colere non poterat." —

1414. *Triballi* in Moesia habitarunt. v. Thuc. 2, 96.; 4, 101. (Strabo l. L ad 1406., p. 108., καταστρεψάμενοι δέ ποτε οἱ Αὐταριᾶται [gens Illyricarum fortissima] Τριβαλλοὺς ἀπὸ Ἀγριάνων μέχρι τοῦ Ἴστρου καθήκοντας ἡμερῶν πεντεκαίδεκα ὁδόν, ἐπῆρξαν καὶ τῶν ἄλλων Θρακῶν τε, καὶ Ἰλλυριῶν.) sed habuit hoc voc. etiam comicam vim, ita ut sycophantae eo significarentur. v. Hesych. h. v., et Phot. lex. p. 441. B.

1415. παρὰ τὸ Τριβαλλός φησι παίζων γεγονέναι (coepisse dici) τὸ ἐπὶ τῇ ὕβρει ἐπιτριβείης. S. „h. e. *vapula, pereas*, ut Plut. 347." B.

1416. σαφὲς, σαφῶς. — B.

1419. ita Vossian., Porson. ad Hecub. 1174., Bekk., D. libri soloece σπένδησθ'.

1423. κεραμεύει C Paris. et edd. vett., quod recte Br. tuitus aliorum codd. scripturam ταμιεύει, 1427. sublectam illam, repudiavit. jocum inesse vidit in paronomasia κεραμεύειν κεραυνόν. Be.: „Videtur," inquit, „ludere in similitudine harum vocum, quasi κεραμεύει τὸν κέραμον dicat, ridens Jovis fulmen, tanquam nullius momenti." κεραμεύει ad τὴν εὐβουλίαν et reliqua substantiva pertinet per zeugma. vid. Matth. gr. §. 612. Ill. Eccles. 254. τὰ τρυβλία Κακῶς κεραμεύειν, τὴν δὲ πόλιν εὖ, καὶ καλῶς. quod attinet ad hanc προσωποποιΐαν τῆς Βασιλείας, S.: ἔστι δὲ καὶ παρὰ Κρατίνῳ ἡ Βασιλεία. quam Jovis filiam dixit ap. eundem Euphronius, Coeli autem et Titaeae Diod. Sic 3, 59.

1426. τὴν λοιδ. ὡς καὶ τοῦτο ἓν τῶν πολλῶν. εἰς αὔξησιν δὲ τῆς κωμῳδίας τοῦτό φησι. S. λοιδορία ab Atheniensium moribus ad Jovem transfertur. B. τὸν κωλ. τὸν ταμίαν τῶν πολιτικῶν χρημάτων. —

ΠΕ. ἅπαντά τἄρ' αὐτῷ ταμιεύει.
ΠΡ. φήμ' ἐγά.
ἦν γ' ἦν σύ παρ' ἐκείνου παραλάβῃς, πάντ' ἔχεις.
τούτων ἕνεκα δεῦρ' ἦλθον, ἵνα φράσαιμί σοι·
ἀεί ποτ' ἀνθρώποις γὰρ εὔνους εἰμ' ἐγὼ...
ΠΕ. μόνον θεῶν γὰρ διὰ σ' ἀπανθρακίζομεν.
ΠΡ. μισῶ δ' ἅπαντας τοὺς θεούς, ὡς οἶσθα σύ...
ΠΕ. νὴ τὸν Δί' αἰεὶ δῆτα θεομισὴς ἔφυς.
ΠΡ. Τίμων καθαρός. ἀλλ', ὡς ἂν ἀποτρέχω πάλιν,
φέρε τὸ σκιάδειον, ἵνα με κἂν ὁ Ζεὺς ἴδῃ
ἄνωθεν, ἀκολουθεῖν δοκῶ κανηφόρῳ.
ΠΕ. καὶ τὸν δίφρον γε διφροφόρει τονδὶ λαβών.
ΧΟ. πρὸς δὲ τοῖς Σκιάποσιν λίμνη τις ἔστ', ἄλουτος ἀντ. β'.

8. cf. Vesp. 665., 694. τὰ τριωβ., mercedem diurnam judicum. vide, notante B., Pollucem 8, 20. — Voss.: *Gar ein schönes Mägdelein, Die künstlich töpfert, was zum Donnern Zeus bedarf, Und alles andere, gross und klein, als guten Rath, Und gut Gesetz, u. Mässigung, u. Schiffsarsenal, Und loses Maul, Rentmeister, und Triobole.*

1427. τἄρ' D., quod praestat vulgatae lectioni γ' ἀρ'. Be.: ταμ. quia alter dixerat τὸν κωλαχρέτην et τὰ τριώβολα. *Be.* praeterea ταμιεύειν generatim significat *administrare.*

1428. πάντ' ἔχεις. cf. 1249.

1431. ἀπ. — ὀπτὰς ἰσθίομεν. Eurip. Cycl. 344. ὡς ἕτοιμά σοι ἐφθά, καὶ ὀπτά, καὶ ἀνθρακιᾶς ἄπο χνάνειν.) — ὡς ἐν κωμῳδίᾳ δὲ τοῦ εὐτελεστέρου ἐμνήσθη, ἐπὶ ἄλλων μέγιστα ἰσχύοντος τοῦ πυρός. S. contra Aeschylus ap. Be. (Prom. 7.): παντέχνου πυρὸς σέλας Θνητοῖσι κλέψας ὤπασεν.

1433. Θεομ. ἴφυς. ὁ μέν φησι τῷ Προμηθεῖ ἰσόν τι τῷ ὑπὸ θεῶν μισούμενος, διὸ καὶ ὀξυτόνως ἀναγνωστέον· ὁ δὲ τὸ ἕτερον δέχεται μισῶν θεοὺς (θεομίσης), ὡς ὁ Τίμων ἀνθρώπους. S. de forma αἰεὶ cum alias diximus, tum ad 1370.

1434. Τίμων καθ., *verus* et *purus putus Timon.* K. v. Ruhnken. ad Xenoph. Mem. Socr. 2, 2, 3. et Koppiers. Obss. philol. p. 17. B. Erat Timon non tantum hominum, sed et deorum osor. Lucianus in cognomini dialogo (c. 34.) facit eum haec dicere πάντας γὰρ ἅμα καὶ θεοὺς, καὶ ἀνθρώπους, μισῶ etc. *Be.* vixit autem tum Athenis, ut notum est.

1435, 6. cf. 1393. S.: κανηφόρῳ. ταῖς γὰρ κανηφόροις σκιάδειον, καὶ δίφρον, ἀκολουθεῖ τις ἔχουσα. — κανηφόροι erant puellae ingenuae, quae in pompis, velut Panathenaeorum, gestabant canistra. v. Phot. lex. p. 97. sequ., Spanh. ad Callim. h. in Cer. 127., p. 824.; de διφροφόροις autem Hesych. h. v., et Spanh. ad Callimach. h. in Iovem 67. *E B.* etiam Eccl. 765. conferri jussit Be.

1438. — ταῦτα ἐξήγησις ἐστι τῶν ἀνωτέρω (1365.—1378.) γένος δέ ἐστι (Sciapodum) περὶ τὸν δυτικὸν ὠκεανόν, πρὸς τῇ κεκαυμένῃ ζώνῃ. τούτους δὲ ἔχειν βήματά φασι τοῦ παντὸς σώματος μείζονα· διὰ δὲ τὸ μὴ ἔχειν οἴκους, ἀλλ' ὑπὸ τοῦ καύματος ἀναλίσκεσθαι, τετραποδηδὸν βαδίζοντας ἀνορθοῦν τὸν ἕτερον τῶν ποδῶν, καὶ σκιάζειν τὸ λοιπὸν σῶμα. ὡς ἀψύχους δὲ διασύρει τοὺς φιλοσόφους, καὶ ὡς ἐπὶ σκιᾶς βαδίζοντας. (?) S. B.: „Etiam Plin. H. N. 7, 2., Harpocr., Phot. p. 384., Hesych. tradiderunt, gentem libycam fuisse pedibus latis: sed niti pleraque videntur dubia Ctesiae auctoritate, qui de iis exposuerat (vid.

οὖ ψυχαγωγεῖ Σωκράτης·
ἔνθα καὶ Πεισανδρος ἦλθε δεόμενος ψυχὴν ἰδεῖν,
ἢ ζῶντ' ἐκεῖνον προὔλιπε,
σφάγι' ἔχων καμήλου ἀμνόν τιν', ἧς λαιμοὺς τεμὼν,
ὥσπερ Οὐδυσσεὺς, ἀπῆλθε, κἄτ' ἀνῆλθ' αὐτῷ κάτωθεν
πρὸς τὸ λαῖγμα τῆς καμήλου Χαιρεφῶν ἡ νυκτερίς.

Plin. l. l.), etsi jam ante Ctesiam Σκιάποδες Graecis innotuisse videntur. — ad lacus (λίμνας) solebant animas ex Orco ciere, ut ad lacum Avernum. v. Davis. ad Cic. Tusc. 1, 16., Wessel. ad Diod. S. 1. p. 267." ἄλουτος. adhiberi jussit Be. Nub. 810. S.: ἄλουτον δὲ εἶπε τὴν λίμνην (imo τὸν Σωκράτην), καθὸ ἀλουτοῦντες καὶ ὑποφοροῦντες ἐφιλοσόφουν οἱ περὶ τὸν Σωκράτη.

1439. ψυγαγωγεῖν ambiguum est verbum: nam et significat animum ducere, allicere, quod docendo, delectando, aliisque modis fieri potest (v. Cuper. Obss. 2, 14.), et animas educere, evocare (v. Wessel. ad Diod. S. 1. p. 108.) B.

1440. Πείσ. οὗτος δειλὸς ἦν. ἦλθεν οὖν ψυχὴν ἰδεῖν θέλων, ἐπεὶ οὐκ εἶχεν, ὡς Εὔπολις ἐν Ἀστρατεύτοις Πείσανδρος εἰς Πακτωλὸν ἐστρατεύετο, Κἀνταῦθα τῆς στρατιᾶς κάκιστος ἦν ἀγήρ· Ἀπαντα χοῦ δ' ἦν δειλός. ἦν δὲ τὸ σῶμα εὐεκτής. — καὶ δωροδοκῆσαί φησιν Ἀριστ. Βαβυλωνίοις διὰ τούτων ἢ δῶρ' αἰτοῦντες ἀρχὴν πολέμου προέσειεν Μετὰ Πεισάνδρου. (fort. ἢ δ. αἰτῶν Ἀρχὴν πολ. τις προ. Μετὰ Π. Bergkio quoque placuit αἰτῶν. sane αἰτοῦντες ortum videtur ex αἰτῶν τις.) δύο δέ εἰσι Πείσανδροι, καθάπερ Εὔπολις ἐν Μαρικᾷ φησιν (α') ἄκουέ νυν, Πείσανδρος ὡς ἀπόλλυται. (β') Ὁ στρεβλός; (α') οὔκ, ἀλλ' ὁ μέγας, οὐνοκίνδιος. καὶ Πλάτων ἐν Πεισάνδρῳ περὶ ἀμφοτέρων λέγει. S. est is, qui tempore belli pelop. (Ol. 92, 2.) popularem civitatis statum (auctore Antiphonte) evertit (Thuc. 8, 65., 68.), sed mutata reip. forma Deceleam fugit (id. 8, 98.) etc. B.

1442. libri κάμηλον, h. e. interpretibus grammaticis *magnam victimam*. Audio; at quid esse dicamus κάμηλον ἀμνόν? subvenit laborantibus S.: ἔπαιξεν — εἰκὼν ἀμνὸν καμήλου (ἔστι γὰρ εὐμεγέθης), δέον εἰπεῖν ἢ ἀρνειοῦ, ἢ ἄλλου τινός. legit is igitur in suis libris καμήλου ἀμνὸν, quod dictum ridicule et praeter expectationem pro καμ. πῶλον. ea scriptura digna erat, quae Comico restitueretur. veras oves mactavit Ulysses Odyss. 11, 35.; procerus Pisander camelum immolat. — B.: σφ. ἔχων. ut solent, qui necyomantiam exercent.

1443. ita Bentl. aliique. codd. Ὀδυσσεὺς, jugulato versu. ἀπῆλθε, paulum recessit a mactata victima, ne umbras terreret. S.: κατ. ἀν. αὐτῷ. ἐκ τῶν χθονίων ἀνῆλθεν. ὡς αὐτοκλήτως δὲ παραβάλλοντα αὐτὸν εἰς τὰ δεῖπνα διαβάλλει. S.

1444. τὸ λαῖμα. (sic ll. praeter Venetum qui habet λαῖτμα.) Εὐφρόνιος τὸν λαιμόν· καὶ γὰρ προείρηκεν εἰς (ἧς) λαιμοὺς τεμών. οἱ δὲ, ὅτι τὸ αἷμα etc. S. scripsi secundum Bentl. λαῖγμα, h. e. ἀπαρχήν, seu θῦμα. vid. Schneideri lex. gr. v. λαῖμα. id agnoscas in scriptura Veneta. Be.: „Χαιρ. hunc a mortuis dicit ascendisse, quia erat pallidus et macer. vide Nub. 491." — cf. supra 1197.

ΠΟΣΕΙΔΩΝ. ΤΡΙΒΑΛΛΟΣ. ΗΡΑΚΛΗΣ. ΠΕΙΣΘΕΤΑΙΡΟΣ. ΟΙΚΕΤΗΣ ΠΕΙΣΘΕΤΑΙΡΟΥ. ΧΟΡΟΣ.

1445 ΠΟ. Τὸ μὲν πόλισμα τῆς Νεφελοκοκκυγίας — i. tr.
ὁρᾷν τοδὶ πάρεστιν, ᾗ πρεσβεύομεν. —
οὗτος, τί δρᾷς; ἐπαρίστερ' οὕτως ἀμπέχει;
οὐ μεταβαλεῖς θοιμάτιον ὡς ἐπιδέξια;
τί, ὦ κακόδαιμον, Λαισποδίας εἶ τὴν φύσιν;

1445. haec scena totius fabulae ingeniosissima visa est Wielandio. S.: — *πρέσβεις παρὰ τῶν θεῶν Ποσειδῶν, καὶ Ἡρακλῆς, καὶ εἷς ἐκ τῶν βαρβάρων θεῶν, ἦλθον.* — primis duobus versibus Herculem, sequentibus Triballum, Neptunus alloquitur. simile initium Electrae Sophocleae.

1446. „*ᾗ πρ., ad quam legati missi sumus.* v. Thom. Mag. p. 737. et Abresch. Dil. Thuc. p. 411." B.

1447. restituimus olim vulgata *ἐπαρίστερ'* et *ὡς ἐπιδέξια* sequente versu, quae falso insimularunt. neque enim audiendus est Phrynichus, cum dicit *ἐπαρίστερον οὐ χρὴ λέγειν, ἀλλὰ σκαιόν.* cui ne ipse quidem Lobeckius obtemperavit. circumspecte vir doctissimus p. 259. „Quemadmodum *δεξιὸς* et *ἐπιδέξιος*, quae apud Homerum tantum de locis ad dextram sitis dicuntur, postea ad ea translata sunt, quae dextre et ex ordine fiunt (*ἐπιδεξίως γράφαι* Aeschin. Fals. Leg. p. 294.), ita etiam ex diverso *ἐπαρίστερος* usurpari coeptum." plura legas apud ipsum; in quibus Menandri ista *ἐπαριστέρως τὸ πρᾶγμα λαμβάνειν*, quae attulit Plut. de Tranquill. anim. 5, 7., t. 10., et Aristotelicam vocem *ἐπαριστερότητα*. „Pollux 2, 159. *τὸ δὲ ἐπιδέξια δηλοῖ παρὰ μὲν Πλάτωνι τὸ δεξιῶς* etc. Artemidorus Oniroer. 3, 24. *ἐπαρίστερα περιβεβλῆσθαι, ἢ ὅπως ποτὲ γελοίως, κ. μὴ κοσμίως, κἄπα πονηρόν* (insomnium)." *Ex Be.* valeant igitur, qui scripserunt, aut ediderunt, divise *ἐπ' ἀρίστερ'* et *ἐπὶ δεξιά*. Bekk. et D. etiam *ἐπὶ δεξιὰν*, nescio qua fide. — *ὡς ἐπιδέξια* dictum pro *ἐπιδέξια*, sive *ἐπιδεξίως*, ut *ὡς ἀληθῶς* pro *ἀληθῶς* Eurip. Orest. 720., *ὡς σφόδρα* pro *σφόδρα* apud Antiphanem Athen. 8, 339. — cf. Nitschianum, a Kōpkeo editum, librum germ. de Rebus gr., vol. 1. p. 623. sequ. videtur autem *ἀμπέχεσθαι ἐπαρίστερα*, i. e. *ἐπαριστέρως*, proprie dici is, qui pallium ita conjicit, ut laeva exeratur, cum, contra fieri solitum esse, et ex artibus antiquis intelligatur, et sic existimari consentaneum sit propter majorem dextrae manus agilitatem. — S. *τοῦτο λέγει τῷ βαρβάρῳ τῷ συμπαρόντι αὐτῷ εἰς τὴν πρεσβείαν ὁ Ποσειδῶν, ὡς οὐπω ἐπιτηδείως στελλομένῳ τὴν ἐσθῆτά, ἀλλ' ἐπ' ἀριστερὰ* (sic) *περιβαλλομένῳ, ὥσπερ οἱ Θρᾷκες.*

1449. *ὅτι τὴν κνήμην εἶχε σαπρὰν ὁ Λαισποδίας, καὶ μέχρι τῶν κάτω περιεβάλλετο· καὶ οἱ βάρβαροι δὲ*

ὦ δημοκρατία, ποῖ προβιβᾷς ἡμᾶς ποτε,
εἰ τουτονὶ γ' ἐχειροτόνησαν οἱ θεοί;
ΤΡ. ἔξεις ἀτρέμας.
ΠΟ. οἰμώξε· πολὺ γὰρ δή σ' ἐγὼ
ἑόρακα πάντων βαρβαρώτατον θεῶν.
ἄγε δὴ, τί δρῶμεν, Ἡράκλεις;
ΗΡ. ἀκήκοας
ἐμοῦ γ', ὅτι τὸν ἄνθρωπον ἄγχειν βούλομαι,
ὅστις ποτ' ἔσθ' ὁ τοὺς θεοὺς ἀποτειχίσας.
ΠΟ. ἀλλ', ὦ 'γάθ', ἠρήμεσθα περὶ διαλλαγῶν
πρέσβεις.
ΗΡ. διπλασίως μᾶλλον ἄγχειν μοι δοκῶ.
ΠΕ. τὴν τυρόκνηστίν τις δότω· φέρε σίλφιον·
τυρὸν φερέτω τις· πυρπόλει τοὺς ἄνθρακας.
ΗΡ. τὸν ἄνδρα χαίρειν οἱ θεοὶ κελεύομεν
τρεῖς ὄντες ἡμεῖς.
ΠΕ. ἀλλ' ἐπικνῶ τὸ σίλφιον.

τὰ σκέλη περιβέβληνται. Λαισποδίας δὲ, καὶ Δαμασίας, ὡς κακόκνημοι διαβάλλονται. μνημονεύει δὲ αὐτῶν καὶ Εὔπολις ἐν Δήμοις ταδὶ δὲ τὰ δένδρα Λαισποδίας καὶ Δαμασίας Αὐταῖσι ταῖς κνήμαισιν ἀκολουθοῦσί μοι. τοῦτον δὲ τὸν Λαισποδίαν καὶ στρατηγῆσαί φησι Θουκυδ. ἐν τῇ η'. (6, 105. add. id. 8, 86. B. dux enim fuit classis, et Limeram et Prasias vastavit a. 18. belli Pelop. *Palmer.* Exerc. p. 758.) μέμνηται δὲ αὐτοῦ Φρύνιχος ἐν Καμασταῖς, ὡς πολεμικοῦ γεγονότος· Φιλύριος δὲ ἐν ταῖς Πλυντηρίαις, ὡς φιλοδίκου etc. S.

1450. ἔμιξεν (ἔπαιξεν), ὡς ἐπὶ Ἀθηναίων, ἐπεὶ ἰσοτιμίας οὔσης συμβαίνει δημώδεις ἅμα τοῖς ἀξιοπίστοις ἀποστέλλεσθαι, ὥσπερ καὶ νῦν ὁ βάρβαρος εἰς μηδὲν χρήσιμον σὺν Ποσειδῶνι καὶ Ἡρακλεῖ ἀπεστάλη. φησὶν οὖν, (ποῖ) προάγεις ἡμᾶς, ὦ δημοκρατία, ὅτι τοῦτον ἐχειροτόνησαν οἱ θεοί; S. προβ. *provehes*, adduces. forma futuri contr., qua Attici utebantur: v. Moer. p. 124. χειροτονεῖν, sublatis manibus suffragia ferre, designare, eligere. v. Harpocr. v. χειροτονία. *E B.*

1452. ἔξεις dictum pro ἔχε. vulgo ἔ. ἀτρ.; quod debilius. πολὺ pertinet ad βαρβαρώτατον.

1453. ita Bekk. D., ut Thesm. 32., 33. ll. fere ἑώρακα. male Dawes. Misc. crit. p. 202., et Br., ὦρακα, forma ionica.

1456. ἀποτειχίζειν est *muro ducto excludere al.* v. Wass. ad Thuc. 224. sequ. B.

1458. sic Voss. liber, ut Schaefer. ad Dion. Hal. de comp. verb. §. 33., p. 55. vulgo δοκεῖ. cf. Vesp. 177., Eccles. 170. S.: διπλασ. τοσοῦτον οὐ φροντίζω διαλλαγῶν. B.: Hic propterea tam minacem et ferocem facit Herculem, ut mox magis ridiculus videatur, quum propter coenulam fit παραπρεσβευτής.

1459. haec Pisthet. servis quibusdam imperat intus domum, sed apertis foribus, ut Wieland. annotavit. τυρόκν., *radulam*, qua caseus raditur. cf. Vesp. 904. σίλφιον. v. 509.

1460. πυροπολεῖν proprie est ignem accendere (Odyss. κ', 30. et ibi Eustath.), h. autem l. carbones sufflare. B.

1461. τὸν ἄνδρα. virum, h. e. *hominem* (Pisthetaerum), salutamus *dii*.

1462. ἐπικνῶ, *radendo adjicio*.

ΗΡ. τὰ δὲ κρέα τοῦ ταῦτ' ἐστίν;
ΠΕ. ὄρνιθές τινες
ἐπανιστάμενοι τοῖς δημοτικοῖσιν ὀρνέοις
ἔδοξαν ἀδικεῖν.
ΗΡ. εἶτα δῆτα σίλφιον
ἐνικνᾶς πρότερον αὐτοῖσιν;
ΠΕ. ὦ χαῖρ', Ἡράκλεις.
τί ἐστι;
ΗΡ. πρεσβεύοντες ἐνθάδ' ἥκομεν
παρὰ τῶν θεῶν περὶ πολέμου καταλλαγῆς . . .
ΟΙ. ἔλαιον οὐκ ἔνεστιν ἐν τῇ ληκύθῳ.
ΠΕ. καὶ μὴν τά γ' ὀρνίθεια λιπάρ' εἶναι πρέπει.
ΗΡ. ἡμεῖς τε γὰρ πολεμιοῦντες οὐ κερδαίνομεν,
ὑμεῖς τ' ἂν ἡμῖν τοῖς θεοῖς ὄντες φίλοι
ὄμβριον ὕδωρ ἂν εἶχετ' ἐν τοῖς τέλμασιν,
ἀλκυονίδας τ' ἂν ἤγεθ' ἡμέρας ἀεί.
τούτων περὶ πάντων αὐτοκράτορες ἥκομεν.
ΠΕ. ἀλλ' οὔτε πρότερον πώποθ' ἡμεῖς ἤρξαμεν
πολέμου πρὸς ὑμᾶς, νῦν τ' ἐθέλομεν, εἰ δοκεῖ,
* ἐάν τι δίκαιον ἀλλὰ νῦν ἐθέλητε δρᾶν,

quasi dicit „occupato mihi non vacat salutem reddere.“ ridicule.

1464. ἔπαν. ἐπανάστασιν ποιησάμενοι. ὡς ἀγρίων ὀρνίθων ἐπιθεμένων τῇ τυραννίδι, καὶ εἰς βορὰν παραδεδομένων. αὐτοῖσι δὲ, ἤγουν τοῖς κρέασιν. S.

1466. πρότερον, prius quam me resalutas.

1468. περὶ πολ. κατ., *de bello componendo.* — B.

1470. ita Bentl., Elmsl. ad Ach. 93., D. vulgo τά γ' ὀρνίθια λιπαρά γ' εἶναι π. sed in Voss. posterius γὲ non habetur, idemque una cum verbo εἶναι deest in Rav. praeterea ὀρνίθειος alibi legitur ap. hunc nostrum, ὀρνίθιος non item, quantum memini. — λιπαρὰ bene uncta oleo, quo in Graecia utuntur butyri loco, ut annotavit B.

1473. ἐν τοῖς τέλμασιν. ἀντὶ τοῦ ἐν τοῖς φρέασι (cisternis). κυρίως δὲ τὸ πηλῶδες, καὶ μὴ ἔχον ὕδωρ. S.

1474. ἀλκυον. ἀντὶ τοῦ εὔδιον ὅλον τὸν χειμῶνα, οὐχ, ὡς νῦν ἑπτὰ τοῦ χειμῶνος, ὥς φασί τινες, εἰσὶν αἱ ἀλκυονίδες. S. cf. 250. ἤγετε ἄν, ageretis, celebraretis, tanquam festum.

1475. αὐτ. τούτων τῶν δογμάτων κρατοῦντες. S. v. Wessel. ad Diod. Sic. 1. p. 422. — B. *Bevollmächtigte, plenipotentiaires.*

1478. libri ἐάν τι δίκ. ἄλλο, quod πλεοναστικὸν est et haud scio an inusitatum. recte Io. Seager in *Classical Journal* N. 4. p. 712. suasit ἀλλά. Demosth. Olynth. 3.: ἐὰν οὖν ἀλλὰ νῦν γ' ἔτι ἀπαλλαγέντες τούτων τῶν ἐθῶν ἐθελήσητε στρατεύεσθαί τε, καὶ πράττειν ἀξίως ὑμῶν αὐτῶν, — ἴσως ἄν, ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, τέλειόν τι καὶ μέγα κτήσαισθε ἀγαθόν. ἀλλὰ νῦν, nunc saltem, cum id adhuc non feceritis. monstrat eam scripturam S., qui haec ita interpretetur: εἰ ὅλως καὶ νῦν ἐπιγνώσεσθε τὸ δίκαιον. ex qua annotatione D. sumsisse videtur id, quod edidit, ἐὰν τὸ δίκαιον, quae

σπονδὰς ποιεῖσθαι. τὰ δὲ δίκαι' ἐστὶν ταδί,
τὸ σκῆπτρον ἡμῖν τοῖσιν ὄρνισιν πάλιν
τὸν Δί' ἀποδοῦναι. κἂν διαλλαττώμεθα
ἐπὶ τοῖσδε, τοὺς πρέσβεις ἐπ' ἄριστον καλῶ.
ΗΡ. ἐμοὶ μὲν ἀπόχρη ταῦτα, καὶ ψηφίζομαι.
ΠΟ. τί, ὦ κακόδαιμον; ἠλίθιος καὶ γάστρις εἶ·
ἀποστερεῖς τὸν πατέρα τῆς τυραννίδος.
ΠΕ. ἄληθες; οὐ γὰρ μεῖζον ὑμεῖς οἱ θεοὶ
ἰσχύσετ', ἢν ὄρνιθες ἄρξωσιν κάτω;
νῦν μέν γ' ὑπὸ ταῖς νεφέλαισιν ἐγκεκρυμμένοι
κύψαντες ἐπιορκοῦσιν ὑμᾶς οἱ βροτοί·
ἐὰν δὲ τοὺς ὄρνις ἔχητε συμμάχους,
ὅταν ὀμνύῃ τις τὸν κόρακα, καὶ τὸν Δία,
ὁ κόραξ παρελθὼν τοὐπιορκοῦντος λάθρα
προσπτόμενος ἐκκόψει τὸν ὀφθαλμὸν θένων.
ΠΟ. νὴ τὸν Ποσειδῶ, ταῦτά γέ τοι καλῶς λέγεις.
ΗΡ. κἀμοὶ δοκεῖ.
ΠΕ. τί δαὶ σὺ φῄς;
ΤΡ. ναβαισατρεῦ.

tamen vereor ut sit manus Comici: neque enim opus est asyndeto, et displicet post εἰ illatum ἐάν. quare malim εἰ δοκεῖ, εἴ τ' ἄν τι δίκαιον ἄλλα νῦν ἐθέλητε δρᾶν, etc.

1481. κἂν διαλλ. ita Seager. l. c. ad 1478., adstipulante etiam Dindorfio. ll. inconcinne καὶ δ. — mire Rav. τὸν Δί' ἀπαιτεῖν, ut 528.

1482. ἐπὶ τοῖσδε, hac lege, hac conditione. Eurip. Phoen. 1169. ἐπὶ τοῖσδε δ' ἐσπείσαντο. B.

1484. ἐπικλήττει αὐτῷ ὁ Ποσειδῶν, ὡς διὰ τὴν γαστριμαργίαν προδιδόντι τὸν Δία. S. γάστρις, γαστρόδουλος, πολυφάγος. v. Hemsterh. ad Thom. Mag. p. 181. — de Herculis voracitate cf. Ran. 62. E B. — minus recte libri — εἶ. ἀποστερεῖς — τυραννίδος; pessime R., immisso glossemate, τῆς βασιλείας.

1486. ἄληθες; ain' vero? nota formula loquendi εἰρωνική.

1487. vulgo ὄρνιθες. v. 1043. — S. κάτω. κάτω τοῦ οὐρανοῦ ὄντες. —

1489. κύψαντες, capite et oculis demissis. B. ἐπιορκ. ψευδῶς ὀμνύουσιν ὑμᾶς. gl. Vict. *peierant diis adhibitis testibus.* v. Pollux 1, 39. B.

1491. ὀμνύῃ. hac forma verborum in ύω pro υμι nunquam Tragicos, rarissime Comicos, uti, hoc ipso l. c., notat Porsonus ad Eurip. Med. 744. (709.) B. τὸν κόρ. καὶ τὸν Δία. τοὺς ὄρνιθας, καὶ τοὺς θεούς. ἀφ' ἑνὸς δὲ τοὺς πάντας δηλοῖ. S. comice conjunguntur corvus et Iupiter. B.

1493. θένων. τύπτων. gl. Vict.

1494. ita Rav., Urbin., Voss., Bekk., D. vulgo ταῦτά γε σύ κ. λ. S. τοῦτο ὁ Ποσ. λέγει μηδέπω ἐμφανίσας ἑαυτὸν, καὶ γελοίως καθ' ἑαυτοῦ ὄμνυσι.

1495. ναβ. βαρβαρίζων συγκατατίθεται ὁ βάρβαρος θεός. αἱ γὰρ ἄσημοι φωναὶ ἀντὶ συγκαταθέσεως. S. Suidas in serie sua βαβακατρεῦ. cf. similia Ach. 100., 104., Thesm. 1030. seqq., 1116., quae tamen interpreteris graece, non item hoc, et pleraque eorum, quae hic loquitur Triballus deus.

ΠΕ. ὁρᾷς; ἐπαινεῖ χοὔτος. ἕτερον νῦν ἔτι
ἀκούσαθ', ὅσον ὑμᾶς ἀγαθὸν ποιήσομεν.
ἐάν τις ἀνθρώπων ἱερεῖόν τῳ θεῶν
εὐξάμενος εἶτα διασοφίζηται λέγων
,,μενετοὶ θεοί,'' καὶ μὴ 'ποδιδῷ μισητίᾳ,
ἀναπράξομεν καὶ ταῦτα.

ΠΟ. φέρ' ἴδω, τῷ τρόπῳ;

ΠΕ. ὅταν διαριθμῶν ἀργυρίδιον τύχῃ
ἄνθρωπος οὗτος, ἢ κάθηται λούμενος,
καταπτόμενος ἵκτινος ἁρπάσας λάθρα
προβάτοιν δυοῖν τιμὴν ἀνοίσει τῷ θεῷ.

ΗΡ. τὸ σκῆπτρον ἀποδοῦναι πάλιν ψηφίζομαι
τούτοις ἐγώ.

ΠΟ. καὶ τὸν Τριβαλλὸν νῦν ἔρου.

ΠΡ. ὁ Τριβαλλός, οἰμώζειν δοκεῖ σοι;

ΤΡ. σαννάκα
βακταρικροῦσα.

ΗΡ. φησὶν εὖ λέγειν πάνυ.

ΠΟ. εἴ τοι δοκεῖ σφῷν ταῦτα, κἀμοὶ ξυνδοκεῖ.

ΗΡ. οὗτος, δοκεῖ δρᾶν ταῦτα τοῦ σκήπτρου πέρι.

ΠΕ. καὶ νὴ Δί' ἕτερόν γ' ἐστίν, οὗ 'μνήσθην ἐγώ.
τὴν μὲν γὰρ Ἥραν παραδίδωμι τῷ Διΐ,
τὴν δὲ Βασιλείαν τὴν κόρην γυναῖκ' ἐμοὶ
ἐκδοτέον ἐστίν.

1499. εὐξ. ὑποσχεθείς. διασ. ἐξαπατᾷ. gl. Vict. idem est περισοφίζεσθαι 1526.

1500. ita Bentl. secundum Suidam v. μενετοί, cujus liber MS. ap. Dobr. habet μισητεῖαι, primum editus μισητίαις. vulgo μισητίαν, in quo διὰ vel quiddam simile intelligebant. S. μενετοὶ θ. (scil. εἰσὶν) ἀνεξίκακοι, καὶ οὐκ εὐθέως τιμωρούμενοι. — μισητίαν δὲ οἱ μὲν περὶ Ἀριστοφάνη τὴν εἰς τὰ ἀφροδίσια ἀκρασίαν, καὶ τὰ περὶ σφυρὸν παχεῖα, [καὶ] μισητὴ γυνὴ οὕτως ἐξηγοῦνται· μήποτε μέντοι γενικώτερόν ἐστιν ἀπληστία (insatiabilis avaritia. v. Hesych. h. v., pag. 607. sequ.). ὃ καὶ νῦν ἐμφαίνεται. S. B.: ,,μενετὸς est ὁ δυνάμενος μένειν, ami expectare potest. v. Thom. Mag. p. 608. — ἀποδιδόναι est reddere, dare quod quis debet, promisit.''

1501. ἀναπράττειν est exigere, quae quis promisit, aut debet. v. Abresch. Dil. Thuc. p. 814. B.

1502. ἀργυρ. mediam producit, quia contractum est ἀργυρίδιον.

1505. vel argentum, vel vestem pretii duarum avium rapiet ei miluus.

1508. ὁ Τριβ. nomin. pro vocat., ut Plut. 1096. Br. οἰμ. δοκεῖ σοι; num libet tibi plorare, vapulaturo, nisi consenseris? — σαννάκα βακτ. verba barbara et conficta, opinor, ab Aristophane, quae Hercules interpretatur, ut ipsi libet.

1511. ταῦτα τοῦ σκ. πέρι, haec, quae de sceptro (imperio) proposita sunt. B.

ΠΟ. οὐ διαλλαγῶν ἐρᾷς.
ἀπίωμεν οἴκαδ' αὖθις.
ΠΕ. ὀλίγον μοι μέλει.
μάγειρε, τὸ κατάχυσμα χρὴ ποιεῖν γλυκύ.
ΗΡ. ὦ δαιμόνι' ἀνθρώπων Πόσειδον, ποῖ φέρει;
*ἡμεῖς περὶ γυναικὸς μιᾶς πολεμήσομεν;
ΠΟ. τί δαὶ ποιῶμεν;
ΗΡ. ὅ τι; διαλλαττώμεθα.
ΠΟ. τί, ὦ οἰζύρ'; οὐκ οἶσθ' ἐξαπατώμενος πάλαι;
βλάπτεις δέ τοι σὺ σαυτόν· ἢν γὰρ ἀποθάνῃ
ὁ Ζεὺς, παραδοὺς τούτοισι τὴν τυραννίδα,
πένης ἔσει σύ. σοῦ γὰρ ἅπαντα γίγνεται
τὰ χρήμαθ', ὅσ' ἂν ὁ Ζεὺς ἀποθνήσκων καταλίπῃ.
ΠΕ. οἴμοι τάλας, οἷόν σε περισοφίζεται!
δεῦρ' ὡς ἐμ' ἀποχώρησον, ἵνα τί σοι φράσω.
διαβάλλεταί σ' ὁ θεῖος, ὦ πόνηρε σύ.
τῶν γὰρ πατρῴων οὐδ' ἀκαρῆ μέτεστί σοι
κατὰ τοὺς νόμους· νόθος γὰρ εἶ, κοὐ γνήσιος.
ΗΡ. ἐγὼ νόθος; τί λέγεις;
ΠΕ. σὺ μέντοι νὴ Δία,

1516. ὀλ. μοι μέλει. ἀντι τοῦ οὐ φροντίζω. — S. Rav. B.: parum haec curo. v. Thom. Mag. p. 606.

1517. τὸ κατ. χ. π. γλυκύ. τὸν ζωμὸν διὰ μέλιτος ποίει. πάλιν δὲ ἐρεθίζει τὸν Ἡρακλέα. S.

1518, 19. ἀνθρ. παίζει, δέον εἰπεῖν τῶν θεῶν. — S. ποῖ φέρει; quo tendis? his verbis Neptunum abeuntem revocat. — malim probiore numero γυν. περί.

1521. scribunt ὦ 'ιζύρ', ὦ 'ζύρ', φίζύρ', crasin usurpantes praeter necessitatem, cum corripi possit ὦ sequente diphthongo. gl. Vict. ὦ 'ζύρ': ἄθλιε. — πάλαι, modo, nunc.

1523. τυραννὶς non differt a βασιλεία. v. Ammon. v. τύραννος, et ibi Valck. B.

1524. σοῦ, utpote Jovis filii. ridicule attica jura diis affingit. B.

1525. τὰ χρ., opes, facultates, divitiae. v. Fischeri Proluss. Palaeph. p. 23. B.

1526. περισ. ἐξαπατᾷ. gl. Vict. cf. 1499. οἴμοι indignantis est, ut passim. vid. index h. v.

1528. διαβ. ὅτι τῷ διαβάλλεται, (διαβάλλεσθαι) χρῶνται ἐπὶ τοῦ ἐξαπατᾶν, ὡς καὶ Ἀρχιππος ἐν Πλούτῳ ἔστιν δέ μοι καλῶς προφασις εἰρημένη· Τὸν γὰρ γέροντα διαβαλοῦμαι τήμερον. παρόμοιον δὲ καὶ τὸ Ὁμηρικὸν (Il. δ', 6.) παραβλήδην ἀγορεύων. καὶ παρ' Ἀλκαίῳ παραβάλλεταί σε. S.

1529. ἀκαρῆ. μικρὸν, ὀλίγον. μέτεστι. μετουσία ὑπάρχει. gl. Vict. ne minima quidem pars paternorum bonorum ad te pertinet. v. Piers. ad Moer. p. 43. sequ. B.

1530. Athenis enim νόθοι non poterant hereditatem consequi, vel una superstite legitima filia. v. Petit. Leg. att. p. 538. (et S. ad 1533.) Alcmene, Herculis mater, peregrina erat, et Jovis pellex. νόθος κοὐ γνήσιος pleonastice dicitur, ut ἑκὼν, οὐκ ἄκων, et similia. — B.

ὢν γε ξένης γυναικός. ἢ πῶς ἄν ποτε
ἐπίκληρον εἶναι τὴν Ἀθηναίαν δοκεῖς,
οὖσαν θυγατέρ', ὄντων ἀδελφῶν γνησίων;
ΗΡ. τί δ', ἢν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα
*νόθῳ 'ξαποθνήσκων;
ΠΕ. ὁ νόμος αὐτὸν οὐκ ἐᾷ.
οὗτος ὁ Ποσειδῶν πρῶτος, ὃς ἐπαίρει σε νῦν,
ἀνθέξεταί σου τῶν πατρῴων χρημάτων,
φάσκων ἀδελφὸς αὐτὸς εἶναι γνήσιος.
ἐρῶ δὲ δὴ καὶ τὸν Σόλωνός σοι νόμον.
Νόθῳ δὲ μὴ εἶναι ἀγχιστείαν, παίδων ὄντων γνησίων· ἐὰν
δὲ παῖδες μὴ ὦσι γνήσιοι, τοῖς ἐγγυτάτω τοῦ γένους μετεῖ-
ναι τῶν χρημάτων.
ΗΡ. ἐμοὶ δ' ἄρ' οὐδὲν τῶν πατρῴων χρημάτων i. tr.
μέτεστιν.
ΠΕ. οὐ μέντοι μὰ Δία. λέξον δέ μοι,

1532. ξένης γυν. ex Alcmena, quae non fuit civis Attica. Jovem autem fingit esse Atheniensem. *E Be.*

1533. ἐπίκληρον — δοκεῖς. εἰ μὴ ἦν γνησιωτέρα; ἐπίκληρος δέ (vel ἔγκληρος: vid. Valck. ad Herod. p. 463. B.) ἐστιν ἡ μὴ ἔχουσα ἀδελφοὺς ἑτέρους συγκληρονόμους, ἀλλὰ μονοκληρονόμος. νόμος δὲ ἦν Ἀθηναίοις, γνησίας μὲν οὔσης θυγατρὸς, νόθου δὲ υἱοῦ, μὴ κληρονομεῖν τὸν νόθον τὰ πατρῷα. καὶ νῦν οὖν, φησὶν, εἰ μὴ σὺ νόθος ἦς, οὐκ ἂν ἦν ἡ Ἀθηνᾶ ἐπίκληρος. παίζει δὲ· τοὐναντίον γὰρ υἱῶν ὄντων γνησίων οὐκ ἂν εἴη θυγάτηρ ἐπίκληρος. εἰσὶ δὲ καὶ τῷ Διῒ γνήσιοι υἱοὶ Ἄρης, καὶ Ἥφαιστος· ἀλλὰ ἐπαίνῳ τῆς Ἀθηνᾶς, καὶ τῆς πόλεως, τοῦτό φησιν, οὐ προσποιούμενος περὶ τῶν γνησίων. S.

1536. sic plane Vossianus liber et S. Rav. perperam vulgati codd. τὰ νοθεῖ' ἀποθνήσκων, quod fieri non vetabant leges. S.: νόθῳ 'ξαποθνήσκων. γράφεται νοθεῖα, ὡς πρεσβεῖα. εἰ τὰ μὲν χρήματα ἐμοὶ, φησὶν, ὡς νόθῳ καταλείψει, τὴν δὲ ἀρχὴν τοῖς γνησίοις. νόμος δὲ ἦν ἀττικὸς τοῖς νόθοις μέχρι πέντε μνῶν καταλιμπάνειν. — τὸ ἀργύριον δὲ τοῖς νόθοις διὰ χειρὸς ἐδίδοσαν, ἐπειδὴ οὐκ ἐξῆν αὐτοῖς κληρονομεῖν. — τὸ ἐξ in ἐξαποθνήσκων αὐξητικὸν fuerit, ut passim. malim tamen νόθῳ γ' ἀποθνήσκων, qui γ et ξ alias quoque confusa sciam, velut Odyss. κ', 389. indicavi nuper hunc locum ad Aristoph. fragm. 15., f., pag. 169., ubi quidem ξ et χ litteras videntur permiscuisse. quare legendum ibi est „confuderint χ et ξ, α et ις," et inducenda verba „ut — ἀνέωγε." fallitur autem S., cum ἀρχὴν distinguit a χρήμασι, quae vox omnem οὐσίαν atque hereditatem significat, quam se consequi posse putat Hercules, quamvis nothus, si pater voluerit. cf. seqq. et ipsam Solonis legem, quae nuncupatur post 1540.

1537. ὃς ἐπαίρει σε, qui tibi hac spe animos facit, teque excitat ad pacem repudiandam. B.

1540. ἀγχιστείαν. μετουσίαν τῆς οὐσίας. — S. μετοχὴν, καὶ κοινωνίαν, τῆς οὐσίας. gl. Vict. B.: ἀγχιστεία etsi in universum est propinquitas, cognatio (Hesych., Zon. 1. p. 24.), singulatim tamen ea dicitur cognatio, quacum hereditatis jus conjunctum est, idque jus ipsum.

ἤδη σ' ὁ πατὴρ ἐσήγαγ' ἐς τοὺς φράτορας;
ΗΡ. οὐ δῆτ' ἐμέ γε. καὶ δῆτά γ' ἐθαύμαζον πάλαι.
ΠΕ. τί δῆτ' ἄνω κέχηνας, αἰκίαν βλέπων;
ἀλλ' ἢν μεθ' ἡμῶν ᾖς, καταστήσω σ' ἐγὼ
τύραννον, ὀρνίθων παρέξω σοι γάλα.
ΗΡ. δίκαι' ἔμοιγε καὶ πάλιν δοκεῖς λέγειν
περὶ τῆς κόρης, κἄγωγε παραδίδωμί σοι.
ΠΕ. τί δαὶ σὺ φής;
ΠΟ. τἀναντία ψηφίζομαι.
ΠΕ. ἐν τῷ Τριβαλλῷ πᾶν τὸ πρᾶγμα. τί σὺ λέγεις;
ΤΡ. καλάνι κόραυνα καὶ μεγάλα βασιλισσαναῦ
ὄρνιθο παραδίδωμι.
ΗΡ. παραδοῦναι λέγεις;
ΠΟ. μὰ τὸν Δί' οὐχ οὗτός γε παραδοῦναι λέγει,
*εἰ μὴ βαδίζειν, ὥσπερ αἱ χελιδόνες.
ΠΕ. οὐκοῦν παραδοῦναι ταῖς χελιδόσιν λέγει.
ΠΟ. σφὼ νῦν διαλλάττεσθε, καὶ ξυμβαίνετε·
ἐγὼ δ' ἐπειδὴ σφῶν δοκεῖ, σιγήσομαι.
ΗΡ. ἡμῖν, ἃ λέγεις σὺ, πάντα συγχωρεῖν δοκεῖ.
ἀλλ' ἴθι μεθ' ἡμῶν αὐτὸς ἐς τὸν οὐρανόν,
ἵνα τὴν Βασιλείαν, καὶ τὰ πάντ' ἐκεῖ λάβῃς.
ΠΕ. ἐς καιρὸν ἆρα κατεκόπησαν οὗτοιΐ

v. Ammon. v. ἀγχιστεῖς, ibique Valck., Zon. 1. p. 28.

1543. πάλιν, ὡς ἐν κωμῳδίᾳ, μετήγαγε τὰ Ἀθηναίων ἔθη ἐπὶ τοὺς θεούς. διὰ γὰρ τοῦ ἐγγραφῆναι εἰς τοὺς φράτορας σύμβολον εἶχον τῆς εὐγενείας. S. vide, quos hac de re laudant, Petit. de Legg. att. 2. tit. 4. §. 8., Iguarram librum de Phratriis gr. p. 48. seqq., et Meursii Gr. fer. v. Ἀπατούρια.

1545. ὡς τοῦ Ἡρακλέους ἀναβλέψαντος εἰς τὸν οὐρανὸν μετ' ὀργῆς, τοῦτό φησι „τί δῆτ' ἄνω βλέπεις, ὡς τυπτήσων τινά;" (scilicet Jovem.) — S. αἰκίαν βλέπεις, ut alibi haec similia βλέπειν ἄρην, κάρδαμα, δριμύ.

1547. ὀρνίθων γάλα. cf. 690.

1551. ἐν τῷ Τρ. π. τὸ πρᾶγμα. omnis res pendet a Triballo. vid. Valck. ad Phoeniss. 1256. (1179.) Lysias Or., p. 208. ed. Taylor.: οὐκ ἐλάχιστον μέρος ἐν ὑμῖν ἐστι. B.

1552. pro καλὰν κόραν, καὶ μεγάλαν βασιλίσσαν, ὄρνιθι παρ.

1555. manifesto corrupta; nec quidquam proficitur scriptura codicis B Paris. βαδίζοι γ', aut Brunckii commento audacissimo εἰ μὴ τιτυβίζοι γ', (v. 237.). apte et vere, opinor, Bentlejus εἰ μὴ βαβάζει γ', ὡ. αἱ χ., nisi forte garrit, ut hirundines, i. e. modo non intelligibili. contemnit his verbis Nuptunus hirundines; at Pisth. Quin ipsis hirundinibus, inquit, quas tu irrides, ille se tradere ait regnum. hirundines autem dicens generatim intelligit aves, quemadmodum pro omnibus nominatur picus 455., corvus 1491.

1559. alloquitur Pisthetaerum.

1562. οὗτοι ἴ. οἱ ὄρνιθες. εὐκαίρως, φησὶν, κατεκόπησαν οἱ ὄρνιθες

ἐς τοὺς γάμους.

ΗΡ. βούλεσθε δῆτ' ἐγὼ τέως
ὀπτῶ τὰ κρέα ταυτὶ μένων; ὑμεῖς δ' ἴτε.

ΠΟ. ὀπτᾷς τὰ κρέα; πολλήν γε τενθείαν λέγεις.
οὐκ εἶ μεθ' ἡμῶν;

ΗΡ. εὖ γε μέν τἂν διετίθην.

ΠΕ. ἀλλὰ γαμικὴν χλανίδα διδότω τις δεῦρό μοι.

ΧΟ. ἔστι δ' ἐν Φαναῖσι πρὸς τῇ Κλεψύδρᾳ πανοῦργον t. t. br. ἐπ.
ἐγγλωττογαστόρων γένος, i. d.
οἳ θερίζουσίν τε, καὶ σπείρουσι, καὶ τρυγῶσι ταῖς t. t. c.
γλώτταισι, συκάζουσί τε· i. d.
βάρβαροι δ' εἰσὶν γένος, Γοργίαι τε καὶ, Φίλιπποι. as., t. d. et anacr.

οὗτοι (1463.—65.) διὰ τὸ ἄριστον τῶν παρόντων γάμων. S.

1563. τοὺς γάμους, epulas nuptiales. vid. Pollux 3, 44. τέως, interea, ἐν τοσούτῳ. vid. Herodian. Philet. p. 494., ibique Pierson. B. βούλεσθε ὀπτῶ pro β. ἐμὲ ὀπτᾶν, ut Xenoph. Mem. Socr. 2, 1, 1. βούλει σκοπῶμεν etc.

1565. τενθείαν. λαιμαργίαν, σιναμωρίαν, καὶ λιχνότητα. gl. Vict.

1566. εὖ — διετέθην. hoc scil. mihi conduceret, si vobiscum irem. ironice. διατεθῆναι cum adverbiis est i. q. διακεῖσθαι (Thom. Mag., Sturz. lex. Xenoph. h. v.). B.

1568. ἐν Φαν. — παίζει, διασύρων τῶν Ἀθηναίων τοὺς συκοφάντας, παρὰ τὸ φαίνειν, καὶ συκοφαντεῖν, αὐτοὺς περὶ τὰ δικαστήρια. καὶ ἄλλως δὲ Φαναὶ τῆς Χίου χωρίον. (promontorium et portus insulae Chii. v. Thuc. 8, 24., Liv. 36, 43., Strab. p. 955. ed. Almel. B.) — ἄλλως. κρήνη ἐν ἀκροπόλει ἡ Κλεψύδρα, ἧς Ἴστρος ἐν τῇ ιβ' μέμνηται, τὰ παρὰ τοῖς συγγραφεῦσιν ἀναλεγόμενος. οὕτως δὲ ὠνόμασται, ἐπειδὴ ἀρχομένων τῶν ἐτησίων πληροῦται, πανομένων δὲ λήγει, ὁμοίως τῷ Νείλῳ, ὥσπερ καὶ τὴν ἐν Δήλῳ κρήνην (τῇ ἐν Δ. κρήνῃ.) — ἔπαιξε δὲ πάλιν, διασύρων τοὺς Ἀθηναίους, ὡς φιλοδίκους, ἐπεὶ καὶ ἐν τῷ δικαστηρίῳ ἐστὶ κλεψύδρα, κατασκεύασμά τι ὥσπερ ὡρονομικόν. S. cf. Poll. 10, 60. etc. B.

1569. ἐγγλωττ. παρὰ τοὺς ἐγχειρογάστορας πέπαικται. S. ἐγχειρογάστορες οἱ ἀπὸ τῶν χειρῶν γαστριζόμενοι; κ. τῇ γαστρὶ πορίζοντες. λέγονται καὶ γαστρόχειρες. gl. Victor. sunt igitur, qui lingua, accusationibus, orationibus habendis, victum quaerunt. B.

1571. συκ. ὡς ἐπὶ γεωργῶν etc. S.

1572. ὁ Φίλιππος καὶ ὁ Γοργίας οὗτοι ῥήτορες λάλοι εἰσίν. ηὔξησε δὲ τῷ πληθυντικῷ τὴν κατηγορίαν. Γοργίαν δὲ νῦν λέγει τὸν ῥήτορα, οὗ Πλάτων μνημονεύει. (Georgiam, Leontinum, nobilem sophistam, qui primum Athenas venit Leontinorum legatus, dein, ibi manens, mercede docuit eloquentiam.) ἦν δὲ καὶ ἕτερος ἰατρὸς, οὗ μνημονεύει Ἀλκαῖος ἐν Ἐνθυμίῳνι. τοῦ δὲ Φιλίππου (sycophantae. B.) καὶ ἐν Γεωργοῖς μνημονεύει Ἀρισ. (Aristoph. fragm. p. 38. cf. Vesp. 406.)

κἀπὸ τῶν ἐγγλωττογαστόρων ἐκείνων τῶν Φιλίππων t. t.
πανταχοῦ τῆς Ἀττικῆς ἡ γλῶττα χωρὶς τέμνεται. t. t. c.

1573. — Δίδυμος „ἐν ταῖς θυσίαις χωρὶς ἡ γλῶττα ἐτέμνετο, οὐ μετὰ τῶν ἄλλων σπλάγχνων. καὶ Ὅμηρος (Odyss. γ', 332.) ἀλλ' ἄγε τάμνεσθε μὲν γλώσσας. ἐγένετο δὲ τοῦτο δι' ἄλλην αἰτίαν. (diis, eloquentiae praesidibus, lingua victimarum consecrabatur: vid. Schol. min. ad Hom. Odyss. γ', 341. B.) οὕτως (οὗτος) δὲ βούλεται λέγειν, ὅτι ἐξεβλήθη ἐκ τῶν σπλάγχνων διὰ τοὺς ῥήτορας ἡ γλῶσσα, ἐπεὶ ταύτῃ τοὺς ἄλλους κακοποιοῦσι. S.

ΑΓΓΕΛΟΣ. ΧΟΡΟΣ. ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

1575 ΑΓ. Ὦ πάντ' ἀγαθὰ πράττοντες, ὦ μείζω λόγου, i. tr.
ὦ τρισμακάριον πτηνὸν ὀρνίθων γένος,
δέχεσθε τὸν τύραννον ὀλβίοις δόμοις!
προσέρχεται γὰρ οἷος οὔτε παμφαὴς
*ἀστὴρ ἰδεῖν ἔλαμψε χρυσαυγεῖ δόμῳ,
1580 οὔθ' ἡλίου τηλαυγὲς ἀκτίνων σέλας
τοιοῦτον ἐξέλαμψεν, οἷον ἔρχεται
*ἔχων γυναικὸς κάλλος οὐ φατὸν λέγειν,
πάλλων κεραυνὸν, πτεροφόρον Διὸς βέλος·
δσμὴ δ' ἀνωνόμαστος ἐς βάθος κύκλου
1585 χωρεῖ, καλὸν θέαμα θυμιαμάτων δ'
αὖραι διαψαίρουσι πλεκτάνην καπνοῦ.

1575. Redit Pisthetaerus ex Olympo cum conjuge. poëta in re levi usus est sublimibus Pindari et Tragicorum verbis. — B.

1578. χρυσαυγὴς δόμος, palatium auro splendens. cf. Ovid. Met. 2. initio. — Pisth. ad palatium accedit (χρυσ. δόμῳ, *ad domum auream*: cf. 1577.) ita splendens, ut stella et radii solis. B.

1579. mire dictum ἰδεῖν ἔλαμψε, τῷ ἰδ. quidem non multum conferente ad sententiam, et ἔλαμψε displicente propter vicinum ἐξέλαμψεν. igitur mendam subesse puto, malimque hoc vel quiddam simile suffici ὁδόν γ' ἔκαμψε, *viam flectere*, i. e. ire *solet*. durissimum foret hyperbaton προσέρχ. γὰρ ἰδεῖν οἷος etc. olim placebat οἷον ο. παμφαὲς ἀστηρίδιον etc.

1580. cf. 1005.

1581. ita Dind. auctore B. vulgo: — ἐξέλαμψεν. οἷον δ' ἔρχ. pejus etiam Rav.: — ἐξέλαμψεν. ἔνδον ἔρχ. ἐξελ., *splendere solet*, sic etiam ἔλαμψε dictum 1579.

1582. οὐ φατὸν λέγειν. cave tam putide locutum esse credas elegantissimum poëtam, sed scribamus οἷον ἔρχεται ἔχων (*se habens*), γυν. κ. οὐ φ. λαχὼν, πάλλων τε κερ.

1583. πτερ. Δ. βέλος. — εἰώθασι γὰρ τῷ κεραυνῷ ἐξ ἑκατέρου μέρους πτερὰ προσφύειν. S. cf. Orph. hymn. 18. B.

1584. ἐς βάθος κύκλου. εἰς τὸ ὕψος τοῦ οὐρανοῦ. — S.

1585. insulse ll. — θέαμα· θυμ. etc. dictum κ. θέαμα per appositionem ad θυμ. — καπνοῦ.

1586. διαψαίρουσι: διαπνέουσι. Hesych. et Zonar. 1. p. 530. S. διαψαίρειν δὲ τὸ ἡσυχῇ διακινεῖσθαι, καὶ ψοφεῖν, καὶ ψαίρειν ἱστίον λέγομεν. πλεκτάνην δὲ τὴν εἵλησιν. (*volumen fumi*, quod eadem metaph. dictum est, qua πλόκαμοι καπνοῦ, βόστρυχος πυρὸς et similia poëtarum. K. nam proprie πλεκτάνη dicitur *cincinnus*. Pollux 7, 174. B.) αἱ δὲ αὖραι διακινοῦσι τὴν πλεκτάνην τοῦ καπνοῦ τῶν θυμιαμάτων. —

ὁδὶ δὲ καὐτός ἐστιν. ἀλλὰ χρὴ θεᾶς
Μούσης ἀνοίγειν ἱερὸν εὔφημον στόμα.

ΗΜ. ἄναγε, δίεχε, πάραγε, πάρεχε, περιπέτεσθε as., 2 ith. προωδ.

1590 τὸν μάκαρα μάκαρι σὺν τύχᾳ! i. d.
φεῦ φεῦ τῆς ὥρας, τοῦ κάλλους! sp. d.
ὦ μακαριστὸν σὺ γάμον τῇδε πόλει γήμας! as., 2 ch. et dm.
μεγάλαι, μεγάλαι κατέχουσι τύχαι a. d.
γένος ὀρνίθων διὰ τόνδε τὸν ἄνδρ'.
1595 ἀλλ' ὑμεναίοις a.
καὶ νυμφιδίοισι δέχεσθ' ᾠδαῖς
αὐτὸν, καὶ τὴν Βασίλειαν! a. par.
Ἥρᾳ ποτ' Ὀλυμπίᾳ τῶν ἡλιβάτων θρόνων as., 2 a. d. br. log. στ. α'.
ἄρχοντα θεοῖς μέγαν Μοῖραι ξυνεκοίμισαν
1600 ἐν τοιῷδ' ὑμεναίῳ. Ὑμὴν ὦ, Ὑμέναι' ὦ! as., 2 pher.
ὁ δ' ἀμφιθαλὴς Ἔρως χρυσόπτερος ἡνίας ἀντ. α'.
εὔθυνε παλιντόνους, Ζηνὸς πάροχος γάμων,
τῆς τ' εὐδαίμονος Ἥρας. Ὑμὴν ὦ, Ὑμέναι' ὦ!

ΠΕ. ἐχάρην ὕμνοις, ἐχάρην ᾠδαῖς, a. d.

1589. formulae loquendi, quarum hic sensus est: *agite, adeste, saltate.* — *Ex B.* Chorus saltaturus haec dicit. Athen. 14. p. 622. ὅταν δὲ κατὰ μέσην τὴν ὄρχησταν γένωνται (Ithyphalli saltaturi), ἐπιστρέφουσιν εἰς τὸ θέατρον, λέγοντες Ἀνάγετε, εὐφυχωρίαν ποιεῖτε τῷ θεᾷ. *Ex Be.* cf. Vesp. 1283., Eurip. Troad. 302., Cycl. 189.

1591. sequ. ὥρας, *florentis aetatis.* μακ. τῇδε πόλει, *faustissimum huic urbi.* (imperium adeptae.) B.

1593. *magna fata genus avium possident*, h. e. gubernant.

1598. Jovis nuptiae cum hisce Pisthetaeri comparantur. — ἡλιβ. ὑψηλῶν, ἀβάτων, οἷς ἐστιν ἁλιτεῖν βαίνοντα, δυσπροσβάτων. Στησίχορος Τάρταρον ἡλίβατον τὸν βαθὺν λέγει. gl. Vict. cf. S. Pindari Ol. 6, 103., Hesych. v. ἡλίβατος etc.

1599. θεοῖς, *diis*, h. e. inter deos, vel dijs volentibus propitiisque.

1600. ἐν τ. ὑπ. dictum πλεοναστικῶς, ut ἐν φοναῖς 984., ubi vid. annot.

1601. ἀμφιθ. ἀμφοτέροις τοῖς γονεῦσι θάλλων, καὶ μηθενὸς ὀρφανισμένος. (de diis autem dictum omni ex parte florentes, almos, significat. vide Zon. 1. p. 144. etc. B.) ἄλλως. ὁ Ἔρως, φησὶ, παράνυμφος ἦν τοῦ Διὸς καὶ τῆς Ἥρας. πάροχοι γὰρ λέγονται οἱ παράνυμφοι παρὰ τὸ παροχεῖσθαι τοῖς νυμφίοις. ἐπ' ὀχήματος γὰρ τὰς νύμφας ἄγουσι. S.

1602. παλιντ. ὀπισθοτόνους (reductas: Heyn. ad Iliad. 8, 266. B.), ἢ τοὺς ἐπὶ θάτερα τρεπομένους. gl. Vict.

1603. Ὑμὴν etc. cani talia solebant in nuptiis. v. Eurip. Troad. 304. seqq., Theocr. 18, 56., Catull. 61. Ὑμέναιος nunc carmen nuptiale dicitur, nunc deus nuptiarum praeses. — B.

1604. ἐχ., laetatus sum et laetor. ἄγαμαι λόγων, *probo* (v. Piers. ad Moer. p. 2., Ruhnken. ad Tim. p. 8.) *carmina.* — Pisth., qui una cum Basilea curru per nubes devehitur, debebat ad Jovis laudes Chorum cohortari, ne spectatores iis, quae adversus deorum patrem di-